# ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

## ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

## 8

# ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ

## ΛΟΓΟΙ

## Α΄—Ε΄

ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ
ΑΠΟ ΤΟΝ
ΠΑΝΑΓΙΩΤΗ ΠΑΠΑΕΥΑΓΓΕΛΟΥ
ΔΙΔΑΚΤΟΡΑ ΘΕΟΛΟΓΙΑΣ

# ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

## ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

## 8

ΕΠΟΠΤΗΣ - ΕΠΙΜΕΛΗΤΗΣ ΕΚΔΟΣΕΩΣ
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, Π. ΘΕΟΛΟΓΙΑΣ

## ΕΠΕ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ
ΘΕΣΣΑΛΟΝΙΚΗ, ΙΑΝΟΥΑΡΙΟΣ 2002

# ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ
# ΚΑΙ
# ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ

## ΛΟΓΟΙ
## Α'–Ε'

Copyright :

ΕΛΕΥΘΕΡΙΟΣ ΜΕΡΕΤΑΚΗΣ

Γ. Μπακατσέλου 3, Θεσσαλονίκη

Τ. Θ. 400 90. 560 10 Θεσσαλονίκη

Τηλ. 0310/ 283 280. Οικίας: 0310/ 696 653.

# ΕΙΣΑΓΩΓΙΚΑ

Στὸν τόμο αὐτὸν καὶ στὸν ἑπόμενο ἐκδίδεται ἕνα ἀκόμα ἀπὸ τὰ ἀντιαιρετικὰ ἔργα τοῦ πολυγραφώτατου Πατριάρχη Ἀλεξανδρείας Κυρίλλου, *Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος*, τὸ ὁποῖο ἐξετάζει τὸ ἴδιο ἀκριβῶς θέμα μὲ τὸ ἔργο του «*Θησαυρός*», ποὺ ἐκδόθηκε στοὺς δύο προηγούμενους τόμους τῆς σειρᾶς αὐτῆς.

Ἡ διαφορὰ τοῦ ἔργου αὐτοῦ ἀπὸ ἐκεῖνο εἶναι ὅτι, ἐνῶ στὸ πρῶτο τὸ θέμα ἐξετάζεται διαλεκτικά, δηλαδὴ ἀναφέρονται πρῶτα οἱ θέσεις τῶν αἱρετικῶν, καὶ στὴ συνέχεια ἐπιχειρεῖται ἡ ἀναίρεσή τους, στὸ δεύτερο αὐτὸ ἔργο ὁ Κύριλλος ἀκολουθεῖ τὴ διαλογικὴ μέθοδο. Τὸ ὅλο θέμα ἐξετάζεται σὲ ἑπτὰ συνολικὰ διαλόγους, οἱ ὁποῖοι διεξάγονται μὲ κάποιον Ἑρμεία, ἡλικιωμένον, φιλομαθῆ καὶ καλοπροαίρετον, ὁ ὁποῖος ὅμως δὲν διστάζει, προβάλλοντας κάθε φορὰ τὶς ἀπόψεις τῶν αἱρετικῶν, νὰ προκαλεῖ τὸν Κύριλλο, ζητώντας του ὁλοένα καὶ περισσότερες ἐξηγήσεις καὶ ἀποδείξεις.

Ἡ ὅλη συζήτηση διεξάγεται σὲ τόνο φιλικό, ἂν καὶ σὲ μερικὲς περιπτώσεις, ὅταν οἱ ἀντιλήψεις τῶν αἱρετικῶν ποὺ προβάλλει ὁ Ἑρμείας εἶναι τελείως ἀπαράδεκτες, ὁ Κύριλλος ἐξανίσταται καὶ χρησιμοποιεῖ ἐναντίον τῶν αἱρετικῶν χαρακτηρισμοὺς βαρεῖς[1], χρησιμοποιώντας ἀκόμη βαρύτερους χαρακτηρισμοὺς γιὰ ὅσα αὐτοὶ ὑποστηρίζουν καὶ διδάσκουν[2].

Σὲ μιὰ ἐπιστολή του ὁ Κύριλλος ἀναφέρει γιὰ τὴ διαλεκτική του ἱκανότητα καὶ τὴ χρήση τῆς ἀττικῆς διαλέκτου τὰ ἑξῆς· «Ἐμεῖς μὲν

1. Τοὺς ὀνομάζει ἀμαθεῖς, μοχθηρούς, θρασεῖς, γελοίους, μωρούς, ἀθυρόστομους, διεστραμμένους τὸν νοῦν, διαστρεβλωτὲς κλπ.

2. Π. χ. Ἠλιθιότητες, λήρους, γραοπρεπῆ μυθάρια, ἐμέτου βδελυρώτερα, ἀποβράσματα κιβδήλου καὶ βδελυρᾶς φρενός, μωρίας ἐπικλήματα καὶ ἐγκλήματα δυσσεβείας.

οὐ περὶ τοὺς τῶν λόγων ἀγῶνας ἠσκήμεθα, οὐδὲ γλώττης ἀττικῆς ἐπίδειξιν ὑπισχνούμεθα»[3]. Ὅμως ἡ ὅλη διεξεγωγὴ τῶν διαλόγων του δείχνει ἀκριβῶς τὸ ἀντίθετο. Ἡ ἐξέλιξη τῶν διαλόγων, ἡ παράθεση τῶν ἐπιχειρημάτων τῶν αἱρετικῶν καί ἡ ἀναίρεσή τους, καθὼς καὶ τὸ ὅλο ὕφος του θυμίζει τοὺς πλατωνικοὺς διαλόγους. Ἡ συχνὴ μάλιστα χρησιμοποίηση λέξεων ἢ φράσεων σπανίων, ὅπως, εὐθυεπές, δυσπέμφιλος, ἅλς, χηραμός, καλαυροπός, ἀτιμαγέλης, μῶν, οἶμος, ἀρτίφρων, ἐπιστυγνάζω, καταθρῶ, διακυκῶ, κατακερτομῶ, φιλοπευστῶ, τητῶμαι, ἄχθος ἀρούρης κ.ἀ., δείχνουν ὅτι μᾶλλον ἦταν ἐγκρατὴς τῆς ἀττικῆς γλώσσας καὶ τῶν διαλογικῶν ἀγώνων. Ἐκεῖνο ὅμως ποὺ τονίζει πολλὲς φορές, εἶναι ὅτι τὰ θεολογικὰ θέματα, ὅπως αὐτὰ τῆς ἁγίας Τριάδος, ὑπερβαίνουν τὴν ἀνθρώπινη διάνοια καὶ δὲν εἶναι δυνατὸν νὰ διερευνηθοῦν μὲ συλλογισμοὺς καὶ ἐπινοήσεις ἀνθρώπινες, λαμβάνουμε ὅμως γνώση αὐτῶν «ὡς ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι» μόνο διὰ τῶν ἁγίων Γραφῶν καὶ τῶν ἑρμηνειῶν ποὺ μᾶς ἄφησαν οἱ ἅγιοι.

Ὡστόσο πρέπει νὰ σημειώσομε, ὅτι ὁ λόγος τοῦ Κυρίλλου εἶναι φορτισμένος μὲ ὑπέρμετρη διαλεκτικὴ καὶ πλατυασμούς, ἐνῶ ἡ ἔκθεση τῶν ἐπιχειρημάτων καὶ τῶν θέσεών του εἶναι ἀμελής, ἔτσι ὥστε νὰ χάνει τὴ χάρη του, καὶ ἡ παρακολούθηση τῶν συλλογισμῶν του σὲ ὁρισμένα σημεῖα νὰ εἶναι δυσκολονόητη καὶ κουραστική. Σ' αὐτὸ συμβάλλει καὶ τὸ γεγονὸς ὅτι χρησιμοποιεῖ μακρότατες περιόδους, μέσα στὶς ὁποῖες ἡ δαψιλὴς χρήση ἀπαρεμφατικῆς σύνταξης κάνει νὰ μπλέκονται τὰ ὑποκείμενα μὲ τὰ ἀντικείμενα. Τὸ γεγονὸς λοιπὸν αὐτό, σὲ συνδυασμὸ καὶ μὲ τὴν ἀττικὴ σύνταξη τῶν οὐδετέρων, καθὼς καὶ ἡ πολὺ συχνὴ χρησιμοποίηση πολλῶν ἐγκλιτικῶν ταυτοχρόνως (που; τε, τοι, γε, νυν, ποθεν, κλπ) τὰ ὁποῖα προσδίδουν βέβαια στὸν λόγο ζωντάνια καὶ πλαστικότητα, ἀλλὰ καὶ μπερδεύουν σὲ πολλὰ σημεῖα τὸν ἀναγνώστη.

Τὸ ἔργο αὐτὸ πρέπει νὰ γράφτηκε τὸ ἀργότερο τὸ 425 μ.Χ καὶ διαιρεῖται, ὅπως εἴπαμε, σὲ ἑπτὰ λόγους (διαλόγους), στοὺς ὁποίους διαπραγματεύεται τὰ ἑξῆς ἐπιμέρους θέματα.

---

3. Ἑορταστικὴ Ἐπιστολὴ 2, 2. (PG 77, 429).

Λόγος Α΄ Ὅτι ὁ Υἱὸς εἶναι συναΐδιος καὶ ὁμοούσιος πρὸς τὸν Θεὸ καί Πατέρα.

Λόγος Β΄. Ὅτι ὁ Υἱὸς γεννήθηκε ἀπὸ τὸν Πατέρα κατὰ φύση.

Λόγος Γ΄. Ὅτι ὁ Υἱὸς εἶναι Θεὸς ἀληθινός, ὅπως καὶ ὁ Πατέρας.

Λόγος Δ΄. Ὅτι ὁ Υἱὸς δὲν εἶναι κτίσμα, οὔτε δημιούργημα.

Λόγος Ε΄. Ὅτι τὰ ἰδιώματα καὶ ἡ δόξα τοῦ Θεοῦ ὑπάρχουν καὶ στὸν Υἱὸ κατὰ φύση, ὅπως καὶ στὸν Πατέρα.

Λόγος ς΄. Ὅτι τὰ ἰδιώματα τῆς ἀνθρώπινης φύσεως, καὶ ὅσα λέγονται γιὰ τὸν Υἱὸ ποὺ δὲν ταιριάζουν στὸν Θεό, ἀναφέρονται μᾶλλον στὴν περίοδο τῆς ἐνσάρκου οἰκονομίας του, καὶ ὄχι στὴ φύση τοῦ Λόγου, ἀφοῦ νοεῖται καὶ εἶναι Θεός.

Λόγος Ζ΄. Γιὰ τὸ ἅγιο Πνεῦμα, ὅτι εἶναι Θεὸς κατὰ φύση καί προέρχεται ἀπὸ τὸν Θεό.

Μὲ τὸ ἔργο του αὐτὸ *Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος*, ποὺ γράφτηκε σέ πολὺ μικρὸ χρονικὸ διάστημα ἀπὸ τὸν «Θησαυρό», ποὺ ἀναφερόταν στὸ ἴδιο θέμα, ὁ πολυγραφότατος ἱεράρχης τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας θέλησε προφανῶς νὰ παρουσιάσει τὸ καυτὸ γιὰ τὴν ἐποχὴ ἐκείνη, ἀλλὰ καὶ πάντοτε, θέμα τῆς Ἁγίας Τριάδος, κατὰ τρόπο διαλογικό, ὥστε νὰ γίνει πιὸ ζωντανό, ἐλαφρὸ καὶ εὔληπτο γιὰ τὸ εὐρύτερο κοινὸ καὶ νὰ πείσει τοὺς καλοπροαίρετους Χριστιανοὺς γιὰ τὴν σύμφωνη πρὸς τὴν ἁγία Γραφὴ καὶ τοὺς Πατέρες τῆς Ἐκκλησίας πίστη τῆς ὀρθοδόξου Ἐκκλησίας.

Τὸ κείμενο παρατίθεται ὡς ἔχει στὴν ἔκδοση τοῦ Migne (P.G. 75, 657-1124), μὲ μερικὲς διορθώσεις ποὺ ἀφοροῦσαν κυρίως τυπογραφικὰ ἀβλεπτήματα ἢ παραλλαγὲς ποὺ ἐναρμονίζονταν πρὸς τὴν ὅλη συνάφεια τοῦ κειμένου.

ΠΑΝΑΓΙΩΤΗΣ ΠΑΠΑΕΥΑΓΓΕΛΟΥ

*ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ*

# *ΚΥΡΙΛΛΟΥ*

*ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ*

# *ΠΕΡΙ ΑΓΙΑΣ ΤΕ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ*

## *ΠΡΟΛΟΓΟΣ ΤΗΣ ΠΑΡΟΥΣΗΣ ΒΙΒΛΟΥ*

*Δυσέφικτα μὲν κομιδῇ τὰ περὶ Θεοῦ καὶ τοῖς ἄγαν ἐξησκημένως καὶ ἀρτίως ἔχουσιν εἰς τὸ δύνασθαι καταθρεῖν μυστήρια, καὶ τὰ παντὸς ἐπέκεινα νοῦ καὶ γοῦν «ἐν ἐσόπτρῳ καὶ αἰνίγματι» βλέπειν, κατὰ τὸν σοφώτατον Παῦλον. Παχὺς δὲ δὴ λίαν ὁ ἀνθρώπινος λόγος καὶ τῇ τῶν ἐννοιῶν ἰσχνότητι συμπαρομαρτεῖν οὐχ οἷός τε. Τοιγάρτοι πολὺ τὸ δέος φάναι τὰ περὶ Θεοῦ, καὶ σοφὸν μὲν λίαν τὸ ἔν γε τούτοις ἑλέσθαι σιγᾶν· πλὴν οὔ τί που τοῖς διδάσκειν ἐπιτεταγμένοις ἀζήμιον. Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος ἔφη Παῦλος· «Οὐαὶ γάρ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι». Ἀφῖγμαι δὴ οὖν ἐπὶ τὴν τοῦδε τοῦ προκειμένου βιβλίου συγγραφήν, καὶ σοὶ πάλιν, ὦ φιλομαθέστατε ἀδελφὲ Νεμεσῖνε, τὸν περὶ τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος ἐκπεπόνηκα λόγον. Κατὰ γένος δὲ ὥσπερ, ἤτοι κατ᾽ εἶδος, τὰς ἐφ᾽ ἑκάστῳ τῶν ζητουμένων συνενεγκόντες ἐννοίας, ἐν ἑπτὰ λογιδίοις τὸ σύμπαν τοῦ βιβλίου συντεθείκαμεν σῶμα· φιλολογωτάτῳ δὲ ὄντι λίαν καὶ φιλοπευστοῦντι τὰ τοιάδε συχνῶς τῷ ἐπιεικεστάτῳ Ἑρμείᾳ προσπεφωνήκαμεν. Καὶ ἔστι μὲν ἀνειμένος ὁ λόγος, ὡς πρὸς πεῦσιν δὲ καὶ ἀπόκρισιν*

---

1. Α΄ Κορ. 9, 16.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

# ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΟΜΟΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ

## ΠΡΟΛΟΓΟΣ ΤΗΣ ΠΑΡΟΥΣΗΣ ΒΙΒΛΟΥ

Εἶναι πολὺ δύσκολα τὰ σχετικὰ μὲ τὸν Θεὸ καὶ γιὰ ἐκείνους ποὺ εἶναι πολὺ ἐξασκημένοι καὶ ἔχουν μεγάλη ἱκανότητα στὸ νὰ μποροῦν νὰ ἐρευνοῦν τὰ μυστήρια, καὶ σύμφωνα μὲ τὸν σοφότατο Παῦλο νὰ βλέπουν σὰν μέσα ἀπὸ καθρέπτη καὶ αἰνιγματικὰ ἐκεῖνα ποὺ βρίσκονται πέρα ἀπὸ κάθε νοῦ. Εἶναι πολὺ παχὺς ὁ ἀνθρώπινος λόγος καὶ δὲν μπορεῖ μὲ τὶς ἰσχνότατες ἔννοιές του νὰ παρακολουθήσει αὐτά. Εἶναι λοιπὸν πολὺ μεγάλος ὁ φόβος νὰ μιλήσει κανεὶς γιὰ τὰ σχετικὰ μὲ τὸν Θεό, καὶ εἶναι πολὺ σοφὸ τὸ νὰ προτιμήσει τὴ σιωπὴ ὡς πρὸς αὐτά· πλὴν ὅμως δὲν εἶναι χωρὶς ζημία γιὰ ἐκείνους ποὺ ἔχουν λάβει τὴν ἐντολὴ νὰ διδάσκουν. Αὐτὸ ἀκριβῶς γνωρίζοντας ὁ θεσπέσιος Παῦλος εἶπε· «Ἀλλοίμονό μου ἐὰν δὲν κηρύττω τὸ Εὐαγγέλιο»[1]. Ἔτσι λοιπὸν προχώρησα στὴ συγγραφὴ τοῦ βιβλίου αὐτοῦ, καὶ ἐξεπόνησα πάλι πρὸς χάρη σου, φιλομαθέστατε ἀδελφὲ Νεμεσῖνε, τὸν λόγο περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. Ἀφοῦ συνέλεξα κατὰ γένος κατὰ κάποιο τρόπο, ἤτοι κατ᾿ εἶδος, τὶς ἔννοιες γιὰ καθένα ἀπὸ τὰ ἐξεταζόμενα θέματα, συνέθεσα ὁλόκληρο τὸ σῶμα τοῦ βιβλίου σὲ ἑπτὰ μικροὺς λόγους καὶ τὸ προσφώνησα στὸν πραγματικὰ πολὺ φιλολογότατο καὶ ποὺ ἀγαπᾶ νὰ ὑποβάλλει συχνὰ ἐρωτήματα γιὰ τὰ θέματα αὐτά, στὸν ἀγαθότατο Ἑρμεία. Ὁ λόγος εἶναι συνταγμένος κατὰ ἐρώτηση καὶ ἀπόκριση

*διὰ δυοῖν προσώποιν ἔρχεται· καὶ τοῦ μὲν πρώτου τὸ Α προτέτακται στοιχεῖον, τοῦ δὲ δευτέρου τὸ Β. Ἐπειδὴ γὰρ πολλή τις ἄγαν ἐν τοῖς ζητουμένοις ἐστὶν ἡ λεπτότης, ἵνα ταῖς ἐρωτήσεσι καὶ ταῖς ἀποκρίσεσιν ἀεὶ τὸ βασανιζόμενον κατασκευάζηταί τε καὶ ἀνασκευάζηται πικρῶς, ἀναγκαία γέγονεν ἡ τῶν προσώπων εἰσκομιδή. Παραφυλακτέον οὖν ἀκριβῶς τὰ προτεταγμένα αὐτῶν στοιχεῖα. Ἀσύγχυτον γὰρ οὕτω καὶ ἐν τάξει τῇ παναρίστῃ κειμένην τηρήσομεν τὴν τῶν ἐννοιῶν εὕρεσιν, καὶ τὴν τοῦ παντὸς βιβλίου σύνταξίν τε καὶ δύναμιν. Ἐρρῶσθαί σε ἐν Κυρίῳ εὔχομαι, ἀγαπητέ.*

## *ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗΔΕ ΤΗ ΒΙΒΛΩ*

*α. Ὅτι συναΐδιός τε καὶ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ ὁ Υἱός.*

*β. Ὅτι καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν γεννητὸς ὁ Υἱός.*

*γ. Ὅτι Θεὸς ἀληθινὸς ὁ Υἱὸς καθὰ καὶ ὁ Πατήρ.*

*δ. Ὅτι οὐ κτίσμα ὁ Υἱὸς οὐδὲ ποίημα.*

*ε. Ὅτι τὰ τῆς θεότητος ἴδια καὶ ἡ δόξα φυσικῶς ἐν τῷ Υἱῷ καθὰ καὶ ἐν τῷ Πατρί.*

*ς. Ὅτι τὰ τῆς ἀνθρωπότητος ἴδια καὶ τὰ μὴ σφόδρα θεοπρεπῶς εἰρημένα περὶ τοῦ Υἱοῦ πρέποι ἂν μᾶλλον τῇ μετὰ σαρκὸς οἰκονομίᾳ, καὶ οὐκ αὐτῇ τῇ φύσει τοῦ Λόγου καθ' ὃ νοεῖται καὶ ἔστι Θεός.*

*ζ. Περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι καὶ Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν.*

καὶ γίνεται μὲ τὸ διάλογο δύο προσώπων· τοῦ πρώτου προσώπου προτάσσεται τὸ στοιχεῖο Α, ἐνῶ τοῦ δευτέρου τὸ Β. Ἐπειδὴ δηλαδὴ εἶνα πολὺ μεγάλη ἡ λεπτότητα στὰ ἐξεταζόμενα θέματα, ὥστε νὰ κατασκευάζεται καὶ νὰ ἀνασκευάζεται μὲ τὶς ἐρωτήσεις καὶ τὶς ἀπαντήσεις μὲ τρόπο πικρόχολο τὸ ἐξεταζόμενο θέμα, ὑπῆρξε ἀναγκαία ἡ εἰσαγωγὴ τῶν προσώπων. Πρέπει λοιπὸν νὰ τηροῦνται μὲ ἀκρίβεια τὰ στοιχεῖα ποὺ τίθενται πρὶν ἀπὸ αὐτά. Γιατὶ ἔτσι θὰ τηρήσομε ἀσύγχυτη καὶ σὲ τάξη πανάριστη τὴν ἀνεύρεση τῶν ἐννοιῶν καὶ τὴ σύνταξη καὶ δύναμη ὁλοκλήρου τοῦ βιβλίου. Εὔχομαι, ἀγαπητέ, νὰ ὑγιαίνεις μὲ τὴ χάρη τοῦ Κυρίου.

## Σ' ΑΥΤΟ ΤΟ ΒΙΒΛΙΟ ΥΠΑΡΧΟΥΝ ΤΑ ΕΞΗΣ ΘΕΜΑΤΑ

α. Ὅτι εἶναι συναιώνιος καὶ ὁμοούσιος ὁ Υἱὸς μὲ τὸν Θεὸ Πατέρα.

β. Ὅτι καὶ συναιώνιος εἶναι ὁ Υἱὸς μὲ τὸν Θεὸ καὶ Πατέρα, καὶ εἶναι κατὰ φύση γεννητὸς ἀπὸ αὐτόν.

γ. Ὅτι ὁ Υἱὸς εἶναι Θεὸς ἀληθινὸς ὅπως καὶ ὁ Πατέρας.

δ. Ὅτι δὲν εἶναι κτίσμα ὁ Υἱὸς οὔτε δημιούργημα.

ε. Ὅτι τὰ ἰδιαίτερα γνωρίσματα τῆς θεότητος καὶ ἡ δόξα ὑπάρχουν κατὰ τρόπο φυσικὸ καὶ στὸν Υἱὸ ὅπως καὶ στὸν Πατέρα.

ς. Ὅτι τὰ ἰδιαίτερα γνωρίσματα τῆς ἀνθρωπότητας καὶ ὅσα δὲν ἔχουν λεχθεῖ μὲ ὑπερβολικὰ θεοπρεπῆ τρόπο γιὰ τὸν Υἱὸ ταιριάζουν μᾶλλον στὸ μυστήριο τῆς κατὰ σάρκα οἰκονομίας, καὶ ὄχι στὴ φύση τοῦ Λόγου, ὁ ὁποῖος νοεῖται καὶ εἶναι Θεός.

ζ. Περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι καὶ Θεὸς εἶναι καὶ προέρχεται ἀπὸ τὸν Θεὸ κατὰ φύση.

## *ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ*

# *ΚΥΡΙΛΛΟΥ*

## *ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ*

# *ΠΡΟΣ ΕΡΜΕΙΑΝ ΠΡΕΣΒΥΤΕΡΟΝ*

## *ΚΑΤΑ ΠΕΥΣΙΝ ΚΑΙ ΑΠΟΚΡΙΣΙΝ*

## *(ΔΙΑ)ΛΟΓΟΣ ΠΡΩΤΟΣ*

### **Ὅτι ὁμοούσιος καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ ὁ Υἱός.**

*Α. Τὸν ἱερὸν ἡμῖν Ἑρμείαν χθές τε καὶ τρίτην ἰδεῖν μὲν οὐκ ἦν, μήτε ἀγορᾶζειν, οἶμαί που, μήτε μὴν ἐξοίχεσθαι δοκοῦν, ἀλλ' οἴκοι μὲν δὴ κατεσόβει τὸ χεῖμα· πεπρᾶχθαι γὰρ ὧδε καὶ μάλα εἰκός Λαμπρὰ δὲ νῦν μόλις ἔδειξεν εὐδία.*

*Β. Λέγεις ἀληθῆ. Γῆράς τε γὰρ ἀεὶ δυσπέμφελον, καὶ ἐς τὸ ἔξω ἰέναι δυσοκνότατα ἔχον, ἦν μάλιστα ὕοι.*

*Α. Εὔχαρι δὴ οὖν καὶ εὐθυεπὲς τό, εἴπερ τις ἕλοιτο, τοῖς ἐν τῇ ἁλί σε παρεικάζειν ἰχθῦσιν, οἳ πνεύματος μὲν ἀπηνοῦς καὶ δυσηχεστάτου διακυκῶντος τὸ ῥόθιον καὶ ῥοιζηδὸν καταθρώσκοντος, χηραμούς τε τοὺς ἐν βυθῷ καθ' ἕνα τε καὶ ἀγεληδὸν εἰσχέονται, καὶ ὥσπερ τινᾶ δρυμὸν ἢ λόχμην τὴν εὐανθῆ πόαν εἰσδύνοντες, ἐκμηχανῶνται τὸ ὠφελοῦν· ἐπειδὰν δὲ τοῖς ὕδασι τὸ τῆς ἡλίου βολῆς ἐπινήχηται σέλας, ὅλην τε αὖ ἤδη καταθρήσειαν οἱονεὶ γελῶσαν τὴν θάλασσαν, ἀναθαρροῦσί τε καὶ ἀνανήχονται, καὶ ἐπ'*

ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΕΡΑ ΜΑΣ

# ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

# ΠΡΟΣ ΕΡΜΕΙΑΝ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

## ΔΙΑΛΟΓΟΙ ΜΕ ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ

## (ΔΙΑ)ΛΟΓΟΣ Α΄.

### Ὅτι ὁ Υἱὸς εἶναι ὁμοούσιος καὶ συναιώνιος μὲ τὸν Θεὸ καὶ Πατέρα.

Α. Τὸν σεβαστό μας Ἑρμεία χθὲς καὶ προχθὲς δὲν μπόρεσα νὰ τὸν δῶ, οὔτε νομίζω ὅτι περνᾶ τὸν καιρό του κάπου στὴν ἀγορά, οὔτε βέβαια φαίνεται νὰ ἔφυγε, ἀλλὰ μᾶλλον ὁ χειμώνας τὸν ἀνάγκασε νὰ μείνει στὸ σπίτι· καὶ στὴν περίπτωση αὐτὴ ἔκανε πολὺ καλά, γιατὶ μόλις τώρα φάνηκε καλοκαιρία.

Β. Πολὺ σωστά· γιατὶ τὰ γηρατειὰ εἶναι πάντοτε δυσάρεστα καὶ δυσκολεύεται κανεὶς νὰ βγεῖ ἔξω, ὅταν μάλιστα βρέχει.

Α. Θὰ μποροῦσε βέβαια κανείς, ἂν φυσικὰ ἤθελε, νὰ παρομοιάσει τοὺς γέροντες μὲ τὰ ψάρια μέσα στὴ θάλασσα, τὰ ὁποῖα, ὅταν ἰσχυρὸς καὶ θορυβώδης ἄνεμος ἀναταράσσει τὸ κῦμα καὶ τὸ κάνει νὰ πέφτει ὁρμητικό, τότε χώνονται τὸ καθένα χωριστὰ ἢ ὅλα μαζὶ στὶς κρύπτες τοῦ βυθοῦ, καὶ εἰσχωρώντας σὰν σὲ κάποιο δάσος ἢ σὲ ἀνθισμένη θαμνώδη περιοχή, βρίσκουν αὐτὸ ποὺ τὰ ὠφελεῖ. Ὅταν πάλι τὸ φῶς τῆς ἀκτινοβολίας τοῦ ἡλίου ἐπιπλέει πάνω στὰ νερά, καὶ ὅλη ἡ θάλασσα χοροπηδάει πάλι κατὰ κάποιο τρόπο γελώντας, τότε ἀνα-

ἄκρων σκαίρουσι κυμάτων, δεῖμά τε ὁμοῦ καὶ ὄκνον ἀποπεμψάμενοι.

Β. Ὡς εὖ ἴσθι τοι μὴ ἑτέρως τό γε ἐμόν, ὦ τᾶν, ἢ οὕτως ἔχειν.

Α. Ὄχλου δὲ δὴ καὶ πραγμάτων εἶ τέως ἀπωτάτω, καὶ ἐνηρεμεῖ σοι κατὰ τὴν ἑστίαν ὁ νοῦς, καθάπερ ἐγῷμαι.

Β. Καὶ τί τὸ ἐντεῦθεν;

Α. Πλείστη τις ὅση καὶ ἁγιοπρεπὴς ἡ ὄνησις. Ἦ οὐχὶ δή τι τῶν ἀγαθῶν καὶ ταῖς ἠρεμίαις δώσομεν;

Β. Μάλιστά γε.

Α. Τὸ γάρ τοι παρὰ Θεοῦ διὰ τῆς τοῦ Ψάλλοντος ᾀδόμενον λύρας ἀληθῆ που πάντως τὸν ἐπὶ τούτῳ λόγον ἀποφανεῖ.

Β. Τὸ ποῖον δὴ φής;

Α. «Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός». Ὄψις μὲν γὰρ ἡ σωματική, κόνεώς τε καὶ καπνοῦ καὶ ἑτέρου παντὸς τοῦ καταθολοῦν ἰσχύοντος ἐλευθέρα, λεπτὴν καὶ ἀπαρεμπόδιστον ἐνίησι τὴν ἐνέργειαν τοῖς ὑποπίπτειν εἰωθόσιν αὐτῇ. Εἰ δὲ δή πού τι κατασίνοιτο τῶν παθῶν, μεῖον μὲν ἢ χρὴ τοῖς ὁρωμένοις προσβαλεῖ, ἁφαμαρτήσει δὲ ὅτι καὶ αὐτῆς τῆς ἀκριβείας ἔσθ' ὅτε τὸ ἀπεικὸς οὐδέν. Νοῦς γε μὴν ὁ ἀνθρώπινος, εἰ μὲν ἠρεμαῖός τις εἴη καὶ καθεστηκὼς καὶ φαντασίας ἑώλου καὶ βδελυρᾶς ἀποφοιτᾶν εἰθισμένος, ὀξύ τε καὶ διειδὲς ἐμβλέψεται, καὶ ἀπλανῆ τῶν ὄντων εἰσδέξεται γνῶσιν. Εἴ γε μὴν ὑπό του καταπαχύνοιτο τῶν παθῶν, οὔτ' ἂν αὐτό ποτε τὸ θεῖον διόψεται κάλλος, ἐνιζήσει δὲ ὥσπερ τοῖς γεωδεστέροις, καθάπερ τὰ τῶν στρουθίων διάβροχα τὴν εἰς τὸ ἄνω πτῆσιν τῷ δεδέσθαι παρῃρημένα.

Β. Εὖ λέγεις.

Α. Ἆρ' οὖν, ὦ Ἑρμεία, σχολαῖος οἴκοι διατελῶν, ταυτησὶ τῆς θείας ἀπομεμνῆσθαι φωνῆς ὅτι προσῆκεν ἡγῇ; Καὶ σοι καθὰ χθὲς καὶ πρώην βίβλοι μὲν μετὰ χεῖράς εἰσιν ἱεραί, φιλομαθεστάτη δέ τις ἐντρέφεται προθυμία τῷ νῷ, καθάπερ τινὰ τῶν εὐρινοτάτων παραθήγουσα κυνῶν, εἰς φιλοθηρίαν ὧν ἂν δέῃ σε μαθεῖν; Ἢ τά-

1. Ψαλμ. 45, 11.

πηδοῦν καὶ ἐπιπλέουν, καὶ τρέχουν στὶς ἄκρες τῶν κυμάτων, ἀποβάλλοντας τὸν φόβο καὶ τὸν δισταγμό.

Β. Γνώριζε πολὺ καλά, φίλε, ὅτι καὶ ἐγὼ τέτοιος εἶμαι καὶ ὄχι διαφορετικός.

Α. Ἔχει δηλαδή, νομίζω, ἀπομακρυνθεῖ ὁ νοῦς σου τελευταῖα ἀπὸ τὸ πλῆθος καὶ τὰ δημόσια πράγματα καὶ ἠρεμεῖ στὸ σπίτι.

Β. Καὶ ποιὰ εἶναι ἡ ὠφέλεια ἀπὸ αὐτό;

Α. Πολὺ μεγάλη καὶ ἀντάξια γιὰ ἁγίους ἡ ὠφέλεια. Ἢ μήπως δὲν πρέπει ν' ἀναγνωρίσουμε κάτι ἀπὸ τὰ ἀγαθὰ στὶς ἠρεμίες;

Β. Καὶ πολὺ μάλιστα.

Α. Αὐτὸ λοιπὸν ποὺ ψάλλεται ἀπὸ τὸν Θεὸ μὲ τὴ λύρα τοῦ Ψαλμωδοῦ, θὰ ἀποδείξει ὁπωσδήποτε ἀληθινὸ τὸν λόγο γιὰ τὸ θέμα αὐτό.

Β. Ποιὸ ἐννοεῖς;

Α. «Ἐλευθερωθεῖτε ἀπὸ κάθε περισπασμὸ καὶ μάθετε, ὅτι ἐγὼ εἶμαι ὁ Θεός»[1]. Γιατὶ ὅταν τὰ σωματικὰ μάτια ἐλευθερώνονται ἀπὸ τὴ σκόνη καὶ τὸν καπνὸ καὶ ἀπὸ κάθετι ἄλλο ποὺ μπορεῖ νὰ τὰ θολώσει, παρουσιάζουν λεπτὴ καὶ ἀνεμπόδιστη τὴν ἐνέργεια αὐτῶν ποὺ συνήθως ὑποπίπτουν σ' αὐτά. Καὶ ἐὰν δηλαδὴ τὰ βλάψει κάποιο πάθος, προσβάλλει λιγότερο ἀπὸ ὅσο πρέπει αὐτὰ ποὺ βλέπουν, γιατὶ μερικὲς φορὲς δὲν χάνουν τὴν ἀκρίβεια τῆς εἰκόνας. Ὁ ἀνθρώπινος νοῦς λοιπόν, ὅταν εἶναι ἤρεμος καὶ κυρίαρχος καὶ συνηθισμένος νὰ ἀποφεύγει κάθε ἀηδῆ καὶ σιχαμερὴ ὄψη, βλέπει διαπεραστικὰ καὶ μὲ διαύγεια, καὶ δέχεται μέσα του ἀπλανῆ τὴ γνώση τῶν ὄντων, ὅταν ὅμως γίνεται νωθρὸς ἀπὸ κάποιο πάθος, δὲν μπορεῖ οὔτε καὶ αὐτὸ τὸ θεϊκὸ κάλλος νὰ δεῖ ποτέ, καὶ μένει προσκολλημένος στὰ γήινα, ὅπως ἀκριβῶς τὰ βρεγμένα σπουργίτια, ποὺ ἀδυνατοῦν νὰ πετάξουν πρὸς τὰ ἐπάνω, ἐπειδὴ ἐμποδίζονται ἀπὸ τὸ βάρος τοῦ νεροῦ.

Β. Μιλᾶς σωστά.

Α. Ἄρα λοιπόν, Ἑρμεία, μένοντας ἀργὸς στὸ σπίτι, νομίζεις ὅτι ἔπρεπε νὰ θυμᾶσαι αὐτὰ τὰ θεϊκὰ λόγια; Καὶ σύ, ὅπως χθὲς καὶ προηγουμένως, ἔχεις στὰ χέρια σου ἱερὰ βιβλία, καὶ μέσα στὸν νοῦ σου καλλιεργεῖται μεγάλη προθυμία γιὰ μάθηση, ἡ ὁποία, ὅπως σὲ κάποια σκυλιὰ ποὺ ἔχουν ὀξεῖα ὄσφρηση, σὲ παρακινεῖ στὸ κυνήγι αὐτῶν ποὺ πρέπει νὰ μάθεις. Ἢ μήπως θίγουμε τὶς αἰτίες τῆς ἀπρο-

*χα που καὶ τῆς ἐπὶ τούτοις ἀφιλεργίας ἀνάψομεν τὰς αἰτίας, ἀφηβηκότι τῷ χρόνῳ τῆς τοῦ σώματος ἡλικίας, ἢ γοῦν ἕτερόν τι καὶ οὐκ ἀληθὲς ἐρεῖς; Κατακερτομοίην δ' ἂν ὡς ἥδιστά σοι, τοιόνδε τι λέγων ὡς φιλοψευδές τι χρῆμα καὶ τὰ ἐφ' οἷς ἂν βούλοιτό ποτε καὶ λέγοι πιστὸς ἑτοιμότατα δέχεσθαι ζητοῦν, ἄνθρωπος γέρων.*

*Β. Πολλὰ μὲν ἂν ἔχοιμι τῆς τοῦ σώματος ἀρρωστίας κατηγορεῖν· ἐπ' αὐτὰς γὰρ ἥκομεν τὰς τοῦ βίου δυσμάς· τὸ δ' οὖν ἀναγκαῖον ἐρῶ, παρεὶς τὰ τοιαῦτα νυνί. Χρηστομαθὴς γὰρ ἀεί πως ὁ νοῦς μὲν ἐμοί, γλίχεται δὲ οὐδενός πω τάχα πλὴν τοῦδέ τε καὶ μόνου· ἀλλ' ὥσπερ τινὰ πῶλον εὐγενῆ τε καὶ δρομικώτατον, καίτοι ποδῶν ἀρετὴν ἀναφαίνειν ἐθέλοντα, τὰ μὴ σφόδρα τῶν πεδίων ἐψιλωμένα καὶ οὐχ ἑκόντα παραβιάζεται διακεκομμένην ὥσπερ καὶ οὐκ εἰς ἅπαν τεθαυμασμένην τῆς ἐνούσης εὐσθενείας αὐτῷ ποιεῖσθαι τὴν ἔνδειξιν, κατὰ τὸν ἴσον, οἶμαι, τουτονὶ τρόπον, καὶ αὐτὸν ἐμὲ θερμῇ τινι καὶ ἀσχέτῳ προθυμίᾳ κατισχημένον εἰς τὸ δεῖν ἑλέσθαι πολυπραγμονεῖν τὰ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ, δυσέμβατά τε καὶ ἀστιβῆ κατάγχει χωρία, οὐχ ἁπλῆν, ὡς ἄν τις εἰκάσαι, καὶ εὐκατάδρομον ἔχοντα τὴν προσβολήν, οὔτε μὴν τοῖς ἐθέλουσιν ἐκκειμένην ἑλεῖν. Ταύτῃ τοι κατασοβεῖ μὲν εἰς ὄκνον ἔσθ' ὅτε τὸν νοῦν οἱονεί πως ἡ δυσχωρία· καταπέφρικα δὲ τῶν ἄλλων ἁπάντων, ὅτι μάλιστά γε τὸν περὶ πίστεως λόγον, καίτοι κεφάλαιον ὄντα τῆς ἐν ἡμῖν ἐλπίδος.*

*Α. Ναὶ δὴ οὖν, φαίην γὰρ ἂν ἀληθῆ λέγοντί σοι. Πλὴν ὅτι τὸ κατακτήσασθαί τι τῶν ἄνωθέν τε καὶ θεοσδότων ἀγαθῶν, οὐκ ἄν, οἶμαι, τὶς ἀνιδρωτὶ πορίσαιτο, παντί που σαφές. Τὰ γάρ τοι λίαν ὑπερφυᾶ καὶ ἀνῳκισμένην ἔχοντα τὴν δόξαν οὐχὶ τοῖς ἐθέλουσιν εὔστιβῆ, ἀλλ' ἑλεῖν μὲν οὐ ῥάδια, δυσεισποίητα δὲ καὶ ἀνάντη· καὶ τί γὰρ οὐχὶ λαχόντα τῶν εἰς δυσχέρειάν τε καὶ πόνον;*

*Β. Εἶτα τί δρῷεν ἂν οἷς ἔνεστι μὲν ἔφεσίς τε καὶ προθυμία τῶν ἀρίστων τουτωνὶ καὶ παγκάλων εὑρημάτων, τό γε μὴν ἐφικέσθαι δυσαλωτότατον;*

*Α. Τί δὲ ἕτερον οἴει χρῆναι δρᾶν αὐτοὺς ἢ τοῖς τῶν ἁγίων κα-*

θυμίας γι' αὐτά, ἀφοῦ ἔχεις ἤδη μὲ τὸν χρόνο περάσει τὴν ἀκμὴ τῆς ἡλικίας σου, ἢ θὰ πεῖς κάτι ἄλλο ποὺ δὲν εἶναι ἀληθές; Θὰ μποροῦσα εὐχαρίστως νὰ ἀστειευθῶ μαζί σου λέγοντας κάτι τέτοιο, ὅτι δηλαδὴ ὁ γέρος ἄνθρωπος εἶναι κάτι ποὺ ἀγαπᾶ τὸ ψέμα, καὶ αὐτὰ ποὺ κάποτε θέλει καὶ λέγει, εἶναι ἕτοιμος νὰ τὰ δεχθεῖ.

Β. Θὰ μποροῦσα βέβαια νὰ ἀποδώσω πολλὰ στὴν ἀρρώστια τοῦ σώματος· γιατὶ φτάσαμε πιὰ στὴ δύση τῆς ζωῆς. Θὰ πῶ ὅμως μόνο αὐτὸ ποὺ εἶναι ἀναγκαῖο, ἀφήνοντας πρὸς τὸ παρὸν τὰ ἄλλα. Γιατὶ ὁ νοῦς μου πάντοτε ἤθελε νὰ μαθαίνει κατὰ κάποιο τρόπο πράγματα ὠφέλιμα, καὶ δὲν ἐπιθυμοῦσε τίποτε ἄλλο γρήγορα, ἐκτὸς ἀπὸ αὐτὸ καὶ μόνο· ὅμως, ὅπως ἕνα πουλάρι εὐγενικῆς ράτσας καὶ γρήγορο στὸ τρέξιμο, ποὺ γιὰ νὰ κάνει ἐπίδειξη τῆς ταχύτητας τῶν ποδιῶν του, διασχίζει καὶ χωρὶς νὰ τὸ θέλουν τὰ ἐδάφη ποὺ δὲν εἶναι τελείως ἀπογυμνωμένα, ἀνακόπτοντας ἔτσι τὴν ἐπίδειξη τῆς σθεναρότητας ποὺ ὑπάρχει σ' αὐτό, κατὰ τὸν ἴδιο, νομίζω, τρόπο καὶ ἐγὼ ὁ ἴδιος, ἐνῶ διακατέχομαι ἀπὸ μιὰ θερμὴ καὶ ἀσυγκράτητη ἐπιθυμία, στὸ νὰ προτιμήσω νὰ περιεργάζομαι αὐτὰ ποὺ ὑπάρχουν στὴ θεόπνευστη Γραφή, μὲ γεμίζουν ἄγχος τὰ δύσβατα καὶ ἀπάτητα χωρία, τὰ ὁποῖα δὲν εἶναι εὔκολα, ὅπως θὰ μποροῦσε νὰ ὑποθέσει κάποιος, νὰ τὰ προσεγγίσει, οὔτε εἶναι ἀποψιλωμένα σ' ἐκείνους ποὺ θέλουν νὰ τὰ κατανοήσουν. Αὐτὴ δηλαδὴ ἡ δυσκολία τῶν χωρίων ἀποθαρρύνει πολλὲς φορὲς τὸν νοῦ μου, καὶ τρέμω περισσότερο ἀπὸ ὅλα τὰ ἄλλα τὸν λόγο γιὰ τὴν πίστη, ἂν καὶ ἀποτελεῖ θεμέλιο τῆς ἐλπίδας μας.

Α. Καὶ βέβαια ναί, καὶ θὰ μποροῦσα νὰ πῶ ὅτι λὲς τὴν ἀλήθεια. Ὅμως εἶναι σ' ὅλους φανερό, ὅτι τὸ νὰ κατακτήσει κανεὶς κάποιο ἀπὸ τὰ οὐράνια καὶ θεόσδοτα ἀγαθά, δὲν νομίζω ὅτι θὰ μποροῦσε νὰ τὸ ἐπιτύχει χωρὶς ἱδρώτα. Γιατὶ τὰ ὑπερφυσικὰ καὶ ἐκεῖνα ποὺ τὸ μεγαλεῖο τους βρίσκεται στὸν οὐρανό, δὲν προσεγγίζονται εὔκολα ἀπὸ ἐκείνους ποὺ τὰ θέλουν, ἀλλὰ κατακτῶνται δύσκολα καὶ εἶναι δυσκολοκατόρθωτα καὶ ἀνηφορικά, γιατὶ εἶναι γεμᾶτα ἀπὸ δυσκολία καὶ κόπο.

Β. Τότε τί θὰ μποροῦσαν νὰ κάνουν αὐτοὶ ποὺ ἔχουν βέβαια πόθο καὶ προθυμία γι' αὐτὰ τὰ ἄριστα καὶ ὡραιότατα ἀποκτήματα, ἀφοῦ εἶναι δυσκολότατη ἡ ἀπόκτησή τους;

Α. Τί ἄλλο νομίζεις ὅτι πρέπει νὰ κάνουν αὐτοί, παρὰ νὰ πει-

*ταπείθεσθαι λόγοις, ἐπικεκραγότων εὖ μάλα τό, «Εἴ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ»; Φωτὶ γάρ που πάντως τῷ θείῳ καὶ νοητῷ καταφωτίζεται τὰ φωτὸς ἐπιδεᾶ, καὶ μὴν καὶ Σοφία τελεῖται σοφὰ τὰ συνέσεώς τε καὶ σοφίας τητώμενα. Φῶς δ' ἂν νοοῖτο καὶ σοφία Χριστός, «ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως αὐτοῦ». Ἐξείλετο γὰρ ἡμᾶς ὁ Θεὸς καὶ Πατήρ, ὥς γοῦν ὁ θεσπέσιος ἔφη Παῦλος, «ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τῆς ἀγάπης τοῦ Υἱοῦ αὐτοῦ», ἐν τῷ φωτί. Καὶ μὴν καὶ ἡμέρας Διαυγασμὸν ἀπεκάλεσέ τις τῶν ἁγίων αὐτόν, καὶ Φωσφόρον ἐπὶ τούτῳ. Φησὶ γὰρ ὅτι «Ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ Φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν», ἡμέρας, οἶμαι, διαυγασμὸν καὶ φωσφόρον ἀνίσχοντα, τὸν ἐν Πνεύματι διὰ Χριστοῦ φωτισμὸν ὀνομάζων.*

*Β. Ἀλλ' ὅτι μὲν φῶς ὁ Χριστός, καὶ μὴν καὶ ἡμέρα καὶ αὐγὴ καὶ φωσφόρος τῶν ἅπαξ τελούντων εἰς τοὺς διὰ πίστεως κεκλημένους οὐκ ἐνδοιάσαι τις ἄν. Εἰ δὲ δή σου δεηθείημεν, παραδείξαις ἂν ἡμῖν εὐσυνοπτότατα τὸν ἀπροσκλινῆ τε καὶ ἀμώμως ἔχοντα τῆς πίστεως λόγον, ἢ καταρνήσῃ τὸ φάναι, καὶ τὸν ἐμοὶ συνήθη καὶ πρέποντα καὶ ἀεί πως τῷ γέρᾳ προσπεφυκότα τιμήσεις ὄκνον; Μυρία γὰρ ὅσα τὰ παρὰ πολλῶν θρυλούμενα, οἳ τὸν ὀρθὸν τῆς ἀληθείας ἐκκολακεύοντες, λόγον παρατρέπουσι ποικίλως ἐπὶ τὸ σφίσι δοκοῦν, καὶ σφηκῶν ἀγρίων διιπτάμενοι δίκην, πόλεις τε ὁμοῦ καὶ χώρας καταβομβοῦσι δεινῶς, «τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες, καὶ οὐκ ἀπὸ στόματος Κυρίου», κατὰ τὸ γεγραμμένον.*

*Α. Ὡς ἄγαμαί σε τῆς ἀσυγκρίτου φιλοθεΐας, ὦ τᾶν, καί σου δέομαι μὴ καταλῆξαι πώποτε τῆς οὕτως ὀρθῆς καὶ ἀξιεπαινετωτάτου γνώμης. Πλήν, ὦ ἑταῖρε, παρὰ σοὶ μετέχειν καὶ λίαν ἀμογητὶ καὶ ἀμφιλαφῶς ὧν ἐρᾷς, καὶ οὔ τί πού φημι τὸν νοητὸν ἐκβασανίσαι λόγον, ὡς δή τι τῶν πρὸ ἡμῶν ἄμεινον ἐρεῖν καὶ ἐκδιδάσκειν ὑπισχνούμενος. Ἅλις γάρ, ἅλις αἱ τῶν ἁγίων Πατέρων εἰς τοῦτο συγγραφαί, αἷς εἴπερ τις ἕλοιτο νουνεχῶς ὁμιλεῖν καὶ ἐγρηγορότως προσφέρεσθαι, φωτὸς ἂν τοῦ θείου τὸν οἰκεῖον εὐθὺς ἀναμεστώσειε νοῦν. Ἦσαν γὰρ οὐκ αὐτοὶ «λαλοῦντες», κατὰ*

θαρχοῦν στὰ λόγια τῶν ἁγίων οἱ ὁποῖοι διακηρύττουν μεγαλόφωνα τό, «Ἐὰν κάποιος ἀπὸ σᾶς ὑστερεῖ σὲ σοφία, ἂς ζητήσει ἀπὸ τὸν Θεό, ὁ ὁποῖος δίνει σὲ ὅλους ἀδιακρίτως χωρὶς νὰ προσβάλει, καὶ θὰ τοῦ δοθεῖ»[2]; Γιατὶ αὐτὰ ποὺ ἔχουν ἀνάγκη ἀπὸ φῶς φωτίζονται ὁπωσδήποτε μὲ τὸ θεῖο καὶ νοητὸ φῶς, καὶ ἡ Σοφία κάνει σοφὰ αὐτὰ ποὺ ὑστεροῦν σὲ σύνεση καὶ σοφία. Καθόσον ὁ Χριστὸς νοεῖται ὡς φῶς καὶ σοφία, «ὁ ὁποῖος ἔλαμψε μέσα στὶς καρδιές μας, γιὰ νὰ φωτίσει τὴ γνώση τοῦ Θεοῦ»[3]. Γιατὶ ὁ Θεὸς καὶ Πατέρας μᾶς λύτρωσε, ὅπως λέγει ὁ θεσπέσιος Παῦλος, «ἀπὸ τὴν ἐξουσία τοῦ σκότους καὶ μᾶς μετέφερε στὴ βασιλεία τῆς ἀγάπης τοῦ Υἱοῦ του»[4], δηλαδὴ στὸ φῶς. Ἀλλὰ καὶ Ἀνατολὴ ἡμέρας τὸν ὀνόμασε κάποιος ἀπὸ τοὺς ἁγίους καὶ Φωσφόρο γιὰ τὸν σκοπὸ αὐτόν. Γιατὶ λέγει· «Μέχρι νὰ γλυκοχαράξει ἡ ἡμέρα καὶ νὰ ἀνατείλει ὁ αὐγερινὸς στὶς καρδιὲς σας»[5], ὀνομάζοντας ἀνατολὴ τῆς ἡμέρας καὶ αὐγερινὸ ποὺ ἀνεβαίνει ψηλά, νομίζω, τὸν φωτισμὸ τοῦ Πνεύματος διὰ τοῦ Χριστοῦ.

Β. Ἀλλ' ὅτι ὁ Χριστὸς εἶναι φῶς, ἀκόμα καὶ ἡ ἴδια ἡ ἡμέρα, καὶ φωσφόρος γενικὰ αὐτῶν ποὺ εἶναι καλεσμένοι διὰ τῆς πίστεως, δὲν θὰ μποροῦσε νὰ τὸ ἀμφισβητήσει κανένας. Ἐὰν ὅμως σὲ κάποιο σημεῖο ὑστεροῦμε, θὰ μποροῦσες νὰ μᾶς ἐκθέσεις πάρα πολὺ συνοπτικὰ τὸν ἀμετακίνητο καὶ ἄμεμπτο λόγο τῆς πίστεως, ἢ θ' ἀρνηθεῖς νὰ μᾶς τὸν φανερώσεις καὶ θὰ ἐπιτιμήσεις τὴ συνηθισμένη σὲ μένα ὀκνηρία; Γιατὶ διαδίδονται μύρια ὅσα ἀπὸ πολλούς, οἱ ὁποῖοι, διαστρέφοντας τὸν ὀρθὸ λόγο τῆς ἀλήθειας, τὸν στρέφουν σ' αὐτὸ ποὺ αὐτοὶ νομίζουν σωστό, καὶ πετώντας σὰν ἄγριες σφῆκες, καταθορυβοῦν πόλεις καὶ χῶρες κατὰ τρόπο φρικτό, μιλώντας ἀπὸ τὴν καρδιά τους καὶ ὄχι ἀπὸ τὸ στόμα τοῦ Κυρίου, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ[6].

Α. Θαυμάζω πολὺ τὴν ἀσύγκριτη ἀγάπη σου στὸν Θεό, φίλε, καὶ σὲ παρακαλῶ νὰ μὴ σταματήσεις ποτὲ αὐτὴ τὴν τόσο σωστὴ καὶ πάρα πολὺ ἀξιέπαινη διάθεση. Ὅμως, φίλε, ἐσὺ ἀσχολεῖσαι καὶ μάλιστα πολὺ ἀκούραστα καὶ σὲ μεγάλο βαθμὸ μὲ αὐτὰ ποὺ σφόδρα ἐπιθυμεῖς, καὶ δὲν ἐννοῶ φυσικὰ ὅτι βασάνισες πάρα πολὺ τὸν νοητὸ λόγο, ἀφοῦ δέχεσαι ὁπωσδήποτε, ὅτι οἱ πρὶν ἀπὸ μᾶς ἔχουν πεῖ καὶ δίδαξαν κάτι πολὺ καλύτερο. Γιατὶ τὰ συγγράμματα τῶν ἁγίων Πατέρων γιὰ τὸν σκοπὸ αὐτόν, ἐὰν βέβαια κάποιος προτιμήσει νὰ μαθη-

2. Ἰακ. 1, 5. 3. Β΄ Κορ. 4, 6. 4. Κολ. 1, 13. 5. Β΄ Πέτρ. 1, 19. 6. Ἰερ. 23, 16.

*τὴν τοῦ Σωτῆρος φωνήν, «ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρὸς τὸ λαλοῦν ἐν αὐτοῖς». «Πᾶσα δὲ Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος». Ἦ γάρ;*

*Β. Ναί, καὶ τοῦτο ἀληθές· ἀλλ᾽ εἰ κατοκνήσεις αὐτὸς καὶ συνεργάσῃ μὲν τὸ παράπαν οὐδέν, κατεγκλείσας δὲ ὥσπερ ὀδόντων εἴσω τὴν γλῶτταν, ἀπρακτεῖν ἀναπείσεις, τὸ διαρκῶς τε καὶ ἀποχρώντως περὶ τῶν τοιούτων ἡμῖν τοὺς Πατέρας εἰπεῖν, ὡς δυσανάτρεπτόν τε καὶ δυσκαταγώνιστον σκῆψιν, τοῖς τῶν τοιούτων φιλακροάμοσιν ἐπιτειχίζειν ἐπιχειρῶν, οὔτ᾽ ἂν ἐπαινέσαιμι τοῦτο δρᾶν ᾑρημένον, ἐρομένῳ τε εἰπεῖν ἐκεῖνο ἀξιῶ.*

*Α. Τί γὰρ ἄν μου διαπύθοιο; Μὴ γὰρ δὴ κατάθει τοῦ μετρίου φρονήματος, ὦ γενναῖε.*

*Β. Καταθεῖν μὲν οὐ σκοπὸς ἐμοί, πολλοῦ γε καὶ δεῖ, ἀπόκριναι δ᾽ οὖν, καὶ μή με ποικίλως ἀποκόμιζε τῆς θήρας ὧν ἂν χρῄζοιμί σου διαπυνθάνεσθαι.*

*Α. Ἀλλ᾽ ἔρου λοιπόν, εἴ σοι δοκεῖ.*

*Β. Ἆρ᾽ εἴ τῳ τῶν καθ᾽ ἡμᾶς φέρβειν ἐδόκει τὰς κατ᾽ ἀγροὺς οἴς τυχὸν ἢ αἶγας, οὐκ ἂν ᾤου δεῖν καλαύροπός τε καὶ σκυλάκων αὐτῷ, ἵν᾽ ἐξαμύνοιτο μὲν αὐτὸς εἰ δήπου τι τῶν ἀτιθάσσων ἐπιθρώσκοι θηρίων, οἱ δὲ προεκδειματοῦντες ταῖς παρὰ σφῶν ὑλακαῖς, κατακωλύειεν μὲν τῆς ἐφόδου τὸ θράσος, ἀλώβητον δὲ τὴν ἀγέλην τῷ κεκτημένῳ διατηρήσειαν;*

*Α. Ὀρθῶς ἔφης.*

*Β. Εἰ δὲ δὴ καιροῦ διαπνεύσαντος ἐκτεθνάναι τινὰς τῶν σκυλάκων συνέβη, εἶθ᾽ ἑτέρους εἰσέφρησεν ὁ ποιμήν, ἆρ᾽ εἰκαῖον ἐν τοῖς δευτέροις ἡ ὑλακὴ καὶ ἐγρήγορσις, ἐπεί τοι τοῖς πρὸ αὐτῶν τὸ εὐδοκιμεῖν ἐν τούτοις ἐδόκει;*

*Α. Καὶ πῶς εἰκαῖον τὸ ὠφελοῦν νοοῖτ᾽ ἂν ἢ λέγοιτο;*

*Β. Εἶτα σιωπήσεις ἀνεγκλήτως αὐτός, μόνοις ἡμᾶς τοῖς τῶν Πατέρων συγγράμμασιν ἐφιστάς, τό γε μὴν ἐν ἴσοις ἰέναι θέλειν φιλοθεωτάτοις σπουδάσμασι χρῆμα περιττὸν εἶναι λέγων, καίτοι τῶν ἀγρίων αἱρετικῶν ἀθυρώτῳ τε καὶ ἀπυλώτῳ στόματι τὰς τῶν ἁπλουστέρων δαπανώντων ψυχάς;*

---

7. Β´ Τιμ. 3, 16.

τεύσει μὲ σύνεση καὶ ἄγρυπνα σ' αὐτά, μποροῦν νὰ τοῦ γεμίσουν τὸν νοῦ μὲ τὸ θεϊκὸ φῶς. Γιατὶ δὲν μιλοῦσαν οἱ ἴδιοι οἱ πατέρες σ' αὐτά, ἀφοῦ «κάθε Γραφὴ εἶναι θεόπνευστη καὶ ὠφέλιμη»[7]. Ἢ δὲν εἶναι;

Β. Ναί, καὶ αὐτὸ εἶναι ἀληθινό· ὅμως ἐὰν ἀποφύγεις ὁ ἴδιος καὶ δὲν μὲ βοηθήσεις καθόλου, κλείνοντας κατὰ κάποιο τρόπο τὴ γλώσσα σου μέσα στὰ δόντια, θὰ μὲ κάνεις νὰ πιστέψω, ὅτι, ἐπιχειρώντας νὰ προφυλάξεις αὐτοὺς ποὺ θέλουν νὰ ἀκούσουν γιὰ τὰ θέματα αὐτά, μένεις ἀδρανής, μὲ τὸ ἀτράνταχτο ἐπιχείρημα, ὅτι οἱ Πατέρες μᾶς ἔχουν μιλήσει πολλὲς φορὲς καὶ κατὰ τρόπο ἐπαρκῆ γι' αὐτά· οὔτε καὶ μπορῶ νὰ σὲ ἐπαινέσω γιὰ τὸ ὅτι προτιμᾶς νὰ τὸ κάνεις αὐτό, καὶ ἀξιώνω νὰ μοῦ πεῖς γι' αὐτὸ ποὺ ἐρωτῶ.

Α. Τί θὰ ἐπιθυμοῦσες λοιπὸν νὰ μὲ ρωτήσεις; Μὴν ἐπιτεθεῖς ὅμως, γενναῖε, ἐναντίον τῆς μετριότητάς μου.

Β. Δὲν ἔχω βέβαια σκοπὸ νὰ ἐπιτεθῶ, ἀντίθετα ἀπέχω πολὺ ἀπὸ κάτι τέτοιο. Ἀποκρίσου ὅμως σ' αὐτὰ ποὺ ἔχω ἀνάγκη νὰ σὲ ρωτήσω, καὶ μὴ μὲ παγιδεύσεις ἔντεχνα.

Α. Ρώτησε λοιπόν, ἂν νομίζεις, ὅ,τι πρέπει.

Β. Ἄραγε, ἐὰν κάποιος ἀπὸ τοὺς δικούς μας ἔβοσκε στοὺς ἀγροὺς ὁ,τιδήποτε ζῶς ἢ γίδες, δὲν νομίζεις ὅτι θὰ τοῦ χρειαζόταν καὶ ποιμενικὸ ραβδὶ καὶ σκυλιά, ὥστε καὶ αὐτὸς νὰ ἀμυνθεῖ, ἐὰν ἐνδεχομένως τοῦ ἐπιτεθεῖ κάποιο ἀπὸ τὰ ἄγρια θηρία, καὶ τὰ σκυλιὰ τρομάζοντάς τα μὲ τὰ γαυγίσματά τους, νὰ ἐμποδίζουν τὴ θρασύτητα τῆς ἐπιθέσεως καὶ νὰ φυλάγουν τὸ κοπάδι σῶο;

Α. Πολὺ σωστὰ μίλησες.

Β. Καὶ ὅταν μὲ τὸ πέρασμα τοῦ χρόνου συμβεῖ νὰ πεθάνουν μερικὰ ἀπὸ τὰ σκυλιά, καὶ ὁ βοσκὸς φέρει ἄλλα, ἄραγε τὸ γαύγισμα καὶ ἡ ἐπαγρύπνηση τῶν σκυλιῶν αὐτῶν εἶναι ἄσκοπα, ἐπειδὴ τὰ πρὶν ἀπὸ αὐτὰ ἔχουν καλὴ φήμη σ' αὐτά;

Α. Καὶ πῶς μπορεῖ νὰ θεωρηθεῖ ἢ νὰ λέγεται ἄσκοπο αὐτὸ ποὺ ὠφελεῖ;

Β. Τότε ἐσὺ θὰ σιωπήσεις χωρὶς ἐνοχή, παραπέμποντάς μας μόνους στὰ συγγράμματα τῶν Πατέρων, ἐμᾶς ποὺ θέλουμε πραγματικὰ ἐξίσου νὰ προσεγγίσουμε τὶς θεοσεβεῖς μελέτες τους, λέγοντας ὅτι εἶναι περιττὸ πρᾶγμα, ἂν καὶ τὸ ἀπύλωτο στόμα τῶν ἀγρίων αἱρετικῶν κατασπαράσσουν τὶς ψυχὲς τῶν εὐκολόπιστων;

*Α. Οὐκοῦν, ἐπεί με δριμὺς εἰσέδυ πόθος (παρατέθηγμαι γὰρ οὐ μετρίως καὶ παρωρμήθην ἱκανῶς εἰς τὸ ἐθελῆσαι πονεῖν τοῖς σοῖς, ὦ οὗτος, ῥήμασι), φέρε δή, φέρε, παροισθέντων εἰς μέσον τῶν ἀκριβῶς καὶ ἐξητασμένως διωρισμένων ἐν τῇ ἁγίᾳ τε καὶ πανευφήμῳ συνόδῳ, τῇ συνειλεγμένῃ κατὰ καιροὺς ἐν πόλει τῇ Νικαέων, καταθρήσωμεν, εἰ δοκεῖ, τί τοῖς ἑλομένοις ἑτεροδοξεῖν οὐκ ἀδιαβλήτως ἔχειν δοκεῖ. Τὴν γὰρ ἄριστά τε καὶ μετὰ Θεοῦ διωρισμένην τε καὶ ἐκτεθεῖσαν πίστιν παρὰ τῆς ἁγίας καὶ μεγάλης ἐκείνης συνόδου κρηπῖδα καὶ ὑποβάθραν ἀκατάσειστόν τε καὶ ἐρηρεισμένην τῶν ἡμετέρων ψυχῶν εἴ γέ τῳ φάναι σκοπός, δοκιμώτατα μὲν ἐρεῖ, καὶ ἐπαίνων τεύξεται τῶν παρὰ Χριστῷ, πιστότατος δὲ καὶ ἀληθινὸς ἀναλάμψει προσκυνητής. Ἐπ' αὐτῆς δὲ ἡμῖν ἀναγεγράφθω λέξεως τὸ θεῖον καὶ ἱερώτατον τῆς ἁγίας ἐκείνης συνόδου χρησμῴδημα, τουτέστι τὸ ἀπεξεσμένον καὶ τετορευμένον ταῖς εἰς πᾶν ὁτιοῦν ἀληθὲς ἐννοίαις τῆς πίστεως Σύμβολον, ὡς ἂν τοῖς ἐθέλουσι φιλοψογεῖν τῆς καθ' ἡμῶν γλωσσαλγίας μηδεὶς τὸ παράπαν εἰσδεχθείη λόγος, ὡς ὀθνείοις τισὶν ἐπιπηδώντων δόγμασι καὶ παρέντων μὲν ἰέναι τὴν βασιλικὴν <ὁδόν>, ἐπὶ θάτερα δὲ παρεκτετραμμένων, κατὰ τὸ μόνῳ καὶ ἰδίᾳ δοκοῦν. Τουτὶ γὰρ δὴ καὶ αὐτὸς ἐγὼ λογισαίμην ἂν οὐκ εὐμεταχείριστον ἀληθῶς ἀρρώστημα νοῦ. «Σοφία γὰρ ἀνεξέλεγκτος πλανᾶται», κατὰ τὸ γεγραμμένον. Ἔχει δὲ οὕτως ἡμῖν ἡ τῆς πίστεως ἔκθεσις·*

*Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν.*

*Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς Μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς.*

---

8. Πρόκειται γιὰ τὴν Α' Οἰκουμενικὴ σύνοδο ποὺ συνῆλθε τὸ 325 μ. Χ στὴ Νίκαια τῆς Βιθυνίας καὶ συνέταξε τὰ ἑπτὰ πρῶτα ἄρθρα τοῦ Συμβόλου τῆς πίστεως.

9. Παροιμ. 10, 17.

Α. Λοιπόν, ἐπειδὴ μὲ κατέλαβε ἔντονος πόθος, γιατὶ παρακινήθηκα πάρα πολὺ καὶ παρορμήθηκα ἀρκετά, φίλε μου, μὲ τὰ λόγια σου νὰ κοπιάσω, ἐμπρὸς λοιπόν, ἐμπρός, ἀφοῦ ἐκτεθοῦν αὐτὰ ποὺ μὲ ἀκρίβεια καὶ πολλὴ διερεύνηση ὁρίσθηκαν στὴν ἁγία καὶ πανεύφημη σύνοδο, ποὺ συνῆλθε στὸν κατάλληλο χρόνο στὴν πόλη τῆς Νίκαιας[8], ἂς ἐξετάσουμε, ἂν θέλεις, μὲ προσοχὴ ποιὸ εἶναι αὐτὸ ποὺ δὲν φαίνεται ὅτι εἶναι ἀδιάβλητο γιὰ ἐκείνους ποὺ προτιμοῦν νὰ πιστεύουν διαφορετικά. Γιατί, ὅποιος λέγει, ὅτι ἡ πίστη, ποὺ κατὰ τρόπο ἄριστο καὶ κατὰ Θεὸν ὁρίσθηκε καὶ ἐκτέθηκε ἀπὸ τὴν ἁγία καὶ μεγάλη ἐκείνη σύνοδο, εἶναι θεμέλιο καὶ ὑπόβαθρο ἀδιάσειστο, ποὺ στηρίζει τὶς ψυχές μας, αὐτὸς μιλάει σωστὰ καὶ θὰ ἐπαινεθεῖ ἀπὸ τὸν Χριστό, καὶ εἶναι πιστότατος καὶ ἀληθινὸς προσκυνητής. Καθόσον γιὰ χάρη μας συντάχθηκε κατὰ λέξη ἀπὸ τὴν ἁγία ἐκείνη σύνοδο τὸ θεϊκὸ καὶ ἱερώτατο προφητικὸ ᾆσμα, δηλαδὴ τὸ ἀπέριττο καὶ περίτεχνο μὲ τὶς καθόλα ἀληθινὲς ἔννοιες σύμβολο τῆς πίστεως, ὥστε ἐκεῖνοι ποὺ θέλουν νὰ κακολογοῦν τὴν ἀκατάσχετη φλυαρία μας, νὰ μὴ βρίσκουν καμμιὰ ἀπολύτως δικαιολογία, ἐπειδὴ ὁρισμένοι μεταπηδοῦν σὲ ξένα δόγματα, ἀποφεύγοντας νὰ βαδίσουν τὴ βασιλικὴ ὁδό, καὶ στρέφονται σὲ ἄλλα, σύμφωνα μὲ τὴ μόνη καὶ δική τους γνώμη. Αὐτὸ βέβαια κι' ἐγὼ ὁ ἴδιος δὲν θὰ τὸ θεωροῦσα ἀληθινὰ ἀρρώστια τοῦ νοῦ ποὺ εὔκολα μπορεῖ νὰ ἀντιμετωπισθεῖ. Γιατί, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Ἡ ἀνεξέλεγκτη σοφία ὁδηγεῖ σὲ πλάνες»[9]. Ἡ ἔκθεση τῆς πίστεώς μας ἔχει ὡς ἑξῆς·

Πιστεύουμε σὲ ἕνα Θεόν, Πατέρα παντοδύναμο, δημιουργὸ ὅλων τῶν ὁρατῶν καὶ τῶν ἀοράτων.

Καὶ σὲ ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸ τοῦ Θεοῦ, ὁ ὁποῖος γεννήθηκε ἀπὸ τὸν Πατέρα Μονογενής, δηλαδὴ ἀπὸ τὴν οὐσία του, εἶναι Θεὸς ποὺ προῆλθε ἀπὸ Θεό, φῶς ποὺ προῆλθε ἀπὸ φῶς, Θεὸς ἀληθινὸς ποὺ προῆλθε ἀπὸ Θεὸ ἀληθινό· ὁ ὁποῖος γεννήθηκε καὶ δὲν δημιουργήθηκε, εἶναι ὁμοούσιος μὲ τὸν Πατέρα, καὶ ὅλα δημιουργήθηκαν δι' αὐτοῦ, καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια· ὁ ὁποῖος γιὰ μᾶς τοὺς ἀνθρώπους καὶ γιὰ τὴ δική μας σωτηρία κατέβηκε ἀπὸ τοὺς οὐρανοὺς καὶ ἔλαβε σάρκα καὶ ἔγινε ἄνθρωπος, ποὺ ἔπαθε καὶ θάφτηκε καὶ ἀναστήθηκε τὴν τρίτη ἡμέρα καὶ ἀνέβηκε στοὺς οὐρανούς,καὶ θὰ ἔρθει νὰ κρίνει ζωντανοὺς καὶ νεκρούς.

*Καὶ εἰς τὸ ἅγιον Πνεῦμα.*

*Τοὺς δὲ λέγοντας, "Ἦν ποτε ὅτε οὐκ ἦν", ἤ, "Οὐκ ἦν πρὶν γεννηθῇ", ἤ, "Ἐξ οὐκ ὄντων ἐγένετο", ἢ "ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας" φάσκοντας εἶναι, ἢ κτιστόν, ἢ τρεπτόν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τοὺς τοιούτους ἀναθεματίζει ἡ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία.*

*Β. Βαβαὶ τῆς ἀκράτου νήψεως καὶ εἰς λῆξιν ἠκούσης τὴν ἀνωτάτω. Βοανεργές, τουτέστιν υἱὸς βροντῆς, ἕκαστος, οἶμαί που, διακεκλήσεται τῶν ταῦτα τεθεσπικότων. Ἐξαίσιον γάρ τι καὶ ὑπερφυὲς ἐφθέγξαντο.*

*Α. Ἄριστα δὴ οὖν μοι διεσκέφθαι τε οὕτω καὶ δρᾶσαι δοκῶ. Τὸ γάρ τοι μὴ δεῖν ἕτερα ἄττα παρὰ ταῦτα φρονεῖν, ἤγουν ἐπὶ γλώττης ἔχειν, ἕπεσθαι δὲ μᾶλλον κρίσει τε καὶ λόγοις τοῖς διὰ τοῦ Πνεύματος εὑρημένοις τιμησαίμην ἄν, εὖ ἴσθι τοι, τοῦ παντὸς λόγου.*

*Β. Ὀρθῶς ἔφης· ἀλλ' οὐκ ἂν ἀναπείσαις ταῦτά σοι φρονεῖν ἑλέσθαι τοὺς διεναντίας. Μόσχοι γάρ ὥσπερ ἀτιμαγέλαι καὶ ἀγέρωχοί τινες, ἵενται μὲν εὐτόνως ἐπὶ τὸ σφίσιν αὐτοῖς δοκοῦν, τὴν ἀρίστην δὲ ὥσπερ καὶ παγκάλην ἀληθῶς παρεκθέοντες νομὴν ἐπ' ἀκάνθας σπεύδουσι καὶ τριβόλους, ἀσυνέτων τινῶν ψευδοδιδασκάλων καταφερβόμενοι λόγοις, οἷς τάχα που καὶ ὁ τῆς Σοφίας αὐτῆς ἐπεδάκρυσε λόγος. Ἔφη γάρ· «Ὦ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους, οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ, ὧν αἱ τρίβοι σκολιαὶ καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν».*

*Α. Εὖ λέγεις. Πρέποι δ' ἂν καὶ μάλα κατοιμώζειν αὐτοὺς ὁμοῦ τῷ προφήτῃ λέγοντας Ἱερεμίᾳ· «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτός;». Ὁ γάρ, παρὸν ἑλέσθαι τῆς ἀληθείας τὴν γνῶσιν, ἀσυνέτως ἐκνενευκὼς εἰς ἀπάτην καὶ παραφθορὰν καὶ εἰς βεβήλους ψευδοδοξίας, πῶς οὐκ ἂν εἴη λοιπὸν καταθρηνεῖσθαι πρέπων; «Καὶ ἐξ ἡμῶν μὲν ἐξῆλθον», ὥς γέ τις τῶν ἁγίων τοῦ Σωτῆρος ἐπέστειλε μαθητῶν, «πλὴν οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν». Κατὰ τί*

---

10. Παροιμ. 2,13-15 10α. Ἰερ. 9,1.

(Πιστεύουμε ἐπίσης) καὶ στὸ ἅγιο Πνεῦμα.

Ἐκείνους ὅμως ποὺ λένε, Ὑπῆρχε κάποτε ἐποχὴ κατὰ τὴν ὁποία δὲν ὑπῆρχε, ἢ δὲν ὑπῆρχε προτοῦ νὰ γεννηθεῖ, ἢ δημιουργήθηκε ἀπὸ τὸ μηδέν, ἢ ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ προέρχεται ἀπὸ ἄλλη ὑπόσταση ἢ οὐσία ἢ εἶναι κτιστὸς ἢ μεταβλητὸς ἢ ἀλλοιωτός, αὐτοὺς ἡ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία τοὺς ἀναθεματίζει.

Β. Πόσο ἀλήθεια ἀνόθευτη νηφαλιότητα, ἡ ὁποία φτάνει στὴ πιὸ ψηλὴ κορυφή της! Νομίζω ὅτι ὁ καθένας ἀπὸ αὐτοὺς ποὺ τὸ θέσπισαν πρέπει νὰ ὀνομάζεται βοανεργές, δηλαδὴ υἱὸς τῆς βροντῆς· γιατὶ διετύπωσαν κάτι τὸ θαυμάσιο καὶ ἐξαίρετο.

Α. Νομίζω πραγματικὰ ὅτι σκέφθηκαν καὶ ἐνέργησαν ἄριστα. Γιατί, τὸ ὅτι δὲν πρέπει νὰ φρονοῦμε διαφορετικὰ ἀπὸ αὐτά, δηλαδὴ τὸ νὰ τὰ ἔχουμε πρόχειρα καὶ νὰ ἀκολουθοῦμε μὲ κρίση καὶ μὲ λόγια αὐτὰ ποὺ διατυπώθηκαν διὰ τοῦ Πνεύματος, θὰ τὸ προτιμοῦσα, γνώριζε καλά, περισσότερο ἀπὸ κάθε λόγο.

Β. Μίλησες σωστά· ὅμως δὲν θὰ μὲ πείσεις ὅτι τὸ ἴδιο πιστεύουν καὶ οἱ ἀντίθετοι. Γιατὶ αὐτοί, σὰν κάποιοι ἀγέρωχοι ταῦροι ποὺ ἀποφεύγουν τὴν ἀγέλη, σπεύδουν βέβαια μὲ ὁρμὴ σ' αὐτὸ ποὺ νομίζουν σωστό, ἀλλὰ τρέχοντας μακριὰ ἀπὸ τὴν ἄριστη καὶ πραγματικὰ ὡραιότατη τροφή, πηγαίνουν στὰ ἀγκάθια καὶ στὰ τριβόλια, καταβροχθίζοντας τὰ λόγια κάποιων ἀπερίσκεπτων ψευδοδιδασκάλων, γιὰ τοὺς ὁποίους ἀκόμα καὶ αὐτὸς ὁ Λόγος τῆς σοφίας δάκρυσε. Γιατὶ λέγει· «Ἀλλοίμονο σ' αὐτοὺς ποὺ ἐγκαταλείπουν τοὺς ἴσιους δρόμους γιὰ νὰ πορευθοῦν στοὺς δρόμους τοῦ σκοταδιοῦ, σ' αὐτοὺς ποὺ εὐχαριστιοῦνται μὲ τὰ κακὰ καὶ χαίρονται γιὰ τὴν κακὴ διαστροφή τους, τῶν ὁποίων ἡ δρόμοι εἶναι διεστραμμένοι καὶ οἱ πορεῖες τους δόλιες»[10].

Α. Μιλᾶς σωστά. Θὰ ἔπρεπε, καὶ πάρα πολὺ μάλιστα, νὰ τοὺς θρηνήσουμε μαζὶ μὲ τὸν προφήτη Ἰερεμία λέγοντας· «Ποιὸς θὰ χύσει στὸ κεφάλι μου νερὸ καὶ στὰ μάτια μου πηγὴ δακρύων, γιὰ νὰ κλάψω τὸν λαὸ αὐτὸν μέρα καὶ νύχτα;»[10α]. Γιατὶ αὐτὸς πού, ἀντὶ νὰ προτιμήσει τὴν ἀλήθεια καὶ τὴ γνώση, ἀσύνετα παρεξέκλινε στὴν ἀπάτη καὶ τὴν παραφθορὰ καὶ στὶς ἀνόσιες ψευδοδιδασκαλίες, πῶς δὲν πρέπει νὰ τὸν κλάψουμε; «Ἔφυγαν ἀπὸ μᾶς», ὅπως γράφει κάποιος ἀπὸ τοὺς μαθητὲς τοῦ Σωτήρα, «ἀλλὰ δὲν ἦταν ἀπὸ μᾶς· γιατί, ἂν

*δὲ ἄρα καὶ ἐπιτιμᾶν ἐγνώκασι τῇ οὕτως ὀρθῇ καὶ ἀκριβεστάτῃ καὶ οὐδαμόθεν ἐχούσῃ τὸ εὐθύνεσθαι πίστει, ἤγουν τῇ τῆς πίστεως ὁμολογίᾳ;*

*Β. Ναί, φασίν. Ἐπιτιμήσομεν γὰρ εἰκότως τῇ τοῦ ὁμοουσίου λέξει, καινοφωνουμένην τε καὶ ἄγραφον εἶναι διαβεβαιούμενοι, τουτέστι ταῖς θεοπνεύστοις οὐκ ἐγκειμένην Γραφαῖς.*

*Α. Ἀνοητότατά γε ταυτὶ φαῖεν ἄν, ὦ ἑταῖρε. Λυπεῖ γὰρ ἡ λέξις τὸ σύμπαν οὐδὲν ἔνθαπερ ἂν ὅλως ἀληθὲς ὑπάρχῃ τὸ ἐξ αὐτῆς δηλούμενον. Ἦ γὰρ οὐχὶ δοίης ἂν εἶναι καὶ αὐτὸς ἀληθὲς ὅ φημι;*

*Β. Καὶ μάλα.*

*Α. Σκόπει δὴ οὖν, εἰ μὴ καὶ ἑτέρας τῇ τοῦ Θεοῦ φύσει τοιαυτασί πως φωνὰς ἐφαρμόττειν ἔσθ' ὅτε κατειθίσμεθα, καίτοι τοῖς ἱεροῖς τε καὶ θείοις οὐκ ἐγνωσμένας Γράμμασι.*

*Β. Τὰς ποίας δὴ φής;*

*Α. Ἆρα γάρ, εἴ τις ἀσώματόν τε καὶ ἀσχημάτιστον, ἄποσόν τε καὶ ἀμέγεθες ὀνομάσαι τὸ Θεῖον, ἐξοίχοιτο ἂν τοῦ πρέποντος ὁ λόγος αὐτῷ; Εἰ δὲ δὴ καὶ ἀπεριόριστον καὶ ἀβασίλευτον λέγοι, οἰηθείη τις ἂν εἰπεῖν τῶν ἀναγκαίων οὐδέν, καίτοι δοξάζοντα τἀληθῆ;*

*Β. Καὶ μὴν λῆρος ἂν εἴη τοῦτό γε.*

*Α. Τί οὖν ἔδει μᾶλλον αὐτοὺς προχειρότατα κινδυνεύοντας μειρακιωδῶς ἐπιτιμᾶν τῷ ὁμοουσίῳ τὸ ξένον καὶ ἄηθες τῆς οὕτως εὐσημοτάτης καὶ ἐμφιλοσόφου λέξεως καταγράφοντας, καίτοι πράγματος ἀληθοῦς ὄντος τε καὶ ὁμολογουμένου, παρά γε τοῖς τὰ θεῖα σοφῶς ἐξηκριβωκόσι καὶ πεπαιδευμένοις μυστήρια, ὡς ἐξ αὐτῆς ἀναφὺς τῆς οὐσίας ἡμῖν τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, οὐκ ἔκφυλος ἔσται κατὰ τὸ αὐτοῖς εὖ ἔχειν δοκοῦν, οὔτε μὴν ὀθνεῖος τοῦ γεγεννηκότος, ἀλλ' ὁμοούσιός τε αὐτῷ, σύμμορφός τε καὶ ὁμοφυής; Ἀπερυθριάσω γὰρ οὐδαμῶς τὸ ἁπάσῃ κεχρῆσθαι λέξει πρὸς τὴν τοῦ καλῶς τε καὶ ἀληθῶς ἔχοντος τελούσῃ δήλωσιν. Γένους μὲν γὰρ καὶ διαφορᾶς εἰδοποιοῦ παντελῶς τὸ Θεῖον ἀνῴκισται· ἀλλ' εἰ παραιτεῖσθαι μέλλοιμεν τὰ δι' ὧνπερ ἄν τις κἂν γοῦν εἰς βραχεῖαν καλοῖτο γνῶσιν τῆς τὰ πάντα ὑπερκειμένης οὐσίας, ἀπι-*

---

11. Α΄ Ἰω. 2,19.

ἦταν ἀπὸ μᾶς, θὰ εἶχαν μείνει μαζί μας»[11]. Ἀλλὰ σὲ τί θὰ μποροῦσαν νὰ κατηγορήσουν τὴν τόσο ὀρθὴ καὶ ἀκριβέστατη καὶ ἀνεύθυνη πίστη, δηλαδὴ τὴν ὁμολογία τῆς πίστεως;

Β. Ναί, λέγει, θὰ τὴν κατηγορήσουμε δικαιολογημένα γιὰ τὴν λέξη τοῦ ὁμοουσίου, ὑποστηρίζοντας ὅτι εἶναι πρωτοφανὴς καὶ ἄγραφη, δηλαδὴ δὲν ἀναφέρεται στὶς θεόπνευστες Γραφές.

Α. Αὐτά, φίλε, θὰ ἔλεγα εἶναι ἀνοητότατα. Γιατὶ ἡ λέξη δὲν στενοχωρεῖ καθόλου, ἀφοῦ γενικὰ εἶναι ἀληθινὸ αὐτὸ ποὺ σημαίνει. Ἢ μήπως δὲν δέχεσαι ὅτι εἶναι σωστὸ αὐτὸ ποὺ λέγω;

Β. Καὶ πάρα πολύ.

Α. Πρόσεχε λοιπὸν μήπως συνηθίζομε νὰ χρησιμοποιοῦμε κάποτε γιὰ τὴ φύση τοῦ Θεοῦ καὶ ἄλλες παρόμοιες λέξεις, οἱ ὁποῖες ὡστόσο δὲν ὑπάρχουν στὶς ἱερὲς καὶ ἅγιες Γραφές.

Β. Ποιὲς λέξεις ἐννοεῖς;

Α. Ἄραγε, ἐὰν κάποιος ὀνομάσει τὸν Θεὸ ἀσώματον καὶ ἀσχημάτιστον, ἄποσον καὶ ἀμεγέθη, θὰ ξέφευγε ὁ λόγος ἀπὸ αὐτὸ ποὺ ταιριάζει σ' αὐτόν; Καὶ ἐὰν δηλαδὴ τὸν ὀνομάσει ἀπεριόριστον καὶ ἀβασίλευτον, θὰ μποροῦσε κανεὶς νὰ νομίσει ὅτι δὲν εἶπε τίποτε ἀπὸ αὐτὰ ποὺ εἶναι ἀναγκαῖα, ἂν καί πιστεύει αὐτὰ ποὺ εἶναι ἀληθινά;

Β. Αὐτὸ θὰ μποροῦσε νὰ χαρακτηρισθεῖ φλυαρία.

Α. Θὰ ἔπρεπε δηλαδὴ αὐτοὺς ἔτσι πρόχειρα νὰ τολμήσομε ἀνόητα νὰ τοὺς κατακρίνομε καταλογίζοντας στὸ ὁμοούσιο τὴν τόσο σαφῆ καὶ φιλοσοφικὴ λέξη, τὸ ὅτι εἶναι ξένη καὶ ἀσυνήθιστη, μολονότι εἶναι κάτι ἀληθινὸ καὶ ὁμολογεῖται ἀπὸ ἐκείνους ποὺ ἔχουν μὲ σαφήνεια διερευνήσει καὶ μελετήσει τὰ θεῖα μυστήρια, ὅτι ὁ Υἱὸς ποὺ γεννήθηκε ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Θεοῦ Πατέρα, δὲν εἶναι ἄλλου γένους, ὅπως αὐτοὶ νομίζουν, οὔτε ξένος πρὸς ἐκεῖνον ποὺ τὸν γέννησε, ἀλλ' εἶναι ὁμοούσιος μὲ αὐτὸν καὶ σύμμορφος καὶ τῆς αὐτῆς φύσεως; Γιατὶ δὲν θὰ θεωρήσει κατὰ κανένα τρόπο ἀνδιαντροπιὰ τὴ χρησιμοποίηση κάθε λέξεως ποὺ συντελεῖ στὴ δήλωση αὐτοῦ ποὺ εἶναι σωστὸ καὶ ἀληθινό. Γιατὶ ὁ Θεὸς εἶναι τελείως πάνω ἀπὸ γένος καὶ εἰδοποιὸ διαφορά, ἀλλ' ἂν θέλαμε νὰ ἀποφύγουμε αὐτὰ μὲ τὰ ὁποῖα θὰ μποροῦσε κανεὶς νὰ λάβει καὶ ἀμυδρὴ ἔστω γνώση τῆς οὐσίας ποὺ βρίσκεται πάνω ἀπὸ ὅλα, θὰ γινόμασταν ἐξαιτίας αὐτοῦ ἄπιστοι καὶ ἀμαθεῖς, ἀφοῦ δὲν θὰ μαθαίναμε ἀπὸ πουθενὰ ποιὸς

*σιοί τε καὶ ἀμαθεῖς τοὐντεῦθεν ἐσόμεθα, τίς μὲν ὁ φύσει καὶ ἀληθῶς ὑπάρχει Θεὸς οὐδαμόθεν ἐκπαιδευόμενοι, «κλυδωνιζόμενοι δὲ ὥσπερ καὶ περιφερόμενοι παντὶ ἀνέμῳ», κατὰ τὸ γεγραμμένον. Καταδείσαντες δὲ καὶ διωσάμενοι, καὶ τοῦτο εἰσάπαν, τὸ κἂν γοῦν «ἐν ἐσόπτρῳ καὶ αἰνίγματι» βλέπειν καὶ γινώσκειν «ἐκ μέρους», κωφοῖς τε καὶ ἀναισθήτοις ἐν ἴσῳ που πάντες ἐσόμεθα λίθοις,*

*..... ἐτώσιον ἄχθος ἀρούρης,*

*καθάπερ τις ἔφη τῶν παρ' Ἕλλησι ποιητῶν.*

*Β. Ἀλλὰ γάρ, ποῦ, φασίν, ἡ Γραφὴ τὸ ὁμοούσιον λέγει;*

*Α. Ἐπὶ τὸν αὐτὸν ἡμᾶς ὑπονοστῆσαι λόγον ἀναπείθεις, ὦ τᾶν. Ποῦ γὰρ ὠνόμασε τὸν τῶν ὅλων Θεὸν ἀσώματόν τε καὶ ἀσχημάτιστον, καὶ ἀπεριόριστον καὶ ἀβασίλευτον; Ἀλλ' ἔστι ταῦτα τῇ φύσει, καὶ οὐχ ἑκόντων ἐκείνων. Εἴπερ οὖν ἑλοίμεθα φρονεῖν ὀρθῶς, παραιτητέον οὔτι που τὰ εἰς ἐπίγνωσιν τῆς ἀληθείας τελοῦντα τῶν ὀνομάτων. Ἆρα γὰρ οὐκ οἰηθεῖεν ἂν οὐ ψευδοεπῆσαι τὸν Θεὸν τό, «Ἐγώ εἰμι ὁ Ὤν», πρὸς τὸν ἱερὸν εἰ λέγοι Μωσέα; «Τοῦτο γάρ μού ἐστι τὸ ὄνομα», φησί, «καὶ μνημόσυνον αἰώνιον γενεῶν γενεαῖς». Ἀλλ' οἶμαί γε δεῖν μὴ ἂν εἰς τοῦτο κατολισθεῖν ἀποπληξίας αὐτοὺς ὡς μηδὲ ὅτι Ὤν ἐστιν ὁ Θεὸς κατα τολμῆσαι φρονεῖν. Ὢν γάρ ἐστιν ἀληθῶς, ὧδέ τε καλεῖσθαι πρέποι ἂν αὐτῷ τε καὶ μόνῳ κυρίως τε καὶ ἰδικῶς, εἰ καὶ καθ' ἑτέρων διάττοι τυχὸν ὡς ἐν καταχρήσει τοὔνομα. Ἐκ δὲ τουτουῒ καὶ τὸ τῆς οὐσίας ὄνομα τοῖς ἀρχαιοτέροις ἐκπεποιῆσθαί φαμεν, καὶ μάλα εἰκότως, ὥστε, εἰ καί τις ὁμοφυᾶ τε καὶ ὁμοούσιον εἶναι λέγοι τῷ Πατρὶ τὸν Υἱόν, οὐκ ἀσύνηθές τι κεκαινουργηκὼς ὡς ἐν ὀνομάτων θέσει νοοῖτ' ἂν ἡμῖν, ἀλλ' ἵν' οὕτως εἴπωμεν, τὰς πρώτας ἕδρας ἐχούσῃ παρά γε τῇ θεοπνεύστῳ Γραφῇ τῇ τοιᾳδε λέξει χρήσεται. Τὰ γάρ τοι τῶν ὀνομάτων εἰς παραγωγὴν ἠγμένα, οὐκ αὐτά που πάντως ἐφ' ἑαυτοῖς διερήρεισται κατὰ θέσιν ἰδίαν, ῥίζης δὲ ὥσπερ ἐξέφυ τῆς πρώτης καὶ ἐν ἀρχαῖς. Εἰ τοίνυν ἔξω τριβῆς τε καὶ συνηθείας τῆς ἱερᾶς τὸ ὁμοούσιον εἶναι δισχυρίσαιντο, μάλιστα μὲν ἀδικοῦσι τῆς τῶν ὀνομάτων παραγωγῆς τὸν εὐφυᾶ τρόπον. Ἐκ γάρ τοι τοῦ ὄντος οὐσία καὶ ὁμοούσιον. Ἀμαθαίνοντες δὲ οὕτω λίαν, συναναιροῦσιν αὐτῷ*

---

12. Ἐφ. 4, 14. 12α. Α' Κορ. 13, 12. 13. Σοφοκλ. *Ἠλέκτρα* 1116. 13α. Ἐξ. 3, 14.

ἀληθινὰ εἶναι ὡς πρὸς τὴ φύση ὁ Θεός, καὶ σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Θὰ μοιάζαμε μὲ κλυδωνιζόμενους καὶ παρασυρόμενους ἀπὸ κάθε ἄνεμο»[12]. Ἔτσι ἐμποδίζοντας καὶ ἀπωθώντας, καὶ αὐτὸ μιὰ καὶ καλή, ἀκόμα καὶ τὸ νὰ βλέπομε σὰν σὲ καθρέπτη καὶ ἀμυδρὰ[12α], καὶ νὰ ἔχομε μερικὴ γνώση, θὰ γίνομε ὅλοι σὰν τοὺς κωφοὺς καὶ ἀναίσθητους λίθους,

........ ἄχρηστο βάρος τῆς γῆς,

ὅπως εἶπε κάποιος ἀπὸ τοὺς Ἕλληνες ποιητές[13].

Β. Ἀλλ' ὅμως, λένε, ποῦ ἡ Γραφὴ ἀναφέρει τὸ ὁμοούσιο;

Α. Μᾶς ἀναγκάζεις νὰ ἐπανέλθουμε στὰ ἴδια λόγια, φίλε. Ποῦ δηλαδὴ ἡ Γραφὴ ὀνομάζει τὸν Θεὸ τῶν ὅλων ἀσώματον καὶ ἀσχημάτιστον καὶ ἀπεριόριστον καὶ ἀσβασίλευτον; Ὡστόσο εἶναι κατὰ φύση ὅλα αὐτά, καὶ χωρὶς ἐκεῖνοι νὰ τὸ θέλουν. Ἐὰν λοιπὸν θέλουμε νὰ πιστεύουμε σωστά, δὲν πρέπει νὰ ἀποφεύγουμε κανένα ἀπὸ τὰ ὀνόματα ποὺ συμβάλλουν στὴ γνώση τῆς ἀλήθειας. Ἄραγε δὲν πιστεύουν ὅτι ὁ Θεὸς δὲν εἶπε ψέματα, ὅταν ἔλεγε στὸν ἱερὸ Μωυσῆ τό, «Ἐγὼ εἶμαι ὁ Ὢν»[13α]; Γιατὶ λέγει, αὐτὸ εἶναι τὸ ὄνομά μου καὶ θὰ μνημονεύεται αἰώνια ἀπὸ ὅλες τὶς γενεές. Ἀλλὰ νομίζω ὅτι δὲν πρέπει νὰ κατολισθαίνουν σὲ τέτοιο βαθμὸ παραλογισμοῦ, ὥστε νὰ τολμοῦν νὰ πιστεύουν ὅτι ὁ Θεὸς δὲν εἶναι οὔτε Ὤν. Γιατὶ πράγματι εἶναι Ὢν (ὑπάρχων), καὶ μὲ αὐτὸ τὸ ὄνομα θὰ ἔπρεπε νὰ ὀνομάζεται αὐτὸς καὶ μόνο κυριολεκτικὰ καὶ ἀποκλειστικά, ἂν καὶ καταχρηστικὰ ἀποδίδεται καὶ σὲ ἄλλα. Ἀπὸ αὐτὸ μάλιστα λέμε, ὅτι ἀπὸ τοὺς παλιοὺς προῆλθε καὶ ἡ ὀνομασία τῆς οὐσίας, καὶ πολὺ εὔλογα, ὥστε, ἐὰν κάποιος λέγει ὅτι ὁ Υἱὸς εἶναι ὁμοφυὴς (τῆς αὐτῆς φύσεως) καὶ ὁμοούσιος (τῆς αὐτῆς οὐσίας) πρὸς τὸν Πατέρα, νὰ μὴ νομίζουμε ὅτι στὴ θέση τῶν ὀνομάτων τοποθετεῖ κάτι τὸ ἀσυνήθιστο, ἀλλά, γιὰ νὰ τὸ ποῦμε ἔτσι, χρησιμοποιεῖ αὐτὴ τὴ λέξη, ἡ ὁποία ἔχει τὶς πρῶτες ρίζες της στὴ θεόπνευστη Γραφή. Γιατὶ τὰ ὀνόματα ποὺ εἶναι παράγωγα ἄλλων, δὲν στηρίζονται στὸν ἑαυτό τους αὐτοτελῶς, ἀλλὰ φυτρώνουν κατὰ κάποιο τρόπο ἀπὸ κάποια ρίζα καὶ ἔχουν κάποιες ἀρχές. Ἐὰν λοιπὸν ἰσχυρίζονται ὅτι τὸ ὁμοούσιο βρίσκεται ἔξω ἀπὸ τὴν ἱερὴ πρακτικὴ καὶ συνήθεια, ἀδικοῦν πάρα πολὺ τὸν εὐφυῆ τρόπο τῆς παραγωγῆς τῶν ὀνομάτων. Γιατὶ ἀπὸ τὸ ὢν παράγεται ἡ οὐσία καὶ τὸ ὁμοούσιο. Ὄντας λοιπὸν τόσο πολὺ ἀμαθεῖς, καταργοῦν μαζὶ μὲ

*καὶ τὰς ἑτέρας φωνὰς δι᾽ ὧνπερ ἂν ἡμῖν ὑπάρξαι τό, κἂν γοῦν «δι᾽ ἐσόπτρου καὶ αἰνίγματος», καθορᾶν καὶ ἰσχνὰς τῆς θεότητος φαντασίας εἰσδέχεσθαι κατὰ νοῦν.*

*Β. Τί γὰρ εἰ μὴ ὁμοούσιον μὲν τῷ Πατρὶ τὸν Υἱόν, λέγοιεν δὲ μᾶλλον ὡς ἔστιν ὁμοιούσιος;*

*Α. Οὐκ ὀρθῶς ἐροῦσιν, ὦ τᾶν, ἀλλὰ πρῶτον μὲν αὐτοὶ πρὸς ἑαυτοὺς ἑτερογνωμοῦντες ἁλώσονται, κακουργότατα παραιτούμενοι τὴν λέξιν ὡς ἄγραφον. Εἴτε γὰρ ὁμοούσιον τὸν Υἱόν, κἂν εἰ τοῦτο μὲν οὐδαμῶς, ὁμοιούσιον δὲ χρῆναι λέγειν, κατὰ τὸ ἐκείνοις δοκοῦν, οἴοιτό τις, οὐδὲν ἧττον ἡμῖν δι᾽ ἀμφοῖν τὸ τῆς οὐσίας ὄνομα παρειστρέχει. Κατακιβδηλεύοντες δὲ τὴν φωνήν, φημὶ δὴ τὸ ὁμοούσιον, νόθην καὶ ἡμαρτημένην καὶ τοῖς θείοις Γράμμασιν ἀπῳδόν, καὶ τί γὰρ οὐχὶ τῶν τοιῶνδε κατακεκραγότες, προσίενται πάλιν αὐτήν, καὶ ταῖς ὅτι μάλιστα δοκιμωτάταις ἐγγράφουσιν. Ἢν ἄρα τις ἐφίῃ λέγειν αὐτοῖς ὁμοιούσιον τῷ Πατρὶ τὸν Υἱόν, εἶτα τί σοι δρᾶν οἵ γε δὴ τοιοῦτοι δοκοῖεν ἄν;*

*Β. Οὐ μετρίως ἀδικεῖν, καὶ τὴν ἐκ τῆς λέξεως καταπεφρικέναι δύναμιν, ἅτε δὴ γεννικῶς τε καὶ μάλα σαφῶς ὑποφαινούσης τὸ ἀληθές.*

*Α. Μὴ ἑτέρως ἔχειν ὑπολάβῃς ἢ οὕτως, ὦ τᾶν· νεανιευόμενοι δὲ ὥσπερ ἐπὶ ταῖς σφῶν αὐτῶν ἀθυροστομίαις καὶ τοῖς τῶν ἰδίων καθηγητῶν ἀνοσιωτάτοις δόγμασι, τῆς μὲν πρὸς τὸν Θεὸν καὶ Πατέρα σχέσεώς τε καὶ οἰκειότητος φυσικῆς ἐκκόπτουσι τὸν Υἱόν, ἐξεικονισμὸν δὲ μόλις καὶ ὁμοίωσιν αὐτῷ τάχα που καὶ ἐποικτείροντες ἐφιᾶσιν ἔχειν, ἵν᾽ ὁρῷτο λοιπὸν τῶν κατ᾽ εἰκόνα διεκτισμένων, ἢ γοῦν κατὰ τρόπων ποιότητα διαπεπλασμένων, ὡς πρὸς τὸ θεῖόν τε καὶ ἀκήρατον κάλλος ὀλίγα διενεγκών.*

*Β. Πῶς λέγεις;*

*Α. Οὐ γὰρ ἐπαΐεις, ὦ τᾶν, διακελευομένου τε καὶ μάλα ἐναργῶς φάσκοντος τοῦ Χριστοῦ· «Γίνεσθε οἰκτίρμονες καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί»;*

*Β. Ναί.*

*Α. Ἆρ᾽ οὖν οὐ συνίῃς ὅτι καὶ τρόπων ἡμᾶς ποιότης διαμορφοῖ καὶ οἱονεί πως ὁ θεῖος ἡμῖν ἐνθλίβεται χαρακτὴρ διὰ τῆς κατ᾽*

---

14. Λουκᾶ 6, 36.

τὸ ὁμοούσιο καὶ τὶς ἄλλες λέξεις, μὲ τὶς ὁποῖες ὑπάρχει ἡ δυνατότητα σὲ μᾶς νὰ δοῦμε ἔστω καὶ σὰν μέσα ἀπὸ καθρέπτη καὶ ἀμυδρά, καὶ νὰ δεχθεῖ ὁ νοῦς μας μιὰ μικρὴ ἰδέα τοῦ τί εἶναι ὁ Θεός.

Β. Καὶ τί πειράζει ἂν δὲν λένε τὸν Υἱὸ ὁμοούσιο μὲ τὸν Πατέρα, ἀλλὰ λένε ὅτι εἶναι ὁμοιούσιος;

Α. Δὲν μιλοῦν σωστά, φίλε μου, ἀλλὰ πρῶτα πρῶτα οἱ ἴδιοι συλλαμβάνονται νὰ διαφωνοῦν πρὸς τοὺς ἑαυτούς τους, ἀρνούμενοι κατὰ τρόπο κακοῦργο τὴ λέξη ἐπειδὴ δὲν ἀναφέρεται στὴ Γραφή. Γιατί εἴτε ποῦμε τὸν Υἱὸ ὁμοούσιο, εἴτε αὐτὸ βέβαια ὄχι, ἀλλὰ πρέπει νὰ τὸν λέμε ὁμοιούσιο, ὅπως πιστεύουν ἐκεῖνοι, θὰ νόμιζε κανεὶς ὅτι καὶ μὲ τὰ δύο ἐξίσου διασώζεται τὸ ὄνομα τῆς οὐσίας. Μὴ θεωρώντας λοιπὸν γνήσια τὴ λέξη, ἐννοῶ τὸ ὁμοούσιο, ἀλλὰ νόθη καὶ ἐσφαλμένη καὶ ἀνύπαρκτη στὶς θεῖες Γραφές, καὶ μὴ ἀφήνοντας τίποτε ποὺ νὰ μὴ τῆς τὸ καταλογίσουν, τὴν ἐπαναφέρουν πάλι καὶ τὴν περιλαμβάνουν ἀνάμεσα στὶς ἄλλες τὶς δόκιμες. Ἐὰν ἄραγε κάποιος τοὺς ἐπέτρεπε νὰ λένε τὸν Υἱὸ ὁμοιούσιον μὲ τὸν Πατέρα, τί νομίζεις ὅτι θὰ μποροῦσαν νὰ σοῦ κάνουν αὐτοί;

Β. Νὰ ἁμαρτάνω πολὺ καὶ νὰ αἰσθάνομαι ἀποτροπιασμὸ γιὰ τὴ σημασία τῆς λέξεως, ἐπειδὴ κατὰ τρόπο ἄριστο καὶ πολὺ καθαρὰ δηλώνει τὴν ἀλήθεια.

Α. Νὰ μὴ νομίσεις ὅτι εἶναι διαφορετικά, ἀλλὰ ἔτσι, φίλε μου. Καυχώμενοι μάλιστα γιὰ τὶς ἀθυροστομίες τους καὶ τὰ ἀνόσια δόγματα τῶν καθηγητῶν τους, ἀποκόπτουν τὸν Υἱὸ ἀπὸ τὴ φυσικὴ σχέση καὶ οἰκειότητά του πρὸς τὸν Θεὸ καὶ Πατέρα, καὶ μόλις ποὺ τοῦ ἐπιτρέπουν ἀπὸ συμπόνοια νὰ ἔχει κάποια ἀπεικόνιση καὶ ὁμοίωση μὲ αὐτόν, γιὰ νὰ φαίνεται δηλαδὴ ὅτι λίγο διαφέρει ἀπὸ ἐκεῖνα ποὺ εἶναι δημιουργημένα «κατ᾿ εἰκόνα», ἤτοι πλασμένα ἀντίστοιχα πρὸς τὸ θεῖο καὶ ἀκηλίδωτο κάλλος.

Β. Πῶς τὸ ἐννοεῖς αὐτό;

Α. Δὲν γνωρίζεις, φίλε μου, ὅτι ὁ Χριστὸς παραγγέλλει καὶ λέγει πολὺ καθαρά, «Νὰ εἶστε φιλεύσπλαχνοι, ὅπως εἶναι καὶ ὁ οὐράνιος Πατέρας σας»[14];

Β. Ναί.

Α. Δὲν καταλαβαίνεις λοιπὸν ὅτι καὶ ἡ ποιότητα τῆς συμπεριφορᾶς μᾶς διαμαρφώνει καὶ μὲ τὴν ἔμπρακτη ἀρετὴ χαράσσεται

*ἐνέργειαν ἀρετῆς; Χρῆμα μὲν γὰρ ἀγαθὸν ἀπαραποιήτως τε καὶ οὐσιωδῶς τὸ Θεῖον· τοῦτο δὲ καὶ ἡμᾶς αὐτοὺς κατὰ μίμησιν εἴη ἂν τῶν ἐνδεχομένων, ἐξ ἠθῶν ὁρᾶσθαι καὶ τρόπων, προαιρετικὴν εἰ ποιοίμεθα τὴν ἐφ' ἅπασι τοῖς τεθαυμασμένοις ἔφεσίν τε καὶ προθυμίαν. Οὐ γὰρ δή που νομιοῦμεν, εἰ νοῦ καὶ φρενῶν ἐσμεν ἐν καλῷ, τοὺς τὸν θεῖον ἔχοντας ἐξεικονισμὸν ἐν ἰδίαις ψυχαῖς, τῇ τῶν ἠθῶν ποιότητι διαστίλβοντα, τὴν πρὸς αὐτὸν ἐμφέρειαν ἔχειν οὐσιώδη τε καὶ ἀμετάστατον, καὶ εἰς πᾶν ὁτιοῦν ἰσομέτρως τῶν ἐκείνῳ προσόντων προήκουσάν τε καὶ ἐκτεινομένην· ἐπεὶ καθ' ἡμᾶς αὐτοὺς τὸ Θεῖον εἶναι δώσομεν, οὐδενὸς τὸ παράπαν διατειχίζοντος εἰς διαφοράν. Ἐκτίσμεθα γὰρ «κατ' εἰκόνα καὶ ὁμοίωσιν» αὐτοῦ, ἀλλ' οὐκ ἂν ὧδε ἔχοι ταῦτα, πολλοῦ γε καὶ δεῖ· μυρία γὰρ ὅσα τὰ μεταξύ. Ἡμεῖς μὲν γὰρ οὐχ ἁπλοῖ τὴν φύσιν, τὸ δέ γε Θεῖον ἁπλοῦν καὶ ἀσύνθετον κομιδῇ, πλουτεῖ δὲ αὐτὸ τὸ παντέλειον ἐφ' ἑαυτῷ, δεηθὲν οὐδενός. Σωματικὴ δέ γε πᾶσα σύγκειται φύσις ἐκ μορίων τινῶν, εἰς ἑνός τινος τοῦ τελείως ἔχοντος συνθεόντων πλήρωσιν. Καὶ ἡμεῖς μὲν ἐκ γῆς, κατά γε τὴν σάρκα, φθαρτοὶ καὶ εὐμάραντοι, χλόαις ἐν ἴσῳ καὶ κρίνοις ἐξεικασμένοι τοῖς ἐν ἀγρῷ, Θεὸς δὲ τούτων ἀνῴκισται. Καὶ εὐπαράφορος μὲν ἡ ἀνθρώπου ψυχή, καὶ ποικίλας ἔχουσα τὰς μεταβολὰς ἔκ τε τῶν ἀρίστων ἐπὶ τὸ φαῦλον καὶ ἐκ φαυλότητος αὖ πρὸς τὸ ἀγαθόν. Πέπηγε δὲ ὥσπερ καὶ ἐρήρεισται Θεὸς ἐν ἰδίοις ἀγαθοῖς, τὴν ἐφ' ἕτερα μεταχώρησιν ὑπομένειν οὐκ ἀνεχόμενος· καὶ οὐσιώδης ἡ ἑδραιότης, οὐ προαιρετικῆς ἀσφαλείας εὕρημα. Πρόδηλον οὖν ὅτι τοῖς εἰς τὸ εἶναι παρενηνεγμένοις οὐ φυσική τίς ἐστιν ἡ πρὸς Θεὸν ἐμφέρεια, ἀλλ' οἱονεί πως ἐν τῷ πράγματι καὶ ἐν τῇ τῶν τρόπων ποιότητι διαφαίνεται.*

*Β. Οὐκ ἂν ὁ λόγος ἡμῖν ἁμάρτοι τοῦ πρέποντος, ἐπεί τοι διώλισθον μὲν τῆς πρὸς Θεὸν οἰκειότητος, «ἀγγέλων τε οἱ μὴ τηρήσαντες τὴν ἑαυτῶν ἀρχήν», καὶ μὴν καὶ ἡμεῖς αὐτοὶ ἠδικήμεθα δὲ εἰς τὴν φύσιν οὐδέν. Ὠχόμεθα γὰρ οὐδαμῶς εἰς τὸ μὴ ὑπάρχειν ὅλως, ἀλλ' ἐσμὲν καὶ δίχα τοῦ κεκτῆσθαι τὴν ἀρετήν. Ἐπιστήμης*

---

15. Γέν. 1, 26.
15α. Ἰούδα 6.

κατὰ κάποιο τρόπο μέσα μας ἡ σφραγίδα τοῦ Θεοῦ; Γιατὶ ὁ Θεὸς εἶναι πρᾶγμα ἀγαθὸ ἀπαραχάρακτο καὶ πραγματικό· αὐτὸ ὅμως εἶναι δυνατὸ κατὰ μίμηση νὰ παρατηρηθεῖ καὶ σὲ μᾶς τοὺς ἴδιους, ἀπὸ τὶς συνήθειες καὶ τὴ συμπεριφορά μας, ἐὰν δείξουμε προαιρετικὴ ἐπιθυμία καὶ προθυμία πρὸς ὅλα τὰ θαυμαστά. Δὲν πρέπει ὅμως νὰ νομίζουμε, ἐὰν ἔχουμε νοῦ καὶ μυαλὸ ἀγαθό, ὅτι αὐτοὶ ποὺ ἔχουν στὶς ψυχές τους τὴ θεϊκὴ εἰκόνα νὰ λάμπει ἀπὸ τὴν ποιότητα τῶν ἠθῶν τους, ἔχουν τὴν ὁμοιότητα πρὸς τὸν Θεὸ οὐσιαστικὴ καὶ ἀμετακίνητη, καὶ ὅτι σὲ ὁ,τιδήποτε ἄλλο ἔχει φτάσει καὶ ἐκτείνεται ἀντίστοιχα πρὸς τὰ γνωρίσματα ἐκείνου· γιατὶ ἔτσι δεχόμαστε ὅτι ὁ Θεὸς εἶναι σὰν ἐμᾶς, χωρὶς νὰ ὑπάρχει ἀπολύτως τίποτε ποὺ νὰ διαχωρίζει φανερὰ τὴ διαφορά. Δημιουργηθήκαμε βέβαια «κατ' εἰκόνα καὶ ὁμοίωση αὐτοῦ»[15], ὅμως δὲν σταματοῦν ὅλα ἐδῶ, ἀντίθετα μάλιστα ὑπάρχουν μύριες ὅσες διαφορὲς μεταξύ μας. Γιατὶ ἐμεῖς δὲν εἴμαστε ἁπλοὶ ὡς πρὸς τὴ φύση, ἐνῶ ὁ Θεὸς εἶναι ἐντελῶς ἁπλὸς καὶ ἀσύνθετος, καὶ ἔχει τὴν τελειότητα ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του, χωρὶς νὰ χρειάζεται τίποτε. Ἀντίθετα ἡ φύση τῶν σωμάτων ἀποτελεῖται ἀπὸ κάποια μόρια, τὰ ὁποῖα ἑνώνονται καὶ ἀποτελοῦν κάτι τὸ τέλειο. Καὶ ἐμεῖς βέβαια δημιουργηθήκαμε ἀπὸ τὸ χῶμα, ὡς πρὸς τὴ σάρκα, καὶ εἴμαστε φθαρτοὶ καὶ μαραινόμαστε εὔκολα, ὅπως ἡ χλόη, καὶ μοιάζουμε τὰ κρίνα τοῦ ἀγροῦ, ἐνῶ ὁ Θεὸς βρίσκεται πάνω ἀπὸ αὐτά. Καὶ ἡ ψυχὴ ἀσφαλῶς τοῦ ἀνθρώπου παραφέρεται εὔκολα καὶ ἔχει ποικίλες μεταβολές, καὶ ἀπὸ τὰ ἄριστα πρὸς τὸ κακό, καὶ ἀπὸ τὴν κακία πάλι πρὸς τὸ ἀγαθό, ἐνῶ ὁ Θεὸς εἶναι σταθερὸς καὶ κατὰ κάποιο τρόπο στηρίζεται στὰ δικά του ἀγαθά, καὶ δὲν ἀνέχεται τὴν μετάβαση σὲ ἄλλα, καὶ ἡ σταθερότητά του αὐτὴ εἶναι οὐσιαστική, καὶ δὲν ἀποτελεῖ ἐφεύρεση προαιρετικῆς ἀσφάλειας. Εἶναι ὁλοφάνερο λοιπόν, ὅτι σ' αὐτοὺς ποὺ ἦρθαν στὴν ὕπαρξη ἡ ὁμοιότητα πρὸς τὸν Θεὸ δὲν εἶναι κάτι τὸ φυσικό, ἀλλὰ κατὰ κάποιο τρόπο φαίνεται στὴν πράξη καὶ στὴν ποιότητα τῆς συμπεριφορᾶς.

Β. Δὲν θὰ ξεφύγει ὁ λόγος μας ἀπὸ τὸν στόχο του, ἐπειδὴ ἐξέπεσαν ἀπὸ τὴ φιλία τους πρὸς τὸν Θεὸ ἐκεῖνοι ἀπὸ τοὺς ἀγγέλους ποὺ δὲν κράτησαν τὸ ἀξίωμά τους[15α], ἐνῶ ἐμεῖς οἱ ἴδιοι δὲν ζημιωθήκαμε καθόλου ὡς πρὸς τὴ φύση μας. Δὲν ὁδηγηθήκαμε δηλαδὴ στὴν ἀνυπαρξία, ἀλλὰ ὑπάρχουμε καὶ χωρὶς τὴν ἀρετή, καὶ σὰν ἀπὸ ἀκριβῆ

*δὲ οἱονεί πώς τινος καὶ τέχνης εἴδησιν ἐκ τῆς ἄγαν ῥαστώνης καὶ τῆς εἰς φαυλότητα ῥοπῆς ἀπημπποληκότες, κεκλήμεθα πάλιν εἰς ἀνάληψιν τῶν πάλαι διὰ Χριστοῦ πρὸς ἐκεῖνο μεταπαιδεύοντος ἀναμορφοῦσθαι τὸ κάλλος, τὸ πρῶτόν τε καὶ ἀρχέτυπον. Καὶ οὔ τί πού φαμεν ὡς εἰς ἑτέραν τινὰ φύσιν ἐξ ἀνθρωπότητος μεταθρώσκοντας ἐφικέσθαι τῆς τοιαύτης δίδωσιν εὐκλείας, ἀλλ' ἐκ προαιρέσεως μοχθηρᾶς ἐπὶ τὸ ἑλέσθαι δρᾶν καὶ φρονεῖν τὰ ἀμείνω μεθορμιζομένους.*

*Α. Οὐκοῦν, οὐκ ἀσυμφανές, ὦ Ἑρμεία, ὅτι τῆς θείας ἡμῖν εἰκόνος οἱ χαρακτῆρες ἐλλάμψουσι νενευκόσι προθύμως ἐπὶ τὸ δρᾶν ἑλέσθαι τὸ ἀγαθόν, καθὰ καὶ αὐτὸς διωμολόγηκας ἀρτίως, καὶ οὐκ ἀπαράλλακτοι πρὸς Θεὸν ἡμεῖς διὰ τὴν πρὸς αὐτὸν ὁμοίωσιν. Ἀπεῖρξε γὰρ ἂν οὐδέν, εἴπερ οὕτως γε ἔχει κατὰ τὸ ἀληθές, τῆς αὐτῆς ἡμᾶς εἶναι φύσεως τῷ Δημιουργῷ. Τὰ γάρ τοι πρὸς ἄλληλα τὴν εἰς πᾶν ὁτιοῦν ὁμοίωσιν ἔχοντα φυσικήν, οὐδεὶς ἄν, οἶμαί που, τῆς πρὸς ἄλληλα φυσικῆς οἰκειότητος ἀποτεμεῖ λόγος. Ἦ γὰρ οὐχ ὅμοιος κατὰ φύσιν, ἄγγελος μὲν ἀγγέλῳ τυχόν, ἄνθρωπος δὲ ἑτέρῳ τῷ τῶν καθ' ἑαυτόν;*

*Β. Ὧδε ἔχει.*

*Α. Ταύτῃ τοι τὸ ὁμοούσιον, καίτοι ταυτότητα φυσικὴν εὖ μάλα καταδηλοῦν, παρέντες ὡς ἕωλον οἱ μόνα φρονοῦντες τὰ διεστραμμένα, προσίενται μὲν ὡς ἥδιστα τὸ σφίσιν ἐξευρημένον, φημὶ δὴ τὸ ὁμοιούσιον, τὸν θύραθεν ἐξεικονισμὸν ἐπιρριπτοῦντες τῷ Λόγῳ, κατασκιάζοντες δὲ πανούργως τὴν κατάρρησιν, καὶ Θεὸν καὶ Υἱὸν ὀνομάζουσι, καὶ μὴν καὶ Σωτῆρα καὶ Λυτρωτήν, μήτε κατὰ τὴν φύσιν Υἱόν, μήτε κατὰ τὴν ἀλήθειαν Θεὸν ὑπάρχειν αὐτὸν ἐξ ἀθλίων τινῶν ἀναπεπεισμένοι σκεμμάτων ἃ παρὰ τῆς ἐν κόσμῳ σοφίας συλλέγουσι, συντάττουσι δὲ τό γε ἧκον εἰς αὐτοὺς οἱ δείλαιοι τοῖς ἐξ ὁμοιότητος προαιρετικῆς μεμορφωμένοις πρὸς Θεόν, καὶ τῇ κτίσει συγκαταγράφουσι, καταπεφρικότες οὐδέν, τὸν τῶν ὅλων Δημιουργόν, ὁμοούσιον μὲν οὐκ εἶναι λέγοντες, ὁμοιούσιον δέ. Καίτοι τί δήποτε, καὶ μάλα εἰκότως ἔροιτ' ἄν τις αὐτούς, διωθούμενοι τὴν λέξιν καὶ τὸ ἀηθές τε καὶ ξένον κατηγοροῦντες αὐτῆς, οὐκ ἀθαύμαστον ἐᾶτε τόν, εἴπερ τις*

γνώση κάποιας ἐπιστήμης καὶ τέχνης, ἀφοῦ ἀπαρνηθήκαμε τὴ νωθρότητα καὶ τὴν κλίση πρὸς τὴ φαυλότητα, κληθήκαμε πάλι νὰ ἀναλάβουμε ἐκεῖνα τὰ ὁποῖα διὰ τοῦ Χριστοῦ μᾶς διδάσκουν νὰ μεταμορφωθοῦμε, ἀποκτώντας καὶ πάλι τὴν ὡραιότητα τὴν πρώτη καὶ ἀρχική. Καὶ μᾶς ἐπιτρέπουν νὰ φθάσουμε στὴν δόξα αὐτὴ χωρὶς νὰ μεταπηδήσουμε ἀπὸ τὴν ἀνθρώπινη φύση μας σὲ κάποια ἄλλη, ἀλλὰ μετακινούμενοι ἀπὸ τὴν πονηρή μας προαίρεση στὸ νὰ προτιμήσουμε νὰ κάνουμε καὶ νἄ πιστεύουμε τὰ ἀνώτερα.

Α. Ἄρα λοιπόν, Ἑρμεία, εἶναι φανερὸ πὼς ὅταν λάμψουν οἱ σφραγίδες τῆς θεϊκῆς εἰκόνας σ' ἐμᾶς, μὲ τὴν πρόθυμη συγκατάθεση νὰ προτιμήσουμε νὰ κάνουμε τὸ ἀγαθό, ὅπως ὁμολόγησες καὶ ὁ ἴδιος μόλις τώρα, δὲν γινόμαστε ἀπαράλλακτα ὅμοιοι πρὸς τὸν Θεὸ ἐξαιτίας τῆς ὁμοιώσεώς μας μὲ ἐκεῖνον, ἐνῶ δὲν θά μᾶς ἐμπόδιζε τίποτε νὰ γίνουμε, ἐὰν ἦταν ἀλήθεια ὅτι εἴμαστε τῆς ἴδιας φύσεως μὲ τὸν Δημιουργό. Γιατὶ ἐκεῖνα ποὺ εἶναι ἀπό τὴ φύση τους ὅμοια σὲ ὅλα, κανένας λόγος δὲν θὰ μποροῦσε νὰ τἄ χωρίσει ἀπὸ τὴ μεταξύ τους φυσικὴ ὁμοιότητα. Ἢ μήπως δηλαδὴ δὲν εἶναι ὅμοιος κατὰ φύση ὁ ἕνας ἄγγελος μὲ τὸν ἄλλο, καὶ ὁ ἕνας ἄνθρωπος μὲ ἕναν ἄλλο ἀπὸ τοὺς ὁμοίους του;

Β. Ἔτσι εἶναι.

Α. Ἔτσι λοιπὸν τὸ ὁμοούσιο, ἂν καὶ δηλώνει ὁλοφάνερα ταυτότητα φυσική, παραμερίζοντάς το ὡς ἀπαράδεκτο αὐτοὶ ποὺ πιστεύουν μόνο ὅσα εἶναι διατρεβλωμένα, δέχονται μὲ εὐχαρίστηση αὐτό ποὺ οἱ ἴδιοι ἀνακάλυψαν, ἐννοῶ τὸ ὁμοιούσιο, ἀποδίδοντας στὸν Λόγο τὸν ἐξωχριστιανικὸ ὅρο τοῦ ἐξεικονισμοῦ, καὶ σκεπάζοντας μὲ πανουργία τὴν κατακρήμνησή του τὸν ὀνομάζουν καὶ Θεὸ καὶ Υἱὸ καὶ φυσικὰ καὶ Σωτῆρα καὶ Λυτρωτή, ἐνῶ εἶναι πεπεισμένοι ἀπὸ κάποιες ἄθλιες σκέψεις ποὺ περισυνέλεξαν ἀπὸ τὴν κοσμικὴ σοφία, πὼς οὔτε κατὰ φύση Υἱὸς εἶναι, οὔτε ἀληθινὸς Θεός· καὶ τὸν κατατάσσουν οἱ ἄθλιοι μαζὶ μ' ἐκείνους οἱ ὁποῖοι μὲ προαιρετικὴ ὁμοιότητα ἔχουν λάβει μορφὴ ὅμοια πρὸς ἐκείνην τοῦ Θεοῦ, καὶ τὸν συγκαταλέγουν στὴν κτίση, καὶ χωρὶς νὰ τρέμουν τὸν Δημιουργὸ τῶν ὅλων, δὲν τὸν ὀνομάζουν ὁμοούσιον, ἀλλὰ ὁμοιούσιον. Ἂν καὶ βέβαια πολὺ δίκαια θὰ τοὺς ρωτοῦσε κάποιος· γιατί, ἀπαρρίπτοντας τὴ λέξη ὁμοούσιος, μὲ τὴν κατηγορία ἔστω ὅτι εἶναι ἀσυνήθιστη κα

*ἕλοιτο, καθ' ὑμᾶς ὁμοιούσιον λέγειν; Ἀλλ' οἶμαι πρὸς τοῦτο διαπορήσειν αὐτούς. Συνιέναι γε μὴν χαλεπὸν οὐδέν, κἂν αὐτοὶ μὴ λέγοιεν, ὅτι τοῦ ὁμοουσίου τὴν δήλωσιν ἐκδεδίασί τε καὶ κιβδηλεύουσιν, οὐκ ἐπείπερ ἡμῖν, καθάπερ οἴονται καί φασιν, ἐξ ἀγράφου πεποίηται λέξεως, ἀλλ' ὅτι τῆς ἀληθείας ἐστὶ παραστατική, οὐχ ἑτέρας εἶναι φύσεως τὸν Υἱὸν ἀποφαίνουσα πλὴν ἐξ αὐτῆς ἀληθῶς τῆς τοῦ Θεοῦ καὶ Πατρός.*

*Β. Ἄριστα ἔφης.*

*Α. Ἐπιλελῆσθαι γὰρ οἶμαι, κατά γε τὸ εἰκός, τοὺς θεομαχεῖν ᾑρημένους τῆς τοῦ Σωτῆρος φωνῆς, διαρρήδην ἀνακεκραγότος ὡς τῆς ἀρρήτου φύσεως εἴη καρπός, καὶ οὐχὶ τῆς εἰς τὸ εἶναι παρενηνεγμένης καὶ τὴν ἐν χρόνῳ λαχούσης ὕπαρξιν. «Ἐγὼ» γάρ, ἔφασκεν, «οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ». Καὶ αὖ· «Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί». Καὶ μὴν καὶ ὁ σοφὸς Ἰωάννης γράφει περὶ αὐτοῦ· «Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστί». Τί γὰρ ἂν εἴη τὸ ἄνωθεν ἢ ὅτι που πάντως ἐκ τῆς ἀνωτάτω καὶ ὑπερανισχούσης τὰ πάντα φύσεως; Τί δὲ τὸ μὴ εἶναι ἐκ τοῦ κόσμου ἢ ὅτι τῆς πρὸς πᾶν ὁτιοῦν τῶν γενητῶν ὁμοφυΐας ἀπήλλακται, πηγὴν ἔχων μόνος τὸν ἑαυτοῦ Πατέρα Θεόν;*

*Β. Εἰ δὲ δὴ βούλοιντο τὸ ἄνωθεν οὐχ οὕτω νοεῖσθαι δεῖν καθὰ νῦν ἔφης αὐτός, ἀλλ' ὅτι οὐκ ἐκ τῆς κάτω καὶ περὶ τὴν γῆν ἀνθρωπότητος, ἀλλ' ἢ ἐξ οὐρανοῦ τυχόν, ἢ ἐκ φύσεως ἑτέρας πολὺ τὸ μεῖζον ἢ καθ' ἡμᾶς ἐχούσης, τί φαῖμεν ἂν καὶ πρὸς τοῦτο αὐτοῖς;*

*Α. Τί δὲ ἕτερον ἢ τοῦτο; Καὶ τί τὸ ἐξαίρετον ἐν τῇ τοῦ Υἱοῦ καταθρήσαι τις ἂν φύσει τε καὶ δόξῃ, εἰ τῇδε ἔχειν ἐροῦσι, καθὰ καὶ νοεῖν ἐγνώκασιν; Ἦ γὰρ οὐχὶ καὶ ἕκαστος τῶν ἁγίων ἀγγέλων ἄνωθέν τέ ἐστι καὶ ὡς ἡμᾶς ἔρχεται, τουτέστιν ἐξ οὐρανοῦ; Ἐν ἀμείνοσι δὲ πολὺ λίαν ἢ καθ' ἡμᾶς, κατά γε τοὺς ἐνόντας τῇ φύσει λόγους, Θρόνος τε καὶ Ἐξουσία καὶ Κυριότης, καὶ αὐτὰ τὰ Σεραφίμ; Εἰ μηδὲν οὖν ἄρα τὸ ὑπερκείμενον ἐν Υἱῷ, ἀλλ' ἐν τουτοισὶ καὶ αὐτὸς τοῖς φυσικοῖς ὁρῷτο μέτροις, διοίσει μὲν δή, κα-*

16. Ἰω. 8, 24. 17. Ὁπ. π. 18. Ἰω. 3, 31.

ξένη, δὲν παύετε νὰ θαυμάζετε ὅποιον ἀπὸ σᾶς προτιμᾶ νὰ τὸν ὀνομάζει ὁμοιούσιο; Ἀλλὰ νομίζω ὅτι σ' αὐτὸ θὰ δυσκολευθοῦν νὰ ἀπαντήσουν. Καταλαβαίνουν ὅτι δὲν εἶναι καθόλου κακὸ καί, ἔστω καὶ ἂν οἱ ἴδιοι δὲν τὸ λένε, ὅτι τὴν ὀνομασία τοῦ ὁμοουσίου τὴν ἀποφεύγουν ἀπὸ φόβο, καὶ τὴν νοθεύουν, ὄχι ἐπειδὴ χρησιμοποιήθηκε ἀπὸ μᾶς ἀπὸ λέξη ποὺ δὲν ἀναφέρεται στὴ Γραφή, ὅπως νομίζουν καὶ ἰσχυρίζονται, ἀλλὰ ἐπειδὴ ἀποδίδει τὴν ἀλήθεια, δηλώνοντας ὅτι ὁ Υἱὸς δὲν εἶναι ἀπὸ ἄλλη φύση, ἀλλὰ εἶναι πραγματικὰ ἀπὸ τὴν ἴδια τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα.

Β. Τὰ εἶπες πάρα πολὺ σωστά.

Α. Νομίζω ὅμως ὅτι ξέχασα, ὅπως ἦταν φυσικό, ἐκείνους ποὺ προτιμοῦν νὰ πολεμοῦν τὰ λόγια τοῦ Σωτήρα, ὁ ὁποῖος ἀναφωνεῖ καθαρά, ὅτι εἶναι καρπὸς τῆς ἀπερίγραπτης φύσεως, καὶ ὄχι ἐκείνης ποὺ δημιουργήθηκε μέσα στὸν χρόνο. Γιατὶ ἔλεγε· «Ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμο αὐτόν, ἐνῶ ἐσεῖς εἴσαστε ἀπὸ τὸν κόσμο αὐτόν»[16]. Καὶ πάλι· «Ἐσεῖς εἶστε ἀπὸ τὰ κάτω, ἐνῶ ἐγὼ εἶμαι ἀπὸ τὰ ἄνω»[17]. Ἀλλὰ καὶ ὁ σοφὸς Ἰωάννης γράφει γι' αὐτόν· «Ἐκεῖνος ποὺ ἔρχεται ἀπὸ πάνω, εἶναι ἀνώτερος ὅλων»[18]. Τί σημαίνει λοιπὸν τὸ «ἄνωθεν», παρὰ ὅτι ὁπωσδήποτε ὅλα εἶναι ἀπὸ τὴν φύση ποὺ εἶναι ἀνώτατη καὶ τὰ ξεπερνάει ὅλα; Τί σημαίνει ἐπίσης τό, «δὲν εἶναι ἀπὸ τὸν κόσμο», παρὰ ὅτι εἶναι ἀπαλλαγμένος ἀπὸ ὅλα ὅσα ἔχουν τὴν ἴδια φύση μὲ τὰ κτιστά, καὶ ὅτι μόνο αὐτὸς ἔχει πηγὴ τὸν Πατέρα του Θεό;

Β. Ἐὰν ὅμως νομίζουν ὅτι τὸ «ἄνωθεν» δὲν πρέπει νὰ τὸ ἑρμηνεύουν ἔτσι ὅπως εἶπες ἐσὺ τώρα μόλις, ἀλλ' ὅτι ὁ Υἱὸς δὲν προέρχεται ἀπὸ τὴν ἀνθρώπινη φύση ποὺ εἶναι κάτω καὶ στὴ γῆ, ἀλλὰ ἢ ἐνδεχομένως ἀπὸ τὸν οὐρανό, ἢ ἀπὸ ἄλλη φύση, ἡ ὁποία εἶναι πολὺ ἀνώτερη ἀπὸ μᾶς, τί θὰ μπορούσαμε νὰ ποῦμε σ' αὐτούς;

Α. Τί ἄλλο παρὰ αὐτό; Καὶ τί τὸ ἐξαίρετο θὰ μποροῦσε νὰ προσθέσει κανεὶς στὴ φύση καὶ τὴ δόξα τοῦ Υἱοῦ, ἐὰν λένε ὅτι ἔχει τὴ φύση αὐτὴν ποὺ ἀναγνωρίζουν; Ἢ μήπως δηλαδὴ καὶ ὁ καθένας ἀπὸ τοὺς ἁγίους ἀγγέλους δὲν εἶναι ἀπὸ πάνω καὶ ἔρχεται σὲ μᾶς, δηλαδὴ ἀπὸ τὸν οὐρανό, καὶ δὲν εἶναι πολὺ ἀνώτεροι ἀπὸ μᾶς, ὡς πρὸς τοὺς λόγους τῆς φύσεως, καὶ ὁ Θρόνος καὶ ἡ Ἐξουσία καὶ ἡ Κυριότητα καὶ τὰ ἴδια τὰ Σεραφίμ; Ἐὰν λοιπὸν δὲν ὑπάρχει τίποτε τὸ ἀνώτερο στὸν Υἱό, ἀλλὰ καὶ αὐτὸς φαίνεται στὰ ἴδια φυσικὰ μέ-

*θάπερ ἐγῷμαι, κατ' οὐδὲν ἔτι τῶν λογικῶν κτισμάτων, ἅπερ ἄνωθεν ὡς ἡμᾶς ἥκει κατὰ καιρούς, «εἰς διακονίαν ἀποστελλόμενα πνεύματα λειτουργικά, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν»· ἐπακτὸν δὲ ὥσπερ τὸ τῆς θεότητος ἀξίωμα περικείσεται, καὶ ψευδομυθήσει λέγων, «Ἐγώ εἰμι ἡ ἀλήθεια». Ποῦ γὰρ ἢ πῶς ἀλήθεια τὸ μὴ οὕτως ἔχον ὡς ὀνομάζεται παρά γε ταῖς θεοπνεύστοις Γραφαῖς; Τί δὲ δὴ ὅλως καὶ τὸ μὴ εἶναί φασιν ἀπὸ τοῦδε τοῦ κόσμου τὸν Υἱόν;*

*Β. Ἐγὼ φράσω. Ὁμοούσιον μὲν γὰρ οὐκ εἶναί φασι τῷ Θεῷ καὶ Πατρί, τῆς γε μὴν ἀρρήτου φύσεως οὐκ οἶδ' ὅπως ὑποβιβάζοντες, τετηρήκασί τι τὸ ἐξαίρετον αὐτῷ παρὰ τὴν κτίσιν. Οὐ γὰρ εἶναι λέγουσιν ὁμοφυᾶ τοῖς πεποιημένοις, μέσην δὲ ὥσπερ τινὰ χώραν ἐπέχειν, ἤτοι φύσεως ἐκβεβηκέναι λόγον, οὔτε προσεχῶς εἰσάπαν καὶ οὐσιωδῶς συνείροντα τῷ γεγεννηκότι, οὔτε μὴν ὁλοτρόπως ἱέντα πρὸς τὸ κάτω, τουτέστιν ἐν κτίσμασιν.*

*Α. Οὐκοῦν εἴπερ ἕλοιντο σαφῶς καὶ ἀναφανδὸν εἰπεῖν τὴν τοῦ Υἱοῦ φύσιν, ἀπερυθριάσαντες, οἶμαί που, φαῖεν ἂν ὡς οὔτε Θεός ἐστι κατὰ φύσιν, οὔτε μὴν γενητός. Εἰ γὰρ ἐξοίχοιτο μὲν τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός, ἀμείνων δὲ αὖ ἢ κατὰ τὴν τῶν γενητῶν ἐστι φύσιν, ἀπώλισθε μὲν ἀραρότως τοῦ κατ' ἀλήθειαν εἶναι Θεόν, διαφεύξεται δὲ οὐκ οἶδ' ὅπως τὸ ἐναριθμεῖσθαι κτίσμασιν.*

*Β. Συνίης εὖ μάλα. Καὶ δὴ καί φασιν ἐπαγωνιζόμενοι τῷ λόγῳ, «μεσίτην» αὐτὸν ὠνομάσθαι «Θεοῦ καὶ ἀνθρώπων» οὐχ ἑτέρου του χάριν ἢ ὥσπερ ἐγῷμαι τουτουΐ.*

*Α. Εἶτα τί τῶν τοιούτων ἀποπληκτότερον; «Οἱ ἐχθροὶ ἡμῶν ἀνόητοι», κατὰ τὸ γεγραμμένον. Πῶς γὰρ οὐχ ἁπάσης εἶεν ἂν ὡς ἀπωτάτω σοφῆς καὶ ἀδιαβλήτου φρενός, ψυχροῖς ἐννοιῶν εὑρήμασι καταθλεῖν δύνασθαι τῶν τῆς ἀληθείας δογμάτων ὑποτοπήσαντες; Ὁ μὲν γὰρ ἱερός τε ἡμῖν ἀληθῶς καὶ σοφώτατος Παῦλος, μᾶλλον δὲ σύμπας ὁ τῶν ἁγίων χορός, διττὸν οἱονεί πως ἡμῖν τὸν ἐφ' Υἱῷ λόγον ἐγνώκασί τε καὶ εἰσκομίζουσι, μετὰ τὸ ἑνωθῆναι σαρκί, τουτέστι καθ' ἡμᾶς γενέσθαι καθ' ὁλόκληρον ὁμοίωσιν, δίχα μόνης ἁμαρτίας. Τοιγάρτοι, ποικίλην ἡμῖν ἐξυφαίνοντες τὴν*

---

19. Ἑβρ. 1,14. 20. Ἰω. 14,6. 21. Α' Τιμ. 2,5. 22. Δευτ. 32,31.

τρα, δὲν θὰ διαφέρει, ὅπως νομίζω ἐγώ, καθόλου πιὰ ἀπὸ τὰ λογικὰ κτίσματα, τὰ ὁποῖα, ὅσον ἀφορᾶ τὴ σχέση τους μὲ μᾶς, «εἶναι λειτουργικὰ πνεύματα ποὺ ἀποστέλλονται νὰ διακονήσουν αὐτοὺς ποὺ πρόκειται νὰ κληρονομήσουν τὴ σωτηρία»[19], καὶ θὰ ἔχει σὰν ξένο τὸ ἀξίωμα τῆς θεότητας, καὶ ψεύδεται ὅταν λέγει· «Ἐγώ εἶμαι ἡ ἀλήθεια»[20]. Ποῦ δηλαδὴ καὶ πῶς εἶναι ἀλήθεια αὐτὸ ποὺ δὲν εἶναι τέτοιο ποὺ ἀναφέρεται στὶς θεόπνευστες Γραφές; Καὶ τί σημαίνει γενικὰ τὸ ὅτι λένε πὼς ὁ Υἱὸς δὲν εἶναι ἀπὸ τὸν κόσμο αὐτό;

Β. Θὰ σοῦ πῶ ἐγώ. Ὁμοούσιος βέβαια πρὸς τὸν Θεὸ καὶ Πατέρα δὲν εἶναι, λένε, ὅμως, χωρὶς νὰ γνωρίζω πῶς, ὑποβιβάζοντάς τον ἀπὸ τὴν πραγματικὰ ἀπερίγραπτη φύση, τηροῦν τὴν ἐξαιρετικὴ θέση του μέσα στὴν κτίση. Γιατὶ δὲν λένε ὅτι εἶναι τῆς ἴδιας φύσεως μὲ τὰ δημιουργήματα, ἀλλὰ κρατοῦν κατὰ κάποιο τρόπο μέση ὁδό, ὅτι δηλαδὴ ξεπερνᾶ βέβαια τὴν ἀνθρώπινη φύση, ἀλλὰ δὲν συνδέεται ἀκριβῶς καὶ ὡς πρὸς τὴν οὐσία μὲ ἐκεῖνον ποὺ τὸν γέννησε, οὔτε ὅμως πηγαίνει τελείως πρὸς τὰ κάτω, δηλαδὴ στὰ κτίσματα.

Α. Ἑπομένως, ἂν ἤθελαν νὰ μιλήσουν καθαρὰ καὶ φανερὰ γιὰ τὴ φύση τοῦ Υἱοῦ, ἀποβάλλοντας τὸ κοκκίνισμα ἀπὸ τὴ ντροπή, θὰ ἔλεγαν νομίζω περίπου, ὅτι οὔτε Θεὸς εἶναι κατὰ φύση, οὔτε γεννητός. Γιατί, ἐὰν ἀπέχει ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, καὶ εἶναι ἀνώτερος ἀπὸ τὴ φύση αὐτῶν ποὺ γεννήθηκαν, ξέφυγε βέβαια ἀπὸ τὸ νὰ εἶναι μὲ τὴν στενὴ ἔννοια Θεὸς ἀληθινός, δὲν γνωρίζω ὅμως πῶς θὰ ἀποφύγει νὰ συγκαταλεχθεῖ μεταξὺ τῶν κτισμάτων.

Β. Σκέπτεσαι πολὺ καλά. Πράγματι δηλαδὴ λένε, ἀγωνιζόμενοι μὲ τὸν λόγο, ὅτι ὀνομάσθηκε μεσίτης Θεοῦ καὶ ἀνθρώπων[21], ὄχι γιὰ ἄλλο τίποτε, ὅπως ἐγὼ νομίζω, ἀλλὰ γι' αὐτὸ ἀκριβῶς.

Α. Καὶ τί εἶναι πιὸ ἐκπληκτικὸ ἀπὸ αὐτά; «Οἱ ἐχθροί μας εἶναι ἀνόητοι»[22], σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ. Γιατὶ πῶς δὲν βρίσκονται πάρα πολὺ μακριὰ ἀπὸ κάθε ἀδιάβλητο καὶ σοφὸ νοῦ, μὲ τὸ νὰ νομίζουν ὅτι μποροῦν μὲ ψυχρὰ ἐφευρήματα ἐννοιῶν νὰ κατανικήσουν τὰ δόγματα τῆς ἀλήθειας; Γιατὶ ὁ πραγματικὰ ἱερὸς γιὰ μᾶς καὶ σοφότατος Παῦλος, ἢ καλύτερα ὁλόκληρη ἡ χορεία τῶν ἁγίων μᾶς διδάσκουν, ὅτι ὁ Υἱὸς εἶναι κατὰ κάποιο τρόπο διπλός, δηλαδὴ μετὰ τὴν ἐνσάρκωσή του ἔγινε ὅμοιος σὲ ὅλα μὲ μᾶς, ἐκτὸς μόνο ἀπὸ τὴν ἁμαρτία. Ἐμφανίζοντάς μας δηλαδὴ ποικίλο τὸ μυστήριο τῆς ἐναν-

*μυσταγωγίαν, ποτὲ μὲν ἔτι γυμνὸν καὶ τῶν τῆς κτίσεως μέτρων ἀφεστηκότα καὶ ἀσύμπλοκον παντελῶς τῇ καθ' ἡμᾶς φύσει παραδεικνύουσι τὸν Μονογενῆ, ποτὲ δὲ αὖ τῇ τοῦ δούλου μορφῇ μονονουχὶ κατεσκιασμένον, πλὴν ἐχόμενόν τε καὶ ἐξημμένον ἀπρὶξ τῶν τῇ ἰδίᾳ φύσει πρεπόντων ἀγαθῶν, καὶ τοῖς τῆς θεότητος ἀξιώμασιν ἀπαραποιήτως κατεστεμμένον. Ἀεὶ γὰρ ὡσαύτως ἔχοντα καὶ τροπῆς ἀποσκίασμα καὶ παραλλαγὴν οὐκ εἰδότα παθεῖν ἀποφαίνει λέγων ὁ πνευματοφόρος· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας».*

*Β. Τί οὖν τοῦτο πρὸς τὰ παρ' ἐκείνων;*

*Α. Ὅτι τοῖς ἱεροῖς Γράμμασιν οὐ ῥάθυμόν τε καὶ ἀναπεπτωκότα τὸν νοῦν ἐγκαθιέναι δέον, οἱονεί πως ἀθύρουσιν ἔν γε τοῖς οὕτω σεπτοῖς, ἐκτρεπόμενοι μὲν οὐκ οἶδ' ὅπως τὴν εἰς τὸ εὐθύ, διεκπίπτοντες δὲ καὶ κατασειόμενοι πρὸς τὴν ἐφ' ἑκάτερα τρίβον. Τὸ γάρ, οἶμαι, δεῖν ὁδὸν ἰέναι βασιλικήν, οὐχ ἕτερον εἶναί τι φαῖμεν ἄν, ἢ τὸ μήτε ἄγαν εἰς δεξιὸν μήτε μὴν εἰς εὐώνυμον ἀποκλίνειν. Θέα γὰρ ὅπως ἀπερινοήτως ἴενται πρὸς τὸ δοκοῦν, οὐκ ἀναμετροῦντες ἢ δοκιμάζοντες τίνα μὲν ἂν ἁρμόσαι τῶν γεγραμμένων γυμνῷ τῷ Λόγῳ, τουτέστι πρὸ τῆς ἐνανθρωπήσεως ὄντι τε καὶ νοουμένῳ· τίνα δὲ αὖ ἤδη τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑποδεδυκότι. Εἰ γὰρ οἴονται μηδένα μὲν δεῖν τουτωνὶ ποιεῖσθαι λόγον, ἀτέχνως δὲ οὕτω καὶ ἀπερισκέπτως πᾶν ὁτιοῦν ἐκδέχεσθαι τῶν γεγραμμένων, τί τὸ ἐμποδών, εἰπέ μοι, διδασκόντων αὐτοί, κἂν ἐσθίειν λέγηται, καὶ ὕπνον εἰσδέχεσθαι, καὶ διαστείχειν ἀμογητὶ μὴ δύνασθαι (κεκοπίακε γὰρ ἐκ τῆς ὁδοιπορίας), καὶ τὸ ἔτι τούτων ἐπέκεινα, τὸ ἐκτεθνάναι, φημί, καὶ τροφῆς ἐπιδεᾶ, πόνου τε καὶ ἀσθενείας δεκτικόν, καὶ μὴν καὶ θανάτῳ κάτοχον ὁμολογεῖν εἶναι τὸν τοῦ Θεοῦ Λόγον. Ἆρ' οὖν οὐχὶ τῶν τοιούτων ἡμῖν ἀναγκαιοτάτην εἶναι φὴς τὴν διαστολήν, τὸ ἑκάστῳ πρέπον καιρῷ καθηκόντως διανέμουσάν τε καὶ ἀποκρίνουσαν;*

*Β. Ἀναγκαιοτάτην· πῶς γὰρ οὔ;*

*Α. Ἀναγκαίου τοιγαροῦν καὶ ἀρίστου παντάπασιν ἀποδεδειγμένου τοῦ διακρίνειν ἕκαστα τῶν περὶ αὐτοῦ κεχρησμῳδημένων, ἀκούοις ἂν ἤδη τὸ τίς κατὰ φύσιν ἐστίν, ἀναγράφοντος τοῦ*

---

23. Ἰακ. 1, 17. 24. Ἑβρ. 13, 8.

θρωπήσεως, ἄλλοτε μᾶς παρουσιάζουν τὸν Μονογενῆ ἀπογυμνωμένο καὶ ἀπόμακρον ἀπὸ τὰ μέτρα τῆς κτίσεως καὶ ἄσχετον τελείως πρὸς τὴ δική μας φύση, καὶ ἄλλοτε πάλι σχεδὸν ἐπισκιασμένον ἀπὸ τὴ μορφὴ τοῦ δούλου, ἀλλὰ ἀφοσιωμένον καὶ δεμένον στερεὰ μὲ τὰ ἀγαθὰ ποὺ ταιριάζουν στὴ φύση του, καὶ στεφανωμένον κατὰ τρόπο γνήσιο μὲ τὰ ἀξιώματα τῆς θεότητας. Γιατὶ ὁ πνευματοφόρος ἀπόστολος ἀποκαλύπτει ὅτι ὁ Υἱὸς εἶναι πάντοτε ἴδιος καὶ δὲν παθαίνει ἐπισκίαση ἐξαιτίας μετατροπῆς καὶ ἀλλαγῆς[23], λέγοντας· «Ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ ἴδιος χθὲς καὶ σήμερα, καὶ στοὺς αἰῶνες»[24].

Β. Τί σχέση ἔχει αὐτὸ μὲ ὅσα λένε ἐκεῖνοι;

Α. Ὅτι γιὰ τὴν κατανόηση τῶν ἱερῶν Γραμμάτων δὲν πρέπει νὰ ἔχουν τὸν νοῦ νωθρὸ καὶ ἀποθαρρυμένο, σὰν νὰ παίζουν κατὰ κάποιο τρόπο μὲ τὰ τόσο σεβάσμια, βγαίνοντας, δὲν ξέρω πῶς, ἀπὸ τὸν ἴσιο δρόμο, καὶ καταφεύγοντας καὶ ἐρωτοτροπώντας στὸν δρόμο ποὺ ὁδηγεῖ καὶ στὰ δύο. Γιατὶ τὸ καθῆκον νὰ βαδίζουμε τὴ βασιλικὴ ὁδὸ δὲν εἶναι, νομίζω, τίποτε ἄλλο, παρὰ νὰ μὴ ἀποκλίνουμε οὔτε δεξιὰ οὔτε ἀριστερά. Πρόσεχε ὅμως πόσο ἀπερίσπαστα πηγαίνουν σὲ ὅ,τι τοὺς ἀρέσει, χωρὶς νὰ ἀναλογίζονται ἢ νὰ ἐξετάζουν ποιὰ ἀπὸ αὐτὰ ποὺ εἶναι γραμμένα ἀναφέρονται μόνο στὸν Λόγο, δηλαδὴ στὸ πῶς εἶναι καὶ νοεῖται πρὶν ἀπὸ τὴν ἐνανθρώπηση, καὶ ποιὰ πάλι ἀναφέρονται στὸ διάστημα ποὺ ἔγινε ὅμοιος μὲ μᾶς. Γιατί, ἐὰν νομίζουν ὅτι δὲν πρέπει νὰ κάνουν κανένα λόγο γι' αὐτὰ ἐδῶ, καὶ πρέπει νὰ δέχονται μὲ ἀμάθεια καὶ ἀπερισκεψία κάθε τι ποὺ εἶναι γραμμένο, τότε, ὅταν οἱ Γραφὲς διδάσκουν ὅτι καὶ τρώει καὶ κοιμᾶται καὶ περπατάει, τί εἶναι ἐκεῖνο ποὺ τοὺς ἐμποδίζει νὰ τὸ κάνουν καὶ αὐτοὶ χωρὶς κόπο; Θὰ ὁμολογήσουμε δηλαδὴ ὅτι κουράσθηκε ἀπὸ τὴν ὁδοιπορία, καὶ τὸ πιὸ χειρότερο ἀπὸ αὐτά, ἐννοῶ ὅτι πέθανε, καὶ εἶχε ἀνάγκη ἀπὸ τροφὴ καὶ ἦταν δεκτικὸς πόνου καὶ ἀσθένειας καὶ ἔγινε μέτοχος θανάτου ὁ Λόγος τοῦ Θεοῦ; Δὲν εἶναι ἑπομένως ἀπαραίτητη ἡ διάκριση ποὺ κάνουμε ἐμεῖς, ἡ ὁποία ἀποδίδει κατὰ τὸν πρέποντα τρόπο τὸ καθένα στὸν κατάλληλο χρόνο;

Β. Εἶναι πάρα πολὺ ἀπαραίτητη· πῶς δηλαδὴ ὄχι;

Α. Ἀφοῦ λοιπὸν εἶναι ἀναγκαῖο καὶ ἀποδείχθηκε ἐντελῶς ἄριστο, τὸ νὰ ξεχωρίζουμε τὸ καθένα ἀπὸ αὐτὰ ποὺ ἔχουν εἰπωθεῖ γι' αὐτόν, ἄκουσε τώρα τὸν Παῦλο ποὺ γράφει γιὰ τὸ τί εἶναι (ὁ Υἱὸς)

*Παύλου· «Ὃς ὢν» γάρ, φησίν, «ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ», ἑτέρωθι δὲ αὖ· «Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος». Καὶ ταυτὶ μὲν δὴ περὶ τοῦ Μονογενοῦς, οὔπω νοουμένου μετὰ σαρκός. Περὶ δὲ τοῦ αὐτοῦ καθ' ἡμᾶς ἤδη γεγεννημένου καὶ ἐν σαρκί· «Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν». Ἆρ' οὐκ ἀραρότως κατά γε τὸ ἐξ ἀμφοῖν δηλούμενον ἑαυτῇ διαμαχεῖται τῶν πραγμάτων ἡ φύσις; Τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ καὶ Πατρός, ὁ τῆς θείας ἡμῖν ὑποστάσεως χαρακτήρ, ὁ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ὁ ζῶν τε καὶ ἐνεργὴς καὶ τομώτατος Λόγος, δεήσεις λέγεται καὶ ἱκετηρίας ἀνασχεῖν, καὶ τοῦτο δεδακρυμένος, ὡς ἂν διακρούσαιτο τοῦ θανάτου τὴν ἔφοδον· ἀλλ' «ἐν ταῖς ἡμέραις», φησί, «τῆς σαρκὸς αὐτοῦ», τουτέστιν ὅτε Θεὸς ὢν ὁ Λόγος, γέγονε σάρξ, κατὰ τὰς Γραφάς, καὶ οὐκ ἐν ἀνθρώπῳ γέγονε, καθὰ καὶ ἐν τοῖς ἁγίοις, οἷς κατὰ μέθεξιν ἐναυλίζεται, τὴν διά γέ φημι τοῦ ἁγίου Πνεύματος. Διττὸς οὖν ἄρα ἐστὶν ὁ ἐφ' Υἱῷ λόγος. Ἀναθετέον δὴ οὖν ὡς Θεῷ τὰ τοῦ Θεοῦ καὶ ὡς καθ' ἡμᾶς γεγονότι τὰ καθ' ἡμᾶς, τουτέστι τὰ ἀνθρώπινα. Τὴν δὲ ἄρρυθμόν τε καὶ οὐκ εὐκρινῆ τῶν πραγμάτων ἀνάχυσιν εὖ μάλα παραιτητέον, τὴν ἀκριβῆ καὶ ἐξητασμένην τῶν νοημάτων κατάληψιν ὑποκλέπτουσαν καὶ τῆς ἀληθείας τὸ κάλλος οὐ μετρίως παραπημαίνουσαν.*

*Β. Εὖ λέγεις.*

*Α. Ὅταν οὖν λέγηται μεσίτης, οὐχ ὁριστικὸν τῆς οὐσίας τοῦ*

---

25. Ἑβρ. 1, 3. 26. Ἑβρ. 4, 12-13. 27. Ἑβρ. 5, 7-8. 28. Ἰω. 1, 14.

κατὰ φύση· γιατὶ λέγει· «Ὁ ὁποῖος εἶναι ἡ ἀκτινοβολία τῆς δόξας τοῦ Πατέρα καὶ σφραγίδα τῆς ὑποστάσεώς του, καὶ κρατεῖ τὰ πάντα μὲ τὸν παντοδύναμο λόγο του»[25]. Καὶ ἀλλοῦ πάλι· «Γιατὶ ὁ Λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς καὶ δραστικὸς καὶ κοφτερὸς πιὸ πολὺ ἀπὸ κάθε δίκοπο μαχαρι, καὶ εἰσχωρεῖ μέχρι χωρισμοῦ ψυχῆς καὶ σώματος, ἀρθρώσεων καὶ μυελῶν, καὶ κρίνει τοὺς συλλογισμοὺς καὶ τὶς προθέσεις τῆς καρδιᾶς. Καὶ δὲν ὑπάρχει δημιούργημα ποὺ νὰ μὴ εἶναι ὁρατὸ μπροστά του, ἀλλὰ ὅλα εἶναι γυμνὰ καὶ ὁλοφάνερα στὰ μάτια του, στὸν ὁποῖο πρόκειται νὰ δώσουμε λόγο»[26]. Καὶ αὐτὰ βέβαια γιὰ τὸν Μονογενῆ ποὺ δὲν νοεῖται ἀκόμα ὡς ἄνθρωπος. Ἐνῶ γι' αὐτόν, ὅταν πιὰ εἶχε γεννηθεῖ σὰν ἐμᾶς καὶ ἦταν ἄνθρωπος, λέγει· «Αὐτὸς κατὰ τὶς ἡμέρες τῆς ἐπίγειας ζωῆς του, ἀφοῦ ἔκανε προσευχὲς καὶ παρακλήσεις πρὸς ἐκεῖνον ποὺ μποροῦσε νὰ τὸν σώσει ἀπὸ τὸν θάνατο, μὲ δυνατὴ κραυγὴ καὶ δάκρυα, καὶ ἀφοῦ εἰσακούσθηκε λόγω τῆς εὐλάβειάς του, ἂν καὶ ἦταν Υἱός, ἀπὸ ὅσα ἔπαθε, ἔμαθε τὴν ὑπακοή»[27]. Ἆρα λοιπὸν δὲν κάνει ὅπως πρέπει διάκριση ἡ φύση τῶν πραγμάτων πρὸς τὸν ἑαυτό της ἀνάλογα μὲ αὐτὸ ποὺ δηλώνεται ἀπὸ τὰ δύο; Ἡ ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ καὶ Πατέρα, ἡ σφραγίδα τῆς ὑποστάσεως τοῦ Θεοῦ, αὐτὸς ποὺ συγκρατεῖ τὰ πάντα μὲ τὸν παντοδύναμο λόγο του, ὁ Λόγος ὁ ζωντανὸς καὶ δραστικὸς καὶ πάρα πολὺ κοφτερός, λέγεται ὅτι πρόσφερε προσευχὲς καὶ παρακλήσεις, καὶ μάλιστα δακρυσμένος, γιὰ νὰ μπορέσει νὰ ἀποφύγει τὴν ἐπίθεση τοῦ θανάτου, ἀλλὰ «κατὰ τὶς ἡμέρες τῆς ἐνσάρκωσής του», λέγει, ὅταν δηλαδή, ἐνῶ ὁ Λόγος ἦταν Θεός, ἔγινε ἄνθρωπος, σύμφωνα μὲ τὶς Γραφές[28], καὶ δὲν ἔγινε παρόμοια μὲ ἄνθρωπο, ὅπως γίνεται μὲ τοὺς ἁγίους, στοὺς ὁποίους κατοικεῖ κατὰ μέθεξη τοῦ ἁγίου Πνεύματος. Ἄρα λοιπὸν καὶ ὁ λόγος γιὰ τὸν Υἱὸ εἶναι διπλός. Ἂς τοῦ ἀποδίδουμε λοιπὸν ὡς Θεόν, ὅσα ἁρμόζουν στὸν Θεό, καὶ σὰν ἄνθρωπο τὰ δικά μας, δηλαδὴ τὰ ἀνθρώπινα. Τὴν πλημμυρίδα ὅμως τῶν ἔκτακτων καὶ ἀδιευκρίνιστων πραγμάτων καλὸ εἶναι νὰ τὴν ἀποφεύγουμε, γιατὶ μᾶς ἀπομακρύνει παραπειστικὰ ἀπὸ τὴν ἀκριβῆ καὶ ἐξακριβωμένη κατανόηση τοῦ νοήματός τους, καὶ παραβλάπτει ὄχι λίγο τὴν ὁμορφιὰ τῆς ἀλήθειας.

Β. Σωστὰ τὸ λές.

Α. Ὅταν λοιπὸν ὀνομάζεται μεσίτης, δὲν πρέπει τὸ ὄνομα αὐτὸ

*Μονογενοῦς οἰηθείη τις ἂν εἶναι τοὔνομα· πολλοῦ γε καὶ δεῖ· περιτρέψειε δ' ἂν μᾶλλον αὐτὸ εἰς ὑπακοὴν τοῦ Χριστοῦ. Καθαιρήσει γὰρ οὕτω λογισμοὺς ἀσυνέτους, «καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίσει πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Θεοῦ», καθὰ γέγραπται.*

*Β. Ἀληθὴς ὁ λόγος. Ἀλλ', ὦ γενναῖε, τούτων μὲν ἅλις, ἐπείτοι γε μηδὲ ἀμφίλογα. Ἥδιστα δ' ἂν σου διαπυθοίμην τῆς τοῦ Υἱοῦ μεσιτείας τίς ἂν νοοῖτο πρὸς ἡμῶν ὁ τρόπος. Τουτὶ γὰρ ἔωλον ἀποφανεῖ τῶν ἑτεροδόξων τὸν ἀπατεῶνα λόγον.*

*Α. Ἴτω δὴ οὖν, εἰ δοκεῖ, καὶ τετράφθω νυνὶ πρὸς τοῦτο ἡμῖν ὁ λόγος. Ἐκβασανιστέον δὲ καὶ πρό γε τῶν ἄλλων πότε τὸν Υἱὸν ἐν μεσίτου τάξει τέθεικεν ἡ Γραφή. Ἔφη τοίνυν ὁ Παῦλος, ὅτι «Μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν», καιρὸν οὐχ ἕτερον, οἶμαι, πρέπειν τῇ τοῦ Υἱοῦ μεσιτείᾳ διοριζόμενος, πλὴν ὅτι τὸν ἐν ἐσχάτοις, ὅτε, καθά φησιν αὐτός, «ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών», καίτοι Θεὸς ὢν καὶ Κύριος, ἵν' ἡμᾶς δι' ἑαυτοῦ κατακτήσηται τῷ Θεῷ καὶ Πατρὶ καὶ ἀποκαταλλάξῃ τὰ πάντα, κατὰ τὸ γεγραμμένον, «εἰρηνοποιήσας διὰ τοῦ σταυροῦ τά τε ἐν οὐρανῷ, τά τε ἐπὶ τῆς γῆς», μεσιτεύων ὡς ἄνθρωπος. «Δεόμεθα γοῦν ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ», τὸ Χριστοῦ πρόσωπον ἀναλαβὼν ἔφη πάλιν ὁ Παῦλος. Ἐπειδὴ γὰρ οἱονεί πως γυμνῇ καὶ ἀκράτῳ τῇ τῆς θεότητος δόξῃ προσβαλεῖν οὐχ οἵα τε ἦν ἡ ἀνθρώπου φύσις, διὰ τὴν ἐνοῦσαν ἀσθένειαν, ὑπέδυ χρησίμως τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὁ Μονογενής, ὡς ἂν τὴν ἀπόρρητον τοῦ Θεοῦ καὶ Πατρὸς διεκκαλύπτων θέλησιν, πνευματικοὺς ἀποδείξῃ προσκυνητάς, οὐ τύπων ἀποσκιάσμασι προσκειμένους ἔτι καὶ τὸν οὐδὲν τελειοῦν ἰσχύοντα προσιεμένους νόμον, ἀλλ' ἵν', ἐπείπερ ἐστὶ Πνεῦμα ὁ Θεός, ἐν πνεύματι καὶ ἀληθείᾳ καὶ ἡμεῖς αὐτοὶ προσκυνεῖν τε ἅμα καὶ λατρεύειν ἐπειγώμεθα. Ἦ γὰρ οὐχὶ καὶ αὐτὸς ἡμῖν ὁ πανάριστος Ἡσαΐας παιδίον γεγεννῆσθαί φησιν*

---

29. Β' Κορ. 10,15. 30. Α' Τιμ. 2,5. 30α. Φιλ. 2,6.
31. Κολ. 1,20. 31α. Β' Κορ. 5,20. 31β. Ἰω. 4,24.

νὰ θεωρεῖται ὅτι εἶναι ὁριστικὸ τῆς οὐσίας τοῦ Μονογενοῦς· κάθε ἄλλο μάλιστα· ἀλλὰ μπορεῖ νὰ μᾶς ὁδηγήσει αὐτὸ στὴν ὑπακοὴ τοῦ Χριστοῦ. Γιατὶ ἔτσι ἐξαγνίζει τοὺς ἀπερίσκεπτους λογισμούς, καὶ κάθε τι ποὺ ὑψώνεται μὲ ὑπερηφάνεια κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζει κάθε σκέψη στὴν ὑπακοὴ τοῦ Χριστοῦ, ὅπως ἔχει γραφεῖ[29].

Β. Αὐτὰ ποὺ λὲς εἶναι σωστά. Ἀλλά, γενναῖε, γι' αὐτὰ ἀρκετά, γιατὶ δὲν εἶναι καὶ ἀμφισβητούμενα. Εὐχαρίστως ὅμως θὰ σὲ ρωτοῦσα, πῶς νοεῖται ὁ τρόπος τῆς μεσιτείας τοῦ Υἱοῦ πρὸς ἐμᾶς. Γιατὶ αὐτό θὰ ἀποδείξει ἀηδιαστικὰ τὰ ἀπατηλὰ λόγια τῶν ἑτεροδόξων.

Α. Ἐμπρός λοιπόν, ἂν νομίζεις, ἂς στραφεῖ τώρα ἡ συζήτησή μας σ' αὐτό. Πρέπει ὅμως πρὶν ἀπὸ τὰ ἄλλα νὰ ἐξετάσουμε πότε ἡ Γραφὴ τοποθετεῖ τὸν Υἱὸ στὴν θέση τοῦ μεσίτη. Εἶπε λοιπόν ὁ Παῦλος, ὅτι «Μεσίτης μεταξὺ Θεοῦ καὶ ἀνθρώπων εἶναι ὁ ἄνθρωπος Ἰησοῦς Χριστός, ὁ ὁποῖος πρόσφερε τὸν ἑαυτό του ἀντίλυτρο γιὰ χάρη μας»[30]. Νομίζω λοιπόν ὅτι χρόνος κατάλληλος ποὺ ἀναφέρεται στὴ μεσιτεία τοῦ Υἱοῦ δὲν εἶναι ἄλλος, παρὰ ἐκεῖνος τῶν τελευταίων ἡμερῶν, ὅταν, ὅπως λέγει ὁ ἴδιος, «Ἐνῶ εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε κάτι σὰν ἁρπαγή τό ὅτι ἦταν ἴσος πρὸς τὸν Θεό, ἀλλὰ ταπείνωσε τὸν ἑαυτό του παίρνοντας μορφὴ δούλου»[30α], ἂν καὶ ἦταν Θεὸς καὶ Κύριος, γιὰ νὰ μᾶς ὑποτάξει διὰ τοῦ ἑαυτοῦ του στὸν Θεὸ καὶ Πατέρα, καὶ νὰ συμφιλιώσει τὰ πάντα, ὅπως εἶναι γραμμένο, «ἀφοῦ ἔφερε τὴν εἰρήνη μὲ τὸν σταυρικό του θάνατο, τόσο στὰ οὐράνια, ὅσο καὶ στὰ ἐπίγεια»[31], μεσίτης καὶ ἄνθρωπος. «Παρακαλοῦμε λοιπὸν στὸ ὄνομα τοῦ Χριστοῦ, συμφιλιωθεῖτε μὲ τὸν Θεό»[31α], εἶπε πάλι ὁ Παῦλος μιλώντας ὡς ἐκπρόσωπος τοῦ Χριστοῦ. Ἐπειδὴ δηλαδὴ κατὰ κάποιο τρόπο ἡ ἀνθρώπινη φύση δὲν μποροῦσε νὰ ἀντικρύσει ἀπευθείας τὴν καθαρὴ δόξα τῆς θεότητας, λόγῳ τῆς ἀδυναμίας της, ἔγινε ἐπίτηδες ὅμοιος μὲ μᾶς ὁ Μονογενής, ὥστε, ἀποκαλύπτοντας τὴν ἀπερίγραπτη θέληση τοῦ Θεοῦ καὶ Πατέρα, νὰ μᾶς ἀναδείξει πνευματικοὺς προσκυνητές, ποὺ νὰ μὴ εἴμαστε πιὰ ἀφοσιωμένοι σὲ τύπους σκιῶν καὶ νὰ ἐφαρμόζουμε τὸν νόμο ποὺ δὲν μπορεῖ τίποτε νὰ κάνει τέλειο, ἀλλ' ἐπειδὴ ὁ Θεὸς εἶναι Πνεῦμα[31β], νὰ σπεύδουμε καὶ ἐμεῖς νὰ τὸν προσκυνοῦμε καὶ νὰ τὸν λατρεύουμε πνευματικὰ καὶ ἀληθινά. Ἢ μήπως καὶ ὁ ἴδιος ὁ πανάριστος Ἠσαΐας δὲν μᾶς λέγει,

*Υἱόν, καὶ καλεῖσθαι τὸ ὄνομα αὐτοῦ «μεγάλης βουλῆς Ἄγγελον»;*

*Β. Ἄριστα ἔφης. Εἰ δὲ δὴ πρὸς τούτοις ἕλοιο πληροφορεῖν εὖ μάλα, καί τι τῶν ἀρχαιοτέρων παρατιθεὶς εἰς παράδειγμα τῆς Χριστοῦ μεσιτείας, ὡς πλείστην ὅσην εἰδείην ἂν εὖ ἴσθι τοι χάριν.*

*Α. Οὐκοῦν, ἐπ' αὐτὸν ἰόντες τὸν ἱεροφάντην Μωσέα, καὶ τῶν δι' αὐτοῦ πεπραγμένων τε καὶ εἰρημένων τὴν δύναμιν φανοτάτην ὥσπερ εἰκόνα τῆς ἐν Χριστῷ μεσιτείας ἀνορθοῦν σπουδάζοντες, ἐκπεποιημένον ὀρθῶς τὸν ἑαυτῶν ἤδη πως ἀποφήνωμεν λόγον Τὸ γάρ, οἶμαι, τοῖς δι' ἐναντίας ἐπιτιμᾶν καὶ κατονειδίζειν ἀεὶ τὸ φρονεῖν ἑλέσθαι τὸ σφίσιν αὐτοῖς ἡδύ, κἂν εἰ τοῖς ἱεροῖς ἀπᾴδοι Γράμμασιν, εἶτα τοῖς ἴσοις ἁλῶναι πταίσμασιν, οἰηθείην ἂν ἔγωγε τῆς ἀνωτάτω μωρίας οὐκ ἀμοιρεῖν.*

*Β. Εὖ λέγεις.*

*Α. Ὅτε τοίνυν τῆς τῶν Αἰγυπτίων ἀπέδραμον γῆς οἱ ἐξ Ἰσραήλ, τὸ τῆς ἀναγκαίας θητείας ἄχθος ἀποσεισάμενοι καὶ τὰ τῆς δουλείας ἀπορρήξαντες ζυγά, κατηυλίζοντό τε περὶ τὸ Σινᾶ καλούμενον ὄρος, νόμους τε ἤδη διατυποῦν τῶν πρακτέων τοὺς ὁριστὰς ἐδόκει Θεῷ, συναγείρεσθαι μὲν ὑπὸ τὸ ὄρος, ἀποπλύνεσθαι δὲ δεῖν τὰ ἐσθήματα, οὕτω τε κεκαθαρμένους ἐπὶ θεοπτίαν ἰέναι τότε τὴν ἀσυνήθη διεκελεύετο. Ἐπειδὴ δὲ τοῦτο διεπεραίνετο, προηγορευκότος αὐτοῖς τοῦ Μωσέως, «κατέβη μὲν Κύριος ἐν εἴδει πυρός· καπνοὶ δὲ ἦσαν ἐξελιττόμενοί τε καὶ ἀναθρώσκοντες, καὶ νεφέλη γνοφώδης, καὶ πυρὸς διαδρομαί, καὶ σκότος, καὶ θύελλα, καὶ τὰ τῆς εἰς ἄκρον πτοίας ἐμποιητικά, διαπρύσιός τε σαλπίγγων ἠχή. Καὶ ἐξεκόμιζε μὲν ὁ Μωσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ ὑπὸ τὸ ὄρος». Γέγραπται γὰρ ὡδί. Μεσιτείας δὲ τῆς Χριστοῦ τύπος ἦν, οἶμαι, τὸ χρῆμα. Φάσκει γὰρ ἐναργῶς· «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ». Πρόσιμεν γὰρ οὐχ ἑτέρως ἢ διὰ Χριστοῦ τῷ Θεῷ καὶ Πατρί, πάντα μὲν ἀρχαῖον ἀφανίζοντες μώλωπα, καὶ ἅπαν μὲν εἶδος προεκθλίβοντες μολυσμοῦ, μεταμφιεννύντες δὲ ὥσπερ τὸν νοῦν τῇ ἐν Χριστῷ καθαρότητι. «Ἐνδύσασθε δὲ τὸν Κύριον Ἰησοῦν Χριστόν», θεῖος ἡμῖν*

---

32. Ἡσ. 9, 6. 33. Ἔξ. 19, 16-17. 34. Ἰω. 14, 9.

ὅτι «θὰ γεννηθεῖ παιδί, ποὺ τὸ ὄνομά του θὰ εἶναι ἀγγελιοφόρος μεγάλης βουλῆς»[32];

Β. Μίλησες πολὺ σωστά. Ἂν θέλεις ὅμως πληροφόρησέ με περισσότερο ἀναφέροντας καὶ κάτι πιὸ παλιὸ ὡς ἀπόδειξη τῆς μεσιτευτικῆς ἰδιότητας τοῦ Χριστοῦ, γιὰ νὰ σοῦ ὀφείλω μεγαλύτερη χάρη, ὅπως καλὰ γνωρίζεις.

Α. Λοιπὸν ἂς ἔρθουμε στὸν ἱεροφάντη Μωυσῆ καὶ στὴ σημασία αὐτῶν ποὺ ἔγιναν καὶ εἰπώθηκαν δι᾽ αὐτοῦ, καὶ προσπαθώντας νὰ τὰ ἀνορθώσουμε σὰν εἰκόνα φωτεινὴ τῆς μεσιτείας τοῦ Χριστοῦ, νὰ ἀποδείξουμε ὅτι ὁ λόγος μας ἔγινε σωστά. Γιατί, νομίζω, τὸ νὰ ἐπικρίνει κανεὶς τοὺς ἀντίθετους καὶ νὰ τοὺς κατηγορεῖ, ἐπειδὴ θέλουν νὰ πιστεύουν αὐτὸ ποὺ εἶναι εὐχάριστο σ᾽ αὐτούς, ἔστω καὶ ἂν δὲν συμφωνεῖ μὲ τὴν ἁγία Γραφή, καὶ ἔπειτα νὰ συλλαμβάνεται καὶ ὁ ἴδιος νὰ πέφτει στὰ ἴδια σφάλματα, ἐγὼ τοὐλάχιστον θὰ ἔλεγα ὅτι εἶναι πολὺ μεγάλη μωρία.

Β. Μιλᾶς ὡραῖα.

Α. Ὅταν λοιπὸν ἔφυγαν ἀπὸ τὴν Αἴγυπτο οἱ Ἰσραηλῖτες, ἀποτινάσσοντας τὸ βάρος τῆς ἀναγκαστικῆς ἐργασίας καὶ σπάζοντας τὸν ζυγὸ τῆς δουλείας καὶ στρατοπέδευσαν γύρω ἀπὸ τὸ ὄρος ποὺ λέγεται Σινᾶ, καὶ ὁ Θεὸς ἀποφάσισε νὰ θεσπίσει πιὰ νόμους γιὰ τὸ τί ἔπρεπε νὰ κάνουν οἱ ἀρχηγοί, τοὺς διέταξε νὰ συγκεντρωθοῦν στοὺς πρόποδες τοῦ ὄρους, νὰ πλύνουν τὰ ροῦχα τους, καὶ ἔτσι καθαροὶ νὰ προχωρήσουν γιὰ νὰ δοῦν τὴν ἀσυνήθιστη θεοπτία. Καὶ ὅταν ἔγινε αὐτό, ἀφοῦ πρῶτα μίλησε σ᾽ αὐτοὺς ὁ Μωυσῆς, «Κατέβηκε ὁ Κύριος μὲ τὴ μορφὴ φωτιᾶς· καπνοὶ ξεδιπλώνονταν καὶ ἀναπηδοῦσαν στὰ ὕψη, καὶ σύννεφο σκοτεινὸ καὶ φωτιὲς διέσχιζαν τὸν οὐρανό, καὶ σκοτάδι καὶ θύελλα, καὶ ὅλα ὅσα προκαλοῦν μεγάλο τρόμο, καὶ ὁ διαπεραστικὸς ἦχος τῶν σαλπίγγων. Καὶ ὁ Μωϋσῆς ἔβγαζε τὸν λαὸ γιὰ νὰ συναντήσει τὸν Θεὸ στὶς παρυφὲς τοῦ ὄρους»[33]. Ἔτσι λοιπὸν εἶναι γραμμένα. Καὶ νομίζω ὅτι τὸ γεγονὸς ἀποτελεῖ ὑποτύπωση τῆς μεσιτείας τοῦ Χριστοῦ. Γιατὶ τὰ λέγει φανερά· «Κανένας δὲν ἔρχεται στὸν Πατέρα, παρὰ μόνο μέσω ἐμοῦ»[34]. Πράγματι στὸν Θεὸ καὶ Πατέρα δὲν πηγαίνουμε μὲ ἄλλον τρόπο, παρὰ μόνο μέσω αὐτοῦ, ἐξαφανίζοντας κάθε παλιὸ τραῦμα καὶ ἀποβάλλοντας κάθε εἶδος μολυσμοῦ, καὶ φορώντας σὰν ἄλλο νοῦ τὴν καθαρότητα στὸ ὄνομα τοῦ

*ἔφη λόγος. Ταύτῃ τοι καὶ ἡ τῶν ἱματίων ἔκπλυσις τῆς ἐν πνεύματι καθαρότητος τὴν δύναμιν ὑπεπλάττετο. Ἦ οὐκ εἶναι φῂς καὶ τοῦτο ἀληθές, ἔκ γε τοῦ εἰκότος ἀναπεπεισμένος;*

*Β. Φαίην ἄν.*

*Α. Ἐν εἴδει τοίνυν πυρὸς καταβεβηκότος τοῦ Θεοῦ, καίτοι δόξαν αἰσθητὴν καὶ οὐ σφόδρα τοῖς τεθεαμένοις ἀσυνήθη δεικνύντος, δυσφόρητον κομιδῇ τὴν αὐτοπρόσωπον ἐποιεῖτο θέαν ὁ Ἰσραήλ, περίφοβοι δὲ καὶ τρέμοντες ἐλιπάρουν τὸν δημαγωγόν, φημὶ δὴ Μωσέα, καὶ δὴ καὶ ἔφασαν· «Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεός, μήποτε ἀποθάνωμεν». Ἰδοὺ δὴ σαφῶς μεσιτεύεσθαι παρεκάλουν, ὡς ἀκράτῳ δηλονότι τῇ τοῦ Θεοῦ δόξῃ προσβαλεῖν οὐχ οἷοί τε. Ἴθι δὴ οὖν καθάπερ ἐξ ἐμφανοῦς εἰκόνος τῶν ἀρτίως ἡμῖν εἰρημένων ἐπὶ τὸν Μονογενῆ, ὃς ἐπείπερ οὐκ ἦν γυμνῇ πρὸς ἡμᾶς ἀφικέσθαι τῇ θείᾳ δόξῃ, ὡς ἂν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπαιδεῦσαι βούλησιν, γέγονε καθ' ἡμᾶς, μεσίτης Θεοῦ καὶ ἀνθρώπων. «Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν», κατὰ τὰς Γραφάς. Οἴου δέ με μὴ ψευδομυθεῖν, τῇ Χριστοῦ διακονίᾳ τὴν διὰ Μωσέως εἰκάζοντα. Ἐντεῦθεν δέ, οἶμαι, ῥᾷον ἂν μάθοις. Ἀνακεφαλαιούμενος γὰρ ἐν τῷ καλουμένῳ Δευτερονομίῳ τὰ περὶ τῆς συνόδου τῶν υἱῶν Ἰσραήλ, ὧδε πῃ φησι· «Τέλειος ἔσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου. Τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομεῖς αὐτούς, οὗτοι κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται· σοὶ δὲ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου. Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμέ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε. Κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν Χωρήβ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντες· Οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν. Καὶ εἶπε Κύριος πρός με· Ὀρθῶς πάντα ὅσα ἐλάλησαν. Προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σέ· καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν ἐντείλωμαι αὐτῷ. Καὶ ὁ ἄνθρωπος ἐκεῖνος ὃς ἐὰν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ, ὅσα ἐὰν λαλήσει ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ». Ἆρ' οὐκ ἐμφα-*

---

35. Ρωμ. 13, 14. 36. Ἐξ. 20, 19. 37. Ἐφ. 2, 14. 38. Δευτ. 18, 13-19.

Χριστοῦ. «Φορέστε τὸν Κύριο Ἰησοῦ Χριστόν»[35], μᾶς εἶπε ὁ θεῖος λόγος. Αὐτὴ λοπὸν τὴ σημασία εἶχε τὸ πλύσιμο τῶν ἐνδυμάτων, ποὺ ἀποτελοῦσε προτύπωση τῆς πνευματικῆς καθαρότητας. Ἢ δὲν θὰ συμφωνήσεις, ὅτι καὶ αὐτὸ εἶναι ἀληθινό, βρίσκοντάς το πιθανό;

Β. Ναί, συμφωνῶ.

Α. Ὅταν λοιπὸν κατέβηκε ὁ Θεὸς μὲ τὴ μορφὴ τῆς φωτιᾶς, ἂν καὶ ἔδειξε αἰσθητὴ λάμψη καὶ ὄχι πολὺ ἀσυνήθιστη σὲ ἐκείνους ποὺ τὴν εἶχαν δεῖ, μὲ πολλὴ δυσφορία ἔβλεπε ὁ Ἰσραηλιτικὸς λαὸς τὴν αὐτοπρόσωπη παρουσία τοῦ Θεοῦ, φοβισμένοι ὅμως καὶ τρέμοντας ἐκλιπαροῦσαν τὸν ἡγέτη τοῦ λαοῦ, δηλαδὴ τὸν Μωυσῆ, καὶ τοῦ ἔλεγαν· «Μίλησέ μας ἐσύ, καὶ ἂς μὴ μᾶς μιλάει ὁ Θεός, γιατὶ θὰ πεθάνουμε»[36]. Νὰ λοιπὸν καθαρὰ παρακαλοῦσαν νὰ μεσιτεύσει, ἐπειδὴ δὲν μποροῦσαν νὰ ἀντικρύσουν τὴν ἀληθινὴ δόξα τοῦ Θεοῦ. Ἔλα τώρα λοιπὸν ἀπὸ τὴν φανερὴ εἰκόνα αὐτῶν ποὺ μόλις εἰπώθηκαν, στὸν Μονογενῆ, ὁ ὁποῖος, ἐπειδὴ δὲν μποροῦσε νὰ ἔρθει σὲ μᾶς ἡ θεία δόξα ἀπροκάλυπτη, γιὰ νὰ μᾶς διδάξει τὴ θέληση τοῦ Θεοῦ καὶ Πατέρα, ἔγινε σᾶς ἐμᾶς, μεσίτης τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων. Γιατί, σύμφωνα μὲ τὶς Γραφές, «Αὐτὸς εἶναι ἡ εἰρήνη μας»[37]. Καὶ μὴ νομίσεις ὅτι ψεύδομαι παρομοιάζοντας τὴ διακονία τοῦ Μωϋσῆ μὲ τὴ διακονία τοῦ Χριστοῦ. Ἀπὸ ἐδῶ, νομίζω, θὰ τὸ μάθεις εὐκολότερα. Συνοψίζοντας δηλαδὴ στὸ Δευτερονόμιο τὰ σχετικὰ μὲ τὴν συγκέντρωση τῶν Ἰσραηλιτῶν λέγει κάπου τὰ ἑξῆς· «Νὰ εἶσαι τέλειος μπροστὰ στὸν Κύρο καὶ Θεό σου. Γιατὶ τὰ ἔθνη αὐτὰ ποὺ θὰ κληρονομήσεις ἐσὺ πιστεύουν σὲ παρατηρήσεις σημείων καὶ μαντεῖες· σὲ σένα ὅμως δὲν ἐπιτρέπει νὰ κάνεις τὸ ἴδιο ὁ Κύριος καὶ Θεός σου. Θὰ ἀναδείξει προφήτη σὰν ἐμένα ὁ Κύριος καὶ Θεός σου· αὐτὸν νὰ πιστέψετε. Ὅλα ὅσα ζήτησες ἀπὸ τὸν Κύριο καὶ Θεό σου στὸ ὄρος Χωρήβ, τὴν ἡμέρα τῆς συγκεντρώσεώς σας λέγοντας, Δὲν ἀντέχουμε νὰ ἀκοῦμε τὴ φωνὴ τοῦ Κυρίου καὶ Θεοῦ μας, οὔτε νὰ ἐξακολουθήσουμε νὰ βλέπουμε αὐτὴ τὴ μεγάλη φωτιά, γιὰ νὰ μὴ πεθάνουμε. Καὶ ὁ Κύριος εἶπε σὲ μένα· Εἶναι σωστὰ ὅλα ὅσα εἶπαν. Θὰ ἀναδείξω σ' αὐτοὺς προφήτη ἀπὸ τοὺς Ἰσραηλῖτες ὅμοιον μὲ σένα, καὶ θὰ βάλω τὰ λόγια μου στὸ στόμα του καὶ θὰ τοὺς πεῖ ὅ,τι πῶ ἐγὼ σ' αὐτόν. Καὶ ἐκεῖνον ποὺ δὲν θὰ ἀκούσει τὰ λόγια ποὺ θὰ πεῖ ὁ προφήτης στὸ ὄνομά μου θὰ τὸν τιμωρήσω»[38]. Δὲν εἶναι φανερὸ λοιπὸν ὅτι ἀκόμα

*νῶς, ὡς ἐν τύποις ἔτι καὶ σκιαῖς, ἔν γε τοῖς κατὰ Μωσέα, τὴν τοῦ μεσιτεύοντος χρείαν ἀναγκαιοτάτην ἀπέδειξε τὸ τῆς ἀνθρωπότητος ἀσθενές; Πλὴν ἐκεῖνο διασκεπτέον.*

*Β. Τὸ ποῖόν τι φῄς;*

*Α. Μωσῇ μὲν γὰρ προσιόντες, «Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεός, ἵνα μὴ ἀποθάνωμεν», ἔφασκεν ὁ Ἰσραήλ· καὶ τοῦτο ἐζήτουν ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ὅτε Θεὸς ἦν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος Σινᾶ. Ἀλλ' ὡς ἄριστα τουτὶ λέγοντάς τε καὶ διεσκεμμένους ἀπεδέχετο μὲν ὁ Δημιουργός, προαναπλάττων δὲ ὥσπερ καὶ αὐτὴν ἡμῖν ἐν τύποις τὴν ἀλήθειαν, τὴν διὰ Χριστοῦ μεσιτείαν ὑπισχνεῖτο λέγων· «Ὀρθῶς πάντα ὅσα ἐλάλησαν. Προφήτην αὐτοῖς ἀναστήσω ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ»· μεσίτην δηλονότι, καὶ τοὺς ἄνωθέν τε καὶ θείους διαπορθμεύοντα λόγους, καὶ κατασημαίνοντα τῷ λαῷ τὸ τῇ ἀφράστῳ τε καὶ ἀρρήτῳ φύσει δοκοῦν, ὃ καὶ ἀταλαίπωρον κομιδῇ καὶ δι' αὐτοῦ τοῦ Χριστοῦ τετελεσμένον ἰδεῖν. Ἀνεκεκράγει γὰρ ἐναργῶς ὅτι «Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατήρ, αὐτός μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω». Καὶ πάλιν· «Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ οὐκ ἔστιν ἐμά, ἀλλὰ τοῦ πέμψαντός με». Γράφει δὲ καὶ ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ· «Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ». Ἆρ' οὖν, ὦ φιλότης, ἐπιψηφιεῖ τῷ λόγῳ τὸ ἀληθές, ἢ καταρνήσῃ τὸ συναινεῖν;*

*Β. Οὐδαμῶς.*

*Α. Οὐκοῦν ταυτὶ μὲν ἡμῖν Μωσέως εἰρήσθω πέρι. Βούλει τι καὶ ἕτερον ἐπὶ τούτῳ φῶμεν, τῆς τοῦ Υἱοῦ μεσιτείας ἀπορρήτως ἡμῖν ἀνατυποῦν τὸν τρόπον; ἢ τοῦτο μηθέντας, ἑτέραν ἡμᾶς οἴει χρῆναι διᾴττειν ὁδόν;*

*Β. Ἀλλ', ὦ γενναῖε, τί δὴ παρέντες τὸ ἐν χερσί, καίτοι λίαν ἡμᾶς ὀνήσειν προσδοκώμενον, ἐφ' ἑτέραν ἴμεν τε καὶ διασπεύδομεν νοημάτων θήραν, ὅτε καὶ σχολαίως τοῦτο δρᾶν ἄμεινον ἔσται που, παραποδίζοντος οὐδενός;*

---

39. Ἰω. 12, 49. 40. Ἰω. 14, 10. 41. Ἰω. 3, 33-34.

καὶ μὲ τοὺς τύπους καί τὶς σκιὲς τοῦ Μωϋσῆ ἔδειξε ὅτι ἡ ἀδυναμία τῆς ἀνθρώπινης φύσεως ἔχει μεγάλη ἀνάγκη ἀπὸ μεσίτη; Ὅμως πρέπει νὰ σκεφθοῦμε μὲ προσοχὴ τὸ ἑξῆς.

Β. Ποιὸ ἐννοεῖς;

Α. Οἱ Ἰσραηλῖτες πλησιάζοντας τὸν Μωυσῆ τοῦ εἶπαν· «Νὰ μιλᾶς ἐσὺ σὲ μᾶς καί ὄχι ὁ Θεός, γιὰ νὰ μὴ πεθάνουμε»· καὶ αὐτὸ τὸ ζητοῦσαν στὸ ὄρος Χωρὴβ τὴν ἡμέρα ποὺ ἦταν συγκεντρωμένοι, ὅταν ὁ Θεὸς ἦταν πάνω στὸ ὄρος Σινᾶ μὲ τὴ μορφὴ φωτιᾶς. Καί ὁ Δημιουργὸς ἀποδεχόμενος αὐτὰ ποὺ ἔλεγαν καὶ σκέφτονταν ὡς πολὺ καλά, καὶ προαναγγέλλοντας κατὰ κάποιο τρόπο σὲ μᾶς μὲ προτυπώσεις ἀκόμα καὶ αὐτὴ τὴν ἀλήθεια, ἔδωσε τὴν ὑπόσχεση τῆς μεσιτείας τοῦ Χριστοῦ λέγοντας· «Ὅλα ὅσα εἶπαν εἶναι σωστά. Θὰ ἀναδείξω σ' αὐτοὺς Προφήτη ἀπό τοὺς Ἰσραηλῖτες, ὅμοιον μὲ σένα»· δηλαδὴ μεσίτην, ὁ ὁποῖος θὰ μεταφέρει τὰ θεῖα λόγια ἀπὸ τὸν οὐρανό, καὶ θὰ φανερώνει στὸν λαὸ αὐτὸ ποὺ φαίνεται καλὸ στὴν ἀπερίγραπτη φύση, τὸ ὁποῖο καὶ θὰ τὸ δεῖ ὁπωσδήποτε νὰ ἐκτελεῖται εὔκολα καὶ ἀπὸ τὸν ἴδιο τὸν Χριστό. Γιατὶ φώναζε μὲ σαφήνεια· «Ἐγὼ δὲν εἶπα τίποτε ἀπὸ τὸν ἑαυτό μου, ἀλλὰ ὁ Πατέρας ποὺ μὲ ἔστειλε, αὐτὸς μοῦ ἔδωσε ἐντολὴ τί νὰ πῶ καὶ πῶς νὰ μιλήσω»[39]. Καὶ πάλι· «Τὰ λόγια ποὺ σᾶς λέω, δὲν εἶναι δικά μου, ἀλλὰ ἐκείνου ποὺ μὲ ἔστειλε»[40]. Καὶ ὁ σοφὸς Ἰωάννης γράφει γι' αὐτόν· «Ἐκεῖνος ποὺ δέχθηκε τὴ μαρτυρία του, βεβαίωσε ὅτι ὁ Θεὸς εἶναι ἀληθινός. Γιατὶ αὐτὸς τὸν ὁποῖο ἔστειλε ὁ Θεός, λέγει τὰ λόγια τοῦ Θεοῦ»[41]. Λοιπόν, φίλε, ἐπικυρώνεις τὴν ἀλήθεια τῶν λόγων μου, ἢ ἀρνεῖσαι νὰ συμφωνήσεις;

Β. Καθόλου.

Α. Ἑπομένως εἶναι ἀρκετὰ αὐτὰ ποὺ ἔχουν λεχθεῖ γιὰ τὸν Μωϋσῆ. Θέλεις νὰ ποῦμε καὶ τίποτε ἄλλο γιὰ τὸ θέμα αὐτό, ποὺ νὰ προτυπώνει σὲ μᾶς τὸν τρόπο τῆς μεσιτείας τοῦ Χριστοῦ κατὰ τρόπο μυστικό; Ἤ, ἀφοῦ ἀφήσουμε τὸ θέμα αὐτό, νομίζεις ὅτι πρέπει νὰ πάρουμε ἄλλο δρόμο;

Β. Γιατί ὅμως, γενναῖε, ἀφήνοντας αὐτὸ ποὺ ἔχουμε στὰ χέρια, ἂν καὶ ἀναμένεται ὅτι θὰ μᾶς ὠφελήσει πάρα πολύ, νὰ πᾶμε καὶ νὰ ἀσχοληθοῦμε μὲ τὸ κυνήγι ἄλλου θηράματος, ἀφοῦ, καὶ μὲ ἀργὸ ρυθμὸ νὰ τὸ κάνουμε αὐτό, θὰ εἶναι ὁπωσδήποτε καλύτερο, τὴ στιγμὴ ποὺ δὲν μᾶς ἐμποδίζει τίποτε;

*Α. Τετράψομαι τοίνυν ἐπὶ τὸ αὐτῷ σοὶ φίλον, καὶ δὴ καὶ ἐρῶ. Κορὲ γὰρ δή, Δαθάν τε καὶ Ἀβειρών, φυλῆς μὲν καὶ γένους ἐξέφυσαν τοῦ Λευί, ἐτετάχαντο δὲ οὐκ ἐν τοῖς ἱερᾶσθαι λαχοῦσιν, ἀλλ' ἐν τοῖς τὴν ὑπουργικὴν διαπεραίνουσιν λειτουργίαν ἐν τῇ τοῦ μαρτυρίου σκηνῇ· Λευῖται δὲ οὗτοι, καὶ μέτριον ἦν τοῦτο αὐτοῖς. Εἶτα τῆς ἱερωσύνης τὴν δόξαν οὐκ ἐν καιρῷ διψήσαντες, καὶ μέτρον τιμῆς ἀσυνέτως οὐ προσιέμενοι τὸ παρὰ τοῦ Θεοῦ, αὐτόμολοι καὶ θρασεῖς ἐπὶ τὸ μέσον ᾔεσαν καὶ δὴ κατεξανιστᾶσι Μωσέως τε καὶ Ἀαρὼν τὴν συναγωγήν, πικροῖς δὲ τὸν προσηνῆ καταπαίοντες λόγοις, κατηρέθιζον ἤδη πως εἰς δυσθυμίας. Δίκας δὲ οὗτοι πραττόμενοι τοῦ τολμήματος παρὰ τοῦ τὰ δίκαια κρίνοντος, πανοικὶ διολώλασι. Διοίξασα γὰρ ἡ γῆ τὸ στόμα αὐτῆς, κατέπιεν αὐτοὺς καὶ τὰ τέκνα αὐτῶν καὶ τὰ κτήνη αὐτῶν καὶ πάντα ὅσα ἦν αὐτοῖς. Ἐπειδὴ δὲ τοῖς ὁσίως κεκολασμένοις ἐκτόπως ἐπιστυγνάζοντες, ἐχίων, οἶμαι, δίκην ἐπέθρωσκόν τε καὶ ἐπεφύοντο τοῖς ἀμφὶ Μωσέα τῶν ἰσοφρόνων τινές, ἡ θεία λοιπὸν εἰς ὀργὰς ἐκαλεῖτο φύσις. Γέγραπται δὲ οὕτως· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν λέγων· Ἐκχωρήσατε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰσάπαξ. Καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν. Καὶ εἶπε Μωσῆς πρὸς Ἀαρών· Λαβὲ τὸ πυρεῖον, καὶ ἐπίθες ἐπ' αὐτὸ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἐπίβαλε ἐπ' αὐτὸ θυμίαμα, καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν παρεμβολήν, καὶ ἐξίλασαι περὶ αὐτῶν. Ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου Κυρίου, καὶ ἦρκται θραύειν τὸν λαόν. Καὶ ἔλαβεν Ἀαρών, καθάπερ ἐλάλησεν αὐτῷ Μωσῆς, καὶ ἔδραμεν εἰς τὴν συναγωγήν. Καὶ ἤδη ἐνῆρκτο ἡ θραῦσις ἐν τῷ λαῷ· καὶ ἐπέβαλε τὸ θυμίαμα, καὶ ἐξιλάσατο περὶ τοῦ λαοῦ, καὶ ἔστη ἀναμέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις».[42] Ἆρά σοι λοιπὸν τῆς τοῦ Υἱοῦ μεσιτείας τὸ χρῆμα καὶ μετὰ τοῦτο ἀσυμφανές, ὦ Ἑρμεία;*

*Β. Ναί. Δεῖν γάρ ἔγωγέ φημι κατιδεῖν ἀστείως τὸ ἐκ τῆς ἱστορίας ὑποδηλούμενον. Οὐκοῦν διασάφει· σὺ γὰρ ἔσῃ δρᾶν καὶ τοῦτο πρέπων.*

*Α. Οὐ γὰρ οἴει τὸν Ἀαρὼν εἰς εἰκόνα καὶ τύπον τῆς τοῦ Σω-*

---

42. Ἀριθμ. 16, 1-35

Α. Θὰ γυρίσω λοιπὸν στὸ ἴδιο θέμα ποὺ σοῦ ἀρέσει καὶ θὰ σοῦ πῶ. Ὁ Κορὲ λοιπόν, ὁ Δαθὰν καὶ ὁ Ἀβειρών, ἦταν βέβαια ἀπὸ τὴ φυλὴ καὶ τὸ γένος τοῦ Ἀαρών, ὅμως δὲν εἶχαν καταταγεῖ μεταξὺ ἐκείνων ποὺ εἶχαν κληρωθεῖ νὰ ἱερατεύουν, ἀλλὰ σ' ἐκείνους ποὺ διεκπεραιώνουν ὑπηρετικὰ καθήκοντα στὴ σκηνὴ τοῦ μαρτυρίου. Ἦταν δηλαδὴ Λευῖτες καὶ αὐτὸ ἦταν γι' αὐτοὺς λίγο. Διψώντας λοιπὸν γιὰ τὴ δόξα τῆς ἱερωσύνης παράκαιρα, καὶ μὴ περιμένοντας ἀνόητα νὰ τοὺς δοθεῖ ἡ τιμὴ ἀπὸ τὸν Θεό, μόνοι τους καὶ μὲ θράσος ἦρθαν στὴ μέση καὶ ξεσήκωσαν τὸ πλῆθος ἐναντίον τοῦ Μωυσῆ καὶ τοῦ Ἀαρών, καὶ βάλλοντας τὸν πρᾶον μὲ πικρὰ λόγια, τὸν ἐρέθιζαν προκαλώντας του μελαγχολία. Αὐτοὶ τιμωρούμενοι τότε γιὰ τὸ τόλμημά τους ἀπὸ ἐκεῖνον ποὺ δικάζει δίκαια, ἀφανίσθηκαν μὲ ὅλη τὴν οἰκογένειά τους. Γιατὶ ἀνοίγοντας ἡ γῆ τὸ στόμα της κατάπιε καὶ αὐτοὺς καὶ τὰ παιδιά τους καὶ τὰ κτήνη τους καὶ ὅλα ὅσα ἀνῆκαν σ' αὐτούς. Καὶ ἐπειδὴ γι' αὐτοὺς ποὺ δίκαια εἶχαν τιμωρηθεῖ, παραδόξως ἐμφανίζονταν καὶ ξεφύτρωναν σὰν φιδόχορτα γύρω ἀπὸ τὸν Μωϋσῆ μερικοὶ ὁμόφρονές τους θλιμμένοι, ἐκδηλώθηκε καὶ ἐναντίον τους ἡ ὀργὴ τοῦ Θεοῦ. Ἔχει γραφεῖ τὸ ἑξῆς· «Καὶ μίλησε ὁ Κύριος στὸν Μωϋσῆ καὶ τὸν Ἀαρὼν λέγοντας· Ἀπομακρυνθεῖτε ἀπὸ τὸ πλῆθος αὐτῶν, γιατὶ θὰ τοὺς ἐξολοθρεύσω μὲ ἕνα χτύπημα. Ἔτσι ὁ Μωϋσῆς καὶ ὁ Ἀαρὼν ἔπεσαν καταγῆς. Καὶ εἶπε ὁ Μωϋσῆς στὸν Ἀαρών· Πάρε τὸ πυροδοχεῖο καὶ βάλε σ' αὐτὸ φωτιὰ ἀπὸ τὸ θυσιαστήριο, καὶ ρίξε σ' αὐτὸ θυμίαμα καὶ πήγαινέ το τὸ πρωὶ στὸ στρατόπεδο, καὶ κάνε ἐξιλαστήριες προσευχὲς γι' αὐτούς. Γιατὶ ἐκδηλώθηκε ὀργὴ ἀπὸ τὸν Κύριο καὶ ἄρχισε νὰ ἐξολοθρεύει τὸν λαό. Καὶ πῆρε ὁ Ἀαρὼν τὸ πυροδοχεῖο, ὅπως τοῦ εἶπε ὁ Μωυσῆς καὶ πῆγε στὸ συγκεντρωμένο πλῆθος. Ἤδη ὅμως εἶχε ἀρχίσει ἡ ἐξολόθρευση τοῦ λαοῦ. Ἔρριξε λοιπὸν τὸ θυμίαμα στὴ φωτιὰ καὶ ἔκανε ἐξιλαστήρια προσευχὴ γιὰ τὸν λαό, καὶ ἀφοῦ στάθηκε ἀνάμεσα στοὺς νεκροὺς καὶ τοὺς ζῶντες σταμάτησε ἡ καταστροφή»[42]. Μήπως λοιπόν, Ἑρμεία, καὶ τὸ γεγονὸς αὐτὸ εἶναι ἄσχετο μὲ τὴν μεσιτεία τοῦ Υἱοῦ;

Β. Ναί. Ἀλλὰ νομίζω, ἐγὼ τοὐλάχιστον, ὅτι πρέπει νὰ δοῦμε μὲ τρόπο κατάλληλο αὐτὸ ποὺ ἀφήνει νὰ νοηθεῖ ἡ ἱστορία. Λοιπὸν ξεκαθάρισέ το· γιατὶ δὲν πρέπει νὰ ἀποφύγεις νὰ τὸ κάνεις κι αὐτό.

Α. Δὲν νομίζεις ἀλήθεια, ὅτι ὁ Ἀαρὼν τοποθετήθηκε στὸ ἀξίω-

*τῆρος ἡμῶν ἱερωσύνης τεθεῖσθαι τὸ ἐν ἀρχαῖς, τόν τε ποδήρη διεζωσμένον, καὶ τὴν καλουμένην ἐπωμίδα, καὶ τὸ πέταλον τὸ χρυσοῦν ἐπὶ μετώποις ἄκροις, καὶ τοὺς λίθους τῆς γλυφῆς, καὶ τὸ ἔτι τούτων εὐσυνοπτότερον, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον εἰς τὰ Ἅγια τῶν ἁγίων εἰσελθεῖν ἐπιτετραμμένον, αἵματός τε οὐ δίχα τὴν ὑπὲρ παντὸς τοῦ λαοῦ πληροῦντα θυσίαν;*

*Β. Εὖ λέγεις, ἐπεί τοι καὶ ὁ θεσπέσιος γράφει Παῦλος· «Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος». Καὶ ὅτι τύποι μὲν τὰ ἀρχαῖα καὶ σκιαί, ταυτὶ δὲ δή, τουτέστι τὰ διὰ Χριστοῦ, λαμπρά τε ἤδη καὶ ἐμφανεστάτη λίαν ἀλήθεια, τίς ἂν ἐνδοιάσαι τῶν εὐμαθεστέρων;*

*Α. Παραδεξάμενοι τοίνυν εἰς ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν, καὶ ταῖς τῶν τύπων ἀκαλλεστέραις ἔτι σκιαῖς οἱονεί πως ἤδη τὰ παμποίκιλα τῆς ἀληθείας ἐπιπάττοντες χρώματα, φέρε λέγωμεν ὅτι τοῖς θείοις δόγμασι καὶ δεσποτικοῖς θεσπίσμασι ἀντεξάγοντες ἀπηνῶς τὸ ἴδιον θέλημα πάντες ὅσοι τὴν πλατεῖαν ταυτηνὶ καὶ ἀμέτρητον οἰκοῦμεν γῆν, προσκεκρούκαμεν οὐ μετρίως τῷ Δημιουργῷ, καίτοι τιμῆς τε καὶ δόξης ἐφέντι λαχεῖν ἃς ἦν ἀνθρώπους ἔχειν εἰκός Ἐντεῦθεν ἡμῶν ἡ δαπανῶσά τε καὶ τῷ θανάτῳ συνθραύουσα κατεξανέστη φθορά· «Καὶ βεβασίλευκεν ὁ θάνατος ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωσέως, καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ», «Καὶ ἐπλάτυνε μὲν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ», καθά φησιν ὁ προφήτης Ἡσαΐας, «διήνοιξε δὲ τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν». Κἂν εἰσάπαν ὠλόθρευσε τὴν γῆν, ἀδιάφυκτόν τι καὶ ἀνεξίτητον ἁπλώσας τὸ λίνον, εἰ μὴ καθάπερ ἀπό τινος σκηνῆς τῆς ἄνω καὶ ἐν οὐρανοῖς, κατ' εὐδοκίαν τοῦ Θεοῦ καὶ Πατρός, ἐκπεφοίτηκέ τε καὶ καθίκετο πρὸς ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. «Κεκένωκε γὰρ ἑαυτόν, μορφὴν δούλου λαβών», ἵνα καὶ χρηματίσας ἀρχιερεὺς καὶ ὡς ἐν τάξει θυμιάματος ἑαυτὸν ὑπὲρ ἡμῶν ἱερουργήσας τῷ Θεῷ καὶ Πατρὶ ἐκδυσωπήσῃ τὴν θραῦσιν.*

---

43. Γιὰ τὰ ἄμφια τοῦ Ἀρχιερέα βλ. Ἔξ. 28, 1 ἑ.

44. Βλ. Ἑβρ. 9, 7.

μα τοῦ ἀρχιερέα ὡς εἰκόνα καὶ προτύπωση τῆς ἱερωσύνης τοῦ Σωτῆρας μας, καὶ ζώσθηκε τὸν ποδήρη χιτώνα καὶ τὴ λεγομένη ἐπωμίδα καὶ τὸ χρυσὸ πέταλο στὴν ἄκρα τοῦ μετώπου του καὶ τοὺς λίθους τοῦ γλυπτοὺς[43], καὶ τὸ πιὸ σαφὲς ἀπὸ αὐτά, τὸ νὰ τοῦ ἐπιτρέπεται μιὰ μόνο φορὰ τὸ χρόνο νὰ μπαίνει στὰ Ἅγια τῶν ἁγίων, προσφέροντας αἱματηρὴ θυσία γιὰ ὅλο τὸν λαό[44];

Β. Μιλᾶς πολὺ σωστά· ἄλλωστε καὶ ὁ θεσπέσιος Παῦλος γράφει· «Ὅταν ἦρθε ὁ Χριστὸς ὡς ἀρχιερέας τῶν μελλοντικῶν ἀγαθῶν, μπῆκε μέσω τῆς μεγαλύτερης καὶ ἀπὸ τέλειας σκηνῆς, ποὺ δὲν εἶναι χειροποίητη, δηλαδὴ δὲν εἶναι ἀπὸ τὸν κόσμον αὐτό, καὶ μπῆκε ὄχι μὲ αἷμα τράγων καὶ μοσχαριῶν, ἀλλὰ μπῆκε μιὰ φορὰ στὰ ἅγια μὲ τὸ δικό του αἷμα, καὶ ἐξασφάλισε αἰώνια λύτρωση»[45]. Ὅτι λοιπὸν τὰ παλιὰ εἶναι προτυπώσεις καὶ σκιές, αὐτὰ δηλαδὴ ποὺ διὰ τοῦ Χριστοῦ εἶναι ἤδη λαμπρὴ καὶ ὁλοφάνερη πραγματικότητα, ποιὸς ἀπὸ τοὺς λογικοὺς θὰ μποροῦσε νὰ τὸ ἀμφισβητήσει;

Α. Ἀφοῦ λοιπὸν παραδεχθήκαμε τὸν Ἀρχιερέα καὶ ἀπόστολο τῆς πίστεώς μας Ἰησοῦν Χριστόν[46], καὶ χρωματίσαμε τὶς ἀτελεῖς σκιὲς τῶν προτυπώσεων κατὰ κάποιο τρόπο μὲ τὰ πολυποίκιλα χρώματα τῆς ἀλήθειας, ἐμπρὸς νὰ ποῦμε, ὅτι μὲ τὸ νὰ ἀντιπροβάλλουμε στὰ θεϊκὰ δόγματα καὶ στὰ δεσποτικὰ θεσπίσματα τὸ δικό μας θέλημα, ὅλοι ὅσοι κατοικοῦμε αὐτὴ τὴν πλατειὰ καὶ ἀμέτρητη γῆ, προσκρούσαμε ὄχι λίγο στὸν Δημιουργό, ἂν καὶ μᾶς ἐπέτρεψε νὰ ἐπιτύχουμε τιμὴ καὶ δόξα, τὶς ὁποῖες ἦταν φυσικὸ νὰ ἔχουν ἄνθρωποι. Ἀπὸ ἐδῶ προῆλθε ἡ φθορὰ ποὺ μᾶς κατατρώει καὶ μᾶς συντρίβει μὲ τὸν θάνατο, «Καὶ ἐπεκράτησε ὁ θάνατος ἀπὸ τὸν Ἀδὰμ μέχρι τὸν Μωϋσῆ, ἀκόμα καὶ σ' ἐκείνους ποὺ δὲν ἁμάρτησαν κατὰ τρόπο ὅμοιο μὲ τὴν παράβαση τοῦ Ἀδάμ»[47]. «Καὶ εὐφράνθηκε ἡ ψυχὴ τοῦ ἅδη», ὅπως λέγει ὁ προφήτης Ἠσαΐας, «καὶ ἄνοιξε τὸ στόμα του γιὰ νὰ μὴ ἀφήσει κανέναν»[48]. Καὶ θὰ ἐξολόθρευε ὁλόκληρη τὴ γῆ ἁπλώνοντας ἀναπόφευκτο καὶ αἰώνιο τὸ δίχτυ του, ἄν, ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ Πατέρα δὲν ἔβγαινε σὰν ἀπὸ κάποια σκηνὴ ποὺ βρίσκεται στοὺς οὐρανούς, καὶ ἐρχόταν σὲ μᾶς ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ. Γιατὶ λέγει· «Ταπείνωσε τὸν ἑαυτό του, παίρνοντας μορφὴ δούλου»[49], καὶ ἔγινε ἀρχιερέας, μὲ σκοπό, προσφέροντας τὸν ἑαυτό του ὡς θυμίαμα

---

45. Ἑβρ. 9, 11-12. 46. Ἑβρ. 3, 1. 47. Ρωμ. 5, 14. 48. Ἠσ. 5, 14. 49. Φιλ. 2, 7.

*«Ἔστη», γάρ, φησίν, «ἀναμέσον τῶν ζώντων καὶ τῶν τεθνηκότων, καὶ ἐκόπασεν ἡ θραῦσις». Ἆρ' οὖν οὐχὶ καὶ διὰ τούτων εὖ μάλα κατα θρήσαι τις ἂν ὅτι μεσίτης Θεοῦ καὶ ἀνθρώπων γέγονεν Ἰησοῦς; Λελυμένης γὰρ ὥσπερ τῆς διαμάχης καὶ παντὸς ἀρχαίου διατειχίσματος κατασεσεισμένου, ἀλλήλοις συνέβη τὰ πάλαι διῳκισμένα, τουτέστι Θεός τε καὶ ἀνθρωπότης, μεσολαβοῦντος Χριστοῦ, καὶ δι' ἑαυτοῦ τοῖς ἄνω τὰ κάτω συνδέοντος. Καὶ γοῦν ὁ θεσπέσιος ἔφη Παῦλος ὅτι «Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας». Καὶ αὖθις αὖ· «Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».*

*Β. Ἆρ' οὖν, ὅτι τὸ μεσολαβοῦν καὶ ἐξεῖργον ἡμᾶς τῆς πρὸς Θεὸν ἀγάπης τε καὶ οἰκειότητος, φημὶ δὴ τὴν ἁμαρτίαν, ἐκποδὼν ἐλάσας, ὁ Μονογενὴς ἀνεκόμισέ τε πρὸς τὸ ἀρχαῖον ἡμᾶς καὶ κατήργηκε τὴν ἔχθραν, κατ' αὐτὸ δὴ τουτὶ καὶ μόνον νοοῖτ' ἂν μεσίτης, ἢ καὶ καθ' ἕτερόν τινα τρόπον; Φράσαις ἂν ὡς ἥδιστα ἐρομένῳ τε καὶ δεδιψηκότι μαθεῖν.*

*Α. Καὶ μάλα, κατοκνήσαιμι γὰρ ἂν ἥκιστά γε. Ἐρῶ δὲ ὅτι κατήργηκε μὲν τὴν ἔχθραν ὁμολογουμένως ἐν τῇ σαρκὶ αὐτοῦ, καθὰ γέγραπται, καὶ οἱονεί τις διαλλάκτης εἰς ἡμᾶς καὶ μεσίτης γεγονὼς τῆς πρὸς Θεὸν ἀγάπης ὠλισθηκότας ὡς ἀπωτάτω, διά γε φιληδονίας τῆς κοσμικῆς καὶ ἐπείπερ τῇ κτίσει παρὰ τὸν κτίσαντα λελατρεύκαμεν, προσκεκόμικε δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί, καὶ δικαιώσας, τῇ πίστει κατεκτήσατο· πλὴν οὔ τί πού φαμεν μεσίτην αὐτὸν δι' οἰκονομίαν κεκλῆσθαι τὴν ἐπὶ τῷδε μόνην, ἀλλά τις αὐτῷ καὶ ἕτερος ἐπὶ τῷδε λόγος ἀπόρρητός τε καὶ μυστικὸς πρὸς τὸ τῆς μεσιτείας ὄνομά τε καὶ χρῆμα προσπορίζεται.*

*Β. Πῶς δὴ ἄρα καὶ τοῦτο φῄς;*

*Α. Καὶ πῶς ἂν ἑτέρως ἢ κατ' ἐκεῖνό που πάντως τὸ γεγραμμένον, «Τοῦτο φρονεῖτε ἕκαστος ἐν ὑμῖν αὐτοῖς ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄν-*

---

50. Ἐφ. 2, 14. 51. Ρωμ. 5, 1. 52. Ἐφ. 2, 16. 53. Ὅπ. π.

στὸν Θεὸ καὶ Πατέρα, νὰ σταματήσει τὸν ὄλεθρο. Γιατὶ λέγει, «Στάθηκε ἀνάμεσα στοὺς ζωντανοὺς καὶ τοὺς πεθαμένους, καὶ σταμάτησε ἡ ἐξολόθρευση». Ἄρα λοιπὸν οὔτε καὶ μὲ αὐτὰ θὰ μποροῦσε κάποιος νὰ πεισθεῖ, ὅτι ὁ Ἰησοῦς ἔγινε μεσίτης μεταξὺ Θεοῦ καὶ ἀνθρώπων; Γιατί, ἀφοῦ λύθηκε ἡ μεταξύ τους διαμάχη καὶ γκρεμίσθηκε τὸ παλιὸ μεσότοιχο, ἑνώθηκαν αὐτὰ ποὺ παλιὰ ἦταν χωρισμένα, δηλαδὴ ὁ Θεὸς καὶ ἡ ἀνθρωπότητα, μὲ τὴ μεσολάβηση τοῦ Χριστοῦ, ὁ ὁποῖος μὲ τὸν ἑαυτό του ἕνωσε τὰ οὐράνια μὲ τὰ ἐπίγεια. Ἄλλωστε καὶ ὁ θεσπέσιος Παῦλος εἶπε· «Αὐτὸς εἶναι ἡ εἰρήνη μας, αὐτὸς ποὺ ἕνωσε τὰ δύο σὲ ἕνα καὶ γκρέμισε τὸ μεσότοιχο τοῦ φράχτη»[50]. Καὶ πάλι· «Ἀφοῦ λοιπὸν δικαιωθήκαμε μὲ τὴν πίστη, ἔχουμε εἰρήνη μὲ τὸν Θεό, μέσω τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[51].

Β. Ἄρα λοιπόν, ἐπειδὴ ὁ Μονογενὴς ἀπομάκρυνε αὐτὸ ποὺ μεσολαβοῦσε καὶ μᾶς ἐμπόδιζε ἀπὸ τὴν ἀγάπη καὶ φιλία μας μὲ τὸν Θεό, ἐννοῶ τὴν ἁμαρτία, καὶ μᾶς ἐπανέφερε στὴν πρώτη κατάσταση, καὶ κατάργησε τὴν ἔχθρα, γι' αὐτὸ καὶ μόνο θεωρεῖται μεσίτης, ἢ καὶ γιὰ κάποιον ἄλλο λόγο[52]; Πές μου σὲ παρακαλῶ, γιατὶ μὲ εὐχαριστεῖ πολὺ καὶ διψῶ νὰ μάθω.

Α. Πολὺ εὐχαρίστως· ἄλλωστε αὐτὸ δὲν μὲ κουράζει καθόλου. Λέγω λοιπὸν ὅτι κατάργησε ὁμολογουμένως τὴν ἔχθρα μὲ τὴν ἐνσάρκωσή του, ὅπως ἔχει γραφεῖ[53], καὶ σὰν νὰ ἔγινε κάποιος συμφιλιωτὴς καὶ μεσίτης, ἐπειδὴ εἴχαμε ξεφύγει ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ ἀπὸ πολὺ παλιά, ἐξαιτίας τῆς ἀγάπης τοῦ κόσμου, καὶ εἴχαμε λατρεύσει τὴν κτίση καὶ ὄχι τὸν κτίστη, μᾶς ἔφερε μέσω τοῦ ἑαυτοῦ του στὸν Θεὸ καὶ Πατέρα, καὶ δικαιώνοντάς μας μὲ τὴν πίστη μᾶς κατέκτησε. Ὅμως δὲν λέμε ὅτι μόνο γι' αὐτὴ τὴν πρόνοιά του ὀνομάσθηκε μεσίτης, ἀλλὰ μαζὶ μ' αὐτὸ καὶ κάποιος ἄλλος λόγος ἀπερίγραπτος καὶ μυστικὸς τοῦ προσθέτει μαζὶ μὲ τὸ ὄνομα τοῦ μεσίτη καὶ τὸ πρᾶγμα.

Β. Πῶς τὸ ἐννοεῖς καὶ αὐτό;

Α. Πῶς ἀλλιῶς, παρὰ σύμφωνα μ' ἐκεῖνο ποὺ ὁπωσδήποτε εἶναι γραμμένο; «Νὰ πιστεύετε ὁ καθένας ἀπὸ σᾶς αὐτὸ ποὺ συνέβη καὶ μὲ τὸν Ἰησοῦ Χριστό, ὁ ὁποῖος, ἂν καὶ εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε τὸ ὅτι ἦταν ἴσος μὲ τὸν Θεὸ κάτι σὰν ἁρπαγή, ἀλλὰ ταπείνωσε τὸν ἑαυτό του παίρνοντας μορφὴ δούλου καὶ γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους, καὶ βρέθηκε ὡς πρὸς τὸ σχῆμα σὰν ἄνθρωπος»[54];

*θρωπος»; Αὐτὸς γὰρ ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἀκήρατον κάλλος καὶ ἡ μορφὴ καὶ τὸ εἶδος, ὁ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ Θεὸς Λόγος, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, οὐχ ὑπό του πρὸς τοῦτο βεβιασμένος, ἀλλ' εὐδοκίᾳ Πατρὸς κατ' ἰδίαν βούλησιν, καὶ γέγονεν ἄνθρωπος, ἀλώβητον μὲν παντελῶς καὶ ἀπαραποίητον ἐν ἑαυτῷ τὸ τῆς ἰδίας φύσεως ἀνασῴζων ἀξίωμα, προσλαβὼν δὲ τὸ ἀνθρώπινον οἰκονομικῶς, καὶ εἷς ἐξ ἀμφοῖν νοούμενος Υἱός, συνδεδραμηκότων καὶ συνενεχθέντων εἰς ἓν φύσεως τε θείας καὶ ἀνθρωπίνης ἀφράστως τε καὶ ἀπορρήτως, καὶ ὡς οὐκ ἔστι νοεῖν εἰς ἑνότητα συντεθειμένων. Καὶ οὐ δήπου φαμὲν τὸν τοῦ Θεοῦ Λόγον εἰς τὴν τῆς ἐπιγείου σαρκὸς μεταπεποιῆσθαι φύσιν, ἤγουν εἰς αὐτοῦ τοῦ Λόγου τὴν σάρκα· φρενοβλαβείας γὰρ δοίην ἂν ἔγωγε τῆς ἐσχάτης νόσημα τουτί· ἑκατέρου δὲ ὥσπερ ἐν ἰδίῳ μένοντος ὅρῳ τε καὶ λόγῳ, τὴν εἰς ἄκρον τε καὶ ἀδιασπάστως ἔχουσαν εἰς ἑνότητα συνδρομήν, τὸ τῆς λεγομένης ἐνθάδε συμβάσεως ὄνομα δηλοῖ. Θεὸς γάρ ἐστιν ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός· οὔτε δὲ Θεὸν εἰπὼν ἀνθρωπότητος ἀπαλλάξεις μετὰ τὴν ἕνωσιν, οὔτε μὴν ὀνομάσας ἄνθρωπον τῶν τῆς θεότητος ἀποσοβήσεις ἀξιωμάτων, εἴπερ ἕλοιο φρονεῖν ὀρθῶς. Καὶ ἔστι Μονογενὴς μὲν καὶ Λόγος ὡς ἐκ Θεοῦ Πατρὸς ἀναφὺς καὶ γεγεννημένος, Πρωτότοκος δὲ αὖ ὅτε γέγονεν ἄνθρωπος καὶ ἐν πολλοῖς ἀδελφοῖς. Καὶ ὥσπερ ὄνομα τὸ Μονογενής, ἴδιον ὂν τοῦ Λόγου, τετήρηται πάλιν αὐτῷ καὶ ἑνωθέντι σαρκί, οὕτω τὸ Πρωτότοκος, αὐτοῦ κυρίως οὐκ ὄν, γέγονεν ἴδιον αὐτοῦ μετὰ τῆς σαρκός. Μεσίτης ἄρα οὖν καὶ τῇδε νοεῖται τὰ πολὺ διῳκισμένα κατὰ τὴν φύσιν καὶ ἀμέτρητον ἔχοντα τὸ μεσολαβοῦν, τουτέστι θεότητά τε καὶ ἀνθρωπότητα, συνενεχθέντα τε καὶ ἡνωμένα δεικνύων ἐν ἑαυτῷ, καὶ συνείρων ἡμᾶς δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. Θεῷ μὲν γάρ ἐστιν ὁμοφυής, ἐπείτοι [καί ἐστιν ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, ἀνθρώποις γε μὴν ὡς] ἐξ ἡμῶν τε καὶ ἐν ἡμῖν. Οὐ γὰρ παρ' ἡμᾶς ἑτεροῖος κατά γε τὸ ἀνθρώπινον, ἀλλ' ἐοικὼς κατὰ πάντα, δίχα μόνης τῆς ἁμαρτίας, ὁ Ἐμμανουήλ.*

---

54. Φιλ. 2, 5-8. 55. Ρωμ. 8, 29.
56. Τὰ ἐντὸς ἀγγυλῶν λείπουν ἀπὸ τὴν PG.

Γιατί, ἐνῶ εἶναι τὸ ἄφθαρτο κάλλος τοῦ Θεοῦ καὶ Πατέρα καὶ ἡ μορφὴ καὶ τὸ σχῆμα του ὁ Θεὸς Λόγος ποὺ προῆλθε ἀπὸ αὐτὸν καὶ ὑπάρχει μέσα σ᾽ αὐτόν, ἄφησε τὸν ἑαυτό του νὰ περιέλθει σὲ ταπείνωση, χωρὶς νὰ ἐξαναγκασθεῖ ἀπὸ κάποιον γι᾽ αὐτό, ἀλλὰ μὲ τὴν συγκατάνευση τοῦ Πατέρα καὶ δική του θέληση, καὶ ἔγινε ἄνθρωπος, διατηρώντας βέβαια ἐντελῶς ἀκέραιο καὶ ἀμετάβλητο στὸν ἑαυτό του τὸ ἀξίωμα τῆς φύσεώς του, ἀλλὰ προσλαμβάνοντας κατ᾽ οἰκονομία καὶ τὴν ἀνθρώπινη φύση, νοούμενος ἀπὸ τὰ δύο αὐτὰ ὡς ἕνας Υἱός, ἀφοῦ συναντήθηκαν καὶ ἀποτέλεσαν ἕνα ἡ θεία καὶ ἡ ἀνθρώπινη φύση κατὰ τρόπο ἀνέκφραστο καὶ μυστικό, καὶ σχημάτισαν μιὰ ἑνότητα, ἔτσι ποὺ νὰ μὴ μποροῦμε νὰ τὴν κατανοήσουμε. Καὶ φυσικὰ δὲν λέμε, ὅτι ὁ Λόγος τοῦ Θεοῦ μεταβλήθηκε στὴ φύση τῆς γήινης σάρκας, δηλαδὴ στὴ σάρκα ποὺ ἔλαβε ὁ Λόγος, γιατὶ αὐτὸ ἐγὼ τοὐλάχιστον θὰ τὸ θεωροῦσα τῆς πιὸ χειρότερης μορφῆς ἁμάρτημα, ἀλλὰ ἐνῶ τὸ καθένα μένει στὰ δικά του ὅρια καὶ τοὺς λόγους, τὸ ὄνομα τῆς συνυπάρξεώς τους ἐδῶ φανερώνει τὴν ἀπόλυτη καὶ ἀδιάσπαστη ἑνότητά τους. Γιατὶ εἶναι Θεὸς μαζὶ καὶ ἄνθρωπος ὁ ἴδιος, καὶ οὔτε λέγοντάς τον Θεὸ τὸν ἀπαλλάσσεις ἀπὸ τὴν ἀνθρώπινη φύση του μετὰ τὴν ἕνωση, οὔτε βέβαια ὀνομάζοντάς τον ἄνθρωπο τὸν ἀποξενώνεις ἀπὸ τὰ ἀξιώματα τῆς θεότητας, ἐὰν φυσικὰ θέλεις νὰ πιστεύεις σωστά. Καὶ εἶναι βέβαια Μονογενὴς καὶ Λόγος, ἐπειδὴ προῆλθε καὶ γεννήθηκε ἀπὸ τὸν Θεὸ Πατέρα, ἀλλὰ καὶ πρωτότοκος ἐπίσης, ὅταν ἔγινε ἄνθρωπος, μεταξὺ πολλῶν ἀδελφῶν[55]. Ὅπως τὸ ὄνομα Μονογενής, ποὺ εἶναι ἰδιαίτερο ὄνομα τοῦ Λόγου, διατηρήθηκε πάλι σ᾽ αὐτὸν καὶ ὅταν ἑνώθηκε μὲ σάρκα, ἔτσι καὶ τὸ Πρωτότοκος, ἐνῶ δὲν εἶναι κύριο ὄνομά του, ἔγινε δικό του μαζὶ μὲ τὴν σάρκα. Ἑπομένως καὶ ἐδῶ νοεῖται μεσίτης, ἀφοῦ αὐτὰ ποὺ ἀπέχουν πολὺ κατὰ φύση κι ἔχουν μεταξύ τους ἀμέτρητη διαφορά, δηλαδὴ τὴ θεότητα καὶ τὴν ἀνθρωπότητα, τὰ παρουσιάζει μαζὶ καὶ ἑνωμένα στὸν ἑαυτό του καὶ συνδέει καὶ μᾶς μέσω τοῦ ἑαυτοῦ του μὲ τὸν Θεὸ καὶ Πατέρα. Γιατὶ μὲ τὸν Θεὸ ἔχει τὴν αὐτὴ φύση, [ἐπειδὴ προῆλθε ἀπὸ αὐτὸν καὶ βρίσκεται μέσα σ᾽ αὐτόν· καὶ ὁ ἴδιος ἔχει τὴν ἴδια φύση μὲ μᾶς[56],] ἐπειδὴ γεννήθηκε ἀπὸ μᾶς καὶ εἶναι σὲ μᾶς. Γιατὶ ὁ Ἐμμανουὴλ δὲν εἶναι ἀνάμεσά μας διαφορετικὸς ὡς πρὸς τὴν ἀνθρώπινη φύση, ἀλλ᾽ ὅμοιος σὲ ὅλα, ἐκτὸς ἀπὸ τὴν ἁμαρτία.

*Β. Ὀρθότατα ἔφης. Ἥκει δὲ ἤδη πρὸς τοῦτο ἀνάγκης ἡμῖν ὁ λόγος, ὡς καὶ ὁμοούσιον τῷ Θεῷ καὶ Πατρὶ εἶναι φάναι τὸν Υἱόν.*

*Α. Ὁμοούσιον γάρ, εἴπερ ἐστὶν ἀληθῶς ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν καὶ οὐσιωδῶς. Ὥσπερ γὰρ οὐκ ἀληθῶς καὶ ἐξητασμένως, ἀλλ᾽ οὐδὲ ἐν τάξει τῇ πρεπούσῃ νοοῖτ᾽ ἂν ἢ λέγοιτο πρὸς ἡμᾶς ὁμοούσιος εἰ μὴ γέγονεν ἄνθρωπος, οὕτως οὐκ εἴη ποτ᾽ ἂν ἐκ Θεοῦ τε καὶ ἐν Θεῷ μὴ φυσικοῖς εἰς ἑνότητα τὴν πρὸς αὐτὸν συνδούμενος λόγοις· ἀλλ᾽ οὐδ᾽ ἂν ἑτέρως ἡ ἀνθρωπότης θείας εἴη φύσεως μέτοχος, εἰ μὴ πεπλούτηκε τοῦτο διὰ μεσίτου τοῦ Υἱοῦ, φυσικὸν ὥσπερ τινὰ τὸν τῆς συναφείας λαχοῦσα τρόπον. Ἀταλαίπωρον δὲ κομιδῇ διαπυθέσθαι λέγοντος τοῦ Υἱοῦ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα· «Ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα πιστεύσῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας. Κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν· ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν».*

*Β. Εἰ δὲ δὴ λέγοιεν τὴν ἑνότητα τοῦ Υἱοῦ τὴν πρὸς τὸν Πατέρα τοιαύτην εἶναι τυχὸν οἵαπερ ἂν νοοῖτο καὶ ἐφ᾽ ἡμῶν αὐτῶν, τί δὴ ἄρα λογιούμεθα; Γέγραπται γάρ· «Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν καρδία μία, καὶ ψυχὴ μία». Πλείστων γὰρ ὅσων ἐν ἅπασιν οὐσῶν ψυχῶν, μίαν ἔφη τὴν ἁπάντων γενέσθαι, τὸ τῆς ἑνώσεως ὄνομά τε καὶ χρῆμα, οὔ τί που πάντως αὐτῆς καθορίζων τῆς φύσεως, ἀπονέμων δὲ μᾶλλον ταῖς ἐκ θελημάτων ἀδιασπάστοις ῥοπαῖς καὶ τὸ μίαν ἔχειν καὶ τὴν αὐτὴν σκέψιν τε καὶ βούλησιν. Καὶ ἐπειδήπερ ἐστὶ συνευδοκητὴς καὶ ὁμόφρων ἐν ἅπασιν ὁ Υἱὸς τῷ Πατρί, ταύτῃ τοι καὶ ἕν ἐστι πρὸς αὐτόν. Ταυτὶ γὰρ ἐκεῖνοι περιβομβοῦσιν οἱ δείλαιοι.*

*Α. Ἀλλ᾽ ἠλιθιότητος τῆς εἰς ἄκρον ἡκούσης ἤδη καὶ ἀνωτάτης τὸν οἰκεῖον εὐθὺς ἀναμεστώσαντες νοῦν κἂν τούτῳ δὴ πάλιν ἁλοῖεν ἄν. Οὐδὲν γὰρ τῶν ἐκτόπων, ὡς ἔοικεν, ἔστι νοημάτων ἀδρανές τε οὕτω καὶ κατερριμμένον, ὃ μὴ τὸν τῶν ἀσυνέτων καταληΐζεται νοῦν, καὶ τοῦτο ἀμογητί. «Ὁ γὰρ μωρὸς μωρὰ λαλή-*

---

57. Ἰω. 17,21-23. 58. Πράξ. 4,32.

Β. Πολὺ ὀρθά μίλησες. Ἔφτασε πιά ἡ συζήτηση στὴν ἀνάγκη νὰ ἀποδείξει ὅτι ὁ Υἱὸς εἶναι καὶ ὁμοούσιος πρὸς τὸν Θεὸ καὶ Πατέρα.

Α. Εἶναι πράγματι ὁμοούσιος μὲ αὐτόν, ἐφόσον προέρχεται πραγματικὰ ἀπὸ αὐτὸν καὶ ὑπάρχει μαζὶ μὲ αὐτὸν κατὰ φύση καὶ οὐσία. Γιατί, ὅπως δὲν θὰ μποροῦσε νὰ νοηθεῖ οὔτε πραγματικὰ καὶ ἐξακριβωμένα, ἀλλ' οὔτε καὶ ὡς πρὸς τὴ θέση ποὺ τοῦ ταιριάζει, ὁμοούσιος πρὸς ἐμᾶς, ἐὰν δὲν εἶχε γίνει ἄνθρωπος, ἔτσι δὲν θὰ μποροῦσε νὰ προέρχεται ποτὲ ἀπὸ τὸν Θεὸ καὶ νὰ εἶναι μέσα στὸν Θεό, ἐὰν δὲν συνδεόταν μὲ αὐτὸν μὲ ἑνότητα ὡς πρὸς τοὺς φυσικοὺς λόγους· ἀλλ' οὔτε καὶ κατά ἄλλον τρόπο θὰ μποροῦσε ἡ ἀνθρωπότητα νὰ γίνει μέτοχος τῆς θείας φύσεως, ἐὰν δὲν ἀποκτοῦσε τὸ προνόμιο αὐτὸ μὲ τὴ μεσιτεία τοῦ Υἱοῦ, ἐπιτυγχάνοντάς το σὰν μὲ κάποιο φυσικὸ τρόπο. Καὶ εἶναι αὐτὸ πολὺ εὔκολο νὰ τὸ πληροφορηθοῦμε ἀπὸ τὸν Υἱό, ὁ ὁποῖος λέγει στὸν οὐράνιο Πατέρα· «Γιά νά εἶναι ὅλοι ἕνα, ὅπως ἐσύ, Πατέρα, εἶσαι μέσα σὲ μένα, καὶ ἐγὼ μέσα σὲ σένα, ἂς εἶναι καὶ αὐτοὶ μέσα σὲ μᾶς, γιὰ νὰ πιστέψει ὁ κόσμος, ὅτι ἐσὺ μὲ ἔστειλες. Καὶ ἐγὼ τοὺς ἔδωσα τὴ δόξα ποὺ μοῦ ἔδωσες, γιὰ νὰ εἶναι ἕνα, ὅπως εἴμαστε καὶ ἐμεῖς ἕνα· ἐγὼ εἶμαι μέσα σ' αὐτούς, καὶ σὺ μέσα σὲ μένα, γιὰ νὰ τελειοποιηθοῦν καὶ νὰ γίνουν ἕνα»[57].

Β. Καὶ ἂν λένε ἐνδεχομένως ὅτι ἡ ἑνότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα εἶναι τέτοια ποὺ εἶναι καὶ ἡ μεταξύ μας ἑνότητα, τί θά σκεφθοῦμε; Γιατὶ ἔχει γραφεῖ· «Ὅλο τὸ πλῆθος ποὺ εἶχε πιστέψει, εἶχε μιὰ καρδιὰ καὶ μιὰ ψυχή»[58]. Ἐνῶ δηλαδὴ οἱ ψυχὲς ὅλων ἦταν πάρα πολλές, λέγει ὅτι ὅλες ἔγιναν μία, χωρὶς πάντως νὰ καθορίζει τὸ ὄνομα καὶ τὸν τρόπο τῆς φύσεως τῆς ἑνώσεώς τους, ἐννοώντας προφανῶς τὶς ἀδιάσπαστες ῥοπὲς τῶν θελήσεών τους, καὶ τὸ ὅτι εἶχαν μιά καὶ τὴν αὐτὴ σκέψη καὶ θέληση. Καὶ ἐπειδὴ καὶ ὁ Υἱὸς ἔχει τὴν αὐτὴ γνώμη καὶ συμφωνεῖ σὲ ὅλα μὲ τὸν Πατέρα, γι' αὐτὸ ὡς πρὸς αὐτὴν εἶναι ἕνα πρὸς ἐκεῖνον. Γιατὶ αὐτά διαδίδουν ἐκεῖνοι οἱ ἄθλιοι.

Α. Ἀλλὰ θὰ συλληφθοῦν ἀμέσως νὰ ἔχουν γεμίσει καὶ στὴν περίπτωση αὐτὴ τὸν νοῦ τους μὲ ἠλιθιότητα, ἡ ὁποία φτάνει στὸ ἀνώτερο καὶ πιὸ ἀκραῖο μέγεθος. Γιατὶ κανένα ἀπὸ τὰ παράδοξα νοήματα, ὅπως φαίνεται, δὲν εἶναι τόσο σαθρὸ καὶ ἀνίσχυρο, παρὰ μόνο ὅταν κυριεύει διὰ τῆς βίας τὸν νοῦ τῶν ἁπλοϊκῶν, καὶ μάλιστα χωρὶς κόπο. Γιατὶ σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Ὁ μωρὸς λέγει λόγια μω-

*σει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ λαλεῖν πρὸς Κύριον πλάνησιν», κατὰ τὸ γεγραμμένον. Πῶς γὰρ οὐχὶ μωρίας τε καὶ εἰκαιότητος τῆς ἁπασῶν ἐσχάτης οἰηθείη τις ἂν ἀναπεπλῆσθαι λοιπὸν τὸ φάναι τε καὶ διατείνεσθαι φιλεῖν ἥκιστα μὲν φυσικήν, προαιρετικὴν δὲ μᾶλλον τὴν ἕνωσιν εἶναι τοῦ Υἱοῦ τὴν πρὸς τὸν Πατέρα καὶ Θεόν; Διοίσει γάρ, οἶμαι, κατ᾽ οὐδένα τρόπον, εἴπερ ὧδέ τε ἔχει καὶ ἔστιν ἀληθές, τῶν εἰς υἱότητα κεκλημένων, καὶ εἰς τὸ τῆς θεότητος ὄνομα διὰ βουλῆς τοῦ Πατρὸς εἰσπεποιημένων, οἳ καὶ τοῖς ἐκ τῆς ἀρετῆς αὐχήμασι τὴν οὕτως εὐκλεᾶ καὶ περίοπτον ἐξεπρίαντο δόξαν. Τί δὲ δὴ τὸ ἀπεῖργον ἔτι, λεγόντων ἐκεῖνοι, καὶ τῶν ἁγίων ἕκαστον τὰ ἐφ᾽ οἷσπερ ἂν ἡσθείη Θεὸς φρονεῖν τε καὶ δρᾶν ᾑρημένον, καὶ τὸ τῷ Δεσπότῃ δοκοῦν ἴδιον ὥσπερ τι ποιησάμενον θέλημα, τὴν οὕτως ὑπερφυᾶ τοῦ Υἱοῦ φθέγξασθαι φωνήν, ἀνακραγεῖν τε πρὸς τὸν Πατέρα, «Καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν»; Παρακομιζόντων δὴ οὖν τοιάνδε τινὸς ἡμῖν ἁγίου φωνήν. Ἀλλ᾽ οὐκ ἂν ἔχοιεν, πολλοῦ γε καὶ δεῖ. Τοὐναντίον γάρ, οἶμαι, καταθρήσαι τις ἄν, καίτοι τῆς εἰς λῆξιν εὐσεβείας ἐπειλημμένους, ὅτι τε εἶεν ἁμαρτωλοὶ πολυτρόπως ἐξᾴδοντας, καὶ τῆς οἰκείας φύσεως οὐκ ἐν ἀγνοίᾳ κειμένους. Καὶ ἦν μὲν ἴσως χαλεπὸν οὐδέν, μυρίας μὲν ὅσας κατασωρεῦσαι φωνὰς ἐκ τῶν ἱερῶν ἀναλεξαμένους Γραμμάτων· τό γε μὴν ἐφεῖναι τοῖς φιλομαθέσι διαγυμνάζεσθαι λογισαίμην ἂν οὐκ ἀπὸ σκοποῦ τοῦ πρέποντος. Τετράψομαι δὲ πρὸς τὰ παρ᾽ ἐκείνων· ἄμεινον γὰρ ἤδη τουτί· καὶ δὴ καὶ ἐρῶ, τὸν τῆς καθ᾽ ἡμᾶς ἑνότητος ἀνακυκλήσας λόγον. Πρὸς ἑνότητα μὲν γὰρ τὴν διὰ πίστεως συγκεκομίσμεθά τε καὶ συνηνέχθημεν ὁμολογουμένως, διοίσομεν δὲ κατ᾽ οὐδὲν ἀλλήλων ἑτερότητι τῆς οὐσίας, καὶ εἰ τέμνεταί πως ἕκαστος εἰς ἰδίαν ὑπόστασιν. Ἐσμὲν γὰρ ὁμοειδεῖς, καὶ τῆς ἁπάντων οὐσίας ὅρος τε καὶ λόγος εἷς, ὁ πάντων ἐν ἴσῳ κατηγορούμενος. Ἑνότητα δὲ τὴν ὡς πρὸς Θεόν, οὐκ ἐν ψιλαῖς καὶ μόναις ταῖς ἐκ θελημάτων πλουτοῦμεν ῥοπαῖς, ἀλλά τις καὶ ἕτερος εἰς τοῦτο συνείρει λόγος, ἀπόρρητός τε καὶ ἀναγκαῖος. Ὡς γὰρ ὁ θεῖος ἡμᾶς μεμυσταγώγηκε Παῦλος, «ἓν σῶμά ἐσμεν οἱ πολλοί, διὰ τὸ ἐκ τοῦ ἑνὸς ἄρτου μετέχειν». Ἢ γὰρ οὐκ οἶσθα ὅτι σύσσωμα γενέσθαι*

---

59. Ἠσ. 32, 6. 60. Ἰω. 17, 21.

ρᾶ, καὶ ἡ καρδιά του σκέφτεται ἀνόητα, καὶ λέγει γιὰ τὸν Κύριο λόγια πλάνης»[59]. Πράγματι πῶς δὲν θὰ θεωρήσει κανεὶς ὅτι εἶναι γεμᾶτο μωρία καὶ τῆς χειρότερης μορφῆς ματαιότητα τὸ νὰ λένε καὶ νὰ ἰσχυρίζονται, ὅτι ἡ ἕνωση τοῦ Υἱοῦ μὲ τὸν Θεὸ Πατέρα δὲν εἶναι καθόλου φυσική, ἀλλὰ μᾶλλον εἶναι προαιρετική; Νομίζω δηλαδὴ ὅτι δὲν διαφέρει σὲ τίποτα, ἐὰν ἔχει κάπως ἔτσι καὶ εἶναι ἀληθινό, ἀπὸ ἐκείνους ποὺ ἔχουν κληθεῖ σὲ υἱοθεσία καὶ ἔλαβαν τὸ ὄνομα τοῦ Θεοῦ μὲ τὴ βούληση τοῦ Πατέρα, οἱ ὁποῖοι καὶ μὲ τὰ κατορθώματα τῆς ἀρετῆς ἐξαγόρασαν τὴν τόσο φημισμένη δόξα. Καὶ τί ἐμποδίζει λοιπόν, θὰ ποῦν ἐκεῖνοι, καὶ ὁ καθένας ἀπὸ τοὺς ἁγίους ποὺ προτίμησε νὰ πιστεύει καὶ νὰ κάνει αὐτὰ μὲ τὰ ὁποῖα εὐαρεστεῖται ὁ Θεός, καὶ ἔκανε αὐτὸ ποὺ φαίνεται καλὸ στὸν Δεσπότη σὰν δικό του θέλημα, νὰ πεῖ τὰ τόσο μεγάλα λόγια καὶ νὰ φωνάξει στὸν Πατέρα, «Ὅπως ἐγὼ καὶ σὺ εἴμαστε ἕνα»[60], καὶ νὰ μᾶς μεταφέρουν τὰ λόγια αὐτοῦ τοῦ εἴδους κάποιου ἁγίου; Ἀλλὰ δὲν θὰ βροῦν, γιατὶ εἶναι ἀδύνατο αὐτό. Ἀντίθετα μάλιστα, νομίζω ὅτι θὰ ἀκούσει κανείς, ἂν καὶ ἔχουν φθάσει στὸ τέρμα τῆς εὐσέβειας, νὰ ἐπαναλαμβάνουν μὲ πολλοὺς τρόπους, ὅτι εἶναι ἁμαρτωλοί, καὶ νὰ μὴ ἔχουν ἄγνοια τῆς φύσεώς τους. Καὶ ἴσως δὲν θὰ ἦταν καθόλου δύσκολο νὰ συγκεντρώσουμε μύρια χωρία συλλέγοντάς τα ἀπὸ τὰ ἱερὰ βιβλία· ὅμως θεώρησα πὼς δὲν θὰ ἦταν ἔξω ἀπὸ τὸ πρέπον νὰ ἀφήσω τοὺς φιλομαθεῖς νὰ ἀσκοῦνται συνεχῶς σ᾽ αὐτό. Ἔτσι θὰ στραφῶ ἐγὼ σ᾽ αὐτὰ ποὺ ἰσχυρίζονται ἐκεῖνοι, γιατὶ αὐτὸ εἶναι προτιμότερο, καὶ θὰ μιλήσω ἐπαναφέροντας τὸ λόγο στὴ δική μας ἑνότητα. Ὁμολογου-μένως ὁδηγηθήκαμε ὅλοι μαζὶ καὶ προσαχθήκαμε μέσω τῆς πίστεως σὲ ἑνότητα, ἀλλὰ δὲν διαφέρουμε σὲ τίποτε μεταξύ μας ὡς πρὸς τὴν οὐσία, ἔστω καὶ ἂν χωρίζεται ὁ καθένας σὲ ἰδιαίτερη ὑπόσταση. Γιατὶ εἴμαστε ἴδιοι, καὶ ὁ ὁρισμὸς τῆς οὐσίας καὶ ὁ λόγος εἶναι ἕνας, ὁ ὁποῖος ἀποδίδεται σὲ ὅλους ἐξίσου. Ἑνότητα ὅμως μὲ τὸν Θεὸ δὲν ἔχουμε μόνο μὲ τὴν ἁπλῆ συμμόρφωση τῶν θελημάτων μας, ἀλλὰ μᾶς συνδέει καὶ ἄλλος λόγος σ᾽ αὐτό, ἀπόρρητος καὶ ἀναγκαῖος. Γιατί, ὅπως μᾶς δίδαξε ὁ θεῖος Παῦλος, «Ἐμεῖς οἱ πολοὶ εἴμαστε ἕνα σῶμα, ἐπειδὴ ὅλοι τρῶμε ἀπὸ τὸν ἴδιο ἄρτο»[61]. Ἢ μήπως δὲν γνωρίζεις ὅτι ἀκόμα καὶ οἱ ἐθνικοὶ γίνονται, λέγει, ἕνα σῶμα μὲ τὸν Χρι-

61. Α΄ Κορ. 10, 17.

*Χριστοῦ καὶ τὰ ἔθνη φησί, τὴν πρὸς αὐτὸν ἑνότητα λαχόντα διὰ τῆς πίστεως, δῆλον δὲ ὅτι καὶ μυστικῆς εὐλογίας;*

*Β. Κομιδῇ μὲν οὖν.*

*Α. Οὐκοῦν, φυσικήν τε ἅμα καὶ προαιρετικὴν τὴν ἕνωσιν ἔν τε σφίσιν αὐτοῖς κεκτήμεθα, τοιαύτην δὲ οὖσαν ἡμῶν καὶ τὴν ἐν Χριστῷ διοψόμεθα.*

*Β. Πῶς λέγεις; Ἕπομαι γὰρ οὐ λίαν.*

*Α. Καὶ μὴν οὐδὲν εἶναί φημι τὸ ἄναντες ἔν γε δὴ τούτοις, ὦ τᾶν· ἀναμάθοι δ' ἂν ὅ φημι καὶ λίαν εὐκόλως ἀπαστισοῦν, οἶμαι, σοφὸς καὶ ἀρτίφρων ἀνήρ, ἐννενοηκὼς ὅτι πρῶτον μὲν εἰς ταυτότητα τὴν πρὸς ἀλλήλους οἱ τελοῦντες ἐν ἀνθρώποις θεσμῷ φυσικῷ διεσφίγμεθα, συνενούμεθα δὲ καὶ καθ' ἕτερον τρόπον. Διατετμημένοι γὰρ ὥσπερ εἰς ὑπόστασιν ἰδικήν, τὴν καθ' ἕκαστον λέγω, καθ' ἣν ὁ μέν τίς ἐστι Πέτρος ἢ Ἰωάννης, ὁ δὲ Θωμᾶς ἢ Ματθαῖος, σύσσωμοι γεγόναμεν ἐν Χριστῷ, τὴν μίαν σάρκα τρεφόμενοι, καὶ ἑνὶ τῷ ἁγίῳ Πνεύματι πρὸς ἑνότητα κατεσφραγισμένοι, καὶ εἴπερ ἐστὶν ἀμέριστος ὁ Χριστός· μεμέρισται γὰρ οὐδαμῶς· ἓν οἱ πάντες ἐσμὲν ἐν αὐτῷ. Τοιγάρτοι καὶ ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα· «Ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν». Ἄθρει γὰρ ὅπως ἕν τε τῷ Χριστῷ καὶ ἁγίῳ Πνεύματι οἱ πάντες ἕν ἐσμεν καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα. Ἐπαιτιατέον οὖν ἄρα τοὺς ἕτερα ἄττα φρονεῖν ἑλομένους, ὡς μηδὲ ἐκεῖνα συνέντας ὀρθῶς τὰ περὶ ἡμῶν γεγραμμένα.*

*Β. Ἐπαιτιατέον μὲν οὖν· ἔφης γὰρ ὀρθῶς. Φιλοπευστήσας γε μὴν οὐδὲν ἧττον ἐρῶ, πότερα τὸν Υἱὸν ἡνῶσθαι παραδεξόμεθα τῷ Θεῷ καὶ Πατρί, καθάπερ ἀμέλει καὶ ἡμᾶς ἀλλήλοις, ἢ καὶ ὑπὲρ τοῦτο δοίη τις ἂν ἐπ' αὐτῶν τὴν ἕνωσιν;*

*Α. Ἡνῶσθαί φαμεν τῷ Πατρὶ τὸν Υἱὸν καθ' ἡμᾶς τε ἅμα καὶ ὑπὲρ ἡμᾶς. Ἔστι μὲν γὰρ ὁμολογουμένως τῷ γεγεννηκότι πάντως που καὶ ὁμοούσιος, εἴπερ ἐστὶν ἀληθῶς Υἱός τε καὶ ἐξ αὐτοῦ. Ἐν ἰδίᾳ δὲ ὢν ὑποστάσει, τῇδέ τε ἔχειν εὖ μάλα πεπιστευμένος, οὐ καθάπερ ἡμεῖς ἀλλήλων, ἤτοι κατὰ νόμον σωμάτων, διεστήξει καὶ αὐτὸς τοῦ Πατρός, τὴν εἰσάπαν ἔχων διατομήν, εἰς ἑτερότητα δὲ τὴν καθέκαστον λέγω, φυσικὴν δὲ καὶ ἄρρητον*

---

61α Ἐφ. 3,6. 62. Ἰω. 17,22.

στό[61α], ἐφόσον δέχθηκαν τὴν ἕνωση μὲ αὐτὸν μέσω τῆς πίστεως, καὶ φυσικὰ καὶ τῆς μυστικῆς εὐλογίας;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ἑπομένως βλέπουμε ὅτι ἡ ἕνωση εἶναι φυσικὴ καὶ προαιρετική, τόσο μεταξύ μας, ὅσο καὶ μὲ τὸν Χριστό.

Β. Πῶς τὸ ἐννοεῖς; Δὲν μπορῶ νὰ σὲ παρακολουθήσω εὔκολα.

Α. Καὶ ὅμως δὲν λέγω τίποτε τὸ ἀντίθετο σ' αὐτά, φίλε· αὐτὸ ποὺ λέγω θὰ μποροῦσε, νομίζω, νὰ τὸ μάθει πολὺ εὔκολα κάθε σοφὸς καὶ λογικὸς ἄνθρωπος, ἂν σκεφθεῖ, ὅτι πρῶτον οἱ ἄνθρωποι, ὄντας ἴδιοι μεταξύ μας, συνδεόμαστε μὲ δεσμὸ φυσικό, ἀλλὰ εἴμαστε ἑνωμένοι καὶ κατ' ἄλλον τρόπο. Ἐνῶ δηλαδὴ εἴμαστε χωρισμένοι σὲ δική μας ὑπόσταση, ἐννοῶ τὴ χωριστὴ ὕπαρξη τοῦ καθενός, σύμφωνα μὲ τὴν ὁποία ὁ ἕνας εἶναι Πέτρος ἢ Ἰωάννης, καὶ ὁ ἄλλος Θωμᾶς ἢ Ματθαῖος, γίναμε ἕνα σῶμα μὲ τὴν πίστη μας στὸν Χριστό, τρώγοντας τὸ ἕνα σῶμα καὶ ὄντας σφραγισμένοι σὲ ἑνότητα μὲ τὸ ἕνα ἅγιο Πνεῦμα, καὶ ἐφόσον ὁ Χριστὸς εἶναι ἀμέριστος, γιατὶ δὲν μοιράζεται, ὅλοι εἴμαστε ἕνα ἑνωμένοι μαζί του. Γι' αὐτὸ ἄλλωστε ἔλεγε στὸν οὐράνιο Πατέρα του· «Γιὰ νὰ εἶναι ἕνα, ὅπως καὶ ἐμεῖς εἴμαστε ἕνα»[62]. «Πρόσεχε λοιπὸν ὅτι καὶ μὲ τὸν Χριστὸ καὶ μὲ τὸ ἅγιο Πνεῦμα ὅλοι εἴμαστε ἕνα, καὶ κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα. Ἄρα πρέπει νὰ κατακρίνουμε ἐκείνους ποὺ προτιμοῦν νὰ πιστεύουν κάποια ἄλλα, ἐπειδὴ οὔτε ἐκεῖνα κατανοοῦν σωστά, τὰ ὁποῖα ἔχουν γραφεῖ γιὰ μᾶς.

Β. Νὰ τοὺς κατακρίνουμε βέβαια· γιατὶ μίλησες ὀρθά· ὅμως θέλοντας νὰ μάθω περισσότερα θὰ ρωτήσω· μὲ ποιὸ τρόπο παραδεχόμαστε ὅτι ὁ Υἱὸς εἶναι ἑνωμένος μὲ τὸν Θεὸ καὶ Πατέρα, ὅπως δηλαδὴ καὶ ἐμεῖς μεταξύ μας, ἢ θὰ μποροῦσε κανεὶς νὰ δεχθεῖ ὅτι ἡ ἕνωσή τους εἶναι πέρα ἀπὸ αὐτό;

Α. Λέμε ὅτι ὁ Υἱὸς εἶναι ἑνωμένος μὲ τὸν Πατέρα, ὅπως καὶ ἐμεῖς. Γιατὶ ὁμολογουμένως εἶναι ὁπωσδήποτε ὁμοούσιος μὲ ἐκεῖνον ποὺ τὸν γέννησε, ἐφόσον εἶναι πραγματικὸς Υἱὸς καὶ γεννήθηκε ἀπὸ αὐτόν. Ὅμως, ἐπειδὴ ὑπάρχει σὲ ἰδιαίτερη ὑπόσταση, καὶ αὐτὴν τὴν ἔχει μὲ πάρα πολλὴ ἐμπιστοσύνη, ὄχι ὅπως ἐμεῖς μεταξύ μας, ἤτοι σύμφωνα μὲ τὸν νόμο τῶν σωμάτων, διακρίνεται καὶ αὐτὸς ἀπὸ τὸν Πατέρα, ἔχοντας πλήρη διάκριση, αὐτὴν ἐννοῶ ποὺ κάνει τὸν καθένα νὰ ξεχωρίζει, καὶ ἔχει ἕνωση φυσικὴ κατὰ τρόπον ἀνέκφραστο,

ἔχει τὴν ἕνωσιν, οὐκ ἀνάχυσίν τινα τὴν εἰς ἀλλήλας παθουσῶν τῶν ὑποστάσεων, κατά γε τό τισι δοκοῦν, ὡς τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱόν, ἀλλ᾽ ὄντος τε καὶ ὑφεστηκότος ἑκατέρου, καὶ ἰδίαν ἔχειν λεγομένου τὴν ὕπαρξιν, ἡ τῆς οὐσίας ταὐτότης βραβεύει τὴν ἕνωσιν.

Β. Ἐν ἰδίᾳ φῂς οὖν εἶναι τὸν Υἱὸν οὐσίᾳ παρὰ τὴν τοῦ Πατρός;

Α. Οὐκ ἐν οὐσίᾳ μᾶλλον ἑτέρᾳ παρὰ τὴν ὡς Θεοῦ, ἀλλ᾽ ἐν ὑποστάσει τῇ ὡς Υἱοῦ.

Β. Ἕτερον γάρ τί ἐστι οὐσία καὶ ἕτερον ὑπόστασις;

Α. Ναί· πολὺ γὰρ τὸ διεῖργον καὶ διὰ μέσου χωροῦν, εἴπερ ἐστὶν ἡ οὐσία τῶν καθέκαστα περιεκτική.

Β. Τίνα φῂς τρόπον; Βραδὺς γάρ, ὡς ἔοικεν, ἔν γε τοῖς τοιούτοις, ἐγώ.

Α. Ἦ γὰρ οὐκ οἶσθα, ὅτι κἀμοί πως οὐκ ἐντριβὴς ὁ περὶ τούτων λόγος; Ἰτέον δ᾽ οὖν ὅμως ἐπὶ τὴν ἐγχωροῦσαν βάσανον ὡς ἐν εἰκόνι τυχὸν ἐν ὑπερτάτοις οὔσης ὑψώμασι τῆς θείας ὑπεροχῆς. Οὐκοῦν τῆς οὐσίας ἡ δήλωσις, κατὰ κοινοῦ τινος ἔοικεν ἰέναι πράγματος, τὸ δὲ τῆς ὑποστάσεως ἑκάστου τυχὸν ὄνομα τῶν ὑπὸ τουτὶ τὸ κοινὸν κατηγορεῖται καὶ λέγεται· οἷον δέ με νῦν ἐκεῖνο δηλοῦν.

Β. Τὸ ποῖόν τι δή;

Α. Ὁριζόμεθα τὸν ἄνθρωπον, ζῷον λογικὸν θνητόν, κατὰ τὸν αὐτῷ πρέποντα τιθέμενοι λόγον, καὶ τοῦτο οὐσίας ὅρον εἶναί φαμεν κατὰ παντὸς ἰοῦσαν τῶν κατὰ μέρος ὑφεστηκότων. Ὑπὸ οὖν τὸ κοινὸν δὴ τουτί, τουτέστι τὸν ἄνθρωπον, ἤτοι τοῦ ἀνθρώπου τὸν ὅρον, πίπτει μέν, οἶμαι, Θωμᾶς τε καὶ Μάρκος, ἢ φέρε εἰπεῖν, Πέτρος τε καὶ Παῦλος. Καὶ τὴν μὲν οὐσίαν ὡδὶ κατασημήναι τις ἂν τῶν δὲ καθέκαστον νοουμένων, οὔπω σαφῆ τε καὶ ἐναργῆ τὴν δήλωσιν ἐποιήσατο. Οὐ γὰρ ἔτι ἄνθρωπος ἁπλῶς, τοῦτό ἐστι Πέτρος καὶ Παῦλος· Θωμᾶν δὲ ἢ Πέτρον εἰπών, τῶν μὲν τῆς οὐσίας ὅρων οὐκ ἐξοίσει τὸ δηλούμενον· ἄνθρωπος γὰρ οὐδὲν ἧττόν ἐστιν· ἐν εἴδει δὲ ὄντα τῷ τοιῷδε τυχὸν καὶ ἐν ὑποστάσει τῇ ἰδικῇ καὶ μεμερισμένως ὑπέδειξεν. Ἡ οὐσία τοιγαροῦν

καὶ ὄχι κάτι σὰν ρευστὴ ἀνάμειξη ποὺ ἔπαθαν μεταξύ τους οἱ δύο ὑποστάσεις τους, ὅπως νομίζουν κάποιοι, ὥστε ὁ ἴδιος νὰ εἶναι Πατέρας καὶ Υἱός, ἀλλά, ἐνῶ ὑπάρχει ὁ καθένας καὶ ὑφίσταται, καὶ λέγεται ὅτι ἔχει χωριστὴ ὕπαρξη, ἡ ταυτότητα τῆς οὐσίας ἐπικυρώνει τὴν ἕνωση.

Β. Λὲς λοιπὸν ὅτι ὁ Υἱὸς ἔχει ἰδιαίτερη ὑπόσταση ἢ οὐσία ἀπὸ ἐκείνην τοῦ Πατέρα;

Α. Δὲν ἔχει οὐσία ἄλλην ἀπὸ ἐκείνη ποὺ ἔχει ὡς Θεός, ἀλλά ὑπόσταση, ἐκείνην ποὺ ἔχει ὡς Υἱός.

Β. Εἶναι δηλαδὴ ἄλλο ἡ οὐσία καὶ ἄλλο ἡ ὑπόσταση;

Α. Ναί· γιατὶ εἶναι πολλὰ ποὺ τά χωρίζουν καὶ εἰσδύουν ἀνάμεσά τους, ἐφόσον ἡ οὐσία περιλαμβάνει τά ἐπὶ μέρους.

Β. Μὲ ποιὸν τρόπο τὸ ἐννοεῖς αὐτό; Γιατὶ ἐγώ, ὅπως φαίνεται, εἶμαι ἀργὸς στὴ σκέψη σ' αὐτὰ τὰ θέματα.

Α. Δὲν ξέρεις τάχα ὅτι καὶ ἐγὼ δὲν εἶμαι ἐξασκημένος σ' αὐτά; Πρέπει ὅμως νὰ δοκιμάσουμε νὰ ἀνεβοῦμε ὅσο μποροῦμε, σὰν σὲ εἰκόνα, στὰ ψηλότερα ὑψώματα τῆς θείας ὑπεροχῆς. Λοιπὸν ἡ σημασία τῆς οὐσίας φαίνεται ὅτι ἀναφέρεται σὲ κάποιο κοινὸ πρᾶγμα, ἐνῶ τὸ ὄνομα τῆς ὑποστάσεως χαρακτηρίζει καὶ λέγεται γιὰ ἐκεῖνα ποὺ εἶναι κάτω ἀπο αὐτὸ τὸ κοινό· καὶ θέλω νὰ πῶ τὸ ἑξῆς.

Β. Ποιὸ πρᾶγμα δηλαδή;

Α. Ὁρίζουμε ὅτι ὁ ἄνθρωπος εἶναι ζῶο λογικό, θνητὸ, κατατάσσοντάς τον σύμφωνα μὲ τὸν ὁρισμὸ ποὺ τοῦ πρέπει, καὶ λέμε ὅτι αὐτὸ εἶναι ὁ ὁρισμὸς τῆς οὐσίας, ποὺ φθάνει σὲ ὅλα τὰ ἐπὶ μέρους ποὺ βρίσκονται κάτω ἀπὸ αὐτόν. Κάτω λοιπὸν ἀπὸ αὐτὸ τὸ κοινὸ ὄνομα, δηλαδὴ τὸν ἄνθρωπο, ἤτοι κάτω ἀπὸ τὸν ὁρισμὸ τοῦ ἀνθρώπου, βρίσκεται, νομίζω, ὁ Θωμᾶς καὶ ὁ Μᾶρκος, γιὰ παράδειγμα, ἢ ὁ Πέτρος καὶ ὁ Παῦλος. Καὶ τὴν οὐσία βέβαια θὰ μποροῦσε κανεὶς νὰ τὴν χαρακτηρίσει μὲ τὸν τρόπο αὐτό, ἐνῶ αὐτὰ ποὺ ἐννοοῦνται γιὰ τὸν καθένα, δὲν τὰ ἔχει ἀκόμα κάνει εὐκρινῆ καὶ ὁλοφάνερα. Γιατὶ ὁ Πέτρος καὶ ὁ Παῦλος δὲν εἶναι ἁπλῶς ἄνθρωποι· καὶ λέγοντας κάποιος Θωμᾶ ἢ Πέτρο, μὲ αὐτὸ ποὺ δηλώνει δὲν τοὺς βγάζει ἔξω ἀπὸ τὰ ὅρια τῆς οὐσίας, γιατὶ εἶναι ἄνθρωποι ἐξίσου· ὅμως ἔμμεσα δείχνει ὅτι ἀνήκουν σ' αὐτὸ τὸ εἶδος καὶ διακρίνονται μὲ τὴ δική τους ὑπόσταση. Ἡ οὐσία λοιπὸν ἀναφέρεται σὲ κάθε ἄνθρωπο, ἐπειδὴ ἐμ-

*καὶ κατὰ ἀνθρώπου παντός, ἅτε δὴ τὸν κοινὸν τοῦ γένους ὠδίνουσα λόγον· ἡ δὲ ὑπόστασις καθ' ἑνὸς ἂν νοοῖτο πρεπωδέστερον, οὔτε τῆς κοινότητος ἐξιστᾶσα τὸ δηλούμενον, οὔτε μὴν ἀναχέουσά τε καὶ ἀνακιρνῶσα πρὸς τὸ ἀσυμφανὲς ἔτι τὸ καθέκαστόν τε καὶ ἰδικῶς.*

*Β. Συνίημι νῦν· εἰρῆσθαι γάρ οὔ μοι ἀκόμψως δοκεῖ.*

*Α. Ὁμοούσιον τοίνυν τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν ὁμολογοῦντες ὑπάρχειν, ἐν ἰδίᾳ τε ὑποστάσει, συναφῶς τε ἅμα καὶ διωρισμένως ἡνῶσθαί φαμεν, τοῖς τῆς ταὐτότητος λόγοις ἀναγκαιοτάτως εὖ μάλα συνάπτοντες τῶν προσώπων, ἤτοι τῶν ὀνομάτων τὴν διαστολὴν καὶ τὴν τῶν ὑποστάσεων ἑτερότητα, τὴν ὡς ἐν Πατρὶ καὶ Υἱῷ κατ' αὐτὸ δὴ τουτὶ καὶ μόνον, ἵνα μὴ τὸ τῆς οὐσίας εἰς πᾶν ὁτιοῦν ἐμφερὲς καὶ τὸ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον ἀπαραλλάκτως ἔν τε τῷ Πατρὶ καὶ τῷ Υἱῷ καταλεαίνῃ τρόπον τινὰ τὴν διαφορὰν καὶ δυσδιάκριτον κομιδῇ τὸ ἀναμέρος ἴδιον ἑκατέρου κατεργάσαιτό πως. Ὁ μὲν γάρ ἐστι Πατήρ, καὶ οὐχ Υἱός, ὁ δὲ αὖ Υἱός, καὶ οὔ τί που Πατήρ.*

*Β. Οὐκοῦν, εἰ δοκεῖ, λέγωμεν οὐσίας εἶναι δύο· μίαν μὲν τοῦ Πατρός, μίαν δὲ τοῦ Υἱοῦ. Εὐκρινεστέρα γὰρ οὕτως καὶ οἱονείπως εὐσαφεστέρα παντί τῳ γένοιτ' ἂν μᾶλλον ἡ διαφορά.*

*Α. Οὐκ εὐκρινεστέρα ποθέν· μὴ γὰρ τοῖς ἐκείνων ἀποκομίζου λόγοις εἰς κίβδηλον νοῦν καί, τρίβον ὥσπερ ἀφεὶς τὴν ἁμαξιτόν, τὰ ἀστιβῆ καὶ δυσπόρευτα διαστείχειν ἀνέχου.*

*Β. Πῶς ἢ τίνα τρόπον;*

*Α. Εἰ γὰρ μία μὲν ἡ τοῦ Πατρὸς ἔσται φύσις, μία δὲ αὖ καὶ ἑτέρα παρ' αὐτὴν ἡ τοῦ Υἱοῦ, πῶς οὐκ ἀναγκαῖον καὶ τὸν εἰς δύο τὰ ἀλλήλοις ἀνισοφυῆ διιστάντα τε καὶ διατειχίζοντα συνεπινοεῖσθαι λόγον; Πῶς γὰρ ἂν ἡ αὐτὴ μία τοι καὶ μία νοηθείη ἄν; Οὐ γὰρ θέμις ἐπ' ἀνθρώπων, ἕνα καὶ τὸν αὐτὸν τὸν τῆς ὁμοουσιότητος λαχόντων λόγον, μίαν καὶ μίαν οὐσίαν εἰπεῖν, καὶ ἑκάστῳ τῶν ὄντων καθάπερ ἴδιόν τινα λόγον τὸν τῆς κοινότητος ἀπονέμειν. Εἰ γὰρ τοῦτο δρῷημεν καὶ καθάπερ ἀναγκαῖον διαφορᾶς τρόπον*

περιέχει τὸν κοινὸ ὁρισμὸ τοῦ γένους, ἐνῶ ἡ ὑπόσταση πρέπει περισσότερο νὰ ἀναφέρεται στὸν καθένα, χωρὶς νὰ βγάζει αὐτὸ ποὺ δηλώνει ἔξω ἀπὸ τὴν κοινότητα, οὔτε πάλι νὰ πλημμυρίζει καὶ νὰ ἀναμιγνύει τὰ ἐπὶ μέρους καὶ ἰδιαίτερα, ὥστε νὰ μὴ εἶναι ὁλοφάνερο αὐτὸ ποὺ δηλώνει.

Β. Τώρα καταλαβαίνω· γιατὶ νομίζω ὅτι μοῦ εἰπώθηκαν πολὺ ὡραῖα.

Α. Ὁμολογώντας λοιπὸν ὅτι ὁ Υἱὸς εἶναι ὁμοούσιος μὲ τὸν Θεὸ καὶ Πατέρα, καὶ ἔχει ἰδιαίτερη ὑπόσταση, λέμε ὅτι εἶναι ἑνωμένος, ἔχοντας ἄμεση σχέση μὲ αὐτὸν καὶ συγχρόνως ὄντας χωρισμένος. Ἔτσι συνδέουμε ἀναγκαστικὰ μὲ τοὺς λόγους τῆς ταυτότητας πάρα πολὺ τὸν χωρισμὸ τῶν προσώπων, δηλαδὴ τῶν ὀνομάτων καὶ τὴ διαφορὰ τῶν ὑποστάσεων ποὺ ὑπάρχει στὸν Πατέρα καὶ τὸν Υἱὸ μόνο ὡς πρὸς αὐτό, ὥστε ἡ ὁμοιότητα τῆς οὐσίας σὲ ὅλα καὶ τὸ γεγονὸς ὅτι εἶναι ἴδια καὶ ἀπαράλλακτα καὶ στὸν Πατέρα καὶ στὸν Υἱό, νὰ μὴ ἀφανίζει τὴ διαφορὰ καὶ κάνει πολὺ δυσδιάκριτο τὸ ἐπὶ μέρους καὶ ἰδιαίτερο γνώρισμα τοῦ καθενός. Γιατὶ ὁ ἕνας εἶναι Πατέρας καὶ ὄχι Υἱός, καὶ ὁ ἄλλος πάλι, ὁ Υἱός, δὲν εἶναι Πατέρας.

Β. Ἑπομένως, ἂν συμφωνεῖς, μποροῦμε νὰ λέμε ὅτι ὑπάρχουν δύο οὐσίες· ἡ μία τοῦ Πατέρα, καὶ ἡ ἄλλη τοῦ Υἱοῦ. Γιατὶ ἔτσι ἡ διαφορὰ θὰ γίνει πιὸ εὐκρινὴς καὶ σαφής.

Α. Πιὸ εὐκρινὴς ἀπὸ πουθενὰ ἀλλοῦ· μὴ παρασύρεσαι ἀπὸ τὰ λόγια ἐκείνων σὲ νόθες σκέψεις, καὶ ἀφήνοντας κατὰ κάποιο τρόπο τὸν δρόμο ποὺ εἶναι διαβατὸς μὲ ἅμαξα, προτιμᾶς νὰ περπατᾶς τὰ μέρη ποὺ δὲν ἔχουν δρόμο καὶ εἶναι ἀδιάβατα.

Β. Πῶς καὶ μὲ ποιὸν τρόπο;

Α. Ἂν δηλαδὴ ἡ φύση τοῦ Πατέρα εἶναι μία, ἐπίσης μία, ἀλλὰ διαφορετικὴ ἀπὸ αὐτὴν εἶναι καὶ ἡ φύση τοῦ Υἱοῦ, πῶς δὲν εἶναι ἀνάγκη νὰ ἐπινοηθεῖ καὶ ὁ λόγος ποὺ διαιρεῖ καὶ χωρίζει αὐτὰ τὰ δύο ποὺ εἶναι μεταξύ τους ἄνισης φύσης; Γιατὶ πῶς μπορεῖ νὰ νοηθεῖ ὅτι εἶναι μία, ἀφοῦ εἶναι μία καὶ μία; Καθόσον στοὺς ἀνθρώπους, ποὺ ἔλαχε νὰ ἔχουν τὸν ἴδιο λόγο τῆς ὁμοουσιότητας, δὲν μποροῦμε νὰ ποῦμε μία καὶ μία οὐσία, καὶ νὰ ἀποδώσουμε στὸν καθένα ἀπὸ ὅσους ὑπάρχουν, σὰν κάποιον ἰδιαίτερο λόγο, τὸν λόγο ποὺ εἶναι τῆς κοινότητας. Γιατί, ἐὰν τὸ κάναμε αὐτό, καὶ σὰν μιὰ λύση τῆς ανα-

*ἐπεισφοράν τινα ποιοίμεθα ταῖς οὐσίαις τὸ μίαν τε καὶ μίαν, διοιχήσεται τὸ σύμπαν εἰς τὸ μηδέν. Ἢ οὐχ ἑτερότητα μὲν ἡ οὐσιώδης διαφορά, τὸ δέ γε ἀλλοίως ἔχον ἐν ὅρῳ τῷ κατὰ φύσιν ἡ ἑτερότης ἐν τούτοις ἀποφανεῖ τε καὶ τέξεται;*

*Β. Οἶμαί γε.*

*Α. Περιέσται τοιγαροῦν καὶ οὐχ ἑκοῦσιν εἰπεῖν ὁμοούσιον μὲν οὐκ ἔτι τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱόν, ἑτεροῖον δὲ μᾶλλον καὶ ἑτεροφυᾶ καὶ τῶν τῆς θεότητος ὅρων ἐξῳκισμένον, εἴπερ ἐν ἰδίῳ κείσεται λόγῳ, τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐξεστηκότι.*

*Β. Ἑτεροίως γὰρ ἔχειν ἢ ὥσπερ ἂν νοοῖτο ὑπάρχειν κατὰ φύσιν ὁ Πατὴρ διατείνονται τὸν Υἱόν. Τοιγάρτοι παρέντες τοῦ ὁμοουσίου τὴν δήλωσιν, καὶ τὸ ξένον αὐτῇ καὶ ἀσύνηθες ἐπιπλέκοντες, φασὶ δεῖν ὁμοιοούσιον ὁμολογεῖν ὑπάρχειν αὐτόν, ἀναθέντες ὥς τι τῶν ὅτι μάλιστα σεπτῶν καὶ πρεπωδεστάτων αὐτῷ καὶ τὸ τῆς μεσιτείας ὄνομα.*

*Α. Καὶ τί δὴ ἕτερον ἢ λῆρος ἔσται ταυτί, καὶ γραοπρεπὲς ἀληθῶς μυθάριον; Εἰ γάρ τινα μέσην ἐπινοοῦσιν φύσιν αὐτῷ, διά τε τοῦτο μεσίτην ὀνομάζεσθαι δεῖν ἀσυνετώτατα λέγουσι, τί δὴ ἄρα τὸ ἐντεῦθεν ἢ ποδαπὸς ἡμῖν θεωρίας εἰσκρίνεται λόγος ἐγὼ μὲν οὐχ ὁρῶ, φράσαις δ' ἂν αὐτὸς ὡς ἥδιστά γε μανθάνειν ἐθέλοντί μοι.*

*Β. Τί ἂν φράσαιμι πρὸς ταῦτα;*

*Α. Ἔρου τοιγαροῦν καὶ μανθάνειν ἐπείγου πότερα γενητὸς ἢ ἀγένητος ὁ μεσίτης ἐστί, Θεὸς ἀληθῶς ἢ τελεῖ γε καὶ αὐτὸς ἐν κτίσμασιν. Ὃ γάρ ἐστι, κατ' ἐκείνους, οὔτε Θεὸς καθαρῶς οὔτε ποίημα σαφῶς, ποῖον ἂν ἐκδέξαιτο παρ' αὐτῶν ἐν τοῖς οὖσι τόπον, οὐδ' ὅσον εἰπεῖν ἐν ψιλαῖς ἐννοίαις, κἂν γοῦν ἑλεῖν μόνον, οἷός τ' ἂν εἴην ἐγώ.*

*Β. Τὸν ἀμφοῖν ἀναμέσον, Θεοῦ τέ φημι καὶ κτίσεως· ταύτῃ γάρ τοι καὶ μεσίτην αὐτὸν κεκλῆσθαί φασιν.*

*Α. Ἀσυμφανέστατά τε ἐροῦσι καὶ ἀμαθέστατα διακείσονται, φρονοῦντες ὡδί. Οὐ γάρ ἔστιν, οὐκ ἔστιν, ἄνω τε καὶ κάτω τὸν*

γκαίας διαφορᾶς κάναμε κάποια προσθήκη στὶς οὐσίες, δηλαδὴ τό, μία καὶ μία, τότε τὸ σύμπαν θὰ κατέληγε στὸ μηδέν. Ἢ μήπως δὲν εἶναι διαφορὰ ἡ διαφορὰ τῆς οὐσίας, ἐνῶ ἡ διαφορὰ φανερώνεται καὶ γεννιέται σ᾽ αὐτὰ ποὺ εἶναι διαφορετικὰ στὸν ὁρισμὸ τῆς φύσεώς τους;

Β. Νομίζω ναί.

Α. Ἀπομένει λοιπὸν καὶ ἄθελά τους νὰ ποῦν, ὅτι ὁ Υἱὸς δὲν εἶναι πιὰ ὁμοούσιος μὲ τὸν Θεὸ καὶ Πατέρα, ἀλλὰ μᾶλλον διαφορετικὸς καὶ ἄλλης φύσεως, καὶ ἀποδιωγμένος ἀπὸ τὰ ὅρια τῆς θεότητας, ἐφόσον ἔχει δικό του ὁρισμό, ὁ ὁποῖος ἔχει ἀπομακρυνθεῖ ἀπὸ τὴν οὐσία τοῦ Πατέρα.

Β. Ὑποστηρίζουν πράγματι ὅτι ὁ Υἱὸς εἶναι διαφορετικὸς ἀπὸ ἐκεῖνο ποὺ νοεῖται ὅτι εἶναι κατὰ φύση ὁ Πατέρας. Ἀποφεύγοντας δηλαδὴ τὸν ὅρο τοῦ ὁμοουσίου καὶ ἀναμιγνύοντας σ᾽ αὐτὸν κάτι τὸ ξένο και ἀσυνήθιστο, λένε ὅτι πρέπει νὰ ὁμολογοῦμε ὅτι εἶναι ὁμοιούσιος, προσάπτοντάς του σὰν κάτι τὸ πολὺ σεβαστὸ καὶ πρέπον σ᾽ αὐτὸν καὶ τὸ ὄνομα τοῦ μεσίτη.

Α. Καὶ τί ἄλλο λοιπὸν εἶναι αὐτό, παρὰ φλυαρία καὶ παραμύθι ποὺ ταριάζει σὲ γρηοῦλες; Γιατί, ἐὰν ἐπινοοῦν μιὰ μέση ὀνομασία γι᾽ αὐτὸν καὶ γι᾽ αὐτὸ λένε ἀπερίσκεπτα, ὅτι πρέπει νὰ ὀνομάζεται μεσίτης, τί ἄραγε μπορεῖ νὰ βγεῖ ἀπὸ αὐτό, ἢ ἀπὸ ποῦ εἰσχωρεῖ ὁ λόγος τῆς θεωρίας αὐτῆς, ἐγὼ τοὐλάχιστον δὲν τὸ βλέπω· θὰ μποροῦσες ἴσως νὰ μοῦ πεῖς ἐσύ, γιατὶ πολὺ εὐχαρίστως θὰ ἤθελα νὰ τὸ μάθω.

Β. Τί θὰ μποροῦσα νὰ πῶ σ᾽ αὐτά;

Α. Ρώτησε λοιπὸν καὶ βιάσου νὰ μάθεις, ποιὸ ἀπὸ τὰ δύο, εἶναι γεννημένος ἢ ἀγέννητος ὁ μεσίτης· εἶναι Θεὸς ἀληθινός, ἢ μήπως ἀνήκει καὶ αὐτὸς στὰ κτίσματα. Γιατὶ αὐτὸ ποὺ σύμφωνα μὲ ἐκείνους δὲν εἶναι οὔτε Θεὸς καθαρά, οὔτε δημιούργημα ὁλοφάνερα, ποιὰ θέση θὰ μποροῦσε ἀπὸ αὐτούς νὰ ἔχει μέσα στὰ δημιουργήματα, δὲν θὰ μποροῦσα ἐγὼ νὰ τὸ πῶ μὲ ἀφηρημένες ἔννοιες, ἔστω καὶ ἂν τὸ ἤθελα.

Β. Αὐτὸν ποὺ εἶναι μεταξὺ Θεοῦ καὶ κτίσεως· γι᾽ αὐτὸ ἄλλωστε λένε ὅτι ὀνομάζεται καὶ μεσίτης.

Α. Μιλοῦν μὲ πολλὴ ἀσάφεια καὶ μὲ πολλὴ ἀμάθεια, πιστεύοντας ἔτσι. Γιατὶ δὲν εἶναι δυνατόν, στρέφοντας τὸν νοῦ του ἐπάνω καὶ

*νοῦν περιστρέφοντα καὶ τὴν τῶν ὄντων ἅπασαν τὸ ὅπως ἂν ἔχοι πολυπραγμονοῦντα φύσιν, κἂν γοῦν ἐν ἐννοίαις καὶ λόγῳ ληπτὴν τοιαύτην τινὰ φύσιν ἰδεῖν, ἢ καὶ τῶν τῆς ἀληθοῦς θεότητος ἔξω βέβηκεν ὅρων, καὶ τοὺς τοῦ πεποιῆσθαι λόγους διανήξεται, καὶ ἀμείνω τοῦ κεκλῆσθαι πρὸς γένεσιν τὴν οἰκείαν ἡμῖν ἐπιδείξειεν ὕπαρξιν. Ἆρ᾿ ἔστι τι τὸ μεταξὺ γενητοῦ τε καὶ ἀγενήτου, ἀποιήτου καὶ ποιήματος;*

*Β. Οὐκ ἂν δοίην ἔγωγε· λέγεις γὰρ ὀρθῶς*

*Α. Δύο τοιγαροῦν ἐν ὅλοις τοῖς οὖσι καταθεώμεθα φύσεις· τὴν μὲν τοῦ ἀεί τε καὶ ὡσαύτως ὄντος τε καὶ ἔχοντος, ἑτέραν δὲ αὖ, τὴν τῶν εἶναι λαχόντων δημιουργικῶς· καὶ τὴν μὲν τοῦ ὄντος ἀγενήτως, ὑπερκεῖσθαί τε καὶ ἀνακύπτειν τὰ πάντα, καὶ ταῖς εἰς τὸ ἄνω καὶ μεῖζον ὑπεροχαῖς ἀνανήχεσθαι, τὴν δὲ ὑποπίπτουσάν τε καὶ οἱονεὶ καταβεβλημένην ὡς ὑπὸ πόδας Δεσπότου. Εἴρη δὲ δὴ τοῦτο καὶ μάλα σαφῶς φάσκοντος τοῦ Χριστοῦ ταῖς Ἰουδαίων ἀγέλαις· «Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ· ἐγὼ ἐκ τῶν ἄνω εἰμί». Ἄνωθεν δὲ ἥκειν ὡς ἡμᾶς τὸν Μονογενῆ καὶ ὁ σοφὸς Ἰωάννης διεσάφει λέγων· «Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν». Ὤετο γὰρ δεῖν ἀπονέμειν οὐσιωδῶς τῷ γε ὄντι κατὰ φύσιν Θεῷ καὶ Θεοῦ τοῦ κατὰ φύσιν ἐκπεφυκότι τὴν εἰς ἄκρον ὑπεροχὴν καὶ εἰς λῆξιν ἰοῦσαν τὴν ἀνωτάτω. Ὅτι γὰρ τὸ ἄνωθεν οὐχ ὑψωμάτων ἐστὶ τοπικῶν σημαντικόν, ἀλλ᾿ αὐτὴν ὑποδηλοῖ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίαν, πῶς οὐκ ἀναμφίλογον ἑνὸς τῶν ἁγίων μαθητῶν διειπόντος σαφῶς, «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων, παρ᾿ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα»; Εἴτε γὰρ ἀγγέλους, εἴτ᾿ οὖν ἔτι τὰ ἀνωτέρω καὶ τὰ διὰ μέσου πάντα διαδραμών, ἐπ᾿ αὐτά τις ἴοι τὰ Σεραφίμ, καὶ τὰς ἀνωτάτω κατασκέψαιτο δόξας, τὴν τῶν γενητῶν οὐχ ὑπεραλεῖται φύσιν. Ἡ γὰρ ἄνωθέν τί ἐστι, τουτέστιν ἐκ τοῦ Πατρὸς τῶν φώτων, καὶ διὰ τοῦτο Θεός, μόνος δὲ εἷς ἄνωθεν ὁ Υἱός· ἤγουν κάτω τι νοεῖται καὶ κάτωθεν, τουτέστι*

---

63. Ἰω. 8, 23. 64. Ἰω. 3, 31. 65. Ἰακ. 1, 17.

κάτω καὶ ἐξετάζοντας τὸ πῶς εἶναι ἡ φύση ὅλων τῶν ὄντων, καὶ ἂν ἀκόμα δεῖ κάποια φύση ἡ ὁποία εἶναι ἀντιληπτὴ μόνο μὲ ἔννοιες καὶ μὲ τὸν λόγο, ἡ ὁποία καὶ ἀπὸ τὰ ὅρια τῆς ἀληθινῆς θεότητας νὰ εἶναι ἔξω, καὶ τοὺς λόγους τῆς δημιουργίας νὰ ξεφεύγει, καὶ νὰ μπορεῖ νὰ δείξει ὅτι εἶναι ἀνώτερη ἀπὸ τοῦ νὰ λέγεται ἴση πρὸς τὴν δική μας ὕπαρξη. Ὑπάρχει λοιπὸν κάτι ἐνδιάμεσο μεταξὺ γεννητοῦ καὶ ἀγεννήτου, ἀδημιούργητου καὶ δημιουργήματος;

Β. Δὲν θὰ τὸ δεχόμουν ἐγὼ τοὐλάχιστον· γιατὶ αὐτὸ ποὺ λὲς εἶναι σωστό.

Α. Δύο λοιπὸν φύσεις βλέπουμε σὲ ὅλα τὰ ὄντα. Μία τοῦ ὄντος ποὺ ὑπάρχει πάντοτε καὶ εἶναι ἀμετάβλητο, καὶ ἄλλη μία ἐκείνων ποὺ ἦρθαν στὴν ὕπαρξη μὲ δημιουργία. Καὶ ἡ φύση βέβαια ἐκείνου ποὺ ὑπάρχει χωρὶς νὰ ἔχει δημιουργηθεῖ βρίσκεται ψηλότερα καὶ τὰ ξεπερνάει ὅλα, καὶ μὲ τὴν ὑπεροχή του κινεῖται στὰ ψηλότερα καὶ μεγαλύτερα, ἐνῶ ἡ ἄλλη εἶναι κατώτερη καὶ κατὰ κάποιο τρόπο ταπεινωμένη, κάτω ἀπὸ τὰ πόδια τοῦ Δεσπότη. Θὰ τὸ καταλάβεις ὅμως αὐτὸ πολὺ πιὸ καθαρά, ἀκούοντας τὸν Κύριο ποὺ λέγει στὶς ἀγέλες τῶν Ἰουδαίων· «Ἐσεῖς εἴσαστε ἀπὸ τὰ κάτω, ἐγὼ εἶμαι ἀπὸ τὰ ἄνω»[63]. Ὅτι ὅμω ὁ Μονογενὴς ἦρθε σὲ μᾶς ἀπὸ τὰ ἄνω τὸ καθιστᾶ σαφὲς καὶ ὁ Ἰωάννης λέγοντας· «Αὐτὸς ποὺ ἔρχεται ἀπὸ ἐπάνω, εἶναι πάνω ἀπὸ ὅλα»[64]· γιατὶ πίστευε ὅτι πρέπει νὰ ἀποδώσει στὴν οὐσία ἐκείνου ποὺ εἶναι κατὰ φύση Θεὸς καὶ φύτρωσε κατὰ φύση Θεός, τὴν εἰς τὸ ἔπακρον ὑπεροχὴ καὶ ποὺ βρίσκεται στὸ ἀνώτατο ὕψος. Ὅτι πάλι τὸ «ἀπὸ πάνω» δὲν σημαίνει ὕψος τοπικό, ἀλλὰ ὑποδηλώνει τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, πῶς δὲν εἶναι ἀναντίρρητο, τὴ στιγμὴ ποὺ ἕνας ἀπὸ τοὺς ἅγιους μαθητὲς εἶπε καθαρά, «Κάθε δόση καλὴ καὶ κάθε δῶρο τέλειο κατεβαίνει ἀπὸ πάνω, καὶ ἔρχεται ἀπὸ τὸν Πατέρα τῶν φώτων, στὸν ὁποῖο δὲν ὑπάρχει ἀλλαγὴ ἢ κάποια σκιὰ ἀλλαγῆς»[65]; Εἴτε δηλαδὴ τοὺς ἀγγέλους, εἴτε τὰ ἀκόμα πιὸ πάνω ὄντα διασχίσει κανεὶς καὶ περνώντας ἀνάμεσα ἀπὸ ὅλα φτάσει στὰ ἴδια τὰ Σεραφὶμ καὶ ἐπισκεφθεῖ τὶς ἀνώτερες δόξες, δὲν θὰ ἀνέβει ψηλότερα ἀπὸ τὴ φύση τῶν γεννητῶν. Γιατὶ κάτι ἢ προέρχεται ἀπὸ πάνω, δηλαδὴ ἀπὸ τὸν Πατέρα τῶν φώτων, καὶ εἶναι βέβαια αὐτὸ Θεός, καὶ μόνος ποὺ προέρχεται ἀπὸ πάνω εἶναι ἕνας, ὁ Υἱός, ἢ κάτι νοεῖται κάτω καὶ προέρχεται ἀπὸ κάτω, εἶναι δηλαδὴ

κτίσις τε καὶ ἀπὸ κτίσεως· διὰ μέσου δὲ τὸ σύμπαν οὐδέν. Εἰ δὲ δή τις ἔροιτο τοὺς δι' ἐναντίας καὶ φιλοπευστοίη λέγων· Τί δὴ ἄρα ἡμῖν, ὦ οὗτοι, φατέ; Πότερα, γενητός ἐστιν ὁ τοιόσδε καθ' ὑμᾶς Υἱὸς καὶ μεσίτης, ἢ ἀγένητος; Ἄμεσα γὰρ ἀεί πως ὁρᾶται τουτί· τί δὴ ἄρα φαῖεν ἄν;

Β. Ἀπορήσειν οἶμαι, καὶ μάλα εἰκότως.

Α. Ἀπορήσειαν γὰρ οὖν. «Ζῇ γὰρ ἡ ἀλήθεια καὶ νικᾷ», κατὰ τὸ γεγραμμένον. Ἡμεῖς δὲ αὐτοί, τὴν ἐπ' ἄμφω διακομίζουσαν διερευνώμενοι τρίβον, τὰ εἰκότα περὶ τούτου φέρε διενθυμώμεθα. Ἀγένητον μὲν γὰρ εἰ δοῖεν εἶναι τὸν οὕτω μεσίτην, τὸ μόνης ἴδιον τῆς κατὰ φύσιν θεότητος ἀνατιθέντες αὐτῷ, τῶν τῆς μεσότητος ὅρων ἐπέκεινα παραδείξουσι, καὶ ἐν μείζοσιν ἢ χρῆν ὄντα λοιπόν. Τὸ γὰρ πάντων ἀνωτάτω δόξῃ τε καὶ φύσει Θεός, ᾧ πάντῃ τε καὶ πάντως παρέποιτο ἂν ὡς ἴδιον ἀγαθὸν τὸ ἀγένητον· ταύτῃ τοι καὶ τοῖς ὑπὸ γένεσιν καὶ φθορὰν ἀσυντελὴς καὶ ἀσύντακτος εἴη ἂν ἡ τοιάδε φύσις. Εἰ δὲ δὴ παρέντες τουτί, γενητὸν εἶναί φασι, πῶς ἂν νοοῖτο πρός τινος ἀσυμφυὲς τῇ κτίσει τὸ ὁμογενὲς αὐτῇ; Πῶς οὖν ἔτι μεσίτης μείων μὲν ἢ Θεὸς κατὰ φύσιν, μείζων δὲ αὖ ἢ κατὰ ποιήματος δόξαν τε καὶ φύσιν; Εἰ διὰ μὲν τοῦ ἀγενήτου πρὸς τὴν τῆς θεότητος δόξαν ἀναφοιτᾷ καὶ τῶν τῆς μεσιτείας ἀναθρῴσκει μέτρων ἐπὶ τὸ ἐπέκεινα πολύ, διὰ δὲ τοῦ γενητοῦ πρὸς τὸ κάτω βαδιεῖται, καὶ τὸν τῆς τοιᾶσδε μεσότητος ὑφιζήσει τόπον, ἐν τοῖς γεγονόσιν ἀναμετρούμενος· εἴπερ ἐστὶν ὁμογενὲς παντὶ γενητῷ τὸ γενητόν, κατά γε τὸν τοῦ γεγονέναι λόγον, τί τὸ ληρῶδες τουτὶ καὶ ἀσοφώτατον σόφισμα, τὸ ἀνέφικτον ὡς ἐφικτὸν εἰσφέρον, καὶ φύσεως ἡμῖν ἀναπλάττον τόπους, ὧν οὐκ ἄν, οἶμαι, τὶς ἐφίκοιτο νοῦς; Καινὸς γὰρ ὁ λόγος καὶ ἀσυμφανής· γενέσθαι δὲ δεῖν ἐναργῆ τὴν ἀπόδειξιν τοῖς περὶ τούτων λόγοις, ἀναγκαῖον εἶναί φημι. Εὐμήχανον δὲ καὶ εἰς ἀπά-

66. Ἱερ. 4,2.

κτίσμα καὶ προέρχεται ἀπὸ τὴν κτίση· ἀνάμεσα βέβαια σ' αὐτὰ τά δύο δὲν ὑπάρχει τίποτε. Ἐὰν λοιπὸν κάποιος ρωτοῦσε τοὺς ἀντίθετους, θέλοντας νὰ μάθει, λέγοντάς τους· Τί λέτε λοιπὸν φίλοι; Ποιὸ ἀπὸ τὰ δύο· εἶναι γεννητὸς ὁ τέτοιου εἴδους Υἱὸς καὶ μεσίτης, σύμφωνα μὲ σᾶς, ἢ ἀγέννητος; Γιατὶ αὐτὰ φαίνονται κατὰ κάποιο τρόπο νὰ ἔχουν ἄμεση σχέση· τί θὰ ἀπαντοῦσαν ἄραγε;

Β. Νομίζω πὼς θὰ βρεθοῦν σὲ ἀμηχανία, καὶ πολὺ εὔλογα.

Α. Θὰ βρεθοῦν ἀσφαλῶς σὲ ἀμηχανία. Γιατὶ ἡ ἀλήθεια, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, ζεῖ καὶ νικᾶ[66]. Ἐμεῖς ὅμως, ἐξετάζοντας ἀκριβῶς τὸν δρόμο ποὺ ὁδηγεῖ καὶ στὰ δύο, ἐμπρὸς νὰ θυμηθοῦμε γι αὐτὸν αὐτὰ ποὺ πρέπει. Ἂν δηλαδὴ δέχονται ὅτι εἶναι ἄκτιστος αὐτὸς ποὺ ἔτσι εἶναι μεσίτης, ἀποδίδοντας σ' αὐτὸν μόνο τὸ ἰδίωμα τῆς θείας φύσεως, τότε τὸν παρουσιάζουν πάνω ἀπὸ τὸ μέσο τῶν ὁρίων μεταξὺ κτιστῶν καὶ ἀκτίστων, καὶ ἀνάμεσα στὰ ἀνώτερα παρὰ σ' αὐτὰ ποὺ πρέπει. Γιατὶ τὸ πιὸ ἀνώτερο ἀπὸ ὅλα, σὲ δόξα καὶ φύση, εἶναι ὁ Θεός, τὸν ὁποῖον ἐξ ὁλοκλήρου καὶ ἀπαραίτητα θὰ τὸν ἀκολουθοῦσε τὸ ἄκτιστο ὡς δικό του ἀγαθό, ὅμως αὐτοῦ τοῦ εἴδους ἡ φύση (τοῦ Υἱοῦ) ποὺ ὑπόκειται σὲ δημιουργία καὶ φθορά, θὰ ἦταν ἀσύνδετη καὶ ἀταίριαστη στὴ φύση αὐτοῦ (τοῦ Θεοῦ). Ἐὰν πάλι παραβλέποντας αὐτά, λένε ὅτι εἶναι κτιστός, τότε πῶς θὰ μποροῦσε νὰ νοηθεῖ ὅτι δὲν ἀνήκει στὴν κτιστὴ φύση αὐτὸ ποὺ ἀνήκει στὸ ἴδιο γένος μὲ αὐτήν; Πῶς λοιπὸν εἶναι ἀκόμα μεσίτης ὄντας κατώτερος βέβαια ἀπὸ τὸν Θεὸ κατὰ φύση, ἀνώτερος ὅμως πάλι ἀπὸ κτίσμα κατὰ τὴ δόξα καὶ τὴ φύση; Γιατί, ἂν διὰ τοῦ ἀκτίστου εἰσέρχεται στὴ δόξα τῆς θεότητας καὶ ἀνυψώνεται πολὺ πιὸ πέρα ἀπὸ τὰ μέτρα τῆς μεσιτείας, ἐνῶ διὰ τοῦ κτιστοῦ κατεβαίνει κάτω καὶ ὑποβιβάζει τὴ θέση αὐτῆς τῆς μεσιτείας, καὶ συγκαταλέγεται μεταξὺ τῶν κτισμάτων, ἀφοῦ τὸ κτιστὸ εἶναι τοῦ ἰδίου γένους μὲ κάθε κτιστό, σύμφωνα μὲ τὸ λόγο ὅτι εἶναι κτιστά, τότε τί θέλει αὐτὸ τὸ φλύαρο καὶ ἀσοφώτατο σόφισμα, ποὺ παρουσιάζει τὸ ἀδύνατο ὡς δυνατό, καὶ ἀναπλάθει τοὺς τόπους τῆς φύσεώς μας, τοὺς ὁποίους δὲν νομίζω ὅτι θὰ μποροῦσε νὰ συλλάβει κανένας νοῦς; Γιατὶ ὁ λόγος αὐτὸς εἶναι καινούργιος καὶ ὄχι καθαρός, καὶ πρέπει ἀναγκαστικά, κατὰ τὴ γνώμη μου, νὰ γίνει σαφὴς ἡ ἀπόδειξη τῶν λόγων γι αὐτά. Θὰ μποροῦσε δηλαδὴ νὰ δεῖ κανεὶς καλὰ ἐπινοημένο καὶ μὲ εὐφυῆ τρόπο ἐπεξερ-

την αὐτοῖς ἀστείως διεξεσμένον κατίδοι τις ἂν τὸ κακούργημα. Ἐπειδὴ γὰρ δρῶντες ἀνοσιώτατα καὶ φρονοῦντες ἀλογώτατα, πεπαρῳνήκασιν εἰς τὸν Υἱόν, τῆς πρὸς τὸν Πατέρα <καὶ> Θεὸν ὁμοουσιότητος ῥιψοκινδύνως ἐκπέμποντες, ὑποκλέπτουσί πως ἐξ ἀναισχυντίας βραχὺ δοξάριον αὐτῷ, καὶ ἀνακομίζουσι μὲν ἠρέμα τῆς τῶν γενητῶν σμικροπρεπείας, ἀποκλείοντες δὲ ὥσπερ τῆς εἰς τὸ ἀνωτάτω διαδρομῆς, ἵνα μὴ νοοῖτο κατὰ φύσιν Θεός, τὸν μέσον αὐτῷ κληροδοτοῦσι τόπον, τοσαύτην ἐπιμετροῦντες ὅσηνπερ ἂν ἕλοιντο δόξαν αὐτῷ· νομοθέται δὲ ὥσπερ τῶν τοιούτων καθεστηκότες καὶ ὁρισταί, τὸ ἐν τίσιν ἂν εἶναι πρέποι διασκέπτονταί τε καὶ ὁρίζουσι τὸν Υἱόν. Ὅνπερ γάρ, οἶμαι, τρόπον οἱ τῶν ἀγαλμάτων δημιουργοὶ καὶ φιλοτεχνίας τῆς ἔν γε τούτῳ λαχόντες τὴν δόξαν, ξύλῳ τυχὸν ἢ λίθῳ τὸ τῆς ἀνθρωπείας μορφῆς ἐντορνεύσαντες εἶδος, ταῖς εἰσποιήτοις αὐτὸ μετὰ τοῦτο κομψείαις κατακαλλύνουσιν, ἢ χρυσῷ διαπάττοντες, ἢ γοῦν ἑτέραις τισὶν εὐχροίαις καθωραΐζοντες, οὕτω τε τὸν τῶν θεωμένων κατακηλήσαντες νοῦν, ἐπιμειδιᾶν μὲν ταῖς ὕλαις ταῖς εἰς τὸ εἴσω καὶ κεκρυμμένον οὐκ ἐφιᾶσιν ἐκ τέχνης, ἐπαγάλλεσθαι δὲ μᾶλλον ταῖς ἐπικήροις καὶ ἐξωφανεστέραις τοῦ κόσμου μαρμαρυγαῖς μονονουχὶ περισαίνοντες ἀναπείθουσι· τὸν αὐτόν, οἶμαι, καὶ τουτουσὶ τρόπον ἀστείως εὖ μάλα τὸ τοῦ μεσίτου σκιαγραφοῦντας εἴδωλον, τὸν τῶν ἁπλουστέρων καταληΐζεσθαι νοῦν, καὶ ἐν δορυκτήτων ποιεῖσθαι μοίρᾳ τοὺς ἐξακριβοῦν οὐκ ἔχοντας τὰ φιλοκακούργως ἐξηρτυμένα καὶ διὰ τῆς αὐτῶν μοχθηρίας ἐξευρημένα.

Β. Ἄριστα ἔφης.

Α. Ἔδει δὴ οὖν αὐτούς, εἰ λόγου τινὸς ἀξιοῦν ἐδόκει τὸ φρονεῖν ὀρθῶς, καὶ δόξαν ἔχειν οὐ διαβεβλημένην, μὴ τὰ ἀνέφικτα περὶ αὐτοῦ φαντάζεσθαι καὶ ἀναπλάττειν ἐπιχειρεῖν, ἃ μηδεὶς οἶδε λόγος, ἀπίθανον δὲ κομιδῇ καὶ ἐν ψιλαῖς ἐννοίαις καὶ μόναις ἔχειν τὴν ἔκφασιν, ἐπιτρέπειν δὲ οὕτως ἀτεχνῶς ἐν τοῖς φυσικοῖς ὑψώμασι τῆς θεότητος νοεῖσθαι τὸν Υἱόν, ὑπολογισαμένους ὅτι γεννηθεὶς ἐκ τοῦ Πατρός, τουτέστιν ἐκ τῆς οὐσίας αὐτοῦ, καὶ τὸν τῆς πρὸς αὐτὸν ὁμοουσιότητος ἀκριβῆ καὶ ἀπαραποίητον ἕξει λόγον, ἐπεί τοι καὶ Υἱὸν ἀληθῶς διωμολόγηκε τὸν Υἱόν, καὶ οὐχ

γασμένο τὸ κακούργημα ἀπὸ αὐτούς. Ἐπειδη δηλαδή, δρώντας ἀνίερα καὶ πιστεύοντας παράλογα, φέρθηκαν ὑβριστικὰ στὸν Υἱό, ἀποξενώνοντάς τον κατὰ τρόπο ριψοκίνδυνο ἀπὸ τὴν ὁμοουσιότητα πρὸς τὸν Πατέρα Θεό, τὸν ἀποζημιώνουν κατὰ κάποιο τρόπο ἀπὸ τὴν ἀναισχυντία τους ἀποδίδοντάς του ἕνα μικρὸ ἀξίωμα, καὶ τὸν ἀνεβάζουν σιγὰ σιγὰ ἀπὸ τὴ δουλοπρέπεια τῶν κτισμάτων, ἀλλὰ ἀποκλείοντάς τον ἀπὸ τὴν πορεία του πρὸς τὰ ἄνω, γιὰ νὰ μὴ θεωρεῖται κατὰ φύση Θεός, τοῦ δίνουν τὴ μέση θέση, παρέχοντάς του τόση δόξα, ὅση βέβαια θέλουν, καὶ διοριζόμενοι κατὰ κάποιο τρόπο νομοθέτες καὶ ὁριοθέτες, συσκέπτονται καὶ ὁρίζουν σὲ ποιοὺς θὰ ταίριαζε νὰ ἀνήκει ὁ Υἱός. Μὲ τὸν τρόπο δηλαδή, νομίζω, μὲ τὸν ὁποῖο οἱ δημιουργοὶ τῶν ἀγαλμάτων, ποὺ ἔχουν τὴ φήμη τῆς δεξιοτεχνίας σ' αὐτό, ἀφοῦ κατεργασθοῦν σὲ ξύλο ἢ πέτρα τὴν ὄψη τῆς ἀνθρώπινης μορφῆς, τὰ καλλωπίζουν στὴ συνέχεια μὲ πρόσθετες λεπτομέρειες, ἢ πασπαλίζοντάς τα μὲ χρυσό, ἢ ἐξωραΐζοντάς τα μὲ κάποια ἄλλα ὡραῖα χρώματα, καὶ ἔτσι, μαγεύοντας τὸν νοῦ αὐτῶν ποὺ τὰ βλέπουν, δὲν τοὺς ἀφήνουν βέβαια νὰ χαμογελάσουν μὲ τὶς ὕλες ποὺ εἶναι κρυμμένες μέσα ἀπὸ τὴν τέχνη, τοὺς κάνουν ὅμως νὰ χαίρονται μᾶλλον καὶ νὰ κουνοῦν τὴν οὐρά τους κατὰ κάποιο τρόπο μὲ τὶς φθαρτὲς καὶ ἐξωτερικὲς λάμψεις τοῦ κόσμου, μὲ τὸν ἴδιο τρόπο, νομίζω, καὶ αὐτοί, σκιαγραφώντας κατὰ τρόπο πολὺ ὡραῖον τὸ εἴδωλο τοῦ μεσίτη, αἰχμαλωτίζουν τὸν νοῦ τῶν ἁπλοϊκῶν καὶ κατεβάζουν στὴ μοῖρα τῶν κατακτημένων ἐκείνους ποὺ δὲν μποροῦν νὰ διακρίνουν αὐτὰ ποὺ ἔχουν ἑτοιμασθεῖ μὲ κακούργα διάθεση καὶ ἔχουν ἐφευρεθεῖ ἀπὸ τὴ μοχθηρία αὐτῶν.

Β. Τὰ εἶπες ἄριστα.

Α. Ἔπρεπε λοιπὸν αὐτοί, ἐὰν νόμιζαν ὅτι κάποιος λόγος ἀπαιτεῖ νὰ πιστεύουν σωστὰ καὶ νὰ ἔχουν γνώμη ἀδιάβλητη, νὰ μὴ ὑποθέτουν γι' αὐτὸν πράγματα ἀκατανόητα, οὔτε νὰ ἐπιχειροῦν νὰ ἀναπλάσσουν αὐτὰ ποὺ δὲν τὰ γνωρίζει κανένας λόγος, καὶ εἶναι πολὺ ἀπίθανο ἀκόμα καὶ μὲ ἀφηρημένες ἔννοιες νὰ γίνονται φανερά, καὶ τοὺς ἐπιτρέπουν τόσο ἁπλᾶ νὰ φαντάζονται τὸν Υἱὸ στὰ φυσικὰ ὕψη τῆς θεότητας, ὑπολογίζοντας ὅτι, ἀφοῦ γεννήθηκε ἀπὸ τὸν Πατέρα, δηλαδὴ ἀπὸ τὴν οὐσία του, ἔχει καὶ τὴν ἀντίστοιχη πρὸς αὐτὸν ὁμοουσιότητα ἀκριβῆ καὶ ἀπαράλλακτη, ἀφοῦ ἐξάλλου ὀνόμασε τὸν Υἱὸ

*ἕτερόν τι παρὰ τοῦτο, φάσκων ὁ Θεὸς καὶ Πατήρ· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα». Καίτοι τί μὴ μᾶλλον ὁρᾶται βοῶν, Οὗτός ἐστιν ὁ μεσίτης, εἰ μεσίτην ὄντα κατ' αὐτοὺς ἠπίστατο, εἰ καὶ ὅτι μάλιστα καλῶς ἂν ἔφη καὶ οὕτως; Γεγονότα γὰρ ἤδη μεσίτην παρέδειξεν ἄν· ἐνανθρωπήσαντι δὲ τῷ Υἱῷ, καὶ τὴν τοιαύτην ἂν εἰκότως ἐπεφθέγξατο φωνὴν ὁ Θεὸς καὶ Πατήρ. Φράζε δὲ δή μοι καὶ τόδε σαφῶς, μῶν ἠλιθιότητος εἰς τοῦτο παρώλισθον ὡς μηδὲ Υἱὸν ὅλως ὁμολογεῖν αὐτόν;*

*Β. Υἱὸν μὲν εἶναι καὶ γεγεννῆσθαί φασι, κατερυθριῶντες, ὥς γέ μοι φαίνεται, τὸ ἀναφανδὸν καὶ μετὰ γυμνῆς ἀναισχυντίας ἁπάσαις, ὡς ἔπος εἰπεῖν, ταῖς ἁγίαις ἀντιφέρεσθαι Γραφαῖς, πλὴν οὐκ ἐξ αὐτῆς ἡμῖν ἥκειν τῆς τοῦ Πατρὸς οὐσίας, οὔτε μὴν τὸ τῆς γεννήσεως χρῆμα παραδέχεσθαί τε καὶ νοεῖν ἀξιοῦσι φυσικῶς.*

*Α. Κατάπλαστον οὖν ὥσπερ τό τε τῆς υἱότητος καὶ τὸ τῆς γεννήσεως ὄνομα σφᾶς τε αὐτοὺς ἀναπείθουσι καὶ ἑτέρους φρονεῖν. Ἀποφέρουσι γάρ, ὡς ὁρᾷς, τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς τὸν ἀληθῆ τῆς γεννήσεως κατασείοντες τρόπον, καὶ μὴν καὶ τὸ εἶναι κατὰ φύσιν Υἱὸν παραιρούμενοι τὸν Μονογενῆ. Πικροὺς δὲ ὄντας αὐτοὺς καὶ ἰσχνολόγους, ὥσπερ οὖν οἴονται, καὶ φιλοκομποῦντας οἷς φασι, πῶς δὴ ἄρα κἀκεῖνο παρελάσαν ᾤχετο; Οὐ γὰρ ὑπαισθάνονται, κατὰ τὸ εἰκός, ὅτι καὶ αὐτὴν ἐν τούτῳ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς συνατιμάζουσι φύσιν, εἴπερ οὐκ ἔχειν αὐτὴν δια τείνονται τὸ καρπογόνον, καὶ τοῦ δύνασθαι τεκεῖν ἀπογυμνοῦσιν αὐτήν, ἧς τοὺς τύπους εἰς ἑαυτὴν ἀνεμάξατο, κύουσά τε καὶ καρποφοροῦσα τῶν γενητῶν ἡ φύσις.*

*Β. Ἀλλ' ἴσως καὶ πρός γε τοῦτο ἐροῦσιν ὡς εἴπερ ἐστὶ τὸ τῆς γεννήσεως ὄνομα πάντῃ τε καὶ πάντως ἀληθές, καθ' ὧν ἂν τάττοιτό τε καὶ λέγοιτο, μυρίους ἀνάγκη παραδέξασθαι καὶ φρονεῖν γεννηθέντας ἐκ τοῦ Θεοῦ καὶ Πατρός. Εἴρηται γάρ που καὶ περὶ τῶν ἐξ Ἰσραήλ· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα».*

---

67. Ματθ. 17,5. 68. Ἠσ. 1,2.

πραγματικό του Υἱό, καὶ ὄχι κάποιον ἄλλο ἐκτὸς ἀπὸ αὐτόν, ὅταν ὁ Θεὸς καὶ Πατέρας ἔλεγε· «Αὐτὸς εἶναι ὁ ἀγαπημένος μου Υἱός, στὸν ὁποῖο ἔδειξα ὅλη μου τὴν εὐαρέσκεια»[67]. Καὶ γιατί δὲν ἐμφανίζεται νὰ φωνάζει, "Αὐτὸς εἶναι ὁ μεσίτης", ἐὰν γνώριζε καλά, σύμφωνα μ' αὐτούς, ὅτι εἶναι μεσίτης; Ἂν καὶ ἔτσι ἡ ἐκφώνηση θὰ ἦταν πολὺ καλή. Ἀφοῦ δηλαδὴ ἤδη εἶχε γίνει μεσίτης, θὰ μποροῦσε νὰ τὸν δείξει τέτοιον, καὶ ἐφόσον ὁ Υἱὸς εἶχε γίνει ἄνθρωπος, θὰ μποροῦσε εὔλογα ὁ Θεὸς καὶ Πατέρας νὰ πεῖ καὶ τὴ λέξη αὐτή. Πές μου ὅμως καὶ αὐτὸ καθαρά· μήπως ἔφτασαν σὲ τέτοιο σημεῖο ἠλιθιότητας, ὥστε νὰ μὴ τὸν ὁμολογοῦν οὔτε καὶ Υἱό;

Β. Ὅτι εἶναι Υἱὸς καὶ γεννήθηκε λένε, κοκκινίζοντας, ὅπως μοῦ φαίνεται, αὐτὸ ποὺ ὁλοφάνερα καὶ μὲ ἀπερίφραστη ἀδιαντροπιά, ὅπως λέγει ὁ λόγος, ἀντίκειται σὲ ὅλες τὶς ἅγιες Γραφές, πλὴν ὅμως λένε δὲν προέρχεται ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Πατέρα, οὔτε παραδέχονται τὸν τρόπο τῆς γέννησης, καὶ ἀξιώνουν νὰ τὸ κατανοοῦν μὲ τρόπο φυσικό.

Α. Προσπαθοῦν λοιπὸν νὰ πείσουν καὶ τοὺς ἴδιους τοὺς ἑαυτούς τους καὶ ἄλλους νὰ πιστεύουν, ὅτι τὸ ὄνομα τῆς υἱότητας καὶ τῆς γέννησης εἶναι προσποιητό. Γιατί, ὅπως βλέπεις, τὸν ἀπομακρύνουν ἀπὸ τὴν οὐσία τοῦ Πατέρα, ἀπορρίπτοντας τὸν ἀληθινὸ τρόπο τῆς γέννησης, καὶ ἀποστεροῦν ἀπὸ τὸν Μονογενῆ τὸ δικαίωμα νὰ εἶναι Υἱός. Καὶ ἐνῶ εἶναι πικρόχολοι καὶ ἀδύναμοι στοὺς λόγους, ὅπως βέβαια νομίζουν καὶ τοὺς ἀρέσει νὰ καυχησιολογοῦν γι' αὐτὰ ποὺ λένε, πῶς ἄραγε τοὺς διέφυγε προσπερνώντας τους καὶ τοῦτο; Γιατὶ δὲν ἀντιλαμβάνονται, ὅπως εἶναι εὔλογο, ὅτι μαζὶ μὲ αὐτὸ ἀτιμάζουν καὶ τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα, ἐφόσον ἰσχυρίζονται ὅτι αὐτὴ δὲν ἔχει καρποφορία, καὶ ἀφαιροῦν ἀπὸ αὐτὴ τὴ δυνατότητα νὰ γεννήσει, τῆς ὁποίας τὸ πρότυπο ἀντέγραψε στὸν ἑαυτό της ἡ φύση τοῦ κτιστῶν κυοφορώντας καὶ καρποφορώντας.

Β. Ἴσως ὅμως καὶ σ' αὐτὸ νὰ ποῦν, ὅτι, ἐὰν τὸ ὄνομα τῆς γεννήσεως εἶναι μὲ κάθε ἔνοια καὶ ὁπωσδήποτε ἀληθινὸ σὲ ὅσους χρησιμοποιεῖται καὶ λέγεται, τότε κατ' ἀνάγκη πρέπει νὰ παραδεχθοῦμε καὶ νὰ πιστεύουμε, ὅτι μυριάδες ἔχουν γεννηθεῖ ἀπὸ τὸν Θεὸ καὶ Πατέρα. Γιατὶ ἔχει λεχθεῖ κάπου καὶ γιὰ τοὺς Ἰσραηλῖτες· «Γέννησα υἱοὺς καὶ τοὺς δόξασα»[68].

*Α. «Προφασιζομένους προφάσεις ἐν ἁμαρτίαις, καὶ εἰς λόγους πονηρίας ἐκκεκλικότας» αὐτοὺς εὑρήσομεν, κατὰ τὸ ἐν Ψαλμοῖς ᾀδόμενον τῷ μακαρίῳ Δαβίδ. Εἰ μὲν γὰρ ἦν ἕτερόν τι κατὰ φύσιν ὁμολογουμένως ὁ Υἱός, ἢ ὅπερ ἐστὶ καὶ πεπίστευται πρὸς ἡμῶν, εἶτα μεθ' ἡμῶν τὴν κλῆσιν διέλαχε τῆς τε υἱότητος ὁμοῦ καὶ τῆς γεννήσεως, ἦν ἔτι τὸ ἐμποδὼν οὐδὲν καταχρηστικώτερον εἰρῆσθαι καὶ ἐπ' αὐτοῦ διακεῖσθαι ταυτί. Ἐπειδὴ δὲ παραβιασάμενοι τἀληθὲς καὶ φιλοκακούργως αὐτὸν ὑφ' ἑτέραν τινὰ φύσιν, τό γε ἧκον ἐπ' αὐτούς, μεταστήσαντες, μεσίτην ὠνόμαζον, εἶτα φληνάφως τὸν ἐπ' αὐτῷ δὴ τούτῳ πλαστουργήσαντες μῦθον οὐ μετρίως ἐλέγχονται· τί τῆς ἑνούσης τε καὶ οὐσιώδους ὑπεροχῆς ἐξωθοῦντες οὐ καταλήγουσι, καὶ νόθοις ὥσπερ τισὶν ἀξιώμασιν ἐξυβρίζοντες εἰς τὸν ἐκ Πατρὸς ἀληθῶς, οὐ καταναρκῶσιν οἱ δείλαιοι; Οὐ γὰρ ἐν μοίρᾳ καὶ τάξει τῇ καθ' ἡμᾶς, ἀλλ' οὐδὲ ἐν ἴσῳ τοῖς πεποιημένοις εἰς τὴν τῆς υἱοθεσίας ἐκκέκληται δόξαν ὁ Μονογενής, οὔτε μὴν εἰσποιητὴν αὐτῷ τὴν ὑπεροχὴν καὶ ἡ ἐπωνυμία προξενεῖ, πολλοῦ γε καὶ δεῖ. Θετὸς γὰρ ἂν εἴη, καὶ ἐν τοῖς κατὰ χάριν υἱοῖς, εἴπερ ὧδέ τε ἔχοι, καὶ τοῖς τῆς κτίσεως περισχοινίζοιτο μέτροις. Ἀλλὰ ταυτὶ μὲν ὕθλος τέ ἐστι καὶ βαττολογία καὶ δυσφημιῶν ὄχλος καὶ ἕτερον οὐδέν. Ὡς δὲ ἐν τοῖς κατὰ θέσιν υἱοῖς ἑαυτὸν καταμετρεῖν οὐκ ἠξίωσεν ὁ Μονογενής, ἀλλ' οἶδεν ἔχοντα θείαν τε καὶ ἄρρητον τὴν κατὰ πάντων ὑπεροχὴν καὶ τὸ τῆς υἱοθεσίας ἀληθὲς ἀξίωμα, μάθοις ἂν εὐκόλως, Ἰουδαίοις λέγοντος Μωσέως τε πέρι καὶ προφητῶν ἁγίων· «Εἰ ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφή, ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον· Υἱός εἰμι τοῦ Θεοῦ;». Εἰ γὰρ ἐπεί τοι παρ' ἐκείνοις γέγονεν ὁ τοῦ Θεοῦ λόγος, θεοὺς ἀπέδειξε καὶ υἱούς, πῶς οὐκ ἂν μᾶλλον αὐτὸς Υἱός τε εἴη καὶ Θεὸς ἄμεινόν τε καὶ ἀληθέστερον ὁ δι' ὃν ἐκεῖνοι θεοὶ καὶ υἱοί; Οὐκ ἐπακτὸν οὖν ἄρα τῷ Μονογενεῖ τὸ Υἱός, ἀλλὰ τοῦ εἶναι τοιῶσδε σημαντικὸν ἂν εἴη τὸ ὄνομα αὐτῷ, καθάπερ ἀμέλει καὶ αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ τὸ Πατήρ. Πατὴρ μὲν γὰρ ὁ Πατὴρ ὅτι τέ-*

---

69. Ψαλμ. 140, 4.

70. Ἰω. 10, 35-36.

Α. Τοὺς βρίσκουμε νὰ προφασίζονται προφάσεις ἁμαρτωλές, καὶ νὰ ἔχουν ἐκτραπεῖ σὲ λόγους πονηρούς, ὅπως ψάλλει στοὺς Ψαλμοὺς ὁ μακάριος Δαβίδ[69]. Γιατί, ἐὰν ὁ Υἱὸς ἦταν ὁμολογουμένως κάτι διαφορετικὸ ὡς πρὸς τὴ φύση, ἀπὸ ὅ,τι εἶναι καὶ πιστεύεται ἀπὸ μᾶς, καὶ ὕστερα μαζί μας μοιράσθηκε τὸ ὄνομα τοῦ Υἱοῦ καὶ τῆς γέννησης, δὲν θὰ ἐμπόδιζε τίποτε νὰ λέγεται ὅτι κατὰ τρόπο καταχρηστικὸ αὐτὰ χρησιμοποιοῦνται καὶ σ' αὐτόν. Ἐπειδὴ ὅμως παραβιάζοντας τὴν ἀλήθεια καὶ μὲ κακούργα διάθεση, ὅσο ἐξαρτᾶται ἀπὸ αὐτούς, τὸν μεταθέτουν σὲ ἄλλη φύση καὶ τὸν ὀνομάζουν μεσίτη, καὶ ἔπειτα ἐλέγχονται ἔντονα, ὅτι μωρολογώντας δημιούργησαν τὸν μῦθο γι' αὐτὸν τὸν ἴδιο, γιατί δὲν σταματοῦν νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὴν οὐσιαστικὴ ὑπεροχὴ στὴν ὁποία βρίσκεται, καὶ δὲν ἀποναρκώνονται οἱ ταλαίπωροι μὲ νόθα κατὰ κάποιο τρόπο ἀξιώματα νὰ ἐξυβρίζουν αὐτὸν ποὺ προέρχεται ἀληθινὰ ἀπὸ τὸν Πατέρα; Γιατὶ δὲν ἀνήκει στὴ μοῖρα καὶ τάξη τὴ δική μας, ἀλλ' οὔτε καὶ κλήθηκε στὴ δόξα τῆς υἱοθεσίας ὁ Μονογενὴς κατὰ τὸν ἴδιο τρόπο ὅπως οἱ δημιουργημένοι, οὔτε καὶ τὸ ὄνομά του τοῦ παρέχει τὴν ὑπεροχή του ἐξ υἱοθεσίας· πολὺ ἀπέχει αὐτὸ ἀπὸ τὴν ἀλήθεια. Γιατὶ τότε θὰ ἦταν θετὸς καὶ θὰ ἀνῆκε στοὺς κατὰ χάρη υἱούς, ἐὰν εἶναι ἔτσι καὶ περιοριζόταν μέσα στὰ μέτρα τῆς κτίσεως. Ἀλλ' αὐτὰ βέβαια εἶναι ἀνοησία καὶ μωρολογία καὶ πλῆθος βλασφημιῶν καὶ τίποτε ἄλλο. Ὅτι ὅμως ὁ Μονογενὴς δὲν ἀξίωσε νὰ καταμετρηθεῖ στοὺς θετοὺς υἱούς, ἀλλὰ γνώριζε ὅτι ἔχει θεϊκὴ καὶ ἀπερίγραπτη τὴν ὑπεροχὴ ἀπέναντι ὅλων, καὶ τὸ πραγματικὸ ἀξίωμα τῆς υἱοθεσίας, μπορεῖς νὰ τὸ μάθεις εὔκολα ἀπὸ αὐτὰ ποὺ λέγει στοὺς Ἰουδαίους γιὰ τὸν Μωϋσῆ καὶ τοὺς ἁγίους προφῆτες· «Ἐὰν ὀνόμασε θεοὺς ἐκείνους πρὸς τοὺς ὁποίους δόθηκε ὁ λόγος τοῦ Θεοῦ, καὶ ἡ Γραφὴ δὲν εἶναι δυνατὸ νὰ καταργηθεῖ, ἐσεῖς λέτε σ' αὐτὸν ποὺ ὁ Πατέρας τὸν ἁγίασε καὶ τὸν ἔστειλε στὸν κόσμο, Βλασφημεῖς, ἐπειδὴ εἶπα, Εἶμαι Υἱὸς τοῦ Θεοῦ;»[70]. Ἂν δηλαδὴ ἀνέδειξε θεοὺς καὶ υἱοὺς ἐκείνους ἐπειδὴ δόθηκε σ' αὐτοὺς ὁ λόγος τοῦ Θεοῦ, πῶς δὲν εἶναι πολὺ περισσότερο πρέπον καὶ ἀληθέστερο νὰ εἶναι Υἱὸς καὶ Θεὸς αὐτός, ἐξαιτίας τοῦ ὁποίου ἐκεῖνοι ἀναδείχτηκαν θεοὶ καὶ υἱοί; Ἄρα λοιπὸν τὸ ὄνομα Υἱὸς δὲν εἶναι πρόσθετο στὸν Μονογενῆ, ἀλλὰ σημαίνει ὅτι εἶναι αὐτὸ ποὺ εἶναι, ὅπως βέβαια καὶ στὸν Θεὸ καὶ Πατέρα τὸ ὄνομα

*τοκε τὸν Υἱόν, Υἱὸς δὲ αὖ ὁ Υἱὸς ὅτι γεγέννηται παρὰ τοῦ Πατρός. Ταύτης τοι τῆς αἰτίας, ὡς ἐγῷμαι, χάριν, καίτοι παμπόλλαις τε ὅσαις καὶ διαφόροις λέξεσι τὰ προσόντα τῇ θείᾳ φύσει διερμηνεύοντες ἀγαθά, κἂν γοῦν εἰς μετρίαν τὴν περὶ αὐτῆς ἥκομεν γνῶσιν, ἀλλ' οὐκ ἐκείναις συντεταγμένον ἐρῶ τό τε τῆς υἱότητος καὶ τὸ τῆς πατρότητος ὄνομα, καίτοι τῶν ἄλλων ὀρθῶς τε καὶ ἀνεγκλήτως ἐπ' ἀμφοῖν λεγομένων.*

*Β. Πῶς ἔφης;*

*Α. Φράσαιμ' ἂν ὡς ἥδιστα φιλοπευστοῦντί σοι. Κατὰ διττόν, οἶμαι, τρόπον τὰ οὐσιωδῶς προσόντα τῇ θείᾳ φύσει πλεονεκτήματα καταδηλοῦν εἰθίσμεθα. Ἢ γὰρ ἀφ' ὧν ἐστιν ἢ ἀφ' ὧν οὐκ ἔστιν ἀεὶ πρὸς ἡμῶν ἐπιγινώσκεται. Ζωὴν μὲν γὰρ εἶναι λέγοντες καὶ φῶς αὐτὴν ὀνομάζοντες, ἀφ' ὧν εἶναι πεπίστευται, φαμὲν ἀληθεύοντες. Φθαρτὴ δὲ ὅτι μή ἐστι μήτε μὴν ὁρατή, ἀφ' ὧν οὐκ ἔστι λαλοῦμεν. Ὅτι γὰρ φθορᾶς ἀμείνων καὶ τοῦ καθορᾶσθαι πρός τινος, ἡ τῶν λέξεων ἡμῖν ὑποφαίνει δύναμις· ἢ γάρ;*

*Β. Ἀληθές.*

*Α. Εἴ τις οὖν ἄρα λέγοι ζωὴν εἶναι καὶ φῶς τὸν Πατέρα καὶ Θεόν, καὶ μὴν ὡς ἔστι πρὸς τούτοις ἄφθαρτος καὶ ἀόρατος, οὐκ ἐν κόσμῳ τι δρᾶν οἰησόμεθά που τὸν τοιοῦτον ἡμεῖς, εἴπερ ἕλοιτο φρονῶν ὀρθῶς, καὶ τῇ τοῦ Υἱοῦ φύσει προσάπτειν αὐτά, ὡς καὶ τοῖς ἴσοις ὀνόμασιν ἀποσεμνύνειν εὖ μάλα τὸν ἐκ Πατρὸς Θεὸν Λόγον;*

*Β. Ναί.*

*Α. Εἰ δὲ δὴ καὶ βασιλέα λέγοι, καὶ ταῖς εἰσάπαν εὐκλείαις βούλοιτο τιμᾶν δι' ὧνπερ ἂν ἡμῖν ἡ θεία φύσις καταγεραίροιτο, ἆρ' οὐχὶ μετεῖναί φαμεν καὶ αὐτῶν τῷ Υἱῷ;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Ἀμαθὲς οὖν ἄρα παντελῶς κἂν γοῦν ἐνδοιάζειν ὅλως ὅτι κοινὰ μὲν ἀμφοῖν τὰ πλεονεκτήματα, τά τε εἰς δόξαν καὶ ὑπεροχήν. Διαψεύσεται δὲ οὐδαμῶς ἡ ἀλήθεια, τουτέστι Χριστός, πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα λέγων ὅτι «Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς». Εἴπερ οὖν ἐν ἀξιώμα-*

---

71. Ἰω. 17, 10

Πατέρας. Γιατὶ ὁ Πατέρας εἶναι Πατέρας, ἐπειδὴ γέννησε τὸν Υἱό, καὶ Υἱὸς ὁ Υἱός, ἐπειδὴ γεννήθηκε ἀπὸ τὸν Πατέρα. Γι' αὐτὸν τὸν λόγο, ὅπως ἐγὼ νομίζω, ἂν καὶ τὰ ἀγαθὰ προσόντα τῆς θείας φύσεως τὰ ἐκφράζουμε μὲ πλεῖστες ὅσες καὶ διάφορες λέξεις, ἔστω καὶ ἂν μὲ ὅλες αὐτὲς ὁδηγούμαστε σὲ μέτρια γνώση αὐτῆς, δὲν λέγω ὅμως ὅτι μέσα σ' ἐκεῖνες τὶς λέξεις συμπεριλαμβάνονται καὶ τὰ ὀνόματα τῆς υἱότητας καὶ τῆς πατρότητας, μολονότι βέβαια οἱ ἄλλες ὀνομασίες λέγονται καὶ στοὺς δύο σωστὰ καὶ ἀκατηγόρητα.

Β. Πῶς τὸ ἐννοεῖς;

Α. Θὰ σοῦ πῶ εὐχαρίστως, ἀφοῦ θέλεις νὰ μάθεις. Τὰ ἰδιώματα ποὺ ἀναφέρονται στὴν οὐσία τῆς θείας φύσεως συνηθίζουμε, νομίζω, νὰ τὰ ὀνομάζουμε μὲ δύο τρόπους. Γιατὶ αὐτὴ (ἡ θεία φύση) γίνεται σὲ μᾶς γνωστὴ ἢ ἀπὸ αὐτὰ ποὺ εἶναι, ἢ ἀπὸ αὐτὰ ποὺ δὲν εἶναι. Λέγοντας γιὰ παράδειγμα ὅτι εἶναι ζωή, καὶ ὀνομάζοντάς την φῶς, λέμε ἀληθινὰ ὅτι πιστεύεται ἀπὸ αὐτὰ ποὺ εἶναι. Καὶ ὅταν λέμε ὅτι δὲν εἶναι φθαρτὴ οὔτε ὁρατή, τὴν ὀνομάζουμε ἔτσι ἀπὸ αὐτὰ ποὺ δὲν εἶναι. Γιατὶ ἡ σημασία τῶν λέξεων φανερώνει ὅτι εἶναι ἀνώτερη ἀπὸ τὴ φθορὰ καὶ ἀπὸ τὸ νὰ βλέπεται ἀπὸ κάποιον· ἢ μήπως ὄχι;

Β. Ναί, εἶναι ἀλήθεια.

Α. Ἑπομένως, ὅταν κάποιος λέγει, ὅτι ὁ Θεὸς Πατέρας εἶναι ζωὴ καὶ φῶς, ἀλλὰ καὶ ἐπὶ πλέον εἶναι ἄφθαρτος καὶ ἀόρατος, δὲν θὰ πιστέψουμε ὅτι αὐτὸς κάνει κάτι στὸν κόσμο, ἐὰν θέλει νὰ πιστεύει σωστὰ καὶ ν' ἀποδίδει αὐτὰ στὴ φύση τοῦ Υἱοῦ, ἀφοῦ πολὺ ὀρθὰ τιμᾶ μὲ τὰ ἴδια ὀνόματα τὸν Θεὸ Λόγο ποὺ προῆλθε ἀπὸ τὸν Πατέρα;

Β. Ναί.

Α. Ἐὰν λοιπὸν τὸν λέγει καὶ βασιλιὰ καὶ θέλει νὰ τὸν τιμήσει μὲ ὅλες τὶς δόξες, μὲ τὶς ὁποῖες θὰ ἦταν δυνατὸν νὰ τιμηθεῖ ἡ θεία φύση, δὲν θὰ λέγαμε, ὅτι στὶς τιμὲς αὐτὲς μετέχει καὶ ὁ Υἱός;

Β. Πῶς δηλαδὴ ὄχι;

Α. Ἑπομένως δείχνει τέλεια ἀμάθεια, ἀκόμα καὶ ὁ ἁπλὸς ἐνδοιασμός, ὅτι εἶναι κοινὰ καὶ στοὺς δύο τὰ ἰδιώματα, καὶ αὐτὰ ποὺ ἀναφέρονται στὴ δόξα καὶ τὴν ὑπεροχή. Καὶ δὲν διαψεύδεται καθόλου ἡ ἀλήθεια, δηλαδὴ ὁ Χριστός, ὁ ὁποῖος λέγει στὸν Πατέρα· «Ὅλα τὰ δικά μου εἶναι δικά σου, καὶ τὰ δικά σου δικά μου, καὶ ἔχω δοξασθεῖ μὲ αὐτά»[71]. Ἐφόσον λοιπὸν κατὰ τὸν νόμο τοῦ ἀξιώματος, ὅπως καὶ

*τος νόμῳ, καθάπερ καὶ τὰ λοιπά, προσεῖναί φαμεν τῷ μὲν Πατρὶ τὸ Πατήρ, τῷ δὲ Υἱῷ τὸ Υἱός, τί τὸ ἐμποδών, εἰπέ μοι, καὶ τί τὸ ἀπεῖργον ἐκ μέσου ποιεῖσθαι τοῖν ὀνομάτοιν τὴν διαφοράν, ἄμφω τε Πατέρας καὶ Υἱοὺς ἀποκαλεῖν, κοινὰ καὶ ἐν ἴσῃ τάξει λαχόντας τὰ γέρα, καὶ ταῖς τῶν ἀξιωμάτων ὑπεροχαῖς ἰσομέτρως κατεστεμμένους;*

*Β. Καὶ μὴν τοῦτό γέ ἐστι παντελῶς ἀπίθανον εἰπεῖν ἢ νοεῖν. Εἴη γὰρ ἂν οὐχ ἑτέρως ἔχων ὁ Πατὴρ ἢ ὅπερ ἐστί, τουτέστι Πατήρ, καὶ ὁ Υἱὸς ὁμοίως· μένει γὰρ Υἱός, καὶ οὐκ ἂν νοοῖτο Πατήρ.*

*Α. Ὀρθότατά γε καὶ ἀληθῶς, ὦ Ἑρμεία. Συναινέσεις οὖν ἄρα καὶ συναθλήσεις τῷ λόγῳ, παραδεικνύντι σαφῶς, ὡς οὐκ ἀξιώματος ἔσται σημαντικὸν τῷ Πατρὶ τὸ τῆς πατρότητος ὄνομα· δεῖν γὰρ οἶμαι καὶ ὧδε λέγειν, προτετιμηκότας τοῦ πρέποντος τὴν ἀναγκαίαν τοῦ πράγματος δήλωσιν· οὔτε μὴν τῷ Υἱῷ ἡ τῆς υἱότητος κλῆσις, καθάπερ ἦν ἐπ᾽ ἀμφοῖν λεγόμενα, τὸ ζωή, τὸ φῶς καὶ τὰ τούτοις συντεταγμένα· ἀλλ᾽ ἴδιον ἑκατέρῳ τοὔνομα, τὸ ὅπως ἂν ἔχοι παραδηλοῦν.*

*Β. Καὶ μάλα.*

*Α. Τὸ γὰρ ἀποσείεσθαι τρόπον τινὰ τὴν ἀνάχυσιν τῶν ὀνομάτων τὴν δύναμιν, μόνιμον δὲ ὥσπερ ἐξαιτεῖν ἐφ᾽ ἑαυτῇ τὴν ἕδραν, ἀπαραποίητον ἑκατέρῳ τὸ εἶναι τοιῶσδε προσνέμει. Πατὴρ γὰρ ὁ Πατήρ, καὶ οὐχ Υἱός, ὅτι γεγέννηκεν· Υἱὸς δὲ αὖ πάλιν ὁ Υἱός, καὶ οὐ Πατήρ, ὅτι γεγέννηται. Φέρε γάρ, εἰ δοκεῖ, βραχὺ τοῦ Πατρός, ὡς ἐν ἐννοίαις καὶ λόγῳ, τὸ Πατὴρ ἀποστήσαντες, καὶ μὴν καὶ τοῦ Υἱοῦ τὸ Υἱός, ἐννοῶμεν, ὦ τᾶν, τὸ ὅπως ἂν ἡμῖν ἀναμέρος τὸ ἑκατέρου πρόσωπον κατασημῆναι τις ἄν. Ἆρα τῷ φάναι Θεὸν ἢ ζωὴν ἢ ἄφθαρτον ἢ ἀόρατον ἢ βασιλέα τυχόν; Ἀλλ᾽ οὐκ εὐδιάκριτον ἐντεῦθεν εἴη ἂν τὸ δηλούμενον. Τὸ γὰρ ἐπ᾽ ἀμφοῖν ἀληθές, τοῦ ἑκατέρῳ προσόντος ἰδικῶς πῶς ἂν ἐναργῆ ποιοῖτο τὴν δήλωσιν; Μόνως δὲ καὶ ἀληθῶς ὁ Πατὴρ σημαίνεται διὰ τοῦ νοεῖν ὡς τέτοκε· μόνως δὲ καὶ ἀληθῶς ὁ Υἱὸς διὰ τοῦ νο-*

ὅλα τὰ ἄλλα, λέμε ὅτι ὑπάρχει στὸν Πατέρα ἡ ἰδιότητα τοῦ Πατέρα, καὶ στὸν Υἱὸ ἡ ἰδιότητα τοῦ Υἱοῦ, τί μᾶς ἐμποδίζει καὶ τί εἶναι ἐκεῖνο ποὺ μᾶς κωλύει νὰ βγάλουμε ἀπὸ τὴ μέση τὴ διαφορὰ τῶν ὀνομάτων καὶ νὰ ἀποκαλοῦμε καὶ τοὺς δύο Πατέρες καὶ Υἱούς, ἀφοῦ ἔχουν κοινὲς καὶ σὲ ἴσο βαθμὸ τὶς τιμές, καὶ κοσμοῦνται ἰσότιμα μὲ τὶς ὑπεροχὲς τῶν ἀξιωμάτων;

Β. Αὐτὸ εἶναι ἐντελῶς ἀπίθανο νὰ τὸ ποῦμε ἢ νὰ τὸ σκεφθοῦμε. Γιατὶ ὁ Πατέρας δὲν εἶναι δυνατὸν νὰ εἶναι διαφορετικὸς ἀπὸ αὐτὸ ποὺ εἶναι, δηλαδὴ Πατέρας, καὶ ὁ Υἱὸς τὸ ἴδιο· γιατὶ μένει Υἱὸς καὶ δὲν νοεῖται Πατέρας.

Α. Πολὺ σωστὰ καὶ ἀληθινά, Ἑρμεία. Θὰ συμφωνήσεις ἐπομένως καὶ θὰ ἀγωνισθεῖς μαζί μου στὸν λόγο, ποὺ ἀποδεικνύει μὲ σαφήνεια, ὅτι τὸ ὄνομα τῆς πατρότητας δὲν σημαίνει γιὰ τὸν Πατέρα ἀξίωμα· γιατὶ πρέπει, νομίζω, καὶ ἐδῶ νὰ ποῦμε, ἀφοῦ προτιμήσαμε τὴν ἀναγκαία σημασία ποὺ ταίριαζε στὸ θέμα, ὅτι καὶ στὸν Υἱὸ τὸ ὄνομα τῆς υἱότητας δὲν ἀνήκει σ' ἐκεῖνα ποὺ ἀποδίδονται καὶ στοὺς δύο, ὅπως ἡ ζωή, τὸ φῶς καὶ ὅλα ὅσα εἶναι ἴδια μὲ αὐτά, ἀλλὰ τὸ κάθε ὄνομα εἶναι στὸν καθένα ἰδιαίτερο, καὶ σημαίνει τὸ πῶς εἶναι ὁ καθένας.

Β. Πολὺ σωστά.

Α. Γιατὶ τὸ νὰ ἀπορρίπτουμε κατὰ κάποιο τρόπο τὴ σύγχυση τῆς σημασίας τῶν ὀνομάτων, ἀπαιτώντας ὡς μόνιμη τὴ θέση τους, παρέχει στὸ καθένα ἀπὸ τὰ ὀνόματα ἀμετάβλητο αὐτὸ ποὺ εἶναι. Γιατὶ ὁ Πατέρας εἶναι Πατέρας καὶ ὄχι Υἱός, ἐπειδὴ γέννησε, καὶ ὁ Υἱὸς ἐπίσης εἶναι Υἱός, καὶ ὄχι Πατέρας, ἐπειδὴ γεννήθηκε. Ἐμπρὸς λοιπὸν τώρα, ἂν θέλεις, ἀφοῦ παραμερίσουμε γιὰ λίγο ἀπὸ τὸν Πατέρα, θεωρητικὰ καὶ μὲ τὸ λόγο, τὸ ὄνομα Πατέρας, καὶ ἀπὸ τὸν Υἱὸ τὸ ὄνομα Υἱός, νὰ σκεφθοῦμε, φίλε, πῶς θὰ μποροῦσε κανεὶς νὰ μᾶς φανερώσει τὸ πρόσωπο τοῦ καθενὸς χωριστά. Μήπως μὲ τὸ νὰ πεῖ Θεός, ἢ ζωή, ἢ ἄφθαρτος, ἢ ἀόρατος, ἢ βασιλιάς; Ὅμως ἀπὸ αὐτὰ δὲν γίνεται φανερὸ αὐτὸ ποὺ δηλώνεται. Γιατὶ αὐτὸ ποὺ καὶ γιὰ τὰ δύο εἶναι ἀληθινό, πῶς θὰ μποροῦσε νὰ κάνει ὁλοφάνερη τὴ δήλωση αὐτοῦ ποὺ ὑπάρχει στὸν καθένα ὡς ἰδιαίτερο χαρακτηριστικό; Ὁ μοναδικὸς καὶ πραγματικὸς τρόπος μὲ τὸν ὁποῖο δηλώνεται ὁ Πατέρας εἶναι τὸ νὰ σκεφθοῦμε ὅτι γέννησε, καὶ μοναδικὸς καὶ ἀληθινὸς τρό-

*εἶσθαι γεγεννημένος. Ἴδιον οὖν ἑκατέρῳ τὸ αὐτοῦ καὶ μόνου, καίτοι τῶν ἄλλων οὐ διωρισμένως ἐπ' ἀμφοῖν λεγομένων. Παρελήφθη μὲν γὰρ ἐν τῇ τῶν φυσικῶν ἀξιωμάτων ἐκεῖνα τάξει· τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὸν μὲν γεννήτορα, τὸν δὲ τεχθέντα παρέδειξεν.*

πος γιὰ τὸν Υἱὸ εἶναι νὰ σκεφθοῦμε ὅτι γεννήθηκε. Ἰδιαίτερο λοιπὸν γιὰ τὸν καθένα ἰδίωμα εἶναι αὐτὸ ποὺ εἶναι μόνο δικό του, ἂν καὶ βέβαια τὰ ἄλλα λέγονται καὶ στοὺς δύο χωρὶς διάκριση. Γιατὶ ἐκεῖνα ἀνήκουν στὴν κατηγορία τῶν φυσικῶν ἀξιωμάτων, ἐνῶ αὐτὰ δὲν εἶναι ἔτσι, ἀλλὰ δείχνουν ὅτι ὁ ἕνας γέννησε, καὶ ὁ ἄλλος γεννήθηκε.

## (ΔΙΑ)ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

### *Ὅτι καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν γεννητὸς ὁ Υἱός.*

*Α. Ἆρ' οὐκ ἀληθὲς εἰπεῖν, ὦ Ἑρμεία, ὡς ἁπλοῦς τε ἔφυ τῆς ἀληθείας ὁ μῦθος καὶ ἀρίστην ὅτι μάλιστα τὴν ἕδραν ἐν καρδίαις ἔχει ταῖς ἁπλαῖς, παρὰ πολὺ δὲ ἡδίων ἢ μελιττῶν ἐστι πόνος; Ἀληθὲς δὲ ὅτι τὸ χρῆμά ἐστιν ἀναπείσει λέγων ὁ θεῖος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· «Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου».*

*Β. Ναί. Τῆς ἀληθείας κομιδῇ μὲν ἁπλοῦν καὶ κηρίων αὐτῶν ἡδίονα συμφήσαιμ' ἂν εἶναι καὶ αὐτὸς τὸν λόγον· ἁπλότητος δὲ τῆς ἔν γε τουτοισὶ ποδαπὸς ἂν νοοῖτο πρὸς ἡμῶν ὁ τρόπος;*

*Α. Τί γὰρ ἕτερον ἁπλοῦν ἡμῖν ὄντα τῆς ἀληθείας τὸν μῦθον παραδείξειεν ἄν, ἢ τὸ πολυπλόκων μὲν ἀπηλλάχθαι διασκεμμάτων καὶ οἱονεὶ βλοσυρόν τι καὶ ἀμειδὲς ὁρώσης ἐννοίας καὶ φιλοκακούργως συντεθειμένης καὶ τῆς ἐνούσης εὐσθενείας αὐτῇ ποιουμένης τὴν ἔνδειξιν οὐκ ἐφ' οἷς ὀνήσει πρὸς ἀληθείας εὕρεσιν, ἀλλ' ἐφ' οἷς ἂν οὐ μετρίως καταλωβήσαιτο τοὺς ἀκροωμένους; Πάρα δέ, εἴ σοι δοκεῖ, καθάπερ ἐν πίνακι λαμπρῶς καθιδεῖν τὸν ἐμὸν τοῦ πρέποντος οὐχ ἡμαρτηκότα λόγον εἰ τὴν Ἀρείου τε καὶ τῶν ἀμφ' αὐτὸν καταθρήσεις αἵρεσιν, οἷς καὶ εὖ ἔχειν εἰπεῖν οἰήσομαι δεῖν· «Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὖ ποιεῖν, μεμαθηκότες τὰ κακά». Παρδάλεως γὰρ οἶμαι διενεγκεῖν οὐδὲν τῶν δι' ἐναντίας τὸν νοῦν. Ἡ μὲν γὰρ ποικίλως κατεστιγμένη, παμμιγῆ καὶ πάμμορφον χρω-*

---

1. Ψαλμ. 118, 103.
2. Ἰερ. 13, 23.

## ΔΙΑΛΟΓΟΣ Β΄.

### **῞Οτι ὁ Υἱὸς εἶναι συναιώνιος μὲ τὸν Θεὸ καὶ Πατέρα καὶ γεννήθηκε ἀπὸ αὐτὸν κατὰ φύση.**

Α. ῎Αραγε, Ἑρμεία, δὲν εἶναι ἀλήθεια, ὅτι ὁ λόγος τῆς ἀλήθειας εἶναι ἀπὸ τὴ φύση του ἁπλός, καὶ ἔχει ὡς ἐπὶ τὸ πλεῖστον τὴν καλύτερη ἕδρα του στὶς καθαρὲς καρδιές, καὶ εἶναι καρπὸς πολὺ πιὸ γλυκὸς καὶ ἀπὸ τὸ μέλι; ῞Οτι εἶναι ἀληθὲς αὐτὸ ποὺ λέγω, θὰ μᾶς πείσει ὁ θεῖος Δαβίδ, ὁ ὁποῖος λέγει πρὸς τὸν Σωτῆρα τῶν ὅλων Θεό· «Πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸν λάρυγγά μου, περισσότερο καὶ ἀπὸ τὸ μέλι καὶ τὴν κηρήθρα»[1].

Β. Ναί· συμφωνῶ κι᾽ ἐγὼ ὅτι ὁ λόγος τῆς ἀλήθειας εἶναι πολὺ ἁπλὸς καὶ πιὸ γλυκὸς ἀπὸ τὶς κηρῆθρες· πῶς ὅμως νοεῖται ἡ ἁπλότητα ἀπὸ μᾶς σ᾽ αὐτὰ ἐδῶ τὰ θέματα;

Α. Τί ἄλλο θὰ μποροῦσε νὰ μᾶς ἀποδείξει ὅτι ὁ λόγος τῆς ἀλήθειας εἶναι ἁπλός, παρὰ τὸ γεγονὸς ὅτι ἀπαλλαχθήκαμε ἀπὸ τὶς πολύπλοκες θεωρίες καὶ ἀπὸ σκέψη ποὺ φαίνεται σὰν κάτι τὸ βλοσυρὸ καὶ ἀγέλαστο, καὶ εἶναι κατασκευασμένη νὰ κάνει τὸ κακό, καὶ ἡ ὁποία δείχνει τὴ σταθερότητά της ὄχι σὲ ἐκεῖνα μὲ τὰ ὁποῖα θὰ ὠφελήσει στὴν ἀνεύρεση τῆς ἀλήθειας, ἀλλὰ σ᾽ αὐτὰ μὲ τὰ ὁποῖα θὰ μπορέσει νὰ βλάψει σοβαρὰ τοὺς ἀκροατές της; Μπορεῖς ὅμως, ἐὰν θέλεις, νὰ δεῖς σὰν σὲ φωτεινὸ πίνακα τὸν δικό μου λόγο, ποὺ δὲν ξέφυγε ἀπὸ αὐτὸ ποὺ εἶναι πρέπον, ἐὰν ἀγνοήσεις τὴν αἵρεση τοῦ ᾿Αρείου καὶ τῶν ὀπαδῶν του, τοὺς ὁποίους νομίζω ὅτι πρέπει νὰ στείλεις στὴν εὐχὴ λέγοντας· «᾽Εὰν θὰ ἀλλάξει ὁ Αἰθίοπας τὸ δέρμα του καὶ ἡ λεοπάρδαλη τὰ χρωματιστὰ στίγματά της, θὰ μπορέσετε καὶ σεῖς νὰ κάνετε τὸ καλό, ἐπειδὴ μάθατε νὰ κάνετε κακά»[2]. Γιατὶ νομίζω ὅτι ὁ νοῦς τῶν ἀντιθέτων δὲν διαφέρει καθόλου ἀπὸ τὴ λεοπάρδαλη. Πράγματι ἐκείνη στιγματισμένη μὲ διάφορα χρώματα, ἔχει

*μάτων συνδρομὴν ἐπὶ νῶτα φέρει, οἱ δὲ ἀνόμιόν τε καὶ ἀσυναφῆ καὶ αὐτὸν ἔχουσι τὸν νοῦν, καὶ τὸν ἐκ καρδίας ἵησι πρὸς τὸ ἄνω λόγον. «Βολὶς γὰρ τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν», κατὰ τὸ γεγραμμένον, «δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν Τῷ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικά, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν». Ὑποπλάττονται μὲν γὰρ κατ' οὐδένα τρόπον τῇ τοῦ Μονογενοῦς ἀντιφέρεσθαι δόξῃ· τιτρώσκουσι δὲ καθάπερ ὀξείᾳ βολίδι, παλίμφημά τε καὶ δυσαχθῆ τὰ ἀπὸ γλώττης ἱέντες ῥήματα.*

*Β. Τὰ ποῖα ἅττα φής;*

*Α. Ὀρθῶς γὰρ δὴ λίαν Υἱὸν ὀνομάζοντες τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, καὶ μὴν καὶ ὡς εἴη γεγεννημένος συνομολογεῖν οὐ παραιτούμενοι, τὸν τῆς ἀληθείας παραβιάζονται λόγον, περιτρέποντες ἀνοσίως εἰς πᾶν τοὐναντίον τὴν ἐπ' αὐτῷ δόξαν, καὶ εἰς ἑτέραν τινὰ μεθιστάντες φύσιν παρὰ τὴν ἐν Πατρὶ νοουμένην, ὡς ἐξούσιόν τε εἶναι καὶ ἑτεροφυᾶ, μᾶλλον δὲ εἰσάπαν ἐξεστηκότα τῆς τοῦ λεγομένου τεκεῖν σχέσεως φυσικῆς, οὐκ ἔτι δὲ κατ' αὐτοὺς καὶ γεγεννηκότος. Τὸ δὲ δὴ πρὸς τοῦτο ἠλιθιότητος καθικνεῖσθαι φιλεῖν, φαίην ἂν ἔγωγε προξενεῖν αὐτοῖς ἕτερον οὐδὲν ἢ ἐκεῖνο.*

*Β. Τὸ ποῖον δή;*

*Α. Τὸ κατωφρυῶσθαι λίαν, οἴεσθαι δέ τι τῶν ἄλλων εἰδέναι φρονεῖν τε καὶ λέγειν ἀπορρητότερον, ἐπησκῆσθαί τε καὶ λόγων ἁμίλλας καὶ μὴν καὶ δοκησισόφοις ἐντεθράφθαι τέχναις, καὶ ταῖς τῶν ἐννοιῶν πρὸς πᾶν ὁτιοῦν εὐκόλοις περιστροφαῖς κατὰ κράτος ἑλεῖν δύνασθαι τοὺς ἁπλῇ συνέσει διαβιοῦν ἑλομένους, καλαμίνην δὲ ὥσπερ ταῖς ἑαυτῶν ψυχαῖς ὑποστήσαντες ῥάβδον τὴν ἐν κόσμῳ σοφίαν καὶ νενοθευμένων ἐννοιῶν συρφετοὺς συλλέγοντες, τῆς τῶν δογμάτων ὀρθότητος τὸ μὴ χρῆναι διαμαρτεῖν οὐδέν, οἶμαι, καταλογίζονται. Οὐ γὰρ ἐννοοῦσιν ὅτι ξυνωρὶς μὲν ἱερὰ τῶν Ἀαρὼν κατεφλέχθη παίδων, ἐπεί τοι τὸ Θεῷ δοκοῦν ἐβιάζετο καὶ ὀθνεῖον τῷ θυσιαστηρίῳ προσεκόμιζε πῦρ, οὔτε μὴν ἐπαΐειν τάχα που λοιπὸν ἀνέχονται διακεκραγότος τοῦ νόμου· «Καὶ οὐκ εἰσοίσεις βδέλυγμα εἰς τὸν οἶκόν σου, καὶ ἀνάθεμα ἔσῃ ὥσπερ καὶ τοῦτο. Προσοχθίσματι προσοχθιεῖς καὶ βδελύγματι βδελύξῃ, ὅτι ἀνάθεμά ἐστι». Πῦρ γὰρ ἀληθῶς ἀλλότριον καὶ ἀπά-*

---

3. Ἰερ. 9, 8. 4. Δευτ. 7, 26.

στὴν πλάτη της κάθε εἴδους καὶ μορφῆς συσσώρευση χρωμάτων, ἐνῶ αὐτοὶ ἔχουν ἀνόμοιο καὶ ἀσύνδετο ἀκόμα καὶ τὸν νοῦ τους, καὶ ἡ γλώσσα τους ἐκτοξεύει ἀπὸ τὴν καρδιά τους πρὸς τὰ ἄνω λόγο ποὺ σὰν βολίδα πληγώνει, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ· «Τὰ λόγια τοῦ στόματός τους εἶναι γεμᾶτα δόλο. Στὸν πλησίον του μιλάει εἰρηνικά, μέσα του ὅμως ἔχει τὴν ἔχθρα»[3]. Ὑποκρίνονται δηλαδὴ ὅτι δὲν καταφέρονται μὲ κανένα τρόπο ἐναντίον τῆς δόξας τοῦ Μονογενοῦς, ὅμως τραυματίζουν σὰν διαπεραστικὴ βολίδα, ἐκτοξεύοντας τὰ ἀπὸ τὴ γλώσσα αὐτοαναιρούμενα καὶ δυσβάστακτα λόγια.

Β. Ποιὰ ἐννοεῖς;

Α. Ἐνῶ δηλαδὴ πολὺ σωστὰ ὀνομάζουν Υἱὸ τὸν μονογενῆ Λόγο τοῦ Θεοῦ, ὅπως δὲν παραλείπουν ἐπίσης νὰ ὁμολογοῦν ὅτι εἶναι καὶ γεννημένος, ὡστόσο παραβιάζουν τὸν λόγο τῆς ἀλήθειας, ἐκτρέποντας ἀνίερα σὲ κάθε τι ἀντίθετο τὴ δόξα του καὶ μεταθέτοντάς τον σὲ κάποια ἄλλη φύση, ἀντίθετη πρὸς ἐκείνην τοῦ Πατέρα, ἐπειδὴ εἶναι ἄλλης οὐσίας καὶ φύσεως, ἢ μᾶλλον τελείως ξένος πρὸς τὴ σχέση τοῦ νὰ γεννᾶ μὲ τρόπο φυσικό, καὶ ἐπειδή, σύμφωνα μὲ αὐτούς, δὲν ἔχει ἀκόμα γεννήσει. Ἐκεῖνο ὅμως ποὺ ἐκτὸς ἀπὸ αὐτὸ φτάνει τὰ ὅρια τῆς ἠλιθιότητας, δὲν εἶναι κανένα ἄλλο, θὰ ἔλεγα ἐγώ, παρὰ ἐκεῖνο.

Β. Ποιὸ δηλαδή;

Α. Τὸ ὅτι συμπεριφέρονται μὲ μεγάλη ἀλαζονεία, νομίζοντας ὅτι γνωρίζουν, πιστεύουν καὶ λένε κάτι πιὸ μυστικὸ ἀπὸ τοὺς ἄλλους, ὅτι ἔχουν ἀσκηθεῖ σὲ ἅμιλλες λόγων, ὅτι ἔχουν ἐκπαιδευθεῖ στὴν τέχνη τῶν δοκησισόφων, καὶ μποροῦν μὲ εὔκολες περιστροφὲς τῶν ἐννοιῶν πρὸς ὁτιδήποτε νὰ καταβάλουν κατὰ κράτος ἐκείνους ποὺ προτιμοῦν νὰ ζοῦν μὲ ἁπλῆ φρόνηση, καὶ στηρίζοντας τὶς ψυχὲς μὲ καλαμένιο ραβδί, δηλαδὴ μὲ τὴ σοφία τοῦ κόσμου, συλλέγοντας συρφετοὺς νοθευμένων ἐννοιῶν, δὲν σκέφτονται, νομίζω, ὅτι δὲν πρέπει νὰ παραστρατοῦν ἀπὸ τὴν ὀρθότητα τῶν δογμάτων. Γιατὶ δὲν σκέφτονται ὅτι ἡ ἱερὴ δυάδα τῶν παιδιῶν τοῦ Ἀαρὼν κάηκε, ἐπειδὴ νόμισε ὅτι μπορεῖ νὰ παραβεῖ αὐτὸ ποὺ ἀρέσει στὸν Θεό, καὶ πρόσφερε ξένη φωτιὰ στὸ θυσιαστήριο, οὔτε καὶ ἀνέχονται νὰ γνωρίσουν σωστά, ὅτι ὁ νόμος διαλαλεῖ· «Καὶ νὰ μὴ βάλεις στὸ σπίτι σου κάτι τὸ βδελυρό, γιατὶ θὰ εἶσαι ἀναθεματισμένος, ὅπως καὶ αὐτό. Νὰ μισεῖς κάθε βδέλυγμα, γιατὶ εἶναι ἀναθεματισμένο»[4]. Γιατὶ πραγματικὰ εἶναι φωτιὰ

δον Θεῷ θερμὸν διανοίας κίνημα, τῆς δαιμονιώδους σοφίας ἐκμεμεστωμένον καὶ οὔ τί που τῶν ἱερῶν Γραμμάτων ἐκκεκαυμένον. Βδέλυγμα δὲ αὖ τὸ εἰς Θεοῦ τύπον πλαστουργούμενον ἄγαλμα. Τοιουτονὶ δὲ κἀκεῖνοι διαπλάττουσι τὸν Υἱόν, τιμῇ μὲν καὶ δόξῃ λαμπρᾷ κατηγλαϊσμένον καὶ θεοπρεπῶς, πλὴν οὐκ ἀληθῆ, νόθοις δὲ ὥσπερ ὀνόμασι καὶ θεοπρεπέσι φωναῖς εἰδοποιηθέντα Θεόν. Τὸ γάρ τοι φάναι μὲν ὅτι γεγέννηται, καὶ Υἱὸν ὀνομάζειν αὐτόν, μὴ μὴν ἔτι καὶ οἴεσθαι γεγεννῆσθαί τε καὶ Υἱὸν εἶναι κατὰ φύσιν, τί ἂν εἴη λοιπόν, ἢ τοῦτο; Ἡμῖν δὲ ὁ θησαυρὸς ἐν ὀστρακίνοις σκεύεσι, καὶ γυμνὴ σοφίας κοσμικῆς καὶ δαιμονιώδους ἀπάτης ἡ ἀλήθεια φίλη.

Β. Φίλη γάρ, καὶ ἄριστά γε ἔφης. Ἀλλ' ἴοις ἂν ἤδη καὶ πρὸς βάσανον τῶν ἐκείνοις ὑπειλημμένων περί τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Τὸ γὰρ δὴ μάλιστα τελοῦν εἰς ὄνησιν τοῖς ἐντευξομένοις τουτὶ δοίην ἄν.

Α. Ὀνήσειεν ἂν οἶδ' ὅτι μάλιστά γε τουτί. Καὶ ἐπείπερ ὧδε ἔχειν ἀριστά σοι δοκεῖ, φέρε καθάπερ Ἑλλήνων οἱ ποιηταί φασι, πεῖσμ' ἀπολυσάμενοι, καὶ οἷάπερ ἀκτῆς καὶ ὁρμητηρίων ἀπαίροντες, ἀφῶμεν εἰς πέλαγος ὁλκάδα ὅπως τὸν λόγον.

Β. Ἰτέον δὴ οὖν.

Α. Ἴδιον μὲν δὴ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πατὴρ ὄνομά τε καὶ χρῆμα διὰ τῶν ἤδη προεξεσμένων διεβεβαιούμεθα, καὶ οὐχ ἑτέρου του χάριν ἢ ὅτι γεγέννηκεν ἐξ ἑαυτοῦ τὸν Υἱόν, ἴδιον δὲ αὖ τοῦ Υἱοῦ τὸ Υἱὸς ὄνομα τὴν αἰτίαν ἐπάγοντες ὅτι γεγέννηται παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Ἐδόκει δὲ ἡμῖν ἡ τοιαύτη φαίνεσθαι δόξα διαβολῆς ἁπάσης ὡς ἀπωτάτω.

Β. Ἐδόκει γὰρ οὖν καὶ μάλα· πλὴν ἐκεῖνο ἐρῶ. Δέδια γὰρ δὴ καὶ τετάραγμαι καθορῶν ὅποι ποτὲ ἡμῖν ἡ τῶν νοημάτων ἐκτελευτήσει διεκδρομή. Οἶου γὰρ ὅτι πάντως που φήσειεν ἂν ὁ διεστραμμένος· Εἰ τῷ Θεῷ καὶ Πατρὶ τὸ Πατὴρ ἴδιον ὄνομά τε καὶ χρῆμά ἐστιν ὅτι γεγέννηκε, τῷ γε μὴν Υἱῷ, τὸ Υἱὸς ὅτι γεγέννηται, καὶ ἀληθὲς εἰπεῖν ὅτι τὴν εἰς ἄλληλα μεταβολὴν ἀνεπίδεκτον ἕξει τὰ δηλούμενα, ἔσται γὰρ ἀεὶ Πατὴρ ὁ Πατήρ, εἰς Υἱὸν οὐ μεταπλαττόμενος, καὶ μὴν καὶ ὁ Υἱὸς Υἱός, εἰς Πατέρα μὴ μεθιστά-

5. Β' Κορ. 4,7.

ξένη καὶ ἀταίριαστη στὸν Θεό, ἐμπαθὴς ἐκδήλωση τοῦ νοῦ τους, γεμάτη ἀπὸ τὴ δαιμονικὴ σοφία, ποὺ δὲν βγαίνει μέσα ἀπὸ τὴν ἁγία Γραφή. Εἶναι ἐπίσης βδέλυγμα τὸ ἄγαλμα ποὺ τοῦ δίνουν τὴ μορφὴ τοῦ Θεοῦ. Τέτοιον ἀκριβῶς καὶ αὐτοὶ κατασκευάζουν τὸν Υἱὸ, στολισμένον μὲ τιμὴ καὶ λαμπρὴ δόξα, ὅπως ταιριάζει σὲ Θεὸ, ὄχι ὅμως ἀληθινό, ἀλλὰ Θεὸ ποὺ ἔλαβε τὴ μορφὴ αὐτὴ μὲ νόθα ὀνόματα καὶ λόγια ποὺ ταριάζουν σὲ Θεὸ. Γιατὶ τὸ νὰ λένε ὅτι γεννήθηκε καὶ νὰ τὸν ὀνομάζουν Υἱό, ἀλλὰ νὰ μὴ πιστεύουν ὅτι γεννήθηκε καὶ εἶναι κατὰ φύση Υἱός, τί ἄλλο μπορεῖ νὰ εἶναι, παρὰ αὐτὸ; Ἐνῶ γιὰ μᾶς ὁ θησαυρός μας βρίσκεται μέσα σὲ πήλινα δοχεῖα[5], καὶ ἡ ἀλήθεια εἶναι ξένη πρὸς τὴν κοσμικὴ σοφία καὶ τὴ δαιμονικὴ ἀπάτη.

Β. Τὰ εἶπες ὡραῖα καὶ πολὺ σωστὰ. Ἀλλὰ πρέπει νὰ προχωρήσεις καὶ σὲ ἔλεγχο αὐτῶν ποὺ ὑποστηρίζουν ἐκεῖνοι γιὰ τὸν Πατέρα καὶ τὸν Υἱὸ. Γιατὶ ἐκεῖνο ποὺ ὠφελεῖ περισσότερο τοὺς ἀκροατὲς νομίζω ὅτι εἶναι αὐτὸ ἀκριβῶς.

Α. Γνωρίζω ὅτι θὰ ὠφελοῦσε αὐτὸ πάρα πολύ. Κι ἀφοῦ νομίζεις ὅτι ἐδῶ εἶναι πολὺ κατάλληλη ἡ στιγμή, ἐμπρός, ὅπως λένε οἱ Ἕλληνες ποιητές, λύνοντας τὸ παλαμάρι καὶ ξεκινώντας ἀπὸ τὴν ἀκτὴ καὶ τὸ λιμάνι, ἂς ἀφήσουμε τὸν λόγο σὰν ἱστιοφόρο στὸ πέλαγος.

Β. Πᾶμε λοιπόν.

Α. Ὅτι τὸ ὄνομα Πατέρας εἶναι ἰδιαίτερο γνώρισμα τοῦ Θεοῦ καὶ Πατέρα, τὸ ὑποστηρίξαμε μὲ αὐτὰ ποὺ ἀναπτύξαμε προηγουμένως, καὶ ὄχι γιὰ τίποτε ἄλλο, παρὰ μόνο ἐπειδὴ γέννησε ἀπὸ τὸν ἑαυτό του τὸν Υἱό. Ἰδιαίτερο πάλι γνώρισμα τοῦ Υἱοῦ ὑποστηρίξαμε ὅτι εἶναι τὸ ὄνομα Υἱός, γιὰ τὸν λόγο ὅτι γεννήθηκε ἀπὸ τὸν Θεὸ καὶ Πατέρα. Καὶ νομίζω ὅτι αὐτὴ ἡ γνώμη σᾶς φάνηκε ἀνώτερη ἀπὸ κάθε διαβολή.

Β. Μᾶς φάνηκε καὶ πάρα πολὺ μάλιστα. Ὅμως θὰ πῶ τὸ ἑξῆς· Φοβᾶμαι καὶ ἀγωνιῶ διαβλέποντας ποῦ θὰ καταλήξει αὐτὴ ἡ διαδρομὴ τῶν συλλογισμῶν μας. Ὑπόθεσε δηλαδὴ ὅτι μπορεῖ νὰ πεῖ ὁ κακόπιστος· Ἐὰν τὸ ὄνομα Πατέρας εἶναι τὸ ἰδιαίτερο ὄνομα καὶ πρᾶγμα τοῦ Θεοῦ καὶ Πατέρα ἐπειδὴ γέννησε, καὶ τοῦ Υἱοῦ τὸ ὄνομα Υἱός, ἐπειδὴ γεννήθηκε, καὶ εἶναι σωστὸ νὰ πεῖ, ὅτι τὰ ὀνόματα αὐτὰ δὲν ἐπιδέχονται μεταβολὴ μεταξύ τους, γιατὶ ὁ Πατέρας θὰ εἶναι πάντοτε Πατέρασς, καὶ δὲν θὰ μεταβληθεῖ σὲ Υἱό, ἀλλὰ καὶ ὁ

*μενος· ἴδιον ἔσται τοῦ Πατρὸς τὸ ἀγέννητον, ἐπείπερ ἴδιον τοῦ Υἱοῦ τὸ γεννητόν. Καὶ ἐπείπερ ἐστὶν ἕτερον ἀληθῶς τὸ ἀγεννήτως εἶναι παρὰ τὸ γεννητῶς, ἑτεροίως ἕξουσι καὶ αὐτοί, καὶ οὐκ ἔν γε τοῖς ὁμοίοις ἀπαραλλάκτως ὄντες νοηθεῖεν ἄν*

*Α. Εἶτα τί δρῷεν ἂν οἵ γε τοιοῦτοι πάλιν ἢ τὸ τῆς ἐν Χριστῷ νοουμένης ἁπλότητος παρασημαίνειν τὸ κάλλος, καθὰ καὶ οἱ τὸ χρυσοῦν νόμισμα κιβδηλεύοντες; Ἄθρει γὰρ ὅπως τὸν ὀρθὸν τῆς ἀληθείας παρευθύνουσι λόγον, καὶ νόθης σοφίας εὑρήμασιν ἐπαγάλλονται· λαλοῦντες δὲ τὰ ὑπέρογκα, καταπιεῖν (καταποιεῖν) οἴονται τὴν συναγωγὴν Κυρίου, κατὰ τὸν ἀλαζόνα Γολιάθ*

*Β. Ἔχει μὲν ὧδε. Πλὴν ἴσθι τοῦτο ἐροῦντας καὶ οἷς ἔφην ἀρτίως ἐνστησομένους.*

*Α. Ἀλλ' ἔξεστι δή που παντί τῳ λοιπὸν ἐκκεκρουσμένους ὁρᾶν καὶ λογισμοῦ τοῦ καθήκοντος καὶ φρενὸς ἀγαθῆς, καὶ αὐτοὺς ταῖς σφῶν ἀμαθίαις ἐποιμώζειν ὀφείλοντας, εἰ ταυτί τε ἔχειν ἐροῦσιν ὀρθῶς, καὶ κατ' ἐκείνους ἔσονται τοὺς οἵσπερ ἐδόκει λέγειν· «Ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν καὶ τῷ ψεύδει σκεπασθησόμεθα». Ἠγνοήκασι γάρ, ὡς ἐγῷμαι, πρῶτον μὲν ὅτι οὐ ταὐτόν ἐστιν οὔτε τὴν ὁμοίαν ἂν ἔχοι δήλωσιν ἀγέννητος καὶ πατήρ. Οὐ γὰρ εἴ τι πατήρ, ἔσται δή που καὶ ἀγέννητον πάντῃ τε καὶ πάντως· οὔτε μὴν εἴ τι ἀγέννητον, τοῦτό ἐστι καὶ πατήρ. Ἢ εἴπερ οὐχ ὧδε ἔχει, πολλὰ μὲν ἀγέννητα, πολλοὶ γὰρ πατέρες. Μυρίοι δὲ ὅσοι πατέρες τοσαῦτα δὲ εἶναι καὶ τὰ ἀγέννητα παραδείξειεν ἂν ἡμῖν τῶν νοημάτων ἡ βάσανος. Τὴν γάρ τοι τῶν ὄντων εἰ διασκεψαίμεθα φύσιν καὶ τὸν ἐφ' ἑκάστῳ λόγον ὡς ἔνι διαγινώσκοιμεν, οὐ πάντα διὰ γεννήσεως παρενηνεγμένα πρὸς ὕπαρξιν καταθρήσαιμεν ἄν. Εἰ καὶ ὅτι μάλιστα ψυχρός τε καὶ ἄναλκις τῶν διεστραμμένων ὁ λόγος, οὐχ ἕν τι κυρίως τοῦ ἀγεννήτου σημαίνοντος (πολλὰ γὰρ ἀγέννητα καὶ ταῖς κατ' εἶδος διαφοραῖς ἕτερα κατὰ τὴν φύσιν), τί δὴ οὖν ἄρα φαῖεν ἄν, εἴ τις ἔροιτο τυχόν· Τὸ πατὴρ ὄνομα τί ἂν βούλοιτο δηλοῦν; Πότερα τὸ μὴ γεγεννῆσθαι πρός τινος, ἢ μᾶλλον ὅτι γεγέννηκεν;*

---

6. Α' Βασ. 17,4. 7. Ἠσ. 28,15.

Υἱὸς θὰ εἶναι πάντοτε Υἱός, καὶ δὲν θὰ μεταβληθεῖ σὲ Πατέρα, τότε ἰδιαίτερο γνώρισμα τοῦ Πατέρα θὰ εἶναι τὸ ὅτι εἶναι ἀγέννητος, καὶ ἰδιαίτερο γνώρισμα τοῦ Υἱοῦ τὸ ὅτι εἶναι γεννητός. Καὶ ἐπειδὴ πραγματικὰ εἶναι διαφορετικὸ τὸ ἀγέννητο ἀπὸ τὸ γεννητό, πρέπει καὶ αὐτοὶ νὰ εἶναι διαφορετικοί, καὶ νὰ μὴ θεωροῦνται ὅτι εἶναι ἀπαράλλακτα ὅμοιοι μεταξύ τους.

Α. Τί ἄλλο θὰ μποροῦσαν αὐτοὶ νὰ κάνουν πάλι, παρὰ τὸ νὰ παραχαράσσουν τὴν ὀμορφιὰ τῆς ἁπλότητας μὲ τὴν ὁποία κατανοεῖται ὁ Χριστός, ὅπως κάνουν καὶ ἐκεῖνοι ποὺ νοθεύουν τὸ χρυσὸ νόμισμα; Πρόσεχε δηλαδὴ πῶς παραποιοῦν τὸν ὀρθὸ λόγο τῆς ἀλήθειας καὶ χαίρονται μὲ τὰ ἐφευρήματα τῆς νόθης σοφίας, καὶ λέγοντας πράγματα ὑπέρογκα, νομίζουν ὅτι θὰ καταπιοῦν τὸν λαὸ τοῦ Κυρίου, ὅπως νόμιζε καὶ ὁ ἀλαζόνας Γολιάθ[6].

Β. Ἔτσι βέβαια εἶναι· ἀλλὰ γνώριζε ὅτι θὰ τὸ ποῦν αὐτό, καὶ θὰ προβάλλουν ἔνσταση μ᾽ αὐτὰ ποὺ εἶπα τώρα.

Α. Ὅμως μπορεῖ ὁ καθένας νὰ δεῖ ὅτι ἔχουν ἀποβάλει καὶ τὸν κοινὸ νοῦ καὶ τὴν ἀγαθὴ διάνοια, καὶ πρέπει αὐτοὶ νὰ θρηνοῦν γιὰ τὶς ἀμάθειές τους, ἐὰν λένε ὅτι αὐτὰ εἶναι σωστά, καὶ εἶναι σὰν ἐκείνους ποὺ ἔφτασαν νὰ λένε· «Στηρίξαμε τὴν ἐλπίδα μας πάνω στὸ ψέμα, καὶ μὲ τὸ ψέμα αὐτὸ θὰ σκεπαστοῦμε»[7]. Γιατὶ ἀγνοοῦν, ὅπως ἐγὼ νομίζω, πρῶτον βέβαια ὅτι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα, οὔτε ἔχουν τὴν ἴδια σημασία οἱ λέξεις ἀγέννητος καὶ Πατέρας. Γιατί, ἐὰν κάτι εἶναι πατέρας, δὲν εἶναι ὁπωσδήποτε καὶ ἀγέννητο· οὔτε ἐπίσης ἐὰν κάτι εἶναι ἀγέννητο, αὐτὸ εἶναι καὶ πατέρας. Γιατὶ ἐὰν δὲν εἶναι ἔτσι, τότε θὰ ὑπάρχουν πολλὰ ἀγέννητα, ἀφοῦ ὑπάρχουν πολλοὶ πατέρες. Θὰ μποροῦσε ὅμως ἡ ἔρευνα τοῦ συλλογισμοῦ μου νὰ ἀποδείξει, ὅτι ὑπάρχουν μυριάδες πατέρες, καὶ ἄλλα τόσα θὰ εἶναι τὰ ἀγέννητα. Γιατὶ ἐὰν ἐξετάσουμε τὴ φύση τῶν ὄντων καὶ παρατηρήσουμε μὲ ἀκρίβεια πῶς εἶναι τὸ καθένα, θὰ διαπιστώσουμε ὅτι δὲν ἔχουν ἔρθει ὅλα στὴν ὕπαρξη μὲ γέννηση. Ἂν καὶ τὰ λόγια τῶν κακόπιστων εἶναι πολὺ ψυχρὰ κι ἀδύναμα, ἀφοῦ ἡ λέξη ἀγέννητος δὲν σημαίνει ἕνα μόνο πρᾶγμα (γιατὶ εἶναι πολλὰ τὰ ἀγέννητα καὶ ποικίλα ὡς πρὸς τὴ φύση μὲ τὶς διαφορὲς ποὺ ἔχει κάθε εἶδος), τί θὰ ἔλεγαν ὅμως ἂν κάποιος τοὺς ρωτοῦσε, Τί θέλει νὰ φανερώσει τὸ ὄνομα Πατέρας; Ποιὸ ἀπὸ τὰ δύο· ὅτι δὲν γεννήθηκε ἀπὸ κανέναν, ἢ ὅτι γέννησε;

*Β. Τό, οἶμαι, ὅτι γεγέννηκεν.*

*Α. Ὀρθῶς. Εἰ μὲν οὖν ὁ τῆς πατρότητος νόμος πάντῃ τε καὶ πάντως πρὸς τὸ ἀγεννήτως εἶναι τοὺς πατέρας μεμελέτηκεν ὑψοῦν, τί μὴ καὶ ἡμεῖς αὐτοὶ πρὸς τὸ ἀγεννήτως εἶναι διάττομεν, ἀναδεδειγμένοι πατέρες; Εἰ δὲ ὁ τῆς φύσεως θεσμὸς ἐπ' ἐκεῖνο μὲν οὐδαμῶς, ἀποφέρει γε μὴν ἐπὶ τὸ ἔχειν ἐξ ἑαυτῶν τὰ τικτόμενα, καὶ οὐκ ἂν ἑτέρως ἔχοι, τί τὴν ἀλήθειαν παραφθείροντες, ἴδιον εἶναί φασι τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἀγέννητον, καίτοι τῆς πατρὸς ἐπωνυμίας καὶ ἐφ' ἡμῶν αὐτῶν ἕτερον οὐδὲν καταδηλοῦν δυναμένης, ἢ μόνον ὅτι γεγέννηκεν;*

*Β. Οἴει δὲ δή τι χρῆναι λέγειν ἡμᾶς, εἴ τῳ καὶ ἔρεσθαι δοκοίη, πότερα, γεννητὸς ἢ ἀγέννητος ὁ Θεὸς καὶ Πατήρ;*

*Α. Φαίην ἂν ὅτι, κατά γε τὸν ἀμωμήτως ἔχοντα νοῦν, ἀγέννητος μέν, πλὴν οὐχ ὅτι πατὴρ διὰ τοῦτο πάντως καὶ ἀγέννητος, ἀλλ' ὅτι μὴ ἐγεννήθη πρός τινος· ἀλλ' <ὡς> ἔστιν ἀγεννήτως, γεννητῶς ἔχων ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ τὸν ἴδιον Υἱόν, ταύτῃ γάρ δή τοι καὶ Πατὴρ ὀνομάζεται.*

*Β. Καὶ ἔστω ταῦτα, φησί, πλὴν τὸ ἀγεννήτως εἶναι παρὰ τὸ γεννητῶς ἑτεροίως ἕξει καὶ οὐ ταὐτὸν ἂν νοοῖτο. Εἰ γὰρ μὴ ἕτερόν ἐστι καὶ ἕτερον, οἴει δὲ εἶναι ταὐτόν, χωρείτω πάλιν ἐπ' ἀμφοῖν ἀδιάκριτος ἡ μεταβολή, καὶ ἡ τῶν ὀνομάτων ἰδιότης ὁμοίως ἔστω τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καθὰ καὶ τὸ ἄφθαρτος καὶ ἀόρατος καὶ τὰ λοιπά.*

*Α. Ἕτερον μέν τι τὸ ἀγεννήτως εἶναι παρὰ τὸ γεννητῶς ἀνενδοιάστως καὶ ὁμολογουμένως· τὴν γὰρ τοῦ πρέποντός τε καὶ ἀληθοῦς τάξιν οὐ παραλύσομεν. Πλὴν ἔν γε τοῖς τοιούτοις ἡ τῶν ὀνομάτων διαφορὰ οὐχ ἑτερότητα τὴν ὡς Θεοῦ καθὸ Θεὸς ὑπεμφήνειεν ἄν, σημαίνει δὲ μόνον ὅτι μὴ τοιῶσδε ἐστί, τουτέστι μὴ γεγεννημένος. Τί δὴ οὖν ἄρα πρὸς τοῦτό φασιν οἱ πάντα φύρδην ἀλλήλοις συναναχέοντες, καίτοι δεινὸν ἔχοντες περὶ ταῦτα τὸν νοῦν, ἐξωφρυωμένοι τε ἄγαν καὶ ἀναφυσῶντες μέγα;*

Β. Νομίζω, ὅτι γέννησε.

Α. Σωστά. Ἐὰν λοιπὸν ὁ νόμος τῆς πατρότητας φρόντισε νὰ ἀνυψώσει ὁπωσδήποτε καὶ μὲ κάθε τρόπο τοὺς πατέρες, ὥστε νὰ εἶναι ἀγέννητοι, τότε γιατί κι' ἐμεῖς οἱ ἴδιοι, ὅταν γινόμαστε πατέρες, δὲν μετακινούμαστε πρὸς τὸ νὰ εἴμαστε ἀγέννητοι; Καὶ ἐὰν ὁ νόμος τῆς φύσεως δὲν μᾶς μετακινεῖ πρὸς αὐτό, μᾶς ὠθεῖ ὅμως στὸ νὰ ἀποκτοῦμε ἀπὸ τὸν ἑαυτό μας τὰ παιδιὰ ποὺ γεννᾶμε, καὶ δὲν μπορεῖ νὰ γίνει ἀλλιῶς, γιατί διαστρεβλώνοντας τὴν ἀλήθεια λένε, ὅτι ἰδιαίτερο γνώρισμα τοῦ Θεοῦ καὶ Πατέρα εἶναι τὸ ἀγέννητο, ἂν καὶ τὸ ὄνομα τοῦ πατέρα καὶ σὲ μᾶς τοὺς ἴδιους δὲν μπορεῖ νὰ σημαίνει τίποτε ἄλλο, παρὰ μόνο τὸ ὅτι γέννησε;

Β. Νομίζεις λοιπὸν ὅτι πρέπει νὰ ποῦμε κάτι, ἐὰν κάποιος θελήσει νὰ ρωτήσει, τί ἀπὸ τὰ δύο εἶναι ὁ Θεὸς καὶ Πατέρας, γεννητὸς ἢ ἀγέννητος;

Α. Θὰ ἔλεγα ὅτι, σύμφωνα μὲ τὴν ἄμεμπτη λογική, εἶναι ἀγέννητος βέβαια, ὄχι ὅμως ἐπειδὴ εἶναι πατέρας, γι' αὐτὸ εἶναι ὁπωσδήποτε καὶ ἀγέννητος, ἀλλ' ἐπειδὴ δὲν γεννήθηκε ἀπὸ κανέναν καὶ ὑπάρχει χωρὶς νὰ ἔχει γεννηθεῖ, ἔχοντας ἀπὸ τὸν ἑαυτό του καὶ στὸν ἑαυτό του τὸν Υἱό του. Γι' αὐτὸ ἄλλωστε ὀνομάζεται καὶ Πατέρας.

Β. Αὐτὰ ἔτσι εἶναι, λέγει· ὅμως τὸ νὰ ὑπάρχει κατὰ τρόπο ἀγέννητο καὶ ὄχι γεννητό, εἶναι διαφορετικὸ καὶ δὲν μπορεῖ νὰ θεωρηθεῖ ἴδιο. Γιατί, ἐὰν δὲν εἶναι τὸ ἕνα διαφορετικὸ ἀπὸ τὸ ἄλλο, καὶ νομίζεις ὅτι εἶναι τὸ ἴδιο, τότε μπορεῖ νὰ συμβεῖ καὶ στὰ δύο μεταβολὴ ἀδιάκριτα, καὶ τὸ ἰδιαίτερο ὄνομα τοῦ καθενὸς νὰ ἀποδοθεῖ καὶ στὸν Πατέρα καὶ στὸν Υἱό, ὅπως καὶ τὰ ἰδιώματα ἄφθαρτος, ἀόρατος καὶ τὰ ἄλλα.

Α. Χωρὶς ἀμφιβολία καὶ ὁμολογουμένως εἶναι διαφορετικὸ τὸ νὰ ὑπάρχει κάτι χωρὶς νὰ ἔχει γεννηθεῖ, ἀπὸ ἐκεῖνο ποὺ γεννήθηκε· γιατὶ δὲν θὰ καταργήσουμε τώρα τὴν τάξη αὐτοῦ ποὺ εἶναι πρέπον καὶ ἀληθινό. Ὅμως ἡ διαφορὰ τῶν ὀνομάτων σ' αὐτὰ δὲν ὑποδηλώνει διαφορὰ ὡς Θεοῦ, ὡς πρὸς τὸ ὅτι εἶναι Θεός, ἀλλὰ σημαίνει μόνο, ὅτι δὲν εἶναι τέτοιος, δηλαδὴ δὲν εἶναι γεννημένος. Τί λένε λοιπὸν γι' αὐτὸ ἐκεῖνοι ποὺ συγχέουν τὰ πάντα μεταξύ τους, ἂν καὶ ἔχουν φοβερὴ νοητικὴ ἱκανότητα γύρω ἀπὸ τὰ θέματα αὐτά, γεμᾶτοι ἀπὸ πολλὴ ἔπαρση καὶ φουσκωμένοι ἀπὸ μεγάλο κομπασμό;

*Β. Συμβέβηκεν οὖν τῷ Θεῷ καὶ Πατρὶ τὸ ἀγέννητον.*

*Α. Ἥκιστά γε· ἅμα γὰρ νοεῖται Θεός, καὶ σὺν αὐτῷ πάντα τὰ αὐτοῦ, καὶ οὐκ ἂν νοοῖτό τι συμβεβηκὸς ἐπ' αὐτοῦ Καὶ μὴ θαυμάσῃς, ἐπεί τοι καὶ ἐφ' ἡμῶν αὐτῶν οὕτω ἔχον κομιδῇ τοῖς ἐθέλουσιν ἀταλαίπωρον ἰδεῖν. Καίτοι γὰρ ἐν χρόνῳ τὸ εἶναι λαχόντες, ὁμοῦ τοῖς οὐσιωδῶς ἐνυπάρχουσι καὶ ἀχωρίστως προσπεφυκόσιν ἀπογεννώμεθα. Οὐδὲν οὖν ἄρα νοοῖτ' ἂν εἰκότως ἐπὶ Θεοῦ τὸ συμβεβηκὸς αὐτῷ. Καὶ εἴπερ ἐστὶ τὰ συμβεβηκότα ἢ καὶ φυσικῶς ἐνόντα ταῖς τινων οὐσίαις, οὐκ ἐν ὑπάρξει δὴ πάντως αὐτὰ καθ' ἑαυτὰ τῇ ἰδίᾳ καὶ διωρισμένῃ, καθάπερ ἐπ' ἀνθρώπου νοοῦμεν ἢ γοῦν ἐφ' ἑτέρου τῶν ὄντων τινός, ὁρᾶται δὲ μᾶλλον περὶ τὰς τῶν ὄντων οὐσίας, ἤγουν ἐν αὐταῖς, ποῖον ἔχειν ἐν Θεῷ τόπον τὸ ἀγέννητον ὑποτοπητέον; Εἰ γάρ ἐστί τι τὸ ἀγέννητον αὐτὸ καθ' ἑαυτὸ καὶ ἐν ὑπάρξει τῇ ἰδίᾳ κείμενον· ἔστι δὲ τοῦτο, καθάπερ ἐκεῖνοί φασιν, ἴδιον τοῦ Θεοῦ καὶ Πατρός, ἕτερον ἂν εἴη παρὰ τὸν οὗ ἐστιν ἴδιον. Τὸ γάρ τινος ὂν καὶ ὑπάρχον ἰδιοσυστάτως ἕτερόν που πάντως ἐστὶ παρὰ τὸν οὗ ἐστι. Καὶ δεδίπλωται λοιπὸν ἡ ἁπλῆ τοῦ Πατρὸς φύσις, ἐκ πατρὸς ἡμῖν καὶ ἀγεννήτου συντεθειμένη. Προσεκτέον δὲ οὐχὶ ταῖς ἐκείνων δοκησισοφίαις, ἀλλὰ ταῖς τοῦ Σωτῆρος φωναῖς, εὖ μάλα διαγινώσκοντος τήν τε ἑαυτοῦ καὶ τοῦ τεκόντος φύσιν. Ἀγέννητον μὲν γὰρ οὐδαμῶς, Πατέρα δὲ ἡμῖν ὠνόμαζεν αὐτόν.*

*Β. «Ἄμελγε γάλα καὶ ἔσται βούτυρον», ὁ τοῦ Σολομῶνος ἡμῖν ἐξᾴδει λόγος, καὶ σοφόν, ὥς γέ μοι δοκεῖ, τὸ χρησμῴδημα. Τὸ γάρ τοι κατερεθίζειν ἐπὶ τὸ χρῆναί τι τῶν ἀναγκαίων εἰπεῖν, τὸν ἀπορρήτοις ἐννοίαις μεθύοντα νοῦν καὶ μαθήμασι τοῖς θείοις μεμεστωμένον, εἴη ἄν, κατά γε τὸ αὐτῷ μοι δοκοῦν, ἕτερον οὐδὲν ἢ ἐκεῖνο δρᾶν, τῶν εἰς εὐσέβειαν ἡκόντων οἷά τινος γάλακτος ἐμφορεῖσθαι λόγων οὐ μετρίως ἐρᾶν. Οὐκοῦν, ἣν ἐφίῃς, ἔσομαι τοι-*

8. Παροιμ. 30, 33.

Β. Ἄρα λοιπὸν τὸ ἀγέννητο ἀποτελεῖ δευτερεύουσα ἰδιότητα τοῦ Θεοῦ καὶ Πατέρα ποὺ τὴν ἀπέκτησε ἀργότερα.

Α. Καθόλου· γιατὶ συγχρόνως μὲ τὴν ἔννοια τοῦ Θεοῦ, μαζὶ μὲ αὐτὸν νοοῦνται καὶ ὅλα τὰ ἰδιώματά του, καὶ δὲν μπορεῖ κάτι νὰ νοηθεῖ ὅτι συνέβη ἐκ τῶν ὑστέρων σ᾿ αὐτόν. Καὶ μὴν ἀπορήσεις γι᾿ αὐτό, γιατὶ καὶ σὲ μᾶς τοὺς ἴδιους ἔτσι ἀκριβῶς συμβαίνει, γι᾿ αὐτοὺς ποὺ θέλουν νὰ δοῦν τὸ πρᾶγμα ἀβασάνιστα. Γιατί, ἂν καὶ ἐρχόμαστε στὴν ὕπαρξη μέσα στὸν χρόνο, γεννιώμαστε μαζὶ μὲ αὐτὰ ποὺ ὑπάρχουν μέσα μας οὐσιωδῶς, καὶ εἶναι ἀχώριστα μὲ τὴ φύση μας. Ἐπο-μένως τίποτε δὲν μπορεῖ εὔλογα νὰ νοηθεῖ στὸν Θεὸ ὅτι συνέβη σ᾿ αὐτὸν ἐκ τῶν ὑστέρων. Καὶ ἐφόσον ὑπάρχουν αὐτὰ ποὺ συμβαίνουν ἐκ τῶν ὑστέρων, ἢ ὑπάρχουν κατὰ τρόπο φυσικὸ μέσα στὴν οὐσία μερικῶν, τὰ ὁποῖα καθ᾿ ἑαυτὰ δὲν ἔχουν ἰδιαίτερη καὶ χωριστὴ ὕπαρ-ξη, ὅπως τὰ ἐννοοῦμε στὸν ἄνθρωπο, ἢ σὲ κάποιο ἄλλο ἀπὸ τὰ ὄντα, ἀλλὰ ἐμφανίζονται μᾶλλον γύρω ἀπὸ τὶς οὐσίες τῶν ὄντων, δηλαδὴ μέσα σ᾿ αὐτές, ποιὰ θέση πρέπει νὰ ὑποθέσουμε ὅτι ἔχει τὸ ἀγέννητο στὸν Θεό; Γιατί, ἐὰν τὸ ἀγέννητο εἶναι κάτι ποὺ ὑπάρχει αὐτοτελῶς, καὶ ἀποτελεῖ ξεχωριστὴ ὕπαρξη, καὶ αὐτό, ὅπως λένε ἐκεῖνοι, εἶναι ἰδιαίτερο γνώρισμα τοῦ Θεοῦ καὶ Πατέρα, τότε εἶναι γνώρισμα διαφορετικὸ ἀπὸ ἐκεῖνον στὸν ὁποῖο ἀνήκει. Γιατὶ ἐκεῖνο ποὺ εἶναι κάποιου καὶ ὑπάρχει ὡς αὐτοτελὴς ὕπαρξη, εἶναι ὁπωσδήποτε κάτι ἄλλο ἀπὸ ἐκεῖνον στὸν ὁποῖο ἀνήκει. Ἔτσι λοιπὸν ἡ ἁπλῆ φύση τοῦ Πατέρα γίνεται διπλῆ, ἀποτελούμενη ἀπὸ Πατέρα καὶ ἀγέννητον. Πρέπει λοιπὸν νὰ προσέχουμε ὄχι στὶς φναταστικὲς σοφίες ἐκείνων, ἀλλὰ στὰ λόγια τοῦ Σωτήρα, ὁ ὁποῖος γνωρίζει πολὺ καλὰ καὶ τὴ δική του φύση καὶ ἐκείνου ποὺ τὸν γέννησε. Γιατὶ δὲν μᾶς τὸν ὀνομάζε ἀγέννητον, ἀλλὰ Πατέρα.

Β. «Ἄρμεξε καὶ χτύπησε τὸ γάλα, καὶ θὰ γίνει βούτυρο»[8], μᾶς ψάλλουν τὰ λόγια τοῦ Σολομώντα, καὶ εἶναι σοφή, ὅπως νομίζω, ἡ ρήση του. Γιατὶ τὸ νὰ προκαλεῖς τὸν νοῦ, ποὺ εἶναι μεθυσμένος ἀπὸ ἀπόρρητες ἔννοιες καὶ γεμᾶτος ἀπὸ τὴ θεία διδασκαλία, νὰ πεῖ κάτι ἀπὸ αὐτὰ ποὺ εἶναι ἀπαραίτητα, δὲν εἶναι τίποτε ἄλλο, ὅπως τουλάχιστον ἐγὼ νομίζω, παρὰ νὰ κάνεις αὐτοὺς ποὺ προσέρχονται στὴν πίστη νὰ ἐπιθυμοῦν πολὺ νὰ γεμίσουν μὲ τὰ λόγια τῆς πίστεως, σὰν νὰ τρέφονται μὲ κάποιου εἴδους γάλα. Ἐφόσον λοιπὸν ἐπιθυμεῖς, θὰ

*οὗτος, πρόσκλησιν ὥσπερ τινὰ ταῖς εἰς τὸ νοεῖν προθυμίαις τὸ ἀντιφέρεσθαι δοκοῦν ἀεί πως παρεντιθείς. Ἀπόκριναι δὴ οὖν ἐρομένῳ καὶ τόδε· Ἆρ᾽ οὐκ οἶδε, φησίν, ἀγέννητον ὄντα ὁ Υἱὸς τὸν Πατέρα;*

*Α. Ναί, καταρνήσομαι γὰρ οὐδαμῶς, ἀλλ᾽ οὐδ᾽ ἂν ἁλοίην πώποτε τοῖς ἐναργέσι φιλονεικῶν· πλὴν οἶδεν ὄντα ἀγέννητον ὡς ἄφθαρτον καὶ ἀθάνατον καὶ ἀόρατον· ἀλλ᾽ ἐμέμνητο μὲν τῶν τοιούτων οὐδενός, κατωνόμαζε δὲ Πατέρα λέγων· «Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου». Καὶ αὖ· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς». Καὶ μὴν καί· «Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον καὶ ἥκω». Τί δέ; Οὐχὶ καὶ τὸν ἐπὶ τῷ ἁγίῳ βαπτίσματι θεσμοθετήσας ὅρον, καὶ τῆς ἀμωμήτου πίστεως τὴν ἐν ἀρχαῖς ὑποβάθραν τοῖς ἀνὰ πᾶσαν τὴν ὑφ᾽ ἥλιον κατατιθείς, οὐ παρεὶς ἐκεῖνα καὶ παριππεύσας, τό τε ἄφθαρτόν φημι καὶ τὸ ἀγέννητον καὶ τὰ λοιπά, βαπτίζειν ἐκέλευσεν «εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος», τά, οἶμαι, δι᾽ ὧν μὲν ἥκιστα χρῆν τὴν ἁγίαν ἡμῖν Τριάδα καταδηλοῦν προμηθέστατα παρωθούμενος, ἀπολεξάμενος δὲ καὶ προθεὶς τῶν ἄλλων τὰ τῶν ὀνομάτων εὐκρινεστάτην ἡμῖν καθιστάντα τὴν ἑκάστου τῶν σημαινομένων ἰδίαν ὕπαρξιν; Κοινὰ γάρ, ἵν᾽ οὕτως εἴπω, τῆς ὅλης θεότητος λέγοιτ᾽ ἂν τὰ τῇ οὐσίᾳ τῇ ἀνωτάτω προσπεφυκότα, καὶ τὴν θείαν μέν τις εἰ κατονομάσαι φύσιν, ὁλόκληρον ἡμῖν ὡς ἐν ἑνὶ τῷ σημαινομένῳ παρέδειξεν εὐθὺς τὴν ἁγίαν Τριάδα, τὴν ἐν μιᾷ θεότητι νοουμένην, πλὴν οὔπω διεσταλμένως τὸ ἑνὸς πρόσωπον ἰδικῶς. Πατέρα δὲ καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον λέγων, οὐκ ἀφ᾽ ὧν ἐστιν ἀδιακρίτως ἡ πᾶσα τῆς θεότητος φύσις ποιεῖται τὴν δήλωσιν, ἀλλ᾽ ἐξ ὧν τὸ τῆς ἁγίας Τριάδος διαγινώσκεται ταὐτὸν εἰς οὐσίαν ἐν ὑποστάσεσιν ἰδικαῖς, ἑκάστῳ τῶν νοουμένων ἀποκρίνοντος τοῦ λόγου τὸ αὐτῷ προσῆκον ὄνομα, καὶ ἐν ἰδικαῖς τιθέντος ὑποστάσεσι τὰ οὐσιωδῶς ἡνωμένα. Τὴν μὲν γὰρ ἀνωτάτω ῥίζαν ἧς ἐπέκεινα τὸ σύμπαν οὐδὲν ἐννοήσεις τὸν Πατέρα, τὸν δέ γε τῆς ἀνωτάτω ῥίζης ἐκπεφυκότα καὶ γεγεννημένον παραδέξῃ τὸν Υἱόν, οὐκ ἐν ἴσῃ τάξει τοῖς πεποιημένοις τὴν ἐν*

9. Ἰω. 17, 11. 10. Ματθ. 11, 25. 11. Ἰω. 16, 28. 12. Ματθ. 28, 19.

γίνω τέτοιος, παρεμβάλλοντας κατὰ κάποιο τρόπο διαρκῶς αὐτὸ ποὺ φαίνεται ἀντίθετο, σὰν μιὰ πρόσκληση τῆς προθυμίας πρὸς κατανόηση. Ἀπάντησέ μου λοιπὸν καὶ σ' αὐτὸ ποὺ σὲ ἐρωτῶ· Δὲν γνώριζε ἄραγε, λέγει, ὁ Υἱός, ὅτι ὁ Πατέρας ἦταν ἀγέννητος;

Α. Ναί, δὲν θὰ σοῦ ἀρνηθῶ ποτέ, οὔτε ἀκόμα καὶ ἂν συλληφθῶ κάποτε νὰ λογομαχῶ γι' αὐτὰ ποὺ εἶναι ὁλοκάθαρα. Ὡστόσο γνώριζε ὅτι εἶναι ἀγέννητος, ὡς ἄφθαρτος καὶ ἀθάνατος καὶ ἀόρατος. Ὅμως δὲν μνημόνευε κανένα ἀπὸ αὐτά, ἀλλὰ τὸν ὀνόμαζε Πατέρα, λέγοντας· «Ἅγιε Πατέρα, φύλαξέ τους μὲ τὴν ἀλήθειά σου»[9]. Καὶ ἀλλοῦ· «Σὲ δοξάζω, Πατέρα, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς»[10]. Ἀλλὰ καί· «Ἐγὼ βγῆκα ἀπὸ τὸν Πατέρα καὶ ἦρθα»[11]. Τί ὅμως; Μήπως καὶ ὅταν θεσμοθέτησε τὸν ὅρο τοῦ ἁγίου βαπτίσματος καὶ τοποθέτησε στὴν ἀρχὴ τὸ θεμέλιο τῆς ἄμεμπτης πίστεως γιὰ τοὺς πιστοὺς ὅλης τῆς ὑφηλίου, ἀφήνοντας καὶ ἀντιπαρερχόμενος ἐκεῖνα, ἐννοῶ τὸ ἄφθαρτο καὶ τὸ ἀγέννητο καὶ τὰ ἄλλα, δὲν ἔδωσε ἐντολὴ νὰ βαπτίζουμε στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος[12]; Ἔχω τὴ γνώμη ὅτι, παραμερίζοντας μὲ πολλὴ προσοχὴ ἐκεῖνα μὲ τὰ ὁποῖα πολὺ λίγο μποροῦσε νὰ μᾶς φανερώσει τὴν ἁγία Τριάδα, διάλεξε καὶ τοποθέτησε μπροστὰ ἀπὸ τὰ ἄλλα τὰ ὀνόματα ἐκεῖνα ποὺ κάνουν πάρα πολὺ καθαρὴ τὴν ἰδιαίτερη ὕπαρξη τῶν σημαινομένων τοῦ καθενός. Γιατὶ κοινά, γιὰ νὰ τὸ πῶ ἔτσι, ὅλης τῆς θεότητας θὰ μποροῦσαν νὰ λεχθοῦν ὅσα ἀναφέρονται στὴν ἀνώτατη οὐσία, καὶ ἐὰν κάποιος ἀναφέρει τὴ θεία φύση, μᾶς παρουσιάζει ἀμέσως, σὰν σὲ ἕνα ὄνομα, ὁλόκληρη τὴν ἁγία Τριάδα, ἡ ὁποία νοεῖται σὲ μιὰ θεότητα, χωρὶς ὅμως νὰ διακρίνεται τὸ ἰδιαίτερο πρόσωπο τοῦ καθενός. Ἐνῶ λέγοντας Πατέρα καὶ Υἱὸ καὶ ἅγιο Πνεῦμα, δὲν ἀναφέρεται σ' ἐκεῖνα ἀπὸ τὰ ὁποῖα συνίσταται ἀδιακρίτως ὁλόκληρη ἡ φύση τῆς θεότητας, ἀλλὰ σ' ἐκεῖνα ἀπὸ τὰ ὁποῖα διακρίνεται ἀκριβῶς ἡ ταυτότητα τῆς οὐσίας τῆς ἁγίας Τράδας σὲ ἰδιαίτερες ὑποστάσεις, ἀναφέροντας τὸ ὄνομα ποὺ ταιριάζει στὸ καθένα ἀπὸ τὰ πρόσωπα καὶ τοποθετώντας σὲ ἰδιαίτερες ὑποστάσεις αὐτὰ ποὺ εἶναι ἑνωμένα ὡς πρὸς τὴν οὐσία. Γιατὶ ὡς ἀνώτατη ρίζα, πέρα ἀπὸ τὴν ὁποία δὲν ὑπάρχει τίποτε, νὰ ἐννοεῖς τὸν Πατέρα, ὡς βλαστάρι καὶ γεννημένον ἀπὸ τὴν ἀνώτατη ρίζα νὰ παραδέχεσαι τὸν Υἱό, ὁ ὁποῖος δὲν ἔχει τὴν ὕπαρξή του μέσα στὸν χρόνο, ὅπως τὰ ἄλλα δημιουργή-

*χρόνῳ λαχόντα γένεσιν, οὔτε μὴν ἐν ἐλάττοσιν ἢ ἐν οἷς ὁ Πατὴρ τὸ τῆς ἰδίας φύσεως ἐκφαίνοντα κάλλος, ἀλλ' ἅμα τε καὶ συναΐδιον καὶ κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχοντα, δίχα μόνου τοῦ τεκεῖν· προσήκει γὰρ ἂν τοῦτο μόνῳ τῷ Θεῷ καὶ Πατρί. Ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ στομάτων διεκπνοῆς τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν, οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων ἐν ὑπάρξεσιν ἰδικαῖς ἰδιότητα τηρῶν, μίαν τε καὶ ὁμοούσιον τὴν ἁπάντων βασιλίδα προσκυνήσεις φύσιν.*

*Β. Κάλλιστα ἔφης· οὐ γὰρ ἔσθ' ὅπως ἂν οὐχ ὧδε ἡμῖν ταῦτ' ἔχοι. Φασὶ δ' οὖν ὅμως διὰ τῆς τοῦ ἀγεννήτου φωνῆς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἰδικῶς ὁρίζεσθαι φύσιν, οὕτω τε ἀμογητὶ διαφανεῖσθαι λοιπὸν ἑτεροφυᾶ τὸν Υἱόν, εἴπερ ἐστὶν οὐ ταὐτὸν τῷ ἀγεννήτῳ τὸ γεννητόν.*

*Α. Οὐκοῦν, ὦ βέλτιστοι, φαῖμεν ἂν αὐτοῖς καὶ ἡμεῖς εἰκότως, εἰ τὴν τοῦ Υἱοῦ φύσιν ὁρίζει τὸ γεννητόν, ἑτεροφυᾶ δὲ ταύτῃ τοι καὶ ἀλλότριον εἶναί φασι τῆς οὐσίας τοῦ Πατρός, τὸ ἐντεῦθεν ἤδη τί; Δεινὰ μὲν ἀποπληξίας ἐγκλήματα, παλίμφημοι δὲ τῆς τοῦ Μονογενοῦς οὐσίας καταθρασύνονται δόξαι, κατασείουσαι πρὸς τὸ κάτω τὸν ἀνωτάτω, καίτοι λέγοντα σαφῶς πρὸς ἡμᾶς μὲν ὡς πεποιημένους· «Ὑμεῖς ἐκ τῶν κάτω ἐστέ», ὑποστάσεως δὲ τῆς ἰδίας πέρι· «Ἐγὼ ἐκ τῶν ἄνω εἰμί». Ὅπως δὲ ἡμῖν ὁ ἄνω τε καὶ ἄνωθεν κατοιχήσεται πρὸς τὸ κάτω καὶ ἀλλότριον αὐτοῦ, παντί τῳ συνιέναι ῥᾷον ἐκεῖνο διεσκεμμένῳ. Ἆρα γὰρ οὐχ ὥσπερ ἀγέννητον ἅπαν ἀγεννήτῳ παντὶ δοίη τις ἂν κοινὸν ἔχειν λόγον, κατά γε τὸ ἀγεννήτως εἶναί φημι, οὕτως ἂν εἴη, κατά γε τὸν τοῖς διαλογισμοῖς ἑπόμενον λόγον, καὶ παντὶ τῷ γεννητῷ τὸ γεννητὸν ἴσον τε καὶ ὁμοίως ἔχον;*

*Β. Εἶτα πῶς τοῦτο ἀμφίλογον; Ὅμοιος γὰρ δι' ἀμφοῖν καὶ ἀπαραποιήτως ἔχων ὁ συλλογισμός.*

*Α. Ἆρ' οὖν, ὦ Ἑρμεία, δυσκάτοπτον ἔτι τὸ δυσσέβημα ἐρεῖς, ἤγουν οἴει διαλήσειν δύνασθαι τὸν ἀπατεῶνα λόγον τῶν δι' ἐναντίας, κατάπλαστον μὲν ἔχοντα τὸν ὡραϊσμὸν καὶ θεοπρεπέσι λε-*

---

13. Ἰω. 8, 23.

ματα, οὔτε τὴν ὡραιότητα τῆς φύσεώς του τὴν ἀποκαλύπτει σὲ κατώτερα ἀπὸ ἐκεῖνα ποὺ τὴν ἀποκαλύπτει ὁ Πατέρας, ἀλλὰ εἶναι σύγχρονος καὶ συναιώνιος καὶ ἰσότιμος σὲ ὅλα μὲ ἐκεῖνον, ἐκτὸς μόνο ἀπὸ τοῦ νὰ γεννᾶ. Γιατὶ αὐτὸ ταιριάζει μόνο στὸν Θεὸ καὶ Πατέρα. Ἅγιο Πνεῦμα ἐπίσης νὰ ὀνομάζεις αὐτὸ ποὺ ἐκχύνεται ἀπὸ τὸν Θεὸ Πατέρα καὶ διὰ τοῦ Υἱοῦ κατὰ τρόπο φυσικό, καὶ τὸ ὁποῖο μὲ τὴ μορφὴ τῆς ἐκπνοῆς τῶν στομάτων μᾶς κάνει αἰσθητὴ τὴν ὕπαρξή του. Τηρώντας μὲ τὸν τρόπο αὐτὸν σαφῆ καὶ ἀσύγχυτη τὴν ἰδιότητα τῶν τριῶν ὑποστάσεων σὲ ξεχωριστὲς ὑπάρξεις, νὰ προσκυνεῖς τὴ μία καὶ ὁμοούσια καὶ βασίλισσα ὅλων φύση.

Β. Τὰ εἶπες πολὺ καλά· γιατὶ δὲν μπορεῖ νὰ μὴ εἶναι ἔτσι. Ὅμως λένε, ὅτι ἡ φύση τοῦ Θεοῦ καὶ Πατέρα καθορίζεται κατὰ ἰδιαίτερο τρόπο ἀπὸ τὴ λέξη ἀγέννητος, καὶ ἔτσι χωρὶς κόπο φαίνεται καθαρά, ὅτι ὁ Υἱὸς εἶναι ἄλλης φύσεως, ἐφόσον τὸ γεννητὸ δὲν εἶναι ταυτόσημο μὲ τὸ ἀγέννητο.

Α. Λοιπόν, φίλοι, θὰ μπορούσαμε νὰ ποῦμε καὶ ἐμεῖς σ' αὐτοὺς δίκαια, ἐὰν τὴ φύση τοῦ Υἱοῦ τὴν καθορίζει τὸ γεννητόν, καὶ ἐξαιτίας αὐτοῦ λένε ὅτι εἶναι ἄλλης φύσεως καὶ ξένος πρὸς τὴν οὐσία τοῦ Πατέρα, τί βγαίνει ἀπὸ αὐτό; Τρομερὰ ἐγκλήματα παραφροσύνης καὶ ἐνθαρρύνονται ἀντιλήψεις οἱ ὁποῖες ἀναιροῦν ὅσα εἰπώθηκαν προηγουμένως γιὰ τὴν οὐσία τοῦ Πατέρα, γκρεμίζοντας πρὸς τὸ κάτω τὸν ἀνώτατον, ἂν καὶ λέγει μὲ σαφήνεια σὲ μᾶς ὡς δημιουργημένους, «Ἐσεῖς εἴσαστε ἀπὸ τὰ κάτω», ἐνῶ γιὰ τὴ δική του ὑπόσταση, «ἐγὼ εἶμαι ἀπὸ τὰ ἄνω»[13]. Τώρα πῶς αὐτὸς ποὺ γιὰ μᾶς βρίσκεται ἐπάνω καὶ κατεβαίνει ἀπὸ πάνω πρὸς τὰ κάτω καὶ εἶναι ξένος αὐτοῦ, εἶναι εὔκολο στὸν καθένα ποὺ σκέπτεται προσεκτικὰ νὰ τὸ καταλάβει. Ἆρα δὲν θὰ πρέπει, ὅπως κάθε ἀγέννητο θὰ δεχθεῖ κανεὶς ὅτι ἔχει κοινὴ ἀναλογία πρὸς κάθε ἀγέννητο, ἐννοῶ ὡς πρὸς τὸ ὅτι εἶναι ἀγέννητο, ἔτσι, σύμφωνα μὲ τὴν ἀναλογία ποὺ ἀκολουθεῖ τοὺς συλλογισμούς, καὶ κάθε γεννητὸ νὰ εἶναι ἴσο κι ὅμοιο μὲ ὅλα τὰ γεννητά;

Β. Τότε γιατί αὐτὸ ἀμφισβητεῖται; Γιατὶ ὁ συλλογισμὸς εἶναι ὅμοιος καὶ γιὰ τὰ δύο, καὶ ἰσχύει ἀπαράλλακτα.

Α. Ἆρα λοιπόν, Ἑρμεία, λὲς ὅτι ἡ ἀσέβεια εἶναι ἀκόμα δύσκολο νὰ διαγνωσθεῖ, δηλαδὴ νομίζεις ὅτι μπορεῖ νὰ διαφεύγει τὴν προσοχή μας ὁ ἀπατηλὸς λόγος τῶν ἀντιθέτων, ἐπειδὴ ἔχει ὡς κατάπλασμα

*ξειδίοις κατηγλαϊσμένον, ὡς ἂν ἀποφέρειν δύναιτο τῶν ἁπλουστέρων τὸν νοῦν, ἀκαλλεστάτην δὲ σφόδρα τὴν δυσφημίαν ὠδίνοντα; Κατεκομίσθη γὰρ ἡμῖν ὁ Υἱὸς εἰς ποίημα, καὶ ἐν τοῖς ὑπὸ γένεσιν καὶ φθορὰν κατελογίσθη λοιπὸν ὁ ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Εἰ γὰρ ὅρος ἔσται τοῦ Υἱοῦ κατ' ἐκείνους τὸ γεννητὸς ὄνομα, καὶ τῆς οὐσίας σημαντικὴν παραδεξαίμεθα τὴν φωνήν, τὸν αὐτὸν ἕξει λόγον, καθὸ νοεῖται γεννητός, παντὶ γεννητῷ. Μυρία δὲ ταῦτα, καὶ ἀριθμοῦ κρείττονα, καὶ μέχρις αὐτῶν διήκοντα τῶν εὐτελεστάτων, ἐμπίδος λέγω καὶ μυίας καὶ τῶν αἰσχιόνων ἔτι.*

*Β. Ὀρθῶς ἔφης.*

*Α. Ἀνθ' ὅτου δὲ δὴ καὶ Υἱὸν ὀνομάζουσιν, ἤγουν οἴονται Πατέρα ὑπάρχειν τὸν Θεόν, εἰ μὴ τέτοκεν ἀληθῶς ἐξ ιδίας ἡμῖν οὐσίας τὸν Υἱόν; Οὐκοῦν μήτε Πατέρα, μήτε μὴν Υἱὸν ὀνομαζόντων ἔτι· φίλη γὰρ ἀεὶ Χριστιανοῖς ἡ ἀλήθεια. Πρὸς μὲν οὖν τοὺς παρ' ἐκείνων ἐμέτους πῶς οὐκ ἀμείνων ἡ σιωπή; «Μὴ ἀποκρίνου γὰρ ἄφρονι», φησί, «κατὰ τὴν ἀφροσύνην αὐτοῦ». Ἀλλ' ἵνα μὴ ὥσπερ οἱ τὴν ἐρήμην διώκοντες, ἀκρατέστερόν τε καὶ ἀπηνέστερον ἐπιφύωνται τοῖς πολλοῖς, ἐπιτείχισμα ποιούμενοι τὸ ἐν λόγοις εὔτριβές, οἰόμενοί τε ὑπάρχειν δυσανάτρεπτον κομιδῇ τὸν οὐκ οἶδ' ὅπως αὐτοῖς ἐκπορισθέντα λόγον καὶ συλλογισμοῖς ἀθλίοις ἐπικουρούμενον· φέρε δή, φέρε τοὺς ταῖς ἐξ ἀπάτης καὶ δόλου παντευχίαις ἐνηρμοσμένους ψιλοί τινες ὥσπερ καὶ ἀθώρηκτοι πολεμισταὶ ταῖς ἀπὸ κοινῶν ἐννοιῶν ἀνθυποφοραῖς, Χριστοῦ συνόντος τε καὶ συνασπίζοντος, ὡς ἔνι καταδηώσωμεν, ἀναμελῳδοῦντες εὐκαίρως τὸ διὰ φωνῆς τοῦ Δαβίδ· «Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς καὶ τοὺς μισῶντας ἡμᾶς» τε καὶ σὲ «κατῄσχυνας».*

*Β. Ἴθι δὴ οὖν εὖ μάλα γεννικῶς· συναντιτάξεται γὰρ καὶ σύνοπλος ἡμῖν ὁ πάντων ἔσται Δεσπότης.*

---

13α. Πράξ. 17, 28. 14. Εἶδος ἐντόμου, μεγαλύτερο ἀπὸ κουνούπι, ποὺ ἀπομυζᾶ τὸ αἷμα. 15. Παροιμ. 26, 5. 16. Ψαλμ 43, 7-8.

τὸν ἐξωραϊσμὸ καὶ εἶναι στολισμένος μὲ λεξοῦλες ποὺ ταιριάζουν στὸν Θεό, ὥστε νὰ μπορεῖ νὰ κερδίζει τὸν νοῦ τῶν ἁπλοϊκῶν, ἐνῶ ἐγκυμονεῖ ὑπερβολικὰ ἀκαλλέστατη βλασφημία; Γιατὶ ὁ Θεός μας ὑποβιβάσθηκε σὲ δημιούργημα, καὶ κατατάχθηκε μεταξὺ ἐκείνων ποὺ κτίζονται καὶ ὑπόκεινται σὲ φθορά, αὐτὸς «μέσα στὸν ὁποῖο ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[13α]. Ἐὰν δηλαδὴ τὸ ὄνομα 'γεννητὸς' εἶναι, ὅπως λένε, ὁρισμὸς τοῦ Υἱοῦ, καὶ δεχθοῦμε ὅτι ἡ λέξη σημαίνει τὴν οὐσία του, τότε, ὡς γεννητός, θὰ ἔχει τὴν ἴδια ἀναλογία μὲ κάθε γεννητό. Αὐτὰ ὅμως εἶναι μυριάδες καὶ ἀναρίθμητα, καὶ φτάνουν μέχρι καὶ τὰ πιὸ εὐτελῆ, ἐννοῶ τὴν ἐμπίδα[14] καὶ τὴ μυῖγα καὶ τὰ πιὸ αἰσχρὰ ἀπὸ αὐτά.

Β. Σωστὰ τὰ εἶπες.

Α. Τότε λοιπὸν γιὰ ποιὸ λόγο τὸν ὀνομάζουν Υἱό, πιστεύουν δηλαδὴ ὅτι Πατέρας του εἶναι ὁ Θεός, ἐὰν δὲν γέννησε πραγματικὰ ἀπὸ τὴ δική του οὐσία τὸν Υἱὸ πρὸς χάρη μας; Ἑπομένως οὔτε Πατέρα, οὔτε καὶ Υἱὸ νὰ τοὺς ὀνομάζουν πιά· γιατὶ οἱ Χριστιανοὶ ἀγαποῦν τὴν ἀλήθεια. Μπροστὰ λοιπὸν στοὺς ἐμέτους ἐκείνων δὲν εἶναι προτιμότερη ἡ σιωπή; Γιατὶ λέγει· «Μὴ ἀπαντᾶς στὸν ἄμυαλο μὲ τρόπον ἀνάλογο πρὸς τὴν ἀμυαλωσύνη του»[15]. Ὅμως, γιὰ νὰ μὴ ἐπιτίθενται στοὺς πολλοὺς πιὸ ὁρμητικὰ καὶ σκληρότερα, ὅπως ἐκεῖνοι ποὺ δικάζουν ἐρήμην τοῦ κατηγορουμένου, ὀχυρωμένοι πίσω ἀπὸ τὴν ἐμπειρία τους στὸν λόγο, νομίζοντας ὅτι εἶναι πολὺ δύσκολο νὰ ἀνατραπεῖ ὁ λόγος τὸν ὁποῖο δὲν ξέρω ἀπὸ ποῦ τοὺς ἔχει παρασχεθεῖ, καὶ βοηθεῖται μὲ ἄθλιους συλλογισμούς, ἐμπρὸς λοιπόν, ἐμπρός, αὐτοὺς ποὺ εἶναι ὁπλισμένοι μὲ τὶς πανοπλίες τῆς ἀπάτης καὶ τοῦ δόλου, σὰν ἐλαφρὰ ὁπλισμένοι καὶ ἀθωράκιστοι πολεμιστές, μὲ τὶς ἐρωτήσεις τῶν κοινῶν συλλογισμῶν, καὶ ἔχοντας συνοδοιπόρο καὶ συμπολεμιστὴ τὸν Χριστό, νὰ τοὺς κατανικήσουμε, ψάλλοντας τὸν ἐπίκαιρο ὕμνο μὲ τὰ λόγια τοῦ Δαβίδ· «Δὲν θὰ στηρίξω τὶς ἐλπίδες μου στὸ τόξο μου, καὶ τὸ σπαθί μου δὲν θὰ μὲ σώσει· γιατὶ σὺ μᾶς ἔσωσες ἀπὸ ἐκείνους ποὺ μᾶς καταπίεζαν καὶ κατατρόπιασες ἐκείνους ποὺ μισοῦσαν ἐμᾶς καὶ ἐσένα»[16].

Β. Προχώρα λοιπὸν καὶ μὲ πολλὴ γενναιότητα μάλιστα· γιατὶ θ' ἀντιπαραταχθεῖ μαζί μας καὶ συμπολεμιστής μας ὁ Δεσπότης τῶν ὅλων.

*Α. Εἶμι μὲν δή, καὶ μάλα προθύμως· ὀκνητέον γὰρ ἥκιστά γε· οἶμαι δὲ δεῖν καὶ πρὸ τῶν ἄλλων ἐκεῖνο εἰπεῖν.*

*Β. Τὸ ποῖον δή;*

*Α. Ὡς ἀνούστατά τε καὶ ἀτεχνέστατα ὅρον εἶναί φασιν ἐπὶ Θεοῦ τὸ ἀγέννητον· ὅρον δὲ εἶναί φημι τὸ ὁρισμοῦ δύναμιν ἔχον. Ἢ οὐχὶ τοιοῦτος ὁ παρ᾽ αὐτοῖς ἔφυ λόγος καὶ ἀναισχυντίας εἰς τοῦτο διεληλακότες ἁλοῖεν ἄν;*

*Β. Ναί. Καταδείσαντες γὰρ οὐδέν, ὧδέ τε ἔχειν ἐροῦσι, καὶ μὴν καὶ ἐνστήσονται.*

*Α. Οὐκ ἂν διαψεύσαιο. Θρασὺ γάρ τι χρῆμα καὶ αἰδοῦς ἁπάσης ὡς ἀπωτάτω βεβηκός, ἀμαθία, ὄκνον τε πεφροντικὸς οὐδ᾽ ὁπωστιοῦν. Ἥκιστα γὰρ δὴ δεδιέναι φιλεῖ τὸ καὶ αὐτῆς, εἰ τύχοι, τῆς ὄντως ὀρθῆς τε καὶ ἀμωμήτου καταψηφίζεσθαι δόξης, κατα-θεῖ δὲ μᾶλλον ἀπεριεργάστως πρὸς πᾶν τὸ δοκοῦν, καὶ εἰ φαίνοι-τό τι τῶν λίαν ἀπηχεστάτων. Θέα δὴ οὖν τοῖς ἐξ ἀμαθίας ἁλόντας βρόχοις, ἔν γε τούτῳ μάλιστα δεινῶς. Τοὺς γάρ τοι τῶν οὐσιῶν ὅρους οὐκ ἐν ὀνόματί τε καὶ λέξει μιᾷ ποιουμένους εὑρήσομεν τοὺς οἵ γε ταῦτά εἰσιν ὅτι μάλιστα σοφοὶ καὶ οἷς ἐν λόγῳ τὸ ἐν τούτοις εὐδοκιμεῖν καὶ ἐξακριβοῦν ἐπείγεσθαι ταυτὶ ἀπᾷδον εὑ-ρήσομεν. Καὶ οὔ τί που μόνον τὸ ἐν λέξει μιᾷ ποιεῖσθαι τοὺς ὅρους, ἀλλ᾽ εἰ καί τις ἴοι διὰ δυοῖν, οὐκ εἰσάπαξ γὰρ καὶ τελείως καταδηλοῦσθαί φασιν, ἀλλ᾽ ἐν τρισί που μᾶλλον ἢ καὶ ἔτι πλείο-σιν· ἀριδηλότατα γὰρ εἶεν ἂν οὕτω τὰ ὁριζόμενα.*

*Β. Οἷον δὴ τί;*

*Α. Εἰ γὰρ ἐξαιτοῖτό τις ἀποφήνασθαι τυχὸν τὸ τί ἐστιν ἄν-θρωπος· εἶτα ποιοῖτο τὴν ἀπόκρισιν στενοτάτην ὥσπερ καὶ ἐν λέ-ξει μιᾷ, καὶ ὁρίσαιτο λέγων ζῷον· ἀσημότατα ἐρεῖ. Ὁμολογουμέ-νως μὲν γὰρ ζῷον ὁ ἄνθρωπος, πλὴν οὐ μόνως τε καὶ ἰδικῶς, ἀλ-λὰ συνωνύμως ἑτέροις. Πλεῖστα γὰρ ὅσα καὶ ἕτερα ζῷα. Καὶ γὰρ καὶ κύων καὶ βοῦς καὶ πάρδαλις ζῷα. Εἰ δὲ δὴ καὶ δευτέραν τῇ πρώτῃ λέξει προστιθείς, ζῷον εἶναι διορίσαιτο θνητόν, οὐδὲν ἧτ-τον ἀτονήσει περὶ τὴν ἀκριβῆ καὶ ὁλοκλήρως ἔχουσαν ἔνδειξιν,*

Α. Προχωρῶ λοιπὸν καὶ πολὺ πρόθυμα· γιατὶ δὲν πρέπει νὰ διστάζουμε καθόλου· νομίζω μάλιστα ὅτι πρέπει πρὶν ἀπὸ ὅλα νὰ ποῦμε καὶ ἐκεῖνο.

Β. Ποιὸ δηλαδή;

Α. Ὅτι κατὰ τρόπο ἀσύνετο καὶ πολὺ ἀδέξιο λένε πὼς τὸ ἀγέννητο εἶναι ὅρος στὴν περίπτωση τοῦ Θεοῦ· καὶ λέγοντας ὅρο, ἐννοῶ αὐτὸ ποὺ ἔχει ἰσχὺ ὁρισμοῦ. Ἢ δὲν εἶναι τέτοιος ὁ δικός τους λόγος, καὶ θὰ συλληφθοῦν νὰ ἔχουν φτάσει σὲ τέτοιο σημεῖο ἀδιαντροπιᾶς;

Β. Ναί· γιατὶ χωρὶς νὰ φοβοῦνται τίποτε, καὶ αὐτὸ τὸ λένε, ἀλλὰ καὶ ἀντιλέγουν.

Α. Δὲν σφάλλεις. Γιατὶ ἡ ἀμάθεια εἶναι πρᾶγμα θρασὺ καὶ τελείως ξεδιάντροπο, καὶ δὲν διστάζει μπροστὰ σὲ τίποτε. Γιατὶ δὲν διστάζει καθόλου ἀκόμα καὶ τὴν πραγματικὰ ὀρθὴ καὶ ἄμεμπτη πίστη νὰ τὴν ἀποδοκιμάσει, ἂν χρειαστεῖ, καὶ τρέχει ἀπερίσκεπτα σὲ κάθε τι ποὺ νομίζει σωστό, ἔστω καὶ ἂν φαίνεται πὼς εἶναι κάτι ἀπὸ τὰ πάρα πολὺ ἀνάρμοστα. Πρόσεχε λοιπὸν αὐτοὺς ποὺ ἀπὸ ἀμάθεια πιάστηκαν στὶς παγίδες καὶ στὸ θέμα αὐτό, κατὰ τρόπο φοβερό. Γιατὶ βλέπουμε ὅτι τοὺς ὁρισμοὺς τῶν οὐσιῶν δὲν τοὺς κατασκευάζουν μὲ ἕνα μόνο ὄνομα ἢ μιὰ λέξη οἱ πιὸ σοφοὶ στὰ θέματα αὐτά, καὶ σ' ἐκείνους ποὺ ἐπείγονται νὰ διακριθοῦν καὶ νὰ τὰ ἐξακριβώσουν αὐτά, βλέπουμε ὅτι εἶναι ἀταίριαστα. Καὶ ὄχι μόνο τὸ νὰ κάνουν τοὺς ὁρισμοὺς μὲ μιὰ μόνο λέξη, ἀλλ' καὶ ἂν κάποιος ἐπιχειρήσει μὲ δύο λέξεις, οὔτε καὶ τότε δηλώνεται, λένε, ὁριστικὰ καὶ τέλεια, ἀλλὰ μᾶλλον μὲ τρεῖς ἢ καὶ ἀκόμα περισσότερες· γιατὶ ἔτσι μόνο μποροῦν νὰ γίνουν ὁλοφάνερα αὐτὰ ποὺ ὁρίζονται.

Β. Σὰν τί δηλαδή;

Α. Ἐάν, γιὰ παράδειγμα, ζητηθεῖ ἀπὸ κάποιον νὰ πεῖ τί εἶναι ἄνθρωπος, καὶ αὐτὸς ἀπαντήσει πάρα πολὺ σύντομα, μὲ μιὰ λέξη λόγου χάρη, καὶ δώσει τὸν ὁρισμὸ ζῶο, θὰ ἀπαντήσει μὲ ἀσάφεια. Γιατὶ εἶναι πραγματικὰ ὁ ἄνθρωπος ζῶο, ὅμως ὄχι μόνο καὶ ἀποκλειστικὰ αὐτός, ἀλλὰ μαζὶ μὲ ἄλλα ποὺ ἔχουν τὸ ἴδιο ὄνομα. Γιατὶ ὑπάρχουν καὶ πάρα πολλὰ ἄλλα ζῶα, ἀφοῦ καὶ τὸ σκυλὶ καὶ τὸ βόδι καὶ ἡ λεοπάρδαλη εἶναι ζῶα. Ἐὰν πάλι προσθέσει στὴν πρώτη λέξη καὶ δεύτερη, ὁρίζοντας ὅτι εἶναι ζῶο θνητό, δὲν θὰ ἀστοχήσει λιγότερο ὡς πρὸς τὸν ἀκριβῆ καὶ ὁλοκληρωμένον ὁρισμό, μολονότι λέγει τὴν

*καίτοι λέγων τἀληθές. Ζῷα γάρ εἶναί φαμεν θνητὰ κύνα τε καὶ βοῦν καὶ τὰ λοιπά. Εἰ δὲ δὴ προήκοι καθεξῆς διὰ πάντων ὁ λόγος τῶν ἀνθρώπῳ προσόντων οὐσιωδῶς, γενικῶς τε καὶ ἰδικῶς, ὁμοῦ μὲν ζῷον λογικόν, ὁμοῦ δὲ θνητὸν ἀποκαλῶν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, οὐδενὸς τῶν ἀναγκαίων ἐπιδεᾶ πρὸς δήλωσιν τὸν ὅρον ἐξηνέγκατο. Συνίης οὖν ἄρα λοιπὸν ὡς ὀρθός τε ἡμῖν καὶ ἀληθὴς ὁ λόγος;*

*Β. Συνίημι· πῶς γὰρ οὔ;*

*Α. Ὅτε τοίνυν ἀτεχνές τε καὶ ἀκαλλὲς καὶ τῆς φιλαιτάτης αὐτοῖς ἐπιστήμης ἀμοιροῦν τὸ ἐν μιᾷ λέξει τὴν ὁρισμοῦ γράφεσθαι δύναμιν, τί δὴ ἄρα φαῖεν ἄν, καίτοι δοκησισοφοῦντες λίαν, εἰ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὅρον εἶναι διαβεβαιώσαιτο τὸ ἀγέννητον; Ἐοίκασι δὲ τοῖς τοιούτοις ἐπιθρῴσκειν λόγοις ἀπερισκέπτως ἄγαν, καίτοι καὶ ἰσχνόν, ὡς οἴονται, καὶ κατερρινημένον ἔχοντες νοῦν. Παριππεύει γάρ, οἶμαι, καὶ διαθεῖ καὶ τοῦτο αὐτούς.*

*Β. Τὸ τί δὴ φῂς ἢ ποῖον;*

*Α. Οἱ γάρ τοι τῶν οὐσιῶν ὅροι, εἰ κατὰ λόγον ἐκφέροιντο τὸν οἰκείως ἔχοντα καὶ φίλα αὐτοῖς, ἄρχονται μὲν ἀπὸ γένους, συνεισκομίζουσι δὲ τῷ γένει τὴν ἑκάστου τῶν σημαινομένων οὐσιώδη διαφοράν, ἤτοι διαφοράς· οἷον δέ με πάλιν ἐκεῖνο θέλειν εἰπεῖν.*

*Β. Διασάφει. Χρῆναι γάρ ὧδέ φημι τόν γε ἐπὶ τούτοις ἡμῖν ἰέναι λόγον.*

*Α. Ἆρα γάρ, εἴ τίς σε ἔροιτο προσιὼν βούλοιτό τε φράζειν αὐτῷ, τί μὲν δὴ κύων, τί δὲ καὶ βοῦς, τί ἔφησθα ἄν, ὦ Ἑρμεία;*

*Β. Ἔφην ἂν ὅτι ζῷα.*

*Α. Εἶτα, εἰπέ μοι, τουτὶ καὶ μόνον εἰπών, ἀποχρῶσαν οἰήσει ποιεῖσθαι τὴν δήλωσιν;*

*Β. Οὐ πάνυ· προσθείην γὰρ ἂν εἴπερ οὖν ἑλοίμην τὰ εἰκότα λέγειν καὶ τὰς ἑκατέρῳ πρεπούσας φυσικὰς διαφοράς.*

*Α. Ἀληθέστατά τε καὶ εὖ ἔχει. Οὐκοῦν ἀμφίμαχον μὲν οὐδαμῶς, εἴη δ' ἂν μᾶλλον οὐκ ἄσυμφανές, ὅτι τοῖς τῶν οὐσιῶν ὅροις διὰ γένους μὲν πρότερον, ἔπειτα δὲ διὰ τῆς ἑκάστῳ πρεπούσης εἰδοποιοῦ διαφορᾶς ἰτέον.*

ἀλήθεια. Γιατὶ ζῶα θνητὰ λέμε ὅτι εἶναι καὶ τὸ σκυλὶ καὶ τὸ βόδι καὶ τὰ ὑπόλοιπα. Ἐὰν ὅμως προχωρήσει ὁ λόγος πιὸ πέρα σὲ ὅλα τὰ οὐσιώδη χαρακτηριστικὰ τοῦ ἀνθρώπου, γενικὰ καὶ ἰδιαίτερα, ἀποκαλώντας τον ζῶο λογικὸ καὶ θνητό, ἐπιδεκτικὸ νοῦ καὶ ἐπιστήμης, τότε διατυπώνει τὸν ὁρισμὸ κατὰ τρόπο ποὺ νὰ μὴ ἔχει ἀνάγκη καμμιᾶς προσθήκης. Καταλαβαίνεις λοιπὸν ὅτι ὁ λόγος μου εἶναι σωστὸς καὶ ἀληθινός;

Β. Καταλαβαίνω· πῶς δηλαδὴ ὄχι;

Α. Ἀφοῦ λοιπὸν εἶναι ἀτεχνὲς καὶ χωρὶς κάλλος καὶ στερεῖται τῆς προσφιλοῦς σ᾽ αὐτοὺς ἐπιστήμης τὸ νὰ περιγράφουν τὴ σημασία τοῦ ὁρισμοῦ μὲ μιὰ μόνο λέξη, τί θὰ ἔλεγαν ἄραγε, ἂν καὶ παριστάνουν τοὺς πολὺ σοφούς, ἐὰν κάποιος ὑποστήριζε ὅτι ὁρισμὸς τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατέρα εἶναι τὸ ἀγέννητο; Καὶ ὅμως μοιάζουν νὰ ξεπερνοῦν αὐτὰ τὰ λόγια πολὺ ἀπερίσκεπτα, ἂν καί, ὅπως πιστεύουν, ἔχουν λεπτὸ καὶ ἔξυπνο μυαλό. Γιατὶ νομίζω πὼς τοὺς ξεφεύγει καὶ τοὺς προσπερνᾶ τρέχοντας κι᾽ αὐτό.

Β. Ποιὸ ἐννοεῖς;

Α. Ὅτι οἱ ὁρισμοὶ τῶν οὐσιῶν, ἂν καὶ ἐκφράζονται σύμφωνα μὲ τὴ λογικὴ ποὺ εἶναι οἰκεία καὶ ἀγαπητὴ σ᾽ αὐτούς, ἀρχίζουν βέβαια ἀπὸ τὸ γένος, φέρνουν ὅμως μέσα στὸ γένος τὴν οὐσιαστικὴ διαφορὰ τοῦ καθενὸς ἀπὸ τὰ ὁριζόμενα, ἤτοι τὶς διαφορές· νομίζω ὅμως ὅτι πάλι θέλεις νὰ μιλήσω γι᾽ αὐτό.

Β. Διασάφησέ το. Γιατὶ νομίζω πὼς πρέπει μὲ τὸν τρόπο αὐτὸν νὰ προχωρήσει ἡ συζήτησή μας γιὰ τὰ θέματα αὐτά.

Α. Ἄραγε, ἐὰν ἐρχόταν κάποιος καὶ σὲ ρωτοῦσε, καὶ ἤθελε νὰ τοῦ πεῖς τί εἶναι σκυλὶ καὶ τί βόδι, τί θὰ τοῦ ἔλεγες, Ἑρμεία;

Β. Θὰ τοῦ ἔλεγα, ὅτι εἶναι ζῶα.

Α. Καὶ τώρα πές μου· λέγοντας αὐτὸ καὶ μόνο, νομίζεις ὅτι θὰ ἔκρινες ἐπαρκῆ τὴν ἀπάντηση;

Β. Ὄχι πολύ· γιατὶ θὰ πρόσθετα, ἂν ἤθελα νὰ πῶ αὐτὰ ποὺ πρέπει, καὶ τὶς φυσικὲς διαφορὲς ποὺ ταιριάζουν στὸ καθένα.

Α. Πάρα πολὺ σωστὰ καὶ καλά. Ἄρα λοιπὸν δὲν ὑπάρχει καμμιὰ διαφωνία, ἀντίθετα μάλιστα εἶναι ὁλοφάνερο, ὅτι στοὺς ὁρισμοὺς τῶν οὐσιῶν πρέπει πρῶτα νὰ ξεκινάει κανεὶς ἀπὸ τὸ γένος, καὶ ἔπειτα νὰ προχωρεῖ στὴν εἰδοποιὸ διαφορὰ ποὺ ταιριάζει στὸ καθένα.

*Β. Οὐχ ἑτέρως ἔχει.*

*Α. Ἄθρει δὴ οὖν, μᾶλλον δὲ ἀποφηνάσθων ἡμῖν οἱ τὸ ἀγέννητον ἀμαθῶς εἰς ὅρου δύναμιν ἀποφέροντες, πότερα, γένους εἶναι βούλονται τὴν λέξιν ἢ διαφορᾶς σημαντικήν; Εἰ μὲν οὖν ὡς γένος εἶναί φασι, σημαινέτω μηδὲν τῶν ἄλλων ἐξῃρημένον, ἵνα μὴ ἁλισκοίμεθα τῆς εἰδοποιοῦ διαφορᾶς τὴν δύναμιν τῷ γένει προσάπτοντες, αὐτό τε τῆς ἰδίας ἰσχύος ἐξωθούμενοι. Εἰ δὲ δὴ παρέντες τουτί, διαφορὰν εἶναι λέγοιεν, προσαποδεικνύντων ἡμῖν τίνος ἔσται διαφορά, μὴ προὔπτου κειμένου τῷ λόγῳ τοῦ γένους; Πῶς δ' ἂν καὶ ὅρος ἡμῖν οὐσίας ἀποχρώντως τε ἔχοι, καὶ κατὰ τὸν ἴδιον ὁρῷτο λόγον, ἀπὸ μόνης διαφορᾶς συγκείμενος; Ἆρ' οὐ γέλωτα ὀφλεῖν ἀναγκαῖον αὐτοὺς εἰ τῇδε ἔχειν ἐνστήσονται;*

*Β. Ὀφλήσουσι γάρ, ἐπεί τοι τοῦτό ἐστιν οὐκ ἀμφίβολον.*

*Α. Εἴπερ οὖν τις βούλοιτο πρὸς τούτοις εἰπεῖν ὅτι καὶ αὐτὸ τῆς ἐσχάτης διαβολῆς ἐκμεμεστωμένον εἰσάπαν ἀσχημονήσει τὸ δόγμα αὐτοῖς, πῶς οὐκ ἀληθέστατα ἐρεῖ;*

*Β. Τί παραδείξας; Εἰπέ.*

*Α. Ὡς γὰρ ἔφην φθάσας, ἀπὸ μόνης διαφορᾶς ὁ ἡστινοσοῦν οὐσίας ὅρος οὐκ ἂν ὑγιῶς γένοιτό ποτε. Προεπινοεῖται γάρ πως ἀεὶ τῆς ἰδίας διαφορᾶς τὸ γένος, ἐξ οὗ καθάπερ ἀπὸ βαλβίδος ἐπιτροχάδην ἰὼν ὁ λόγος καὶ τοῖς καθεξῆς ἐνδιακρίτως ἐμβάλλων, ὀρθὴν καὶ ἀνενδοιάστως ἔχουσαν ποιεῖται τὴν δήλωσιν. Εἰ τοίνυν ὅρου δύναμιν ἀποπληροῦν τὸ ἀγέννητον ἀμαθῶς διατείνονται, διαφορὰ μὲν οὐκ ἔσται· σημαίνει γὰρ ἡμῖν οὐκέτι μὲν ὅτι μὴ γεγέννηται, ἀλλ' οὐδὲ δύναμιν ἔχειν τῇ λέξει τοιαύτην παραχωρήσομεν· παραληφθείη δ' ἂν μᾶλλον τό γε ἧκον ἐπ' αὐτοῖς ὡς γένος ἁπλῶς καὶ ἀδιακρίτως, εἰ καὶ ὅτι μάλιστα λογισμοῦ τοῦ καθήκοντος ἀμοιρήσειεν ἂν καὶ μάλα εἰκότως τὸ γένος ἐθέλειν ὀνομάζειν ἐπὶ Θεῷ, εἴπερ ἐστὶ κατ' αὐτὸν ἢ γοῦν πρὸ αὐτοῦ τῶν ὄντων οὐδέν. Πλὴν ὑποκείσθω γένος ἐπ' αὐτοῦ τὸ ἀγέννητον, κατά γε τὸ ἐκείνοις ἀπεριμερίμνως συνδοκοῦν, γένος δὲ ὅλως ἡμῖν ὑποσημαῖνον οὐδέν, ἵνα μὴ διαφορᾶς ἐπέχοι τόπον τε καὶ δύναμιν. Οὐκ εἰσκομιζούσης οὖν ἔτι τῆς τοῦ ἀγεννήτου φωνῆς τοῦ μὴ*

Β. Δὲν γίνεται διαφορετικά.

Α. Πρόσεχε λοιπόν, ἢ μᾶλλον ἂς μᾶς ποῦν αὐτοὶ ποὺ προσδίδουν στὸ ἀγέννητο ἀπὸ ἀμάθεια σημασία ὁρισμοῦ· ποιὸ ἀπὸ τὰ δύο σημαίνει ἡ λέξη, τὸ γένος ἢ τὴ διαφορά. Ἐὰν λοιπὸν ποῦν ὅτι σημαίνει τὸ γένος, δὲν πρέπει νὰ σημαίνει κανένα ἀπὸ τὰ ἄλλα, γιὰ νὰ μὴ θεωρηθοῦμε ὅτι προσάπτουμε τὴ σημασία τῆς εἰδοποιοῦ διαφορᾶς στὸ γένος, ἀπομακρύνοντας αὐτὸ ἀπὸ τὴ δική του σημασία. Ἐὰν πάλι, ἀφήνοντας αὐτό, ποῦν ὅτι εἶναι διαφορά, ἂς μᾶς ἀποδείξουν τίνος διαφορὰ εἶναι, ἀφοῦ δὲν ἀναφέρεται στὸν λόγο τὸ γένος; Καὶ πῶς εἶναι δυνατὸν ἕνας ὁρισμὸς νὰ εἶναι γιὰ μᾶς ἐπαρκὴς καὶ νὰ φαίνεται σύμφωνα μὲ τὸν δικό του λόγο, ἀφοῦ ἀποτελεῖται μόνο ἀπὸ τὴ διαφορά; Ἆρα λοιπὸν δὲν εἶναι γιὰ γέλιο, ἐὰν προβάλλουν αὐτὴν ἐδῶ τὴν ἔνσταση;

Β. Πραγματικὰ εἶναι γιὰ γέλια, ἀφοῦ αὐτὸ εἶναι ἀναμφίβολο.

Α. Ἐὰν λοιπὸν κάποιος θελήσει, κοντὰ σ᾽ αὐτά, νὰ πεῖ ὅτι καὶ ἡ ἴδια ἡ διδασκαλία τους εἶναι γεμάτη ἀπὸ τὴν πιὸ μεγάλη βλασφημία, πῶς δὲν θὰ εἶναι ἀληθέστατο αὐτὸ ποὺ θὰ πεῖ;

Β. Τί θὰ ἀποδείξεις; Πές μου.

Α. Ὅπως εἶπα προηγουμένως, καμμιᾶς οὐσίας ὁ ὁρισμὸς δὲν μπορεῖ νὰ γίνει σωστὰ μὲ μόνη τὴ διαφορά. Γιατὶ πρὶν ἀπὸ τὴν ἰδιαίτερη διαφορὰ γίνεται ἀντικείμενο σκέψεως πάντοτε τὸ γένος ἀπὸ τὸ ὁποῖο, σὰν ἀπὸ κάποια ἀφετηρία, ξεκινώντας ὁ λόγος ἐπὶ τροχάδην καὶ μπαίνοντας στὰ ἰδιαίτερα χαρακτηριστικά του, κάνει τὸν ὁρισμὸ σωστὸ καὶ ἀδιαμφισβήτητο. Ἐὰν λοιπὸν κατὰ τρόπο ἀμαθῆ ἰσχυρίζονται, ὅτι ὁ ὅρος “ἀγέννητο” πληροῖ τὶς ἀπαιτήσεις τοῦ ὁρισμοῦ, διαφορὰ βέβαια δὲν ὑπάρχει, γιατὶ γιὰ μᾶς σημαίνει ὅτι δὲν γεννήθηκε, ἀλλ᾽ οὔτε μποροῦμε νὰ δεχθοῦμε ὅτι αὐτὴ ἡ λέξη ἔχει τέτοια ἰσχύ· μᾶλλον χρησιμοποιήθηκε, ὅπως ταιριάζει σ᾽ αὐτούς, ὡς γένος ἁπλῶς καὶ χωρὶς διαφορές, ἂν καὶ θὰ στεροῦνταν τοῦ κατάλληλου συλλογι-σμοῦ, καὶ πολὺ εὔλογα, θέλοντας νὰ ὀνομάσουν τὸ γένος γιὰ τὸν Θεό, ἐφόσον πρὶν ἀπὸ αὐτὸν δὲν ὑπῆρχε κανένα ἀπὸ τὰ ὄντα. Πλὴν ὅμως ἂς θεωρηθεῖ τὸ ἀγέννητο ὡς γένος αὐτοῦ, ὅπως πιστεύουν ἐκεῖνοι ἀνεξέταστα, ἐνῶ γιὰ μᾶς δὲν ὑπάρχει τίποτε ποὺ νὰ φανερώνει γένος, γιὰ νὰ μὴ καταλάβει τὴ θέση καὶ τὴ σημασία τῆς διαφο-ρᾶς. Ἀφοῦ λοιπὸν ἡ λέξη ἀγέννητος δὲν ἔχει πιὰ τὴ σημασία

*γεγεννῆσθαι τὴν δήλωσιν, ποίαν ἂν ἡμῖν ἐπιδείξειε τὴν διαφορὰν Πατρὸς πρὸς Υἱόν, ἢ πῶς ἂν ἔχοι τὸ μεῖον κατά τι γοῦν ὅλως, κἂν εἰ ὑπάρχειν νοοῖτο γεγεννημένος, συνίημι μὲν οὐ σφόδρα ἐγώ· σὺ δὲ δὴ τί φῄς, ὦ Ἑρμεία;*

*Β. Τί ἂν ἔχομαι πρὸς τοῦτο εἰπεῖν;*

*Α. Ἀλλ᾽ ὅτι μὲν δὴ τὸ ἀγέννητον τὴν ὅρου δύναμιν οὐκ ἂν ὑγιῶς ἐπιδέξαιτο καὶ ἐπιστημόνως σαφῶς τε καὶ διαρκέστατα διηλέγξαμεν, καθάπερ ἐγῷμαι, ἄηθες μὲν ἔχοντες τὸ διὰ τῶν τοιούτων ἰέναι λόγων, χαριζόμενοι δὲ ταῖς ἀνάγκαις τὸ παρὰ βούλησιν καὶ τῶν ἐπιστήμης καὶ τριβῆς ἐπέκεινα χρειωδῶς ἁπτόμενοι. Ἑτέρας δ᾽ οὖν ὅμως ταῖς ἤδη προευρημέναις ἐπισωρεύειν ἐννοίας οὐκ ἀταλαίπωρον μέν, πλήν, ὡς ἂν οἷός τε ὦ, πειράσομαι. Φασὶ τοιγαροῦν οἱ σφόδρα δεινοί τε καὶ ἀκριβεῖς καὶ σχολαῖοι περὶ ταῦτα παντὶ πρέπειν ὅρῳ τὴν καλουμένην ἀντιστροφήν.*

*Β. Καὶ τί δὴ τοῦτό ἐστιν ὡς ἥδιστα ἄν σου διαπυθοίμην.*

*Α. Οὐκοῦν διὰ τῶν αὐτῶν εἶμι δὴ λόγων, καὶ ἀνακυκλήσας ἐρῶ. Ὁριζόμεθα γὰρ ἄνθρωπον μὲν τῷ τοιῷδε λόγῳ, ζῷον λογικὸν θνητόν, ἵππον δὲ αὖ τῷ τοιῷδε, ζῷον χρεμετιστικόν. Ποιησόμεθα δὲ καὶ ἑτέρως τῶν προκειμένων τὴν δήλωσιν, καὶ οὔτι που πάντως ἀπὸ τῶν πρώτων, ἀλλ᾽ ἐκ τῶν τελευταίων φωνῶν, ἄνόπιν ἰόντες ἐπὶ τὰς τῶν ὅρων ἀρχάς. Εἰ γάρ τί ἐστι θνητόν τε καὶ λογικὸν ζῷον, τοῦτον νοήσεις ἄνθρωπον, καὶ αὖ, εἴ τι χρεμετιστικὸν ζῷον, τοῦτο τὴν ἵππου παραδείξει φύσιν. Ὅρος οὖν εἴπερ ἐστὶ τὸ ἀγέννητον, τί μὴ δέχεται τὴν ἀντιστροφήν; Μὴ γὰρ κατοκνούντων ὁμολογεῖν ὡς εἴ τί ἐστιν ἀγέννητον, τοῦτο καὶ ὅρος ἐστὶ καὶ οὐσία τοῦ Θεοῦ καὶ Πατρός. Ἀλλ᾽ οὐκ ἀληθὴς ὁ λόγος. Μυρία γὰρ ὅσα ταυτί, καὶ ἀριθμοῦ κρείττονα, καὶ ὀχληρὸν οἶμαι τἀ καθέκαστα λέγειν. Αἰσθάνῃ δὴ οὖν εἰς ὅσην αὐτοῖς διώλισθεν ἀτοπίαν ὁ λόγος;*

*Β. Ναί, δεινήν γε σφόδρα.*

*Α. Ὅρος δὲ αὖ καὶ ἑτέρως οὐκ ἂν εἶναι δύναιτο τὸ ἀγέννητον, εἰ τῇδέ πη πάλιν αὐτὸ διασκεψαίμεθα. Ὁριζόμεθα γὰρ τῶν*

---

17. Δηλαδὴ ποὺ χλιμιντρίζει.

τοῦ ὅτι δὲν γεννήθηκε, ποιὰ διαφορὰ τοῦ Πατέρα πρὸς τὸν Υἱὸ θὰ μποροῦσε νά μᾶς ἀποδείξει, ἢ πῶς γενικὰ εἶναι κατά τι κατώτερος, ἔστω καὶ ἂν νοεῖται γεννημένος, ἐγὼ δὲν τὸ καταλαβαίνω πάρα πολύ· ἐσύ, Ἑρμεία, τί λές;

Β. Τί θὰ μποροῦσα νὰ πῶ γιὰ τὸ θέμα αὐτό;

Α. Ὅτι λοιπὸν τὸ ἀγέννητο δὲν ἔχει τὴν ἰσχὺ τοῦ ὁρισμοῦ τῆς οὐσίας τοῦ Θεοῦ, κατὰ τρόπο συνετὸ καὶ ἐπιστημονικό, τὸ ἀποδείξαμε μὲ σαφήνεια καὶ ἐπὶ πολὺν χρόνο, ὅπως νομίζω ἐγώ, θεωρώντας ἀσυνήθιστο τὸ νά προχωροῦμε μὲ τέτοιους συλλογισμούς, συγχωρώντας ὅμως στὴν ἀνάγκη αὐτὸ ποὺ ἦταν παρὰ τὴ θέλησή μας, καὶ ἀντικρούοντας κατὰ τὶς περιστάσεις αὐτὰ ποὺ ἦταν πέρα ἀπὸ τὴν ἐπιστήμη καὶ τὴ τριβὴ πάνω στὰ θέματα αὐτά. Καὶ βέβαια δὲν εἶναι χωρὶς ταλαιπωρία τὸ νὰ προσθέσω καὶ ἄλλες σκέψεις σ' αὐτὲς ποὺ ἤδη διατύπωσα, ὡστόσο θὰ προσπαθήσω ὅσο μοῦ εἶναι δυνατό. Λένε λοιπὸν οἱ πολὺ φοβεροὶ καὶ ἀκριβολόγοι καὶ σχολαστικοί γύρω ἀπὸ αὐτά, ὅτι σὲ κάθε ὁρισμὸ ἀντιστοιχεῖ καὶ ἡ λεγόμενη ἀντιστροφή.

Β. Θὰ σὲ ρωτοῦσα βέβαια εὐχαρίστως νὰ μάθω τί σημαίνει αὐτό.

Α. Ἀκολουθῶ λοιπὸν τοὺς ἴδιους συλλογισμοὺς καὶ ἀντιστρέφοντάς τους λέγω· Μὲ τὸν συλλογισμὸ αὐτὸν ὁρίζουμε τὸν ἄνθρωπο ὡς ζῶο λογικὸ θνητό, καὶ τὸν ἵππο ἐπίσης ὡς ζῶο χρεμεστικό[17]. Κάνουμε λοιπὸν καὶ μὲ ἄλλο τρόπο τὴ δήλωση τῶν παραπάνω, καὶ ὄχι ὁπωσδήποτε ἀπὸ τὶς πρῶτες λέξεις, ἀλλὰ πηγαίνοντας ἀπὸ τὶς τελευταῖες πίσω πρὸς στὶς ἀρχὲς τῶν ὁρισμῶν. Γιατί, ἂν κάποιος εἶναι θνητὸ καὶ λογικὸ ζῶο, αὐτὸν τὸν θεωρεῖς ἄνθρωπο, ἐπίσης ἐὰν κάτι εἶναι χρεμεστικὸ ζῶο, αὐτὸ ἀποδεικνύει τὴ φύση τοῦ ἵππου. Ἐὰν λοιπὸν καὶ τὸ ἀγέννητο εἶναι ὁρισμός, γιατί νὰ μὴ ἐπιδέχεται τὴν ἀντιστροφή; Ἂς μὴ διστάζουμε δηλαδὴ νὰ ὁμολογοῦμε, ὅτι, ἐὰν κάτι εἶναι ἀγέννητο, αὐτό εἶναι ὁρισμὸς καὶ οὐσία τοῦ Θεοῦ καὶ Πατέρα. Ὁ συλλογισμὸς αὐτὸς ὅμως δὲν εἶναι σωστός. Γιατὶ ὑπάρχουν μυριάδες τέτοια καὶ ἀναρίθμητα, καὶ νομίζω ὅτι εἶναι ἐνοχλητικὸ νὰ ἀναφέρω τὸ καθένα χωριστά. Ἀντιλαμβάνεσαι λοιπὸν τώρα σὲ πόσο μεγάλη ἀτοπία διολίσθησε ὁ συλλογισμός;

Β. Ναί, πάρα πολὺ φοβερή.

Α. Τὸ ἀγέννητο ὅμως δὲν μπορεῖ νὰ εἶναι καὶ μὲ ἄλλον τρόπο ὁρισμός, ἐὰν πάλι τὸ σκεφτοῦμε αὐτὸ ὡς ἑξῆς. Δηλαδὴ τὸ καθένα

*ὄντων ἕκαστον ἀφ᾽ ὧν εἶναι πεπίστευται καὶ ἔστιν ἀληθῶς, οὐκ ἀφ᾽ ὧν εἶεν μὲν ἂν οὐδαμῶς, στερηθῆναι δὲ ὥσπερ τινῶν συμβέβηκεν.*

*Β. Πῶς λέγεις;*

*Α. Τὸ γάρτοι πῦρ ἤτοι τὸ ὕδωρ τυχόν, ὅ τι ποτέ ἐστιν ἑκάτερον, ἤτοι ποδαπὸν τὴν φύσιν ἀγορεύειν ἐθέλοντες, πυρὸς μὲν πέρι φαμὲν ὅτι σῶμα θερμόν τε καὶ ξηρόν· θατέρου δὲ αὖ, ὡς ὑγρόν τε εἴη καὶ ψυχρόν. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ ἀφ᾽ ὧν εἰσιν ὁρίζειν αὐτά. Εἰ δὲ δὴ φαῖμεν, τὴν μὲν τοῦ πυρὸς ἐξηγούμενοι φύσιν, ὅτι μήτε ψυχρὸν μήτε ὑγρόν ἐστι, παρέντες τὸ λέγειν ὅτι θερμόν τε καὶ ξηρόν, περὶ δὲ αὖ ὕδατος ὅτι μήτε θερμὸν μήτε ξηρόν, καίτοι δέον εἰπεῖν ὅτι ψυχρόν τε καὶ ὑγρόν, πόθεν ἂν σοι δοκοῖμεν ποιεῖσθαι τὴν δήλωσιν;*

*Β. Ἀφ᾽ ὧν ἐστέρηνται καὶ οὐκ εἰσὶν ὁμολογουμένως.*

*Α. Οὐκοῦν, εἴ τῳ δοκεῖ περὶ ὁτουοῦν τῶν ὄντων ὧδέ τε φρονεῖν καὶ λέγειν, παραδείξειεν ἂν εὐκρινέστατά τε καὶ ἀπλανῶς τὸ ἐφ᾽ ἑκάστῳ τυχὸν ἀληθές;*

*Β. Οὐδαμῶς.*

*Α. Εἰ δὴ οὖν ἐπὶ Θεοῦ καὶ Πατρὸς τὸ ἀγέννητον μόνον ἡμῖν τὸ μὴ γεγεννῆσθαι δηλοῖ, πῶς ἂν καὶ ὅρου δύναμιν ἔχοι, ὡς οὐχὶ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι τοιῶσδε κατασημαῖνον;*

*Β. Ὅτι μὴ γεγέννηται πάντως που φῄς;*

*Α. Οὕτως ἔφην· τουτὶ γάρ ἡμῖν ἡ τῆς λέξεως ὠδίνει δύναμις. Τί δὲ δὴ καὶ λογιοῦνται πάλιν, εἰ προσθέντες λέγοιμεν ὅτι τῶν οὐσιῶν οἱ ὅροι πρὸς οὐδὲν ἀναγκαίως ἔχουσι τὴν ἀντιδιαστολήν, οὔτε μὴν ἐν τάξει τῶν πρός τι καταδειχθεῖεν ἄν, ὧν εἴπερ τις ὀνομάσαι τὸ ἕν, θατέρου δὴ πάντως οἱονεί πως διαμεμνήσεται; Συνεισκρίνεται γάρ ἀεὶ δι᾽ ἀμφοῖν ἡ ἑκατέρου δήλωσις.*

*Β. Οὐ σφόδρα ἔμοιγε σαφὴς ὁ λόγος.*

*Α. Καὶ μὴν τὸ ἐμποδὼν οὐδὲν συνιέναι γάρ δὴ πάρα σοὶ σαφῶς. Πατέρα μὲν γάρ εἴ τις ὀνομάσαι τυχόν, ἐνεβίβασέ πως τῶν ἀκροωμένων τὸν νοῦν εἰς ἐννοίας τὰς περὶ υἱοῦ, ἤτοι ἁπλῶς τε καὶ ἀτέχνως γεννήματος. Ἀληθὲς δ᾽ ἂν εἴη καὶ τὸ ἔμπαλιν· συνεισδραμεῖται γάρ πάντως τῇ τοῦ γεννήματος σημασίᾳ καὶ τὸ γεν-*

ἀπὸ τὰ ὄντα τὸ ὁρίζουμε ἀπὸ ἐκεῖνα ποὺ πιστεύεται ὅτι εἶναι, καὶ εἶναι πραγματικά, καὶ ὄχι ἀπὸ αὐτὰ ποὺ δὲν εἶναι, καὶ συμβαίνει νὰ ἔχει στερηθεῖ μερικά.

Β. Πῶς τὸ ἐννοεῖς;

Α. Ἂν θέλουμε νὰ μιλήσουμε γιὰ τὴ φωτιὰ ἢ τὸ νερό, τί εἶναι τὸ καθένα, γιὰ τὴ φωτιὰ λέμε ὅτι εἶναι σῶμα θερμὸ καὶ ξερό, ἐνῶ γιὰ τὸ ἄλλο, ὅτι εἶναι ὑγρὸ καὶ ψυχρό. Καὶ αὐτὸ νομίζω σημαίνει τὸ νὰ ὁρίζουμε αὐτά ἀπὸ αὐτὸ ποὺ εἶναι. Ἐνῶ ἂν λέγαμε, ἐξηγώντας τὴ φύση τῆς φωτιᾶς, ὅτι δὲν εἶναι οὔτε ψυχρή, οὔτε ὑγρή, ἀποφεύγοντας νὰ λέμε ὅτι εἶναι σῶμα θερμὸ καὶ ξηρό, καὶ γιὰ τὸ νερὸ πάλι ὅτι δὲν εἶναι οὔτε θερμὸ οὔτε ξερό, ἂν καὶ πρέπει νὰ ποῦμε, ὅτι εἶναι ψυχρὸ καὶ ὑγρό, ἀπὸ ποῦ θὰ σοῦ φαινόμασταν ὅτι διατυπώνουμε τὸν ὁρισμό;

Β. Ἀπὸ αὐτὰ ποὺ στεροῦνται καὶ δὲν εἶναι ὁπωσδήποτε.

Α. Λοιπόν, ἐὰν κάποιος θεωρεῖ σωστὸ γιὰ ὁποιοδήποτε ἀπὸ τὰ ὄντα νά πιστεύει καὶ νὰ μιλάει μὲ αὐτὸν τὸν τρόπο, θὰ μποροῦσε νὰ μᾶς παρουσιάσει πολὺ καθαρὰ καὶ χωρὶς πλάνη τὴν ἀλήθεια γιὰ τὸ καθένα;

Β. Καθόλου.

Α. Ἐφόσον λοιπὸν στὴν περίπτωση τοῦ Θεοῦ καὶ Πατέρα τὸ ἀγέννητο μᾶς φανερώνει μόνο τὸ ὅτι δὲν γεννήθηκε, πῶς μπορεῖ νὰ ἔχει ἰσχὺν ὁρισμοῦ, ἀφοῦ φανερώνει ὄχι τί εἶναι, ἀλλὰ τί δὲν εἶναι;

Β. Ἐννοεῖς ὅτι ὁπωσδήποτε δὲν γεννήθηκε;

Α. Αὐτὸ ἐννοῶ· γιατὶ αὐτὸ φανερώνει ἡ σημασία τῆς λέξεως. Καὶ τί θὰ σκεφθοῦν ἄραγε πάλι ἂν λέγαμε συμπληρώνοντας, ὅτι οἱ ὁρισμοὶ τῶν οὐσιῶν δὲν ἀντιδιαστέλλονται ἀναγκαστικὰ πρὸς τίποτε, οὔτε βέβαια καὶ μποροῦν νὰ καταταγοῦν στὴν τάξη αὐτῶν ποὺ ἔχουν σχέση πρὸς κάτι, αὐτῶν ποὺ ὅταν κάποιος ἀναφέρει τὸ ἕνα, θυμᾶται ὁπωσδήποτε καὶ τὸ ἄλλο; Γιατὶ ἡ φανέρωση τοῦ καθενὸς γίνεται πάντοτε καὶ μὲ τὰ δύο.

Β. Τὰ λόγια σου δὲν μοῦ φαίνονται πολὺ σαφῆ.

Α. Καὶ ὅμως τίποτε δὲν ἐμποδίζει νὰ τὰ κατανοήσεις μὲ σαφήνεια. Γιατὶ ὅταν κάποιος ἀναφέρει τὴ λέξη πατέρας, φέρνει στὸ νοῦ αὐτῶν ποὺ τὸν ἀκοῦν τὶς ἔννοιες γιὰ τὸν Υἱό, ἢ γενικὰ καὶ πρόχειρα γι' αὐτὸ ποὺ γεννιέται. Ἀλλ' εἶναι ἀληθινὸ καὶ τὸ ἀντίθετο· γιατὶ μαζὶ μὲ τὴ σημασία αὐτοῦ ποὺ γεννιέται, συμβαδίζει καὶ ἐκεῖνο ποὺ

*νῶν. Ἕξει δὲ ὁμοίως καὶ κατὰ τὸν ἴσον, οἶμαι, τρόπον τὸ δεξιὸν καὶ εὐώνυμον· ἅμα γάρ τι τούτων ὠνόμασται, καὶ συνεισέφυ τὸ ἕτερον. Ὁ δέ γε τῆς ἀνθρώπου, φέρε εἰπεῖν, οὐσίας τὸν ὅρον ἐξενεγκών, ἤτοι τῆς ἑτέρου ὁτουοῦν τῶν ζῴων, οὐδὲν αὐτῷ συμπαρέζευξε τὸ διεσταλμένον, ἤγουν ἀναγκαίως ἀντανιστάμενον, καθάπερ ἀμέλει καὶ ἐπὶ τοῦ δεξιοῦ τὸ εὐώνυμον, ἤγουν τοῦ πατρὸς τὸ υἱός, ἢ τοῦ τεκόντος ἁπλῶς τὸ γεννώμενον. Ἄνθρωπος γὰρ ὁ ἄνθρωπος καὶ λίθος ὁ λίθος, πρὸς οὐδὲν ἔχοντα τὴν διαστολήν, ἀλλ' ὅτι κύριά πως αὐτοῖς καὶ ἰδικὰ τὰ ὀνόματα. Ἡ δέ γε ἀγέννητος φωνή, τοῦ μὴ γεγεννῆσθαί τινα τὴν ἔννοιαν ἔχουσα, συνυπαινίττεταί πως τὸ γεννητόν, οὗ τὴν ποιότητα διεκφεύγουσα αὕτη τοῖς ἰδίοις ἐγκαθορμίζεται. Εἶτα, πῶς ὅρος ἡ ἀγέννητος ἂν εἴη φωνή, οὐχ ὁμοίως ἔχουσα τῷ γεννητῷ, κατά γε τὸ ἐξ ἀμφοῖν δηλούμενον;*

*Β. Τὸ μηδὲν οὖν εἶναι φῄς ἐπὶ Θεοῦ Πατρὸς τὸ ἀγέννητον;*

*Α. Οὐχὶ τὸ μηδέν, πολλοῦ γε καὶ δεῖ. Φαίην δ' ἂν ἔγωγε τετηρῆσθαι μόνῳ καὶ ἀνῆφθαι πρέπειν αὐτῷ, κατά γε τὸν τοῦ μὴ γεγεννῆσθαι λόγον, πλὴν ἥκιστά γε οἰστέον εἰς ὅρου δύναμιν αὐτό.*

*Β. Ἀλλ' εἰς ὅρου μὲν δύναμιν μὴ δὴ τετάχθω, φασίν, τὸ ἀγέννητον ἐπὶ Θεοῦ καὶ Πατρός, οὐσία δὲ ὅμως ἔστω τοῦτο αὐτοῦ· καὶ εἴπερ ἐστὶν ἀντικείμενον τῷ ἀγεννήτῳ τὸ γεννητόν, οὐκ ἂν εἴη κατὰ φύσιν ὁ αὐτὸς τῷ Πατρὶ ὁ Υἱός, τῆς τῶν ὀνομάτων ποιότητος ὁριζούσης ἡμῖν εὖ μάλα τὴν οὐσιώδη διαφοράν.*

*Α. Ὡς δριμὺς ἄγαν ὁ λόγος καὶ ταῖς τῶν ἐννοιῶν ἐξ ἑτέρων εἰς ἕτερα πολυστρόφοις διαδρομαῖς εὐκόλως διαποικίλλεται. Καί μοι δοκοῦσιν οἱ τῶν ἀνοσίων τουτωνὶ δογμάτων ὑπασπισταὶ ὑποστῆναί τι τοιοῦτον ὁποῖόν τί φασι κατειθίσθαι δρᾶν καὶ τοὺς οἷς ἡ τέχνη τὰ εἰς πίνακας καὶ γραφήν, οἵ, ἐπειδὰν ἑτερόχροον ἀποφήνωσί τι τῶν ζῴων, διαμαρτούσης αὐτοῖς τῆς ἐννοίας καὶ μὴν καὶ χειρὸς εἰς τὸ παρὰ φύσιν ἑτεροίαις αὖθις αὐτὸ μεταχρων-*

γεννᾶ. Καὶ ἔχει, νομίζω, κατὰ τὸν ἴδιο καὶ ἴσο τρόπο τὸ δεξιὸ καὶ τὸ ἀριστερό· γιατὶ μόλις ἀναφερθεῖ κάποιο ἀπὸ αὐτά, ἔρχται στὴ σκέψη μας ταυτόχρονα καί τὸ ἄλλο. Ἐνῶ ἐκεῖνος ποὺ θὰ ἀναφέρει, γιὰ παράδειγμα, τὸν ὅρο τῆς οὐσίας τοῦ ἀνθρώπου, ἢ ὁποιουδήποτε ἄλλου ζώου, δὲν τὸν συνδέει μὲ τίποτε ποὺ εἶναι ἀντίθετο μ' αὐτό, δηλαδὴ ἀναγκαστικὰ ἀνταγωνιστικό, ὅπως στὴν περίπτωση τοῦ δεξιοῦ εἶναι τὸ ἀριστερό, ἢ στὸν πατέρα ὁ υἱός, ἢ ἐκείνου γενικὰ ποὺ γεννάει, αὐτὸ ποὺ γεννιέται. Γιατὶ ὁ ἄνθρωπος εἶναι ἄνθρωπος, καὶ ἡ πέτρα πέτρα, τὰ ὁποῖα δὲν ἔρχονται σὲ ἀντίθεση μὲ τίποτε, καὶ τὰ ὀνόματά τους εἶναι κύρια καὶ ἀποκλειστικὰ αὐτῶν. Ἐνῶ ἡ λέξη "ἀγέννητος", ποὺ σημαίνει ὅτι κάποιος δὲν ἔχει γεννηθεῖ, ὑπαινίσσεται αὐτὸ ποὺ εἶναι γεννητό, τοῦ ὁποίου τὴν ποιότητα ἀφοῦ τὴ διαφύγει αὐτή, ἀγκυροβολεῖ στὰ δικά της. Ἔπειτα, πῶς μπορεῖ ἡ λέξη "ἀγέννητος" νὰ εἶναι ὁρισμός, ἀφοῦ δὲν εἶναι ἀντίστοιχη πρὸς τὸ γεννητό, σύμφωνα μὲ αὐτὸ ποὺ δηλώνεται καὶ ἀπὸ τὰ δύο;

Β΄. Λὲς λοιπὸν ὅτι τὸ ἀγέννητο στὸν Θεὸ καὶ Πατέρα εἶναι τὸ μηδέν;

Α. Ὄχι τὸ μηδέν· πολὺ ἀπέχει αὐτὸ ἀπὸ τὴν ἀλήθεια. Ἐγὼ θὰ ἔλεγα ὅτι σ' αὐτὸν ταιριάζει τὸ ὅτι συντηρεῖται μόνος καὶ εἶναι ἀνεξάρτητος, κατὰ τὸ ὅτι δὲν ἔχει γεννηθεῖ, ἀλλὰ αὐτὸ ἐλάχιστα πρέπει νὰ χρησιμοποιεῖται μὲ τὴ σημασία τοῦ ὁρισμοῦ.

Β. Ναί, μὲ τὴ σημασία ὁρισμοῦ νὰ μὴ χρησιμοποιεῖται γιὰ τὸν Θεὸ τὸ ἀγέννητο, λένε, ὅμως αὐτὸ εἶναι ἡ οὐσία του. Καὶ ἐφόσον ἀντίθετο στὸ ἀγέννητο εἶναι τὸ γεννητό, δὲν μπορεῖ ὁ Υἱὸς νὰ εἶναι ταυτόσημος κατὰ φύση μὲ τὸν Πατέρα, ἀφοῦ ἡ ποιότητα τῶν ὀνομάτων μᾶς καθορίζει πολὺ καλὰ τὴν οὐσιώδη διαφορά τους.

Α. Εἶναι εὔστροφος ὁ λόγος, καὶ πολὺ εὔκολα στὶς πολύστροφες διαδρομὲς τῶν ἐννοιῶν μετακινεῖται ἀπὸ ἄλλα σὲ ἄλλα! Καὶ σὲ μένα οἱ ὑπερασπιστὲς τῶν ἀνίερων αὐτῶν διδασκαλιῶν δίνουν τὴν ἐντύπωση ὅτι ἔπαθαν κάτι παρόμοιο μὲ αὐτὸ ποὺ συνηθίζουν νὰ κάνουν αὐτοὶ τῶν ὁποίων ἡ τέχνη ἔχει σχέση μὲ τοὺς πίνακες καὶ τὴ ζωγραφική, οἱ ὁποῖοι, ὅταν παριστάνουν ἕνα ζῶο μὲ διαφορετικὸ χρῶμα ἀπὸ αὐτὸ ποὺ εἶναι, ἐπειδὴ ἔκαναν λάθος ὡς πρὸς τὴν εἰκόνα ποὺ σχημάτισαν γι' αὐτό, ἀλλὰ καὶ τὸ χέρι τους ποὺ τὸ ζωγράφισε κατὰ τρόπο ἀφύσικο, ξαναβάφοντάς το μὲ ἄλλα χρώματα, ὥστε νὰ φαίνε-

*νύντες βαφαῖς εἰς τὸ ἀμεινόνως ἔχειν δοκοῦν, τότε δὴ μόλις ἐφικέσθαι νομίζουσι τοῦ μὴ διεψεῦσθαι δοκεῖν τοῖς θεωμένοις τὴν γραφὴν καὶ μὴν καὶ εὖ ἔχειν τὰ τῆς ἐμπειρίας αὐτοῖς Ἀλλ' ἐξ ὧν εὐδοκιμεῖν οἴονται τῶν ἤδη προεπταισμένων λελήθασι σφᾶς αὐτοὺς δεινὴν οἱονεί πως ποιούμενοι τὴν καταβοήν, καὶ ὁ τῆς ἐπανορθώσεως ἔπαινος τῶν ἀτέχνως αὐτοῖς εἰργασμένων ἀποφανεῖ τὸ ἀκαλλές. Ἢ οὐκ ἀληθὲς ὅπερ ἔφην;*

*Β. Ἀληθὲς μὲν οὖν. Πλὴν ἀνέντες ἀμνησικάκως τὸ καὶ εἴπερ ἕλοιντο μεταχωρεῖν ἐφ' ἕτερα, πρὸς ἐκεῖνα ἴωμεν, ὡς ἂν μή τις αὐτοῖς τῆς καθ' ἡμῶν ὀφρύος ἐκπορισθείη λόγος διὰ τοῦ καὶ κατοκνῆσαι τὸν ἀγῶνα δοκεῖν.*

*Α. Ἐφῶμεν δὴ οὖν, οἴει γὰρ ὧδε ταῦτ' ἔχειν ὀρθῶς. Καὶ δὴ καὶ ἀγορευόντων ἀμαθῶς οὐσίαν εἶναι Θεοῦ τὸ ἀγέννητον, ἀλλ' εὐθύς, οἶμαι, τὶς καὶ πρός γε τουτὶ πλατὺ γελάσας ἐρεῖ· Εἰ τὸ ἀγέννητον οὐσία Θεοῦ, μυρία δὲ ὅσα τὰ ἀγεννήτως ὄντα κατὰ τὸν κόσμον, πᾶν εἴ τι ἀγέννητον, τοῦτό ἐστιν οὐσία Θεοῦ, ἤγουν ἕξει τὸ ἀγέννητον εἰς λόγον οὐσίας. Ἔστι τοίνυν ἀγεννήτως μὲν οἷον ἥλιος, πεποίηται δὲ κατὰ τὸν ἴσον σελήνη τρόπον, ἄστρα τε καὶ οὐρανοί· παρίημι γὰρ Ἀρχάς τε καὶ Θρόνους καὶ κτίσιν ἅπασαν τὴν ὑπὲρ ἡμᾶς, οὐ διὰ γεννήσεως καθάπερ ἡμεῖς τὴν εἰς τὸ εἶναι λαχοῦσαν εἰσβολήν. Ἀλλ' οὐ πᾶν ἀγέννητον οὐσία Θεοῦ, οὔτε μὴν τοῖς ἀγεννήτως οὖσιν εἰς οὐσίας ὅρον τὸ ἀγέννητον καταλογισθείη ἄν. Τὸ ἄρα ἀγέννητον οὐκ ἂν εἰς τοῦτο παραδεξαίμεθα, τὸν ὑγιᾶ τε καὶ ἀπαράφθορον ἔτι σῴζοντες νοῦν. Ἄλλως τε δεῖν γὰρ οἶμαι καὶ τοῦτο ἐπενεγκεῖν· εἰ τὸ ἀγέννητον οὐσία, τὸ δὲ τῆς οὐσίας ὄνομα, μήτε γένους, μήτε εἴδους, μήτε μὴν διαφορᾶς ἢ διαφορῶν ἐπενηνεγμένων, ὑποφανεῖ τοῖς ἀκροωμένοις τὸ σύμπαν οὐδέν, πλὴν ὅτι μόνον οὐσία, καταδηλούτω μηδὲν ἐπὶ Θεοῦ τὸ ἀγέννητον, μήτε μὴν τοῦ μὴ γεγεννῆσθαι καταλογιζέσθω σημαντικόν, ἀλλ' ἢ ὅτι μόνον οὐσία, καὶ τίνος ἀσυμφανές· γένους γὰρ ἔτι καὶ εἴδους καὶ διαφορᾶς ἀμοιρεῖ. Λέγωμεν δὲ ὧδε καὶ ἐφ' Υἱοῦ τὸ τῆς γεννήσεως ὄνομα, καὶ νοείσθω μόνον οὐσία, ψιλῶς*

ται ὅτι εἶναι καλύτερο, τότε μόλις νομίζουν ὅτι κατάφεραν νὰ μὴ δείχνουν ὅτι παραπλάνησαν τοὺς θεατές, καὶ βέβαια ὅτι ἡ τέχνη τους ἀξίζει. Ἀλλὰ μὲ αὐτὰ ποὺ νομίζουν ὅτι διακρίθηκαν, λησμονοῦν ἐκεῖνα ποὺ πρὶν εἶχαν ζωγραφίσει λάθος, κάνοντας οἱ ἴδιοι κατὰ κάποιο τρόπο δεινὴ τὴν ἐναντίον τους κατακραυγή, καὶ ὁ ἔπαινος τῆς διόρθωσης φανερώνει τὴν ἀκαλαισθησία τῶν πινάκων ποὺ εἶχαν κάνει ἀδέξια. Ἢ μήπως δὲν εἶναι ἀλήθεια αὐτὸ ποὺ εἶπα;

Β. Ναὶ εἶναι ἀλήθεια. Ὅμως ἀφήνοντας χωρὶς μνησικακία τὸ καὶ ἂν ἀκόμα προτιμήσουν νὰ μεταβοῦν σὲ ἄλλα, ἂς προχωρήσουμε σ' ἐκεῖνα, γιὰ νὰ μὴ ἔχει καμμιὰ δικαιολογία ἡ ἐναντίον μας ὑπεροψία τους, μὲ τὸ νὰ νομίσουν ὅτι φοβόμαστε τὸν ἀγώνα μαζί τους.

Α. Ἂς προχωρήσομε λοιπόν· γιατὶ φαίνεται πὼς αὐτὰ εἶναι σωστά. Καὶ μάλιστα καθὼς θὰ μιλοῦν κατὰ τρόπο ἀμαθῆ, ὅτι τὸ ἀγέννητο εἶναι ἡ οὐσία τοῦ Θεοῦ, ἀμέσως, νομίζω, κάποιος γελώντας γι' αὐτὸ δυνατά, θὰ πεῖ· Ἐὰν τὸ ἀγέννητο εἶναι οὐσία τοῦ Θεοῦ, ἐπειδὴ εἶναι μύρια ὅσα αὐτὰ ποὺ ὑπάρχουν σ' ὁλόκληρο τὸν κόσμο χωρὶς νὰ ἔχουν γεννηθεῖ, τότε κάθε τι ἀγέννητο εἶναι οὐσία τοῦ Θεοῦ, δηλαδὴ ἔχει τὸ ἀγέννητο λόγω τῆς οὐσίας του. Εἶναι λοιπὸν ἀγέννητος λόγου χάρη ὁ ἥλιος, ἔγινε καὶ ἡ σελήνη κατὰ τὸν ἴδιο τρόπο, καὶ τὰ ἄστρα καὶ οἱ οὐρανοί· ἀφήνω βέβαια τὶς Ἀρχὲς καὶ τοὺς Θρόνους, καὶ τὴν κτίση ὁλόκληρη ποὺ μᾶς περιβάλλει, ἡ ὁποία ἔχει τὸν ἐρχομό της στὴν ὕπαρξη ὄχι μὲ γέννηση, ὅπως ἐμεῖς. Ὅμως κάθε ἀγέννητο δὲν εἶναι οὐσία τοῦ Θεοῦ, ἀλλ' οὔτε καὶ σὲ ὅσα ὑπάρχουν χωρὶς νὰ ἔχουν γεννηθεῖ, εἶναι δυνατὸν νὰ χαρακτηρισθεῖ τὸ ἀγέννητο ὡς ὁρισμὸς τῆς οὐσίας τους. Ἄρα τὸ ἀγέννητο δὲν τὸ δεχόμαστε ἔτσι, ἐφόσον βέβαια διατηροῦμε τὸν νοῦ μας ὑγιῆ καὶ ἀβλαβῆ. Ἐξάλλου νομίζω ὅτι πρέπει νὰ προσθέσουμε καὶ τὸ ἑξῆς· ἐὰν τὸ ἀγέννητο εἶναι οὐσία, καὶ τὸ ὄνομα τῆς οὐσίας δὲν φανερώνει γενικὰ τίποτε οὔτε ἀπὸ τὸ γένος, οὔτε ἀπὸ τὸ εἶδος, ἀλλ' οὔτε καὶ ἀπὸ τὴ διαφορὰ ἢ τὶς διαφορὲς ποὺ ἀποδίδονται σὲ κάτι, ἐκτὸς τοῦ ὅτι εἶναι οὐσία μόνο, τότε ἡ λέξη ἀγέννητος δὲν μπορεῖ νὰ φανερώνει στὴν περίπτωση τοῦ Θεοῦ τίποτε, οὔτε ἀκόμα νὰ τῆς ἀποδίδεται ἡ σημασία τοῦ ὅτι δὲν γεννήθηκε, παρὰ μόνο ὅτι εἶναι ουσία, ἀλλὰ δὲν εἶναι ὁλοφάνερο ποιᾶς οὐσίας· γιατὶ δὲν ἔχει εἶδος οὔτε καὶ διαφορά. Λέμε ἐδῶ ὅτι καὶ στὴν περίπτωση τοῦ Υἱοῦ τὸ ὄνομα τῆς γεννήσεως πρέ-

*ἔτι καὶ οὐδαμόθεν διωρισμένως. Ἑκατέροιν οὖν ἡμῖν τοῖν ὀνομάτοιν ἁπλῶς καὶ ἀδιαστόλως ἐκπεφωνημένοιν, καὶ τὴν οὐδενὸς εἰσποιούντων ἔννοιαν, πλὴν ὅτι μόνον οὐσία, τίς ἂν εἴη ἡ διαφορὰ λοιπὸν Πατρὸς πρὸς Υἱόν; Οὐσία γὰρ ὡς πρὸς οὐσίαν, ἐπενηνεγμένου μηδενός, οὔτε τὸ μεῖζον, καθά φησιν, οὔτε τὸ ἔλαττον, οὔτε τὸ κατατέμνον εἰς ἑτερότητα τὴν κατά τι γοῦν ὅλως διακεκτήσεται, ἀλλ' ἡ εἰσάπαν ὁμοιότης οὐσίᾳ πρὸς οὐσίαν ἐνδοιασμοῦ τινος δίχα προσείη ἄν, κατά γε τὸν ὀρθῶς ἔχοντα λογισμόν, ἔστ' ἂν οὐσίαι νοῶνται μόνον καὶ ὀνομάζωνται. Οὐκοῦν ἀτέχνως καὶ ἀδιακρίτως οὐσίαν τοῦ Θεοῦ τὸ ἀγέννητον ἐκδεξάμενοι, κατερυθριάτωσαν ἀμαθαίνοντες, καὶ μὴ ἐπιτείχισμα τῇ τοῦ Υἱοῦ φύσει τὴν λέξιν ἀναδειμάμενοι τῶν τῆς ἀληθείας καθυλακτούντων δογμάτων, τὴν οὐδαμόθεν ἡμῖν ὁρωμένην διαφορὰν ὡς ἐμφανῆ παραφέροντες, εἰ μήτε τὸ ἀγέννητον ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ μὴ γεννηθῆναι τυχόν, μήτε μὴν θάτερον ἐφ' Υἱοῦ τὸ γεννηθῆναι δηλοῖ, οὐσίαι δὲ ἄμφω, καὶ τοῦτο ἀδιαστόλως. Παρέδειξε γὰρ ἀρτίως ἡμῖν ὁ λόγος ὡς διΐστησιν οὐδὲν οὐσίαν οὐσίας, εἴς γε τὸ ἑτεροίως ἔχειν, καθό φαμέν τε εἶναι καὶ νοοῦμεν οὐσίας. Οἴει δὴ οὖν ἄρα σαφῆ τε εἶναι καὶ ὑγιᾶ τὸν λόγον, ἢ ἐπανορθώσῃ καὶ μεθαρμόσεις ἐπὶ τὸ ἄμεινον;*

*Β. Οὐδαμῶς. Ἔχει γὰρ ὀρθῶς.*

*Α. Εἰ δὲ δὴ καὶ ἐκκλέψειαν αὐτοὶ τῆς τοῦ ἀγεννήτου φωνῆς τοῦ μὴ γεννηθῆναι τὴν δήλωσιν καὶ οὐσίαν ἁπλῶς ὑπάρχειν ἐνστήσονται, ποῖος ἂν ἡμῖν ἐκδυσωπήσειε λογισμὸς τοὺς ἐθέλοντας ἀφελεῖν τοῦ γεννητοῦ τὴν γέννησιν καὶ εἰς οὐσίας αὐτὸ καταγράφειν δύναμιν, καθάπερ ἀμέλει καὶ αὐτοὶ τὸ ἀγέννητος; Εἶτα πῶς ἔτι διαγνωσόμεθα καὶ ποῖος ἡμῖν ἀποτεμεῖ λόγος τὴν ἐν προσώπῳ τε καὶ ὑποστάσει διαφορὰν τοῦ Πατρὸς πρὸς Υἱόν, ἤγουν τοῦ Υἱοῦ πρὸς Πατέρα; Τίς γὰρ ὁ γεννήσας ἔτι, καὶ τίς ὁ γεγεννημένος, ἀσυμφανὲς ἤδη πως. Φροῦδος δὴ οὖν ὁ σύμπας ἡμῖν τῆς πίστεως διοίχεται λόγος. Πόθεν γὰρ ἔτι καὶ πῶς εἴς τε τὸν Πατέρα καὶ τὸν Υἱὸν πιστεύομεν ὡς εἰς γεννήτορα καὶ γεγεννημένον; Οὐ*

πει νὰ νοεῖται μόνο οὐσία, καὶ οὐσία ἁπλῆ ποὺ δὲν προσδιορίζεται ἀπὸ πουθενά. Ἀφοῦ λοιπὸν γιὰ μᾶς τὰ ὀνόματα καὶ τῶν δύο ἀπαγγέλλονται ἁπλᾶ, χωρὶς νὰ σημαίνουν κάποια διάκριση καὶ νὰ περιλαμβάνουν τὴν εἰκόνα κανενός, ἐκτὸς τοῦ ὅτι εἶναι μόνο οὐσία, ποιὰ εἶναι ἡ διαφορὰ τοῦ Πατέρα πρὸς τὸν Υἱό; Γιατὶ οὐσία μὲ οὐσία, ὅταν δὲν τοὺς ἀποδίδεται τίποτε, δὲν ἔχουν κάτι μεγαλύτερο, ὅπως λένε, οὔτε μικρότερο, οὔτε κάτι ποὺ νὰ τὶς διαχωρίζει σὲ μέρη διαφορετικά, ἀλλὰ ὑπάρχει διὰ παντὸς ὁμοιότητα τῆς μιᾶς οὐσίας πρὸς τὴν ἄλλη, χωρὶς κανένα ἐνδοιασμό, καὶ σύμφωνα μὲ τὸν ὀρθὸ συλλογισμό, πρέπει νὰ νοοῦνται καὶ νὰ ὀνομάζονται μόνο οὐσίες. Ἄρα λοιπὸν δεχόμενοι κατὰ τρόπο ἀμαθῆ καὶ ἀκατανόητο τὸ ἀγέννητο ὡς οὐσία τοῦ Θεοῦ, ἂς κατακοκκινίσουν ἀπὸ ντροπὴ ἀνοηταίνοντας, καὶ ἂς μὴ ὑψώνουν ὀχυρὸ στὴ φύση τοῦ Υἱοῦ τὴ λέξη μὲ τὰ δόγματα ποὺ γαυγίζουν ἐναντίον τῆς ἀλήθειας, προσφέροντάς μας ὡς φανερὴ τὴ διαφορά, ἡ ὁποία δὲν φαίνεται ἀπὸ πουθενὰ σ᾽ ἐμᾶς, ἐφόσον οὔτε τὸ ἀγέννητο στὸν Θεὸ καὶ Πατέρα φανερώνει τὸ ὅτι δὲν γεννήθηκε, οὔτε καὶ τὸ ἄλλο (τὸ γεννητὸ) στὸν Υἱὸ ὅτι γεννήθηκε, ἀλλὰ καὶ οἱ δύο εἶναι οὐσίες, καὶ οὐσίες ἀχώριστες. Γιατὶ ἀπέδειξε πλήρως ἡ συζήτησή μας, ὅτι τίποτε δὲν χωρίζει τὴ μιὰ οὐσία ἀπὸ τὴν ἄλλη, ὥστε νὰ εἶναι διαφορετικές, σύμφωνα μὲ ὅ,τι λέμε καὶ ἐννοοῦμε ὅτι εἶναι οἱ οὐσίες. Νομίζεις λοιπὸν ἄραγε ὅτι ὁ λόγος ἦταν σαφὴς καὶ ὀρθός, ἢ θὰ τὸν διορθώσεις καὶ θὰ τὸν προσαρμόσεις πρὸς τὸ καλύτερο;

Β. Καθόλου. Γιατὶ εἶναι σωστός.

Α. Καὶ ἂν ἀκόμα βγάλουν αὐτοὶ ἀπὸ τὴ λέξη τοῦ ἀγεννήτου τὴ σημασία ὅτι δὲν γεννήθηκε, καὶ ὑποστηρίξουν ὅτι σημαίνει ἁπλῶς οὐσία, ποιὸς συλλογισμὸς θὰ μποροῦσε γιὰ μᾶς νὰ κάνει νὰ ντραποῦν αὐτοὶ ποὺ θέλουν νὰ ἀφαιρέσουν ἀπὸ τὴ λέξη γεννητὸ τὴν γέννηση, καὶ νὰ τὸ καταχωρίσουν στὴ σημασία τῆς οὐσίας, ὅπως κάνουν καὶ αὐτοὶ μὲ τὸ ἀγέννητο; Καὶ ἔπειτα, πῶς θὰ γνωρίζουμε καὶ ποιὸς λόγος θὰ ἀπαλείψει γιὰ μᾶς τὴ διαφορὰ στὸ πρόσωπο τοῦ Πατέρα πρὸς τὸν Υἱό, ἢ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα; Γιατὶ εἶναι κάπως συγκεχυμένο τὸ ποιὸς εἶναι αὐτὸς ποὺ γέννησε καὶ ποιὸς αὐτὸς ποὺ γεννήθηκε. Πῆγε δηλαδὴ χαμένος ὅλος ὁ λόγος τῆς πίστεώς μας. Τότε γιατί καὶ πῶς ἀκόμα πιστεύουμε στὸν Πατέρα καὶ τὸν Υἱό, ὡς

γὰρ ψιλὴν καὶ περεφθαρμένην ἔν γε δὴ μάλιστα τουτοισὶ τὴν τῶν ὀνομάτων σημασίαν παραδεξόμεθα, πολλοῦ γε καὶ δεῖ. Φαίην δ' ἂν εἰκότως ὡς ἀκριβῆ τε καὶ ἀναγκαίαν, εἴπερ ἐστὶν ἡμῖν εἰς ἀλήθειαν ἡ πίστις καὶ θεογνωσίας τῆς ὄντως οὐ διημαρτήκαμεν, εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα βεβαπτισμένοι.

Β. Εὖ λέγεις· ἐπυθόμην δὲ ὅτι κἀκεῖνό φασιν, ὅτι κέκληται Πατὴρ ὡς δημιουργὸς καὶ τοῖς ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενηνεγμένοις οἱονεί τις ἀρχὴ καὶ γένεσις πεφηνώς. Καὶ γοῦν καὶ ἡμεῖς αὐτοὶ δεδιδάγμεθα, φησί, κατονομάζειν οὕτω τὸν Θεὸν καὶ ἀγορεύειν ἐν προσευχαῖς· «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς».

Α. Εἶτα, ὦ βέλτιστοι, φαῖμεν ἂν πρὸς τοῦτο αὐτοῖς, πότερα καλεῖν κεκελεύσμεθα Πατέρα τὸν Θεὸν ὡς εἰς τὸ τῶν ποιημάτων τελοῦντες γένος, ἢ ὅτι τῇ τῆς υἱοθεσίας δόξῃ κατεστέμμεθα καὶ κατελογίσθημεν ἐν τέκνοις;

Β. Ὡς ποιήματα μὲν διὰ τὴν φύσιν, υἱοὶ δὲ διὰ τὴν χάριν.

Α. Ἀλλ' ἔνθαπερ ἂν ὀνομάζοιτο πατήρ, καὶ μὴν καὶ υἱός, μὴ συνεισβαλλέτω τὸ ποιηθέν, μήτε μὴν ὁ τοῦ πεποιῆσθαι λόγος παρεισκεκριμένος ὁράσθω τέως, ἐπεί τοι πατρὶ μὲν ἡ σχέσις πρὸς υἱόν, υἱῷ δὲ αὖ πρὸς πατέρα, μεσολαβοῦντος οὐδενός, καθάπερ ἀμέλει καὶ ποιητῇ πρὸς ποίημα καὶ ποιήματι πρὸς ποιητήν. Εἰ δὴ οὖν τὸ ἑκάστῳ πρέπον ἀφαιρήσομεν, καὶ τὴν τῶν καλουμένων πρός τι δύναμιν ἀτέχνως ἀτιμάζοντες, πρὸς πατέρα μὲν τῷ πεποιημένῳ, υἱῷ δὲ πρὸς ποιητὴν τὴν ἐκ τῶν σημαινομένων σχετικὴν δύναμιν ἀπονέμοντες ἁλωσόμεθα, πῶς οὐκ ἂν ἐντεῦθεν καὶ μάλα εἰκότως τὸν ἐπὶ ταῖς ἀνωτάτω φρενοβλαβείαις ὀφλήσαιμεν γέλωτα;

Β. Ὡς υἱοὶ Πατέρα καλέσομεν τὸν Θεόν· φληνάφων γὰρ οἶμαι τὸ διατείνεσθαι περιττά.

Α. Ἀλλ' οὔτε πατὴρ εἴη ἂν κατά γε τὸ ἀληθές, οὔτε μὴν υἱός,

---

18. Ματθ. 6, 9.

γεννήτορα καὶ γεννημένον; Γιατὶ δὲν παραδεχόμαστε ἁπλῆ καὶ παραφθαρμένη, σ᾽ αὐτὰ ἐδῶ προπάντων, τὴ σημασία τῶν ὀνομάτων· ἀντίθετα μάλιστα. Θά ἔλεγα ὅμως δικαιολογημένα, ὅτι ὡς ἀκριβῆ καὶ ἀναγκαία, ἐφόσον βέβαια εἶναι ἀληθινὴ ἡ πίστη μας, δὲν κάναμε λάθος στὴν πραγματικὴ θεογνωσία, ποὺ βαπτισθήκαμε στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Β. Σωστὰ τὰ λές· θὰ ρωτοῦσα ὅμως νὰ μάθω καὶ γιὰ ἐκεῖνο ποὺ λένε, ὅτι Πατέρας ὀνομάζεται ὡς δημιουργὸς καὶ ἐπειδὴ κατὰ κάποιο τρόπο ἔγινε ἀρχὴ καὶ δημιουργία γιὰ ἐκεῖνα ποὺ ἦρθαν στὴν ὕπαρξη ἀπὸ τὸ μηδέν. Ἄλλωστε καὶ ἐμεῖς οἱ ἴδιοι διδαχθήκαμε, λέγει, νὰ ὀνομάζουμε ἔτσι τὸν Θεὸ καὶ νὰ τὸν προσαγορεύουμε στὶς προσευχές μας· «Πατέρα μας, οὐράνιε»[18].

Α. Καὶ ἔπειτα, φίλοι, θὰ λέγαμε σχετικὰ μὲ αὐτὸ σ᾽ αὐτούς· γιὰ ποιὸ ἀπὸ τὰ δύο ἐλάβαμε ἐντολὴ νὰ ἀποκαλοῦμε τὸν Θεὸ Πατέρα· ὡς γένος ποὺ ἀνήκομε στὴν τάξη τῶν δημιουργημάτων, ἢ ἐπειδὴ ἔχουμε στεφανωθεῖ μὲ τὴ δόξα τῆς υἱοθεσίας καὶ ὑπολογιζόμαστε παιδιά του;

Β. Ὡς δημιουργήματα ἐξαιτίας τῆς φύσεώς μας καὶ ὡς υἱοί του κατὰ χάρη.

Α. Ὅμως ἐκεῖ ὅπου ὀνομάζεται Πατέρας, ἀλλὰ καὶ Υἱός, νὰ μὴ ἀναφέρεται συγχρόνως καὶ τὸ ʽποιηθέν᾽, οὔτε βέβαια ὁ λόγος γιά τὸν ὁποῖο ἔγινε νὰ φαίνεται ὅτι παρεισφρύει ταυτοχρόνως, ἐπειδὴ ἡ σχέση πρὸς τὸν Υἱὸ ἀναφέρεται στὸν Πατέρα, καὶ στὸν Υἱὸ ἡ σχέση πρὸς τὸν Πατέρα, χωρὶς νὰ μεσολαβεῖ τίποτε, ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τὴ σχέση τοῦ δημιουργήματος πρὸς τὸν δημιουργό, καὶ τὴ σχέση τοῦ δημιουργοῦ πρὸς τὸ δημιούργημα. Ἐάν λοιπὸν ἀφαιρέσουμε ἀπὸ τὸν καθένα αὐτὸ ποὺ τοῦ ταιριάζει, καὶ ἀτιμάζοντας ἀπὸ ἀμάθεια τὴ σχέση αὐτῶν ποὺ ἀποκαλοῦμε πρὸς κάτι, καὶ συλληφθοῦμε νὰ ἀποδίδουμε στὸ δημιούργημα τὴ σχέση πρὸς τὸν Πατέρα, καὶ στὸν Υἱὸ τὴ σχέση πρὸς τὸν Δημιουργό, πῶς δὲν θὰ γίνουμε, καὶ πολὺ δίκαια μάλιστα, καταγέλαστοι ὡς πάσχοντες ἀπὸ τὴν πιὸ μεγάλη φρενοβλάβεια;

Β. Ὡς υἱοὶ πρέπει νὰ ἀποκαλοῦμε τὸν Θεὸ Πατέρα· γιατὶ νομίζω ὅτι τὸ νὰ ὑποστηρίζουν ἄλλα περιττὰ ταιριάζει στοὺς φλύαρους.

Α. Στὴν πραγματικότητα ὅμως δὲν μπορεῖ κάποιος νὰ εἶναι οὔτε

εἰ μή τις νοοῖτο γεγεννηκὼς καὶ γεγεννημένος.

Β. Ὀρθῶς ἔφης. Κεκλήσθω δὴ οὖν, φασί, Πατὴρ ὁ Θεός, εἰ βούλει, τρόπῳ καταχρηστικῷ.

Α. Πόθεν, ὦ τᾶν, τὴν ἐπωνυμίαν εὑράμενος, εἴπερ ἐστὶν αὐτὸς κατὰ φύσιν οὐ Πατήρ; Ἢ τάχα που παρ᾽ ἡμῶν ἐροῦσι τῶν φύσει τε καὶ ἀληθείᾳ πατέρων;

Β. Εὖ ἴσθι τοι καὶ τοῦτο ἐροῦντας.

Α. Ποῖ δὴ οὖν ἄρα θήσομεν τὸν μακάριον Παῦλον, οὐχ ἡμῖν ἀπονέμοντα τῆς πατρότητος τὴν ἀρχήν, ἀλλ᾽ οὐδὲ ἑτέρῳ τινὶ τῶν κτισμάτων, ἀφιεροῦντα δὲ ὥσπερ καὶ ἀναθέντα μόνῳ τῷ γε ἀληθῶς Θεῷ καὶ πρώτῳ Πατρί, γεγραφότος δὲ ἡμῖν ἐπαΐοι τις ἄν· «Ἐξ οὗ πᾶσα πατριὰ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται». Ἀπόκριναι γάρ, ὦ Ἑρμεία, διαγυμνάσεις δὲ οὕτως ἡμῖν τὸν λόγον, εἰ ἑλοίμην ἀναμαθεῖν, ἆρ᾽ ἐν χρόνῳ γέγονεν ἀγέννητος ὁ Θεός, τοῦτο οὐκ ὢν ἐν ἀρχαῖς, ἢ γοῦν ἅμα νοεῖται Θεὸς καὶ ἦν ἀγεννήτως;

Β. Ἀγεννήτως ἦν· τὸ γὰρ ἕτερόν τι παρὰ τοῦτο φάναι πῶς οὐκ ἀβέλτερον κομιδῇ;

Α. Τῆς τοῦ ἀγεννήτου φωνῆς τὸ μὴ γεγεννῆσθαι δηλούσης, ἢ πῶς;

Β. Τὸ μὴ γεννηθῆναι δηλονότι.

Α. Τί γὰρ ὅλως ἔδει τὸν ἀνάρχως ὄντα Θεὸν ὁρᾶσθαι τοιοῦτον; Ἢ ποίαν ἂν αὐτῷ καὶ τὴν κατὰ τίνων διαστολὴν προσεποίησεν ἡ λέξις, ἤγουν ἡ φύσις, εἴπερ αὐτοῦ φύσις ἐστὶ τὸ ἀγέννητον, οὐδενός πω τῶν γεννητῶν γεγονότος ἢ συνυπάρχοντος, εἴπερ οὐκ εἶναί φασι γεννήτορα τοῦ Υἱοῦ τὸν Πατέρα; Πρὸς τί γὰρ ἀγέννητος, τῆς τῶν γεννητῶν οὐσίας οὔπω τὸ σύμπαν εἰσκεκριμένης; Οὐ γὰρ δή που φαῖεν ἄν, ὥς γέ μοι φαίνηται, συνάναρχά τε καὶ συναΐδια τῷ ἀγεννήτῳ Θεῷ τὰ γεννητῶς ἐκτισμένα. Καὶ εἴπερ ἦν ἀγέννητος ἀεὶ Πατὴρ ὢν ὁ Θεός, ὑφεστάναι δὴ πάντως ἀνάγκη λέγειν καὶ τὸν δι᾽ ὃν ἦν ἀγέννητος, τουτέστι τὸν γεννητῶς ὄντα Υἱόν, οὗ τὴν εἰκόνα καταπλουτήσαντες καὶ διὰ τῆς κατ᾽ εὐσέβειαν ἀρετῆς λαχόντες τὴν μόρφωσιν, Πατέρα καλοῦμεν τὸν

---

19. Ἐφ. 3, 15.

Πατέρας, οὔτε Υἱός, ἐὰν δὲν νοηθεῖ ὅτι ἔχει γεννήσει καὶ ὅτι εἶναι γεννημένος.

Β. Σωστὰ μίλησες. Ἂς ὀνομάζεται λοιπόν, λέγει, ἐὰν θέλεις, ὁ Θεὸς Πατέρας, κατὰ τρόπο καταχρηστικό.

Α. Ἀπὸ ποῦ, φίλε, βρῆκες τὴν ὀνομασία, ἐὰν αὐτὸς δὲν εἶναι κατὰ φύση Πατέρας; Ἢ μήπως τὸν ὀνομάζουν κατ᾽ ἀναλογία πρὸς ἐμᾶς ποὺ εἴμαστε φυσικοὶ καὶ ἀληθινοὶ πατέρες;

Β. Γνώριζε καλὰ ὅτι καὶ αὐτὸ θὰ τὸ ποῦν.

Α. Τότε ὅμως ποῦ θὰ βάλουμε τὸν μακάριο Παῦλο, ὁ ὁποῖος δὲν ἀποδίδει σὲ μᾶς τὴν ἀρχὴ τῆς πατρότητας, οὔτε καὶ σὲ κανένα ἄλλο ἀπὸ τὰ κτίσματα, ἀλλὰ κατὰ κάποιο τρόπο τὸ ἀφιερώνει καὶ τὸ ἀποδίδει στὸν ἀληθινὸ Θεὸ καὶ πρῶτον Πατέρα· γιατὶ ὁ καθένας γνωρίζει ὅτι γράφει σὲ μᾶς· «Ἀπὸ τὸν ὁποῖο κάθε γένος στὸν οὐρανὸ καὶ στὴ γῆ παίρνει τὸ ὄνομά του»[19]. Ἀπάντησε, Ἑρμεία· γιατὶ θὰ μᾶς ἀποκαλύψεις ἔτσι τὸν λόγο, ἂν θελήσω νὰ μάθω, ἄραγε ὁ Θεὸς ἔγινε ἀγέννητος κατὰ τὴ διάρκεια τοῦ χρόνου, ἐνῶ δὲν ἦταν ἀγέννητος στὴν ἀρχή, ἢ ἀπὸ τὴ στιγμὴ ποὺ νοεῖται Θεός, ἦταν καὶ ἀγέννητος;

Β. Ὑπῆρχε χωρὶς νὰ ἔχει γεννηθεῖ· γιατὶ τὸ νὰ λέμε κάτι ἄλλο ἐκτὸς ἀπὸ αὐτὸ πῶς δὲν εἶναι μεγάλη βλακεία;

Α. Ἐπειδὴ τὸ ὄνομα τοῦ ἀγεννήτου σημαίνει ὅτι δὲν ἔχει γεννηθεῖ, ἢ πῶς ἀλλιῶς;

Β. Ναί, ἐπειδὴ δὲν γεννήθηκε.

Α. Γιατί δηλαδὴ ἔπρεπε γενικὰ ὁ Θεός, ποὺ ὑπάρχει χωρὶς ἀρχή, νὰ φαίνεται τέτοιος; Ἢ ποιὰ διαφοροποίηση καὶ ἐναντίον ποιῶν τοῦ πρόσθετε ἡ λέξη αὐτή, δηλαδὴ ἡ φύση, ἐφόσον τὸ ἀγέννητο εἶναι φύση του, ἀφοῦ κανένα ἀπὸ τὰ δημιουργήματα δὲν εἶχε γίνει τότε, οὔτε ὑπῆρχε μαζί του, ἐφόσον βέβαια λένε ὅτι ὁ Πατέρας δὲν γέννησε τὸν Υἱό; Γιὰ ποιὸ λόγο λεγόταν ἀγέννητος, ἀφοῦ ἡ οὐσία τῶν γεννημένων δὲν εἶχε γενικὰ εἰσαχθεῖ; Γιατὶ δὲν μποροῦν νὰ ποῦν, ὅτι λεγόταν ἀγέννητος, γιὰ νὰ μὴ θεωροῦνται συνάναρχα καὶ συναιώνια μὲ τὸν ἀγέννητο Θεὸ αὐτὰ ποὺ ἔγιναν μὲ γέννηση. Καὶ ἐφόσον ἦταν πάντοτε ἀγέννητος, ὄντας Πατέρας, ὁ Θεός, πρέπει ὁπωσδήποτε νὰ ποῦμε, ὅτι ὑπῆρχε καὶ αὐτὸς γιὰ τὸν ὁποῖο ἦταν ἀγέννητος, δηλαδὴ ὁ Υἱὸς ποὺ ἦταν γεννητός, τοῦ ὁποίου τὴν εἰκόνα ἀποκτώντας την καὶ ἐμεῖς καὶ κληρονομώντας μὲ τὴ σύμφωνη πρὸς τὴν εὐσέβεια

*Θεὸν καὶ ἡμεῖς αὐτοί, καθ' ὁμοίωσιν τοῦ ἀνωτάτω τε καὶ πρώτου Πατρὸς πατέρες ὠνομασμένοι. Πρεσβύτερα γὰρ ἀεὶ τῶν εἰκόνων τὰ ἀρχέτυπα.*

*Β. Καὶ τί τὸ ἀπεῖργον τοὺς δι' ἐναντίας Πατέρα κεκλῆσθαι λέγειν καταχρηστικῶς τὸν Θεόν, ἐπείπερ ὅλως ἐσμὲν ἡμεῖς κατὰ φύσιν πατέρες, κεκλημένος δὲ Πατὴρ ὡς τοῖς γεγονόσιν αἴτιος εἰς τὸ εἶναι καὶ ὑπάρχειν, ἔχει τὸ ἀγέννητον εἰς οὐσίας δύναμιν;*

*Α. Ἀλλὰ μεμαρτύρηκεν ἡμῖν ἀληθὴς ὢν ὁ Παῦλος ὡς διήκει παρ' ἐκείνου τὸ τῆς πατρότητος ὄνομα κατὰ παντὸς ποιήματος λογικοῦ κατ' εἰκόνα καὶ μίμησιν τοῦ πρώτου δεικνύοντος ἐναργῶς τοῦθ' ὅπερ ἐστὶ καὶ ἐν ἡμῖν αὐτοῖς. Ἔφη δὲ οὐδαμῶς ὅτι καὶ πᾶσα ἀγεννησία παρ' αὐτοῦ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς, ἢ χρῆν ὅλως γεννηθῆναι μηδέν, ἵνα καὶ ἐνσημαίνοιτο τοῖς πεποιημένοις ἡ τοῦ ἀγεννήτου εἰκών Τὸ γὰρ δὴ μάλιστα κατακαλλύνειν εἰδὸς τὴν κτίσιν ἡ πρὸς τὸ πάντων ἐστὶν ἀνωτάτω συμμορφία τε καὶ ἐμφέρεια.*

*Β. Ἀναιρήσομεν οὖν τὴν κτίσιν, ἀποσυλῶντες αὐτῆς τὴν γέννησιν, ἵνα διαπλάττοιτο πρὸς τὸ ἀγεννήτως ἔχον;*

*Α. Οὐ τοῦτό φημι, νοημάτων δὲ τῶν ἐντεῦθεν τὴν ἀτοπίαν ᾠήθην ἔγωγε παραδεῖξαι δεῖν, ὧν ὅτι προσῆκεν ἀποφοιτᾶν ἰέναι τε ὡς ἀπωτάτω σοφὸς ἡμᾶς ἀναπείθει λόγος· «Σεαυτὸν ἁγνὸν τήρει», καὶ τό· «Μὴ χρῆναι κοινωνεῖν ταῖς ἑτέρων ἁμαρτίαις», εὖ μάλα παραφωνῶν. Καίτοι γὰρ δέον ἡμᾶς ἀπρὶξ ἠρτῆσθαι φιλεῖν τῆς τῶν ἁγίων Πατέρων ἀδιαβλήτου δόξης, τί τοῖς ἀλλοτρίοις ἐφήδεσθαι χρὴ καὶ ἀγρίας οὕτω μετασχεῖν φρενός; Ἀγρία γὰρ φρὴν ἡ τῆς τοῦ Υἱοῦ καθυλακτοῦσα δόξης, καὶ «λαλοῦσα κατὰ τοῦ Θεοῦ ἀδικίαν», κατὰ τὸ γεγραμμένον. Ἐδόκει γάρ, οἶμαι, καὶ μάλα ὀρθῶς τοῖς διαβοήτοις ἐκείνοις ἀνδράσιν, οἳ τῶν τοῦ Σωτῆρος ἡμῶν μυστηρίων ταμίαι γεγόνασιν, εὖνοι τε καὶ δοκιμώτατοι, οὐσίαν μὲν οὐδαμῶς τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἀγέννητον, φωνὴν δὲ εἶναι μόνον τοῖς ἀκροωμένοις τὸ μὴ γεννηθῆναι κατασημαίνουσαν. Ὃ δὴ καὶ ἐνεῖναί φαμεν τῷ λόγῳ τῷ περί γε τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός, οὐκ αὐτόχρημα εἶναι τὴν Θεοῦ οὐσίαν. Ἔστι γὰρ δὴ τοῖς ἐθέλουσιν ἀνασκοπουμένοις ὁρᾶν ὡς ἁπάντων ἡμῖν τῶν ὄντων ἢ καὶ ἐν μόναις ὄντων ὑποψίαις τοῦ εἶναι καὶ*

---

20. Α' Τιμ. 5, 22. 21. Ὁπ. π. 22. Ψαλμ. 74, 6.

ἀρετή μας τὴ μορφή του, ἀποκαλοῦμε καὶ ἐμεῖς Πατέρα τὸν Θεό, ὀνομάζοντάς τον ἔτσι ὅμοια πρὸς τὸν ἀνώτατο καὶ πρῶτο Πατέρα. Γιατὶ τὰ πρωτότυπα εἶναι πάντοτε μεγαλύτερα ἀπὸ τὶς εἰκόνες.

Β. Καὶ τί ἐμποδίζει τοὺς ἀντίθετους νὰ λένε ὅτι ὁ Θεὸς ὀνομάζεται καταχρηστικὰ Πατέρας, ἀφοῦ καὶ ὅλοι ἐμεῖς εἴμαστε κατὰ φύση πατέρες, καὶ ὀνομαζόμενος Πατέρας ὡς αἴτιος τῆς δημιουργίας τῶν κτισμάτων, ἔχει τὸ ἀγέννητο ὡς ὁρισμὸ τῆς οὐσίας του;

Α. Ἀλλὰ μᾶς βεβαίωσε ὁ Παῦλος λέγοντας τὴν ἀλήθεια, ὅτι τὸ ὄνομα τῆς πατρότητας ἀπὸ ἐκεῖνον περνάει σὲ κάθε λογικὸ κτίσμα, τὸ ὁποῖο κατὰ μίμηση τοῦ πρώτου (πατέρα) δείχνει καθαρὰ αὐτὸ ποὺ ὑπάρχει καὶ σὲ μᾶς τοὺς ἴδιους. Καὶ δὲν εἶπε κατὰ κανένα τρόπον, ὅτι καὶ κάθε ἀγέννητο στὸν οὐρανὸ καὶ στὴ γῆ ἔχει τὸ ὄνομά του ἀπὸ αὐτόν, ἢ ὅτι ἔπρεπε νὰ μὴ γεννηθεῖ γενικὰ τίποτε, γιὰ νὰ ἀποτυπωθεῖ στὰ κτίσματα ἡ εἰκόνα τοῦ ἀγεννήτου. Γιατὶ ἐκεῖνο ποὺ γνωρίζει νὰ ἐξωραΐζει τὴν κτίση εἶναι ἡ συμμορφία καὶ ὁμοιότητα πρὸς τὸ ἀνώτερο ἀπὸ ὅλα ὄν.

Β. Θὰ ἀνασκευάσουμε λοιπὸν τὴν κτίση, ἁρπάζοντας της τὴ γέννηση, γιὰ νὰ πάρει τὴ μορφὴ τοῦ ἀγεννήτου;

Α. Δὲν λέγω αὐτό, ἀλλὰ νόμισα ὅτι ἔπρεπε ἐγὼ νὰ ἀποδείξω τὸν παραλογισμὸ τῶν συλλογισμῶν αὐτῶν, ἀπὸ τοὺς ὁποίους, ὅτι πρέπει, κόβοντας κάθε σχέση, νὰ φύγουμε ὅσο γίνεται μακριά, μᾶς καταπείθει σοφὸς λόγος, φωνάζοντας δυνατά· «Νὰ διατηρεῖς τὸν ἑαυτό σου ἁγνόν»[20], καί· «Δὲν πρέπει νὰ συμμετέχεις σὲ ξένες ἁμαρτίες»[21]. Ἐνῶ δηλαδὴ πρέπει νὰ προτιμᾶμε νὰ εἴμαστε στενὰ προσκολλημένοι στὴν ἀδιάβλητη δόξα τῶν ἁγίων Πατέρων, γιατί θὰ πρέπει νὰ εὐχαριστούμαστε συμμετέχοντας στὴν ξένη καὶ τόσο ἄγρια διάνοια; Γιατὶ εἶναι ἄγρια ἡ διάνοια ποὺ γαυγίζει ἐναντίον τῆς δόξης τοῦ Υἱοῦ, καὶ μιλάει ἄδικα γιὰ τὸν Θεό, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ[22]. Γιατὶ νομίζω πὼς οἱ περιβόητοι ἐκεῖνοι ἄνδρες, οἱ φιλικοὶ καὶ δοκιμασμένοι, πίστευαν πολὺ σωστά, ὅτι τὸ ἀγέννητο δὲν εἶναι οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, ἀλλὰ μόνο λέξη ποὺ σ' αὐτοὺς ποὺ τὴν ἀκοῦν σημαίνει ὅτι δὲν γεννήθηκε. Αὐτὸ λοιπὸν λέμε ὅτι ὑπάρχει στὴ συζήτηση γιὰ τὴν ὑπόσταση τοῦ Θεοῦ καὶ Πατέρα, καὶ δὲν εἶναι πραγματικὰ ἡ οὐσία τοῦ Θεοῦ. Γιατί, γι' αὐτοὺς ποὺ θέλουν νὰ ἐξετάσουν τὸ θέμα σωστά, εἶναι δυνατὸ νὰ δοῦν, ὅτι ἀπὸ ὅλα ὅσα ὑπάρχουν, ἢ καὶ ἁπλῶς

*μονονουχὶ τὸ τῆς ὑπάρξεως πλαττομένων σχῆμα, τὰ μὲν ὥσπερ ἐν ἰδίαις ἕδραις ἐστὶ καὶ μὴν καὶ τὸ εἶναι τοῦθ' ὅπερ ἐστὶν ἐνυποστάτως διεκληρώσατο, τὰ δὲ ὧδε μὲν οὐκ ἔχει ποθέν, ἔξεδρα δὲ μᾶλλόν ἐστι, καὶ ἐν ἰδίαις μὲν οὐκ ἐρηρεισμένα φύσεσι, τὰς δέ γε τῶν ὄντων οὐσίας περιπετώμενα, καὶ διὰ τοῦ συμβῆναι δύνασθαι τῷ δεῖνι τυχὸν ἢ φέρε εἰπεῖν τῷ δεῖνι, μονονουχὶ καὶ συνυφεστάναι τοῖς ἔχουσι δοκεῖ, ἰδίαν δὲ ὥσπερ φύσιν τὴν ἀλλοτρίαν ψεύδεται.*

*B. Πῶς λέγεις;*

*A. Οὐ γὰρ δὴ 'διαμεμνήσῃ πεπονηκότος ἡμῖν τοῦ λόγου καὶ ὡς ἔνι καλῶς ἀποδεδειχότος ὅτι τὰ ἐν τάξει τῶν συμβεβηκότων, ἢ καὶ ἐνόντων ἁπλῶς κατηριθμημένα, ἥκιστα μέν σφίσιν αὐτοῖς, ἑτέροις δὲ μᾶλλον ἐνυπάρχοντα καταθρήσαι τις ἄν, καὶ δοκεῖ μὲν εἶναί τι καθ' ἑαυτὰ καὶ λέγεσθαι, φύσιν δὲ τὴν τοῦ λαχόντος ὡς ἰδίαν ἔχει. Οὐ γὰρ αὐτό τι καθ' ἑαυτὸ καὶ ἐνυποστάτως ὑπάρχον τὸ γεννητὸν καὶ ἀγέννητον, μόνην ἡμῖν τὴν τοῦ γεγεννῆσθαι δήλωσιν, ἢ γοῦν τοῦ μὴ γεγεννῆσθαι τυχόν, εἰσφέροντα.*

*B. Εὖ λέγεις.*

*A. Καταλογιστέον δὴ οὖν τὴν ἀγεννησίαν, ὡς ἐνυπαρχοῦσαν τῷ λόγῳ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός, καὶ αὐτῆς μέν, οὐκ αὐτὴν δὲ εἶναι θετέον. 'Ανασκόπει γὰρ ὧδε τὴν ἀτοπίαν, εἰ δοκεῖ. Εἰ γὰρ δὴ κατὰ τὸ ἀληθὲς οὐσίαν εἶναί φασι τὸ ἀγέννητον, μυρία δὲ ὅσα τῶν ὄντων ὑπάρχειν γεννητῶς, τί τὸ ἀπεῖργον ἔτι παρανοοῦντας εἰπεῖν μηδὲ ὑφεστάναι τῶν ὄντων τινά, καίτοι τὸ εἶναι λαχόντα γεννητῶς, εἴπερ ἕκαστον ἀποδραμεῖταί τε καὶ ἐξολισθήσειεν ἂν τοῦ εἶναι οὐσία, μὴ ὂν ἀγέννητον;*

*B. 'Εξολισθήσειεν ἄν, πῶς γὰρ οὔ;*

*A. Πῶς δὲ οὐχὶ κἀκεῖνο φράζειν αὐτοῖς τῶν ὅτι δὴ μάλιστα πρεπωδεστάτων; Εἰ γὰρ οὐσίαν τοῦ Θεοῦ καὶ Πατρὸς καταλογιοῦνται τὸ ἀγέννητον, ταύτην δὲ ὥσπερ ἰδίαν ἀπετέμετο φύσιν,*

ἀποτελοῦν ὑποψίες ὄντων, καὶ ἔχουν κατὰ κάποιο τρόπο τὴ μορφὴ ὕπαρξης, ἄλλα ὑπάρχουν σὲ ἰδιαίτερες φύσεις, καὶ βέβαια ἔχουν αὐτὸ ποὺ εἶναι ἐνυπόστατο, ἄλλα πάλι δὲν εἶναι ἔτσι, μὲ κανένα τρόπο· εἶναι παράδοξα καὶ δὲν εἶναι στηριγμένα σὲ ἰδιαίτερες φύσεις, ἀλλ' ἐπειδὴ πετοῦν γύρω ἀπὸ τὶς οὐσίες τῶν ὄντων, καὶ μὲ τὸ νὰ μποροῦν νὰ ταιριάζουν μὲ τὸ ἕνα, λόγου χάρη, ἢ μὲ τὸ ἄλλο, φαίνεται κατὰ κάποιο τρόπο νὰ συνυπάρχουν μὲ αὐτὰ ποὺ τὰ ἔχουν, καὶ παρουσιάζουν ψευδῶς τὴν ξένη φύση σὰν νὰ εἶναι δική τους.

Β. Πῶς τὸ ἐννοεῖς αὐτό;

Α. Γιατὶ ἀσφαλῶς δὲν θὰ θυμᾶσαι, ἐπειδὴ μᾶς κούρασε ἡ συζήτηση, ἡ ὁποία ἀπέδειξε ὅσο ἦταν δυνατὸ καλά, ὅτι αὐτὰ ποὺ συγκαταλέγονται στὴν κατηγορία τῶν τυχαίων καὶ δευτερευόντων γνωρισμάτων τῶν ὄντων, ἢ καὶ ποὺ ὑπάρχουν γενικά, θὰ μποροῦσε νὰ παρατηρήσει κανείς, ὅτι πολὺ λίγο ὑπάρχουν αὐτὰ καθεαυτὰ αὐτοτελῶς, ἐνῶ τὶς περισσότερες φορὲς ὑπάρχουν μέσα σὲ ἄλλα ὄντα· καὶ φαίνονται βέβαια ὅτι ὑπάρχουν καθεαυτὰ καὶ λέγονται ἔτσι, ἀλλ' ἔχουν σὰν δική τους τὴ φύση τοῦ ὄντος στὸ ὁποῖο ἔτυχε νὰ βρίσκονται. Γιατὶ τὸ γεννητὸ καὶ τὸ ἀγέννητο δὲν εἶναι ἀπὸ αὐτὰ ποὺ ὑπάρχουν καθεαυτὰ καὶ μὲ δική τους ὑπόσταση, ἀλλὰ μόνο ἁπλῶς μᾶς φανερώνουν ὅτι ἐνδεχομένως γεννήθηκαν ἢ δὲν γεννήθηκαν.

Β. Καλὰ τὸ λές.

Α. Πρέπει λοιπὸν νὰ θεωροῦμε, ὅτι ἡ ἀγεννησία ὑπάρχει μέσα στὸν Λόγο τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατέρα, καὶ νὰ δεχόμαστε ὅτι ἀνήκει σ' αὐτὴν (τὴν ὑπόσταση τοῦ Θεοῦ), καὶ δὲν εἶναι ἡ ἴδια ἡ ὑπόσταση του. Πρόσεχε δηλαδή, ἂν θέλεις, τὸν παραλογισμὸ ποὺ ὑπάρχει ἐδῶ. Ἐὰν πραγματικὰ λένε ὅτι τὸ ἀγέννητο εἶναι οὐσία, καὶ ὅτι μύρια ὅσα ἀπὸ τὰ ὄντα ἔχουν γεννηθεῖ, τί τοὺς ἐμποδίζει, παραφρονώντας καὶ ἄλλο, νὰ ποῦν ὅτι κάποια ἀπὸ τὰ ὄντα οὔτε κἂν ὑπάρχουν, ἂν καὶ ἔχουν τὴν ὕπαρξή τους μὲ γέννηση, ἐπειδὴ τὸ καθένα ἀπὸ αὐτὰ θὰ μποροῦσε νὰ τρέξει καὶ νὰ ξεφύγει ἀπὸ τοῦ νὰ εἶναι οὐσία, ἀφοῦ δὲν εἶναι ἀγέννητο;

Β. Φυσικὰ θὰ μποροῦσε νὰ ξεφύγει· πῶς δηλαδὴ ὄχι;

Α. Καὶ πῶς νὰ μὴ ποῦμε σ' αὐτοὺς καὶ ἐκεῖνο ἀπὸ τὰ πλέον ταιριαστά; Ἐὰν δηλαδὴ θεωροῦν τὸ ἀγέννητο ὡς οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, καὶ αὐτὴν (τὴν οὐσία) τὴ διαχωρίζει σὰν ἰδιαίτερη φύση,

τῶν ἄλλων εἰσάπαν ἀνῳκισμένην, ὑπερούσιος ὢν καὶ πάντων ἐπέκεινα Θεός, γεννητῶς εἶναι τὰ λοιπὰ διανοεῖσθαι χρὴ καὶ ἐν ἰδίᾳ τινὶ κεῖσθαι φύσει, οὐδὲν ἐχούσῃ κοινὸν φυσικῶς πρὸς ἐκείνην. Γεννητῷ γὰρ πρὸς ἀγέννητον, τίς ἂν γένοιτο καὶ ποῖος ὁ λόγος, τό γε ἧκον εἰς ποιότητα, δῆλον δὲ ὅτι τὴν κατ' οὐσίαν; Εἶτα τί φαῖεν ἂν οἱ πρὸς πᾶν ὁτιοῦν εὔκολοι τῶν κακῶν, τὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἴδια καὶ ἐν τῷ γεννήματι βλέποντες, τουτέστι τῷ Υἱῷ; Ζωὴ μὲν γὰρ καὶ φῶς καὶ Θεὸς ἀληθινὸς ὁ Πατήρ· ἀλλ' ἔστι ταῦτα καὶ ὁ Υἱός, οὐ μεθεκτῶς ἢ παρηλλαγμένως, ἀλλ' οὐσιωδῶς καὶ ἐν ἴσῳ τρόπῳ. Ἆρ' οὖν αἰσθάνῃ λοιπὸν ὅτι τὰ τῆς θεότητος ἴδια καὶ ἐξαίρετα οὐχὶ λόγῳ τε καὶ τρόπῳ τῷ τῆς ἀγεννησίας πρέποι ἂν μᾶλλον, ἵνα μὴ καὶ ἑτέρων εἶναι φῶμεν, ἃ δίχα γεννήσεως ὄντα τε καὶ ὑφεστηκότα φαίνεται, ἁρμόσαι δ' ἂν μᾶλλον ὡς Θεῷ τῷ Πατρί; Ὧδε γὰρ ἂν διήκοι λοιπὸν ὡς εἰς Υἱόν τε καὶ ἐξ αὐτοῦ, φύσεως οἶμαι νόμῳ, τὸ ἐν οὐσίᾳ ταὐτόν. Ἔστι τοίνυν οὐσία μὲν ἥκιστά γε τοῦ Θεοῦ τὸ ἀγέννητον, σημαντικὸν δέ, ὡς ἔφην, τοῦ μὴ γεγεννῆσθαι μόνον τὸν Πατέρα, καὶ οὐχ ὑφεστηκὸς ἰδικῶς.

Β. Ὀρθῶς ἔχει. Φαῖεν δ' ἂν ἴσως οἱ δι' ἐναντίας· Εἰ γεννητῶς ὄντα τὸν Υἱὸν ἐν ταὐτότητί τε καὶ ὁμοούσιον εἶναι φῄς τῷ Θεῷ καὶ Πατρί, οὐκ ὀκνήσεις ἔτι, κατά γε τὸ εἰκός, ὅτι καὶ ἀεὶ συνυπάρχει νοεῖν, καὶ οὐ δίχα πάθους καὶ ἀπορροῆς, τῆς ἐκ τοῦ τεκεῖν λεγομένου γεγέννηται, καίτοι παντὸς ἡμᾶς ἀναπείθοντος λογισμοῦ τό τινος αἴτιον προϋπάρχειν ἡγεῖσθαι τοῦ αἰτιατοῦ καὶ ὡς ἅπαν τὸ γεννώμενον κατασίνεταί πως τὴν τοῦ τεκόντος φύσιν· πρόεισι γὰρ ὡς μέρος. Παρείσθω δὴ οὖν ἡ φύσει τε καὶ ἀληθείᾳ γέννησις, πάντῃ τε καὶ πάντως τὸ χρῆναι παθεῖν τὴν ἀπορροὴν εἰσκομίζουσα τὴν τοῦ παθεῖν ἀνωτάτω καὶ ἀλώβητον φύσιν.

Α. Εἶτα οὐχὶ τοῦτό ἐστιν ἐναργῶς ὅπερ ἔφην; Οἷς γὰρ ἂν ποιοῖντο λόγοις τὸ ὅτι ἂν βούλωνται νοεῖν καθάπερ τινὰ βαφὴν ἐπιχρωματίζοντες, εἰς ἑτεροίας αὐτοὺς μεθιστᾶσι μορφὰς καὶ πρὸς πᾶν ὁτιοῦν μετακλίνουσιν εὐπετῶς, τὸ οἶμαι δονάκων διενεγκεῖν

ἀπὸ τὴ φύση τῶν ἄλλων ὄντων σὰν τελείως ἀπομακρυσμένη, τότε, ἐφόσον ὁ Θεὸς εἶναι ὑπερούσιος καὶ πέρα ἀπὸ ὅλα τὰ ἄλλα, πρέπει νὰ σκεπτόμαστε ὅτι τὰ ἄλλα εἶναι γεννητά, καὶ ἔχουν κάποια ἰδιαίτερη φύση, ποὺ δὲν ἔχει τίποτε τὸ κοινὸ μὲ ἐκείνην. Γιατὶ ποιὰ καὶ τί εἴδους ἀναλογία μπορεῖ νὰ ὑπάρξει ἀνάμεσα στὸ γεννητὸ καὶ στὸ ἀγέννητο, ὅσον ἀφορᾶ στὴν ποιότητα, δηλαδὴ τὴν οὐσία; Ἔπειτα τί θὰ μποροῦσαν νὰ ποῦν αὐτοί ποὺ εἶναι εὔκολοι σὲ κάθε κακό, βλέποντας τὰ ἰδιαίτερα γνωρίσματα τοῦ Θεοῦ καί Πατέρα καὶ στὸ γέννημά του, δηλαδὴ στὸν Υἱό; Γιατὶ ζωὴ καὶ φῶς καὶ Θεὸς ἀληθινὸς εἶναι ὁ Πατέρας, ἀλλὰ τὰ ἴδια εἶναι καὶ ὁ Υἱός, ὄχι κατὰ συμμετοχή, οὔτε μὲ τρόπο διαφορετικό, ἀλλὰ οὐσιωδῶς καί μὲ τὸν ἴδιο τρόπο. Ἄρα λοιπὸν ἀντιλαμβάνεσαι, ὅτι τὰ ἰδιαίτερα καὶ ἐξαίρετα γνωρίσματα τῆς θεότητας δὲν προσιδιάζουν στὸν λόγο καὶ τὸν τρόπο τῆς ἀγεννησίας, γιά νὰ μὴ ποῦμε ὅτι προσιδιάζουν καὶ σὲ ἄλλα ὄντα, τὰ ὁποῖα φαίνονται νά ὑπάρχουν χωρὶς γέννηση, ἀλλὰ ταιριάζουν μᾶλλον στὸν Πατέρα καὶ Θεό; Ἐδῶ ὅμως νομίζω ὅτι ἐκτείνεται ἀπὸ αὐτὸν καὶ στὸν Υἱό, σύμφωνα μὲ τὸ νόμο τῆς φύσεως, ἡ ταυτότητα τῆς οὐσίας. Ἑπομένως τὸ ἀγέννητο τοῦ Θεοῦ δὲν εἶναι καθόλου οὐσία, ἀλλά, ὅπως εἶπα, σημαίνει μόνον ὅτι ὁ Πατέρας δὲν γεννήθηκε, καὶ ὄχι τὸν ἰδιαίτερο τρόπο ὑπάρξεώς του.

Β. Σωστά. Ἴσως ὅμως νὰ ποῦν οἱ ἀντίθετοι· Ἐάν, ὁ Υἱὸς ποὺ εἶναι γεννημένος, λὲς ὅτι εἶναι ταυτόσημος καὶ ὁμοούσιος μὲ τὸν Θεὸ καὶ Πατέρα, τότε δὲν θὰ διστάσεις, ὅπως εἶναι φυσικό, νὰ πεῖς, ὅτι ὑπάρχει πάντοτε μαζὶ μὲ τὸν Πατέρα, καὶ ὅτι δὲν γεννήθηκε χωρὶς νὰ ὑποστεῖ μεταβολὴ ἢ ἀπορροὴ ἀπὸ τὸν λεγόμενο τοκετό, ἂν καὶ κάθε συλλογισμὸς μᾶς μεταπείθει, ὅτι τὸ αἴτιο κάποιου θεωρεῖται ὅτι προϋπάρχει τοῦ αἰτιατοῦ, καὶ ὅτι κάθε τι ποὺ γεννιέται βλάπτει κατὰ κάποιον τρόπο τὴ φύση ἐκείνου ποὺ τὸ γέννησε· γιατὶ προέρχεται ὡς μέρος ἀπὸ αὐτήν. Ἂς ἐγκαταλειφθεῖ λοιπὸν ἡ φυσικὴ καὶ πραγματικὴ γέννηση, ἡ ὁποία εἰσηγεῖται ὅτι πρέπει ὁπωσδήποτε νὰ ὑποστεῖ ἀπορροὴ ἡ ἀνώτερη ἀπὸ τὸ πάθος καὶ ἀβλαβὴς φύση.

Α. Καὶ λοιπόν· αὐτὸ δὲν εἶναι φανερὰ ἐκεῖνο ποὺ εἶπα; Γιατὶ μὲ τοὺς λόγους ποὺ κάνουν, ἐπιχρωματίζοντάς τους μὲ αὐτὸ ποὺ ἔχουν στὸν νοῦ τους, σὰν μὲ κάποιο χρῶμα, τοὺς μεταθέτουν σὲ ἄλλες μορφὲς καὶ τοὺς μεταστρέφουν εὔκολα σὲ ὁ,τιδήποτε, κάνοντας αὐτό,

*οὐδὲν ἐν σμικρῷ κομιδῇ ποιούμενοι λόγῳ, καίτοι χρῆν δήπου καὶ διαπεπῆχθαι φιλεῖν, καὶ τὸ τοῖς νηπίοις ἐξομοιοῦσθαι δεῖν ὡς ἀχρεῖον ἀπορρίπτειν καὶ τῶν ὅτι μάλιστα κεκιβδηλευμένων Ἐκεῖνά τε γάρ, νοῦ καὶ φρενὸς τῆς ἀρίστης ἔτι τητώμενα, πρὸς πᾶν τὸ κινοῦν ἀπερινοήτως ἵεται· οἱ δὲ τὸ ἧκον εἰς νοῦν ἀβασανίστως ἁρπάζουσι, πάντα τε σαθρὸν καὶ ἄναλκιν ἐκτετιμήκασι λόγον· ἀνδραποδῶδες δὲ οἶμαι τουτί, καὶ νοῦ τὸ ῥέγχειν ἠρρωστηκότος. Ἡμῖν δὲ ὁ Παῦλος· «Ἀδελφοί», φησί, «μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε». Τὸ γάρ τοι φρονεῖν μὲν ἧττον ἢ χρῆν, μεῖον δὲ ἤπερ ἦν εἰκὸς τῆς ἀληθοῦς ἐφικέσθαι γνώσεως, καίτοι τελοῦντας εἰς ἄνδρας, οὐκ ἐφήβους ἔτι καὶ ὀλιγογνώμονας, ἥκοντας δὲ ἤδη πρὸς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἁγιοπρεπὲς μὲν οὔ τί που· δυσαπότριπτον δὲ ὅτι προσοίσει τὸ βλάβος οἷσπερ ἂν ὅλως ἐνιζήσειεν οὐκ ἀμφίβολον.*

*Β. Οὐχ ἑτέρως ἂν ἔχοι, λέγεις γὰρ ὀρθῶς.*

*Α. Βουλει δὴ οὖν ταυτὶ μὲν ἐν τούτοις ὅπωσπερ ἂν εἶεν ὧδε μὲν ἔχειν ἐῶμεν, ἴωμεν δὲ αὖ ταῖς ἐκείνων ἀθυρογλωττίαις ἀντεκκομίσοντες τὴν ἀλήθειαν;*

*Β. Καὶ μάλα. Τοῦτο γάρ που καὶ ἄμεινον.*

*Α. Τὸ αἴτιον τοίνυν καὶ τὸ αἰτιατόν, οὐκ οἶδ᾽ ὅθεν ἡμῖν ἑλόντες τε καὶ ὀνομάζοντες· οὐ γάρ που παρά γε τῆς θείας ἐροῦσι Γραφῆς· τί δὴ ἄρα καὶ φρονεῖν ἐγνώκασι;*

*Β. Καὶ μὴν ἀρτίως ἐπύθου λέγοντος ὡς ἀεί πώς ἐστιν ἐν πρεσβυτέρᾳ νοήσει τε καὶ ὑπάρξει τὸ αἴτιον τοῦ αἰτιατοῦ· καὶ ὅτι τὸ γεννῶν οὐκ ἂν δίχα πάθους καὶ ἀπορροῆς διαγεννήσοι ποτέ. Καὶ ταυτὶ παραφέροντες, ἐν ἐλάττοσι μὲν ἢ ἐν οἷς ὁ Πατὴρ ἀπεφαίνοντο τὸν Υἱόν, ἠξίουν δὲ εἶναι δεύτερον καὶ οἱονεί πως ὀψιγενῆ, καὶ τάχα που καὶ αὐτὴν οὐκ ἀληθῆ τὴν γέννησιν ἀνοσίως ἐπιφημίζοντες, καὶ τὸ ἐκ τῆς οὐσίας συκοφαντοῦσι γνήσιον.*

*Α. Ἀγορευόντων δὴ οὖν ἐρομένοις ἐκεῖνο· αἴτιον τοῦ εἶναι πεπιστεύκασι τῷ Υἱῷ τὸν Πατέρα· πότερα τὴν τοῦ ποιητοῦ τάξιν*

---

23. Α' Κορ. 14, 20. 24. Ρωμ. 12, 3. 25. Ἐφ. 4, 13.

ποὺ δὲν διαφέρει καθόλου ἀπὸ τὰ λεπτὰ καλάμια, μὲ πολὺ μικρὸ λόγο, ἂν καὶ ἔπρεπε ὁπωσδήποτε νὰ προτιμοῦν τὴ σκληρότητα, καὶ νὰ ἀπορρίπτουν ὅ,τι μοιάζει μὲ τὰ νήπια ὡς ἀνώφελο καὶ πολὺ κίβδηλο. Γιατὶ ἐκεῖνα, ἐπειδὴ δὲν ἔχουν ἀκόμα μυαλὸ καὶ ἄριστο λογικό, πηγαίνουν ἀπερίσκεπτα σὲ κάθε τι ποὺ τοὺς κουνάει, καὶ ἐκεῖνοι πάλι ἁρπάζουν ἀβασάνιστα ὅτι τοὺς ἔρχεται στὸν νοῦ, καὶ ἐκτιμοῦν κάθε σαθρὸ καὶ ἀδύνατο λόγο· νομίζω ὅμως ὅτι αὐτὸ εἶναι δουλοπρεπὲς καὶ νοῦ ὁ ὁποῖος ἔχει τὸ πάθος τοῦ ροχαλίσματος. Ἐνῶ σὲ μᾶς ὁ Παῦλος λέγει· «Ἀδελφοί, μὴ γίνεσθε παιδιὰ στὸ μυαλό, ἀλλὰ νὰ εἴσαστε νήπια ὡς πρὸς τὴν κακία, ἐνῶ στὸ μυαλὸ νὰ εἴσαστε τέλειοι»[23]. Γιατὶ τὸ νὰ ἔχετε γιὰ τὸν ἑαυτό σας μικρότερη ἰδέα ἀπὸ ὅτι πρέπει[24], καὶ νὰ ἔχετε φθάσει λιγότερο ἀπὸ ὅσο πρέπει στὴν ἀληθινὴ γνώση, ἂν καὶ εἴσαστε ἄνδρες καὶ ὄχι πιὰ ἔφηβοι καὶ ὀλιγόμυαλοι, ἀλλὰ ἄνδρες ποὺ ἔχετε φθάσει τὸ μέτρο τοῦ τέλειου ἀναστήματος τοῦ Χριστοῦ[25], δὲν εἶναι βέβαια κάτι ποὺ ταιριάζει σὲ ἁγίους, ἀντίθετα χωρὶς ἀμφιβολία ἐπιφέρει βλάβη σὲ ὅσους ἐπικαθήσει, ποὺ εἶναι δύσκολο νὰ καθαρισθεῖ.

Β. Ἔτσι εἶναι, γιατὶ τὰ λὲς πολὺ σωστά.

Α. Θέλεις λοιπὸν αὐτὰ νὰ τὰ ἀφήσουμε ἔτσι ὅπως εἶναι ἐδῶ, καὶ νὰ πᾶμε πάλι στὶς ἀθυροστομίες ἐκείνων, γιὰ νὰ βγάλουμε τὴν ἀλήθεια ἀπὸ αὐτές;

Β. Καὶ βέβαια. Αὐτὸ ἄλλωστε εἶναι καλύτερο.

Α. Τὸ αἴτιο λοιπὸν καὶ τὸ αἰτιατὸ δὲν γνωρίζω ἀπὸ ποῦ τὸ πῆραν καὶ τὸ ἀναφέρουν· ὁπωσδήποτε ὅμως δὲν θὰ ποῦν ἀπὸ τὴν ἁγία Γραφή. Τί πιστεύουν λοιπόν;

Β. Πρόσφατα ρώτησα καὶ ἔμαθα ἀπὸ σένα, ὅτι πάντοτε τὸ αἴτιο εἶναι μεγαλύτερο στὴ σκέψη καὶ στὴν ὕπαρξη ἀπὸ τὸ αἰτιατό, καὶ ὅτι αὐτὸ ποὺ γεννᾶ δὲν γεννάει ποτὲ χωρὶς πάθος καὶ ἀπορροή. Καὶ προβάλλοντας αὐτά, ἀποφαίνονται ὅτι ὁ Υἱὸς εἶναι κατώτερος ἀπὸ τὸν Πατέρα, καὶ ἰσχυρίζονται ὅτι εἶναι δεύτερος, καὶ κατὰ κάποιο τρόπο γεννήθηκε ἀργότερα· διαδίδουν ἀκόμα, κατὰ τρόπο ἀνίερο, ὅτι καὶ ἡ ἴδια ἡ γέννηση δὲν εἶναι ἀληθινή, καὶ συκοφαντοῦν καὶ τὴ γνησιότητα τῆς γεννήσεώς του ἀπὸ τὴν οὐσία τοῦ Πατέρα.

Α. Καθὼς λοιπὸν ἀγορεύουν αὐτά, ἐὰν τοὺς ρωτήσει κανεὶς τὸ ἑξῆς· πιστεύουν ὅτι ὁ Πατέρας εἶναι αἴτιο τοῦ Υἱοῦ· ποιὸ ἀπὸ τὰ δύο,

*ἐπέχοντα καὶ πρὸς τὸ εἶναι διακομίσαντα δημιουργικῶς ἐν ἴσῳ τοῖς κτίσμασιν, ἤγουν ὧδε μὲν οὐχί, συνεροῦσι δὲ ὅτι κατά γε τὸν ἀληθῆ τῆς γεννήσεως τρόπον ἐξ ἰδίας ἡμῖν οὐσίας προϊέντα τὸ γεννώμενον;*

*Β. Ὡς Πατέρα φασίν, ἤτοι δημιουργόν. Ἁπλοῦς γὰρ ὑπάρχων τὴν οὐσίαν ὁ ἀνωτάτω Θεός, ὡς ἂν νοοῖτο κτίζειν, οὕτω καὶ γεννᾶν. Τὸ γάρ τοι τῆς ἐνεργείας οὐ ταὐτοειδὲς συνθήσει που πάντως ἁπλοῦν ὄντα, φησίν.*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστιν ἄνω τε καὶ κάτω διακυκῆσαι τὸ πᾶν, καὶ τὴν τῶν πραγμάτων εὐδιάκριτον φύσιν ἀσυνθέτως κομιδῇ φύρδην ἀναχέαι, καὶ ἃ τῆς ἀλλήλων ποιότητος μακρός τε καὶ ἀκριβὴς ἀπονοσφίζει λόγος, ποταμίοις ἐν ἴσῳ νάμασιν εἰς μισγάγκειαν ἐνεγκεῖν· ἔφη γάρ οὕτω τις τῶν παρ᾽ Ἕλλησι σοφῶν. Ἕτερον γάρ, οἶμαι, τὸ κτίζειν παρὰ τὸ γεννᾶν ἅπας τις οὖν ἡμῖν ἀποφανεῖ λόγος. Οἶμαι δὲ δεῖν μὴ τὸ ἁπλοῦν ἀλόγως προσνέμοντας τῷ Πατρί, πρὸς ἐκτόπους ἐννοίας ὀρθῶς ἔχοντά τε καὶ ἐν καλῷ δόξης ἐρηρεισμένον τὸν ἐπ᾽ αὐτῷ κατασείειν λόγον. Εἰ γὰρ ὡς κτίσει καὶ τέξεται, καὶ ταὐτὸν ἄμφω νοεῖται, διεστάντος οὐδενὸς εἰς διαφορὰν καὶ τὸ ἑτεροίως ἔχειν, καταδείσαιμ᾽ ἂν οὐδαμῶς ἐκεῖνο εἰπεῖν, ὡς ὧνπερ ἂν εἴη δημιουργός, τούτων ἔσται δήπου καὶ πατήρ, καὶ πᾶν τὸ πεποιημένον νοοῖτ᾽ ἂν αὐτοῦ καὶ γέννημα. Τὰ δὲ ὁπόσα τέ ἐστι καὶ ἐν ὁπόσοις εἴδεσι καὶ διαφοραῖς φράσαι μὲν οὐ ῥάδιον, πάρα δ᾽ οὖν ὅμως τοῖς ἐθέλουσιν ἀναμετρεῖν. Οὐδὲν γάρ ἐστι τῶν ὄντων ὃ τὸν τοῦ πεποιῆσθαι διελάσει λόγον. Τελεῖ δὲ ὅτι πάντῃ τε καὶ πάντως ἔν γε τοῖς οὖσι καὶ τὰ ἐν ἐσχάτοις καὶ κατερριμμένα, τίς ὁ καταρνούμενος; Ἁπάντων οὖν ἔσται, καὶ εἰ τῇδε ἔχοι τινά, πατὴρ ὁ Θεός.*

*Β. Καὶ πῶς ἀτοπίας οὐ σφόδρα μεστὸς ὁ λόγος;*

*Α. Δυσσεβείας μὲν οὖν τῆς ἐσχάτης ἐπέκεινα θεῖν φαίην ἂν μᾶλλον, εἰ τὰ εἰκότα λέγεις. Εἰ γάρ, ὡς οἴονται, παρὰ τῷ Θεῷ καὶ Πατρὶ τό τε κτίζειν καὶ τὸ γεννᾶν ἀδιάκριτον ἀληθῶς καὶ οὐχ ἑτεροίως ἔχον, διὰ τὸ ἁπλοῦν ἐν οὐσίᾳ, πρῶτον μὲν εἰκαιόμυθον*

---

26. Ὁμήρου Ἰλιὰς Δ, 452-454:
"Ὡς δ᾽ ὅτε χείμαρρος ποταμοὶ κατ᾽ ὄρεσφι ῥέοντες,
εἰς μισγάγκειαν συμβάλλετον ὄμβριμον ὕδωρ,
κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης".

κατέχοντας τὴ θέση τοῦ δημιουργοῦ καὶ φέρνοντάς τον στὴν ὕπαρξη δημιουργικὰ ἴσον πρὸς τὰ κτίσματα, ἢ ἔτσι βέβαια ὄχι, ἀλλὰ θὰ συνηγορήσουν ὅτι ὁ Υἱὸς προῆλθε ἀπὸ τὴν ἴδια μὲ ἐμᾶς οὐσία, σύμφωνα μὲ τὸν ἀληθινὸ τρόπο γεννήσεως;

Β. Λένε ὅτι τὸν γέννησε ὡς Πατέρας, ἤτοι ὡς δημιουργός. Ἐπειδὴ δηλαδὴ ὁ ἀνώτατος Θεὸς εἶναι ἁπλὸς στὴν οὐσία, ὅπως νοεῖται ὅτι κτίζει, ἔτσι καὶ γεννᾶ. Ἑπομένως, λέγει, ἡ ταυτότητα τῆς ἐνεργειας συνηγορεῖ ὁπωσδήποτε ὅτι εἶναι ἁπλός.

Α. Αὐτὸ ὅμως σημαίνει ὅτι γίνονται ὅλα ἄνω κάτω, καὶ ἡ εὐδιάκριτη φύση τῶν πραγμάτων, ποὺ εἶναι τελείως ἁπλῆ, ἀναμιγνύεται, καὶ αὐτὰ ποὺ ὁ λόγος τῆς μεταξὺ τους ποιότητας τὰ διαχωρίζει μὲ ἀκρίβεια, χύνονται σὰν νερὰ ποταμῶν σὲ βαθειὰ χαράδρα, ὅπως λέγει καὶ κάποιος ἀπὸ τοὺς Ἕλληνες σοφούς[26]. Γιατί, νομίζω, τὸ ὅτι τὸ κτίζειν εἶναι διαφορετικὸ ἀπὸ τὸ γεννᾶν μᾶς τὸ φανερώνει κάθε λόγος. Καὶ νομίζω ὅτι πρέπει, ἀποδίδοντας ἀπερίσκεπτα στὸν Πατέρα τὴν ἁπλότητα, νὰ μὴ κάνουμε νὰ σιωπήσει ὁ λόγος γι᾽ αὐτὸν ποὺ εἶναι σωστὸς ἀπέναντι στὶς ξένες ἀντιλήψεις καὶ στηρίζεται στὴν ἀγαθὴ δόξα. Γιατί, ἐὰν γεννᾶ ὅπως κτίζει, καὶ τὰ δύο αὐτὰ θεωροῦνται ταυτόσημα, χωρὶς νὰ ὑπάρχει κάτι ποὺ νὰ τὰ χωρίζει, ὥστε νὰ διαφέρουν καὶ νὰ εἶναι διαφορετικά, δὲν θὰ φοβόμουν καθόλου νὰ πῶ καὶ αὐτό, ὅτι δηλαδὴ αὐτῶν ποὺ εἶναι δημιουργός, αὐτῶν εἶναι ὁπωσδήποτε καὶ Πατέρας, καὶ ὅτι κάθε τι τὸ δημιουργημένο θὰ μποροῦσε νὰ θεωρηθεῖ καὶ γέννημα αὐτοῦ. Πόσα ὅμως εἶναι αὐτὰ καὶ σὲ πόσα εἴδη καὶ διαφορὲς διακρίνονται, δὲν εἶναι βέβαια εὔκολο νὰ πεῖ κανείς, ἐκτὸς ἀπὸ αὐτοὺς ποὺ θέλουν νὰ τὰ καταμετρήσουν. Γιατὶ δὲν ὑπάρχει κανένα ἀπὸ τὰ ὄντα ποὺ νὰ διαφεύγει τὸ ὄνομα τοῦ δημιουργήματος. Ὅτι ἐπίσης στὰ ὄντα συγκαταλέγονται γενικὰ καὶ ὁπωσδήποτε καὶ τὰ τελευταῖα καὶ παραπεταμένα, ποιὸς τὸ ἀρνεῖται; Ἑπομένως ὁ Θεὸς εἶναι Πατέρας ὅλων, ἔστω καὶ ἂν μερικὰ ἀπὸ αὐτὰ ἔχουν ἔτσι.

Β. Καὶ πῶς ὁ λόγος δὲν εἶναι γεμᾶτος παραλογισμό;

Α. Θὰ ἔλεγα ὅτι τρέχεις πέρα ἀπὸ τὴν ἔσχατη ἀσέβεια, λέγοντας αὐτὰ ποὺ πρέπει. Γιατὶ ἐάν, ὅπως νομίζουν, στὸν Θεὸ καὶ Πατέρα τὸ "κτίζειν" καὶ τὸ "γεννᾶν" εἶναι πραγματικὰ ἀδιάκριτα, καὶ δὲν εἶναι διαφορετικά, ἐπειδὴ ἡ οὐσία εἶναι ἁπλῆ, πρῶτα πρῶτα παρουσιά-

*τὴν ἁγίαν ἡμῖν ἀποφαίνουσι Γραφήν, μονογενῆ τὸν Υἱὸν ὀνομάζουσαν, τόν, εἴπερ ἐστὶν ἀληθὲς ὅ δή φασιν οἱ δι᾿ ἐναντίας, ἐν πολλοῖς ἀδελφοῖς, μᾶλλον δὲ πᾶσιν ὁμοῦ τοῖς εἶναι πεπιστευμένοις, ἢ γεννηθέντα τυχόν, ἤγουν ἐνεργείᾳ δημιουργικῇ παρενεχθέντα πρὸς ὕπαρξιν. Δοκεῖ γὰρ ἐκείνοις ἄμφω τε εἶναι ταὐτὸν καὶ οὐχ ἑτεροίως ἔχειν. Εἴη δ᾿ ἂν καὶ αὐτὸς ἁμαρτοεπής, ὡς ἔοικεν, ὁ μέγας ἡμῖν μυσταγωγὸς Ἰωάννης, οἷά τι τῶν ἀπορρήτων ἐξενεγκὼν τὸ μονογενὴς ἐφ᾿ Υἱοῦ· ὃν καὶ «ἐν κόλποις» εἶναί φησι τοῦ Θεοῦ καὶ Πατρός, οὐ διεψευσμένον, οἶμαι, τὸν ἐπ᾿ αὐτῷ τόκον καὶ διὰ τούτου δεικνύς· διελάσοι δ᾿ ἂν ἡμῖν εἰς θράσους ἤδη τουτί, καίτοι σοφὸς ὢν ὁ λόγος, ὡς ἐπιθρώσκειν ἀποτολμᾶν καὶ αὐτῷ τῷ Υἱῷ. Φαίην γὰρ ἂν ὅτι τὰς τῶν Ἰουδαίων ἀκρίτους ὁρμὰς καίτοι παρὸν ἀποσείεσθαι, καὶ μάλα ῥᾳδίως, αὐτὸς ἐφ᾿ ἑαυτῷ παραθήγων ἁλώσεται. Τί γὰρ μὴ μᾶλλον ἔφασκεν, Ἐγώ εἰμι τὸ κτίσμα καὶ ποίημα τοῦ Θεοῦ, Πατέρα δὲ ἴδιον ὠνόμαζε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ; Τί δὲ ἔδει μᾶλλον ἐπιφωνεῖν ἐν συναγωγαῖς, «Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται», καὶ μὴ ὅπερ ἦν εἰκὸς καὶ λίαν εὐκόλως κατευνάσαι δύνασθαι τῶν ἀκροωμένων τὸν ἀτίθασσον φθόνον, Ὁ πιστεύων εἰς τὸ κτίσμα οὐ κρίνεται; Οἶμαι γὰρ ἄν, εἰ ταυτὶ διακεκραγότος διεπύθετό τις, οὐκ ἂν οἴεσθαι φορτικόν, οὐδὲ ἐθελῆσαι καταλεύειν αὐτόν, καὶ μέχρις ὀφρύος τοῦ ὄρους ἀποκομίζοντας, κρημνοῖς ἐνιέναι παραλόγοις ἐπιχειρεῖν. Τί δὲ δὴ καὶ ἔδρων οἱ σοφώτατοι μαθηταί, δόξαν ἔχοντες ἐπ᾿ αὐτῷ τὴν Υἱοῦ που πάντως καὶ οὐχὶ τὴν κτίσματος; Ἐπειδὴ γὰρ ἐπ᾿ ἄκρῳ κύματι βαίνων καὶ τὴν ὑγράν τε καὶ εὐδιάχυτον τῶν ὑδάτων φύσιν ἀφράστῳ δυνάμει τοῖς ἰδίοις ὑποστορέσας ποσί, τὸ πλατὺ διέθει πέλαγος, ἀσύνηθες μὲν τοῖς ἁγίοις ἀποστόλοις ἐδίδου τὸ θαῦμα, συνεισήλατο δὲ μόλις ἑκὼν καὶ ὁλκαδίῳ διέπλει, καίτοι καὶ ῥᾷστα μετόν, εἴπερ ἕλοιτο κατορθοῦν, τὸ καὶ αὐτοῖς ἐποχεῖσθαι κύμασι. Κατατεθηπότες δὲ ἤδη καὶ τὴν ἄμαχον ἐξουσίαν ἀναλογισάμενοι, προσεκύνουν λέγοντες· «Ἀληθῶς Θεοῦ Υἱὸς εἶ». Ἆρ᾿ οὖν οὐχὶ καὶ ἐνώμοτον ὡδὶ τὸ χρῆμα ποιούμε-*

---

27. Ρωμ. 8,29. 28. Ἰω. 1,18. 29. Ἰω. 5,18.
30. Ἰω. 3,18. 31. Λουκᾶ 4,29. 32. Ματθ. 14,33.

ζουν φλύαρη τὴν ἁγία Γραφή, ἡ ὁποία ὀνομάζει μονογενῆ τὸν Υἱό, ἐὰν εἶναι ἀλήθεια αὐτὸ ποὺ λένε οἱ ἀντίθετοι, ὅτι εἶναι πρωτότοκος μεταξὺ πολλῶν ἀδελφῶν[27], ἢ μᾶλλον ὅλων μαζὶ τῶν πιστῶν του, ἢ ἴσως ὅτι γεννήθηκε, ὅτι δηλαδὴ ἦρθε στὴν ὕπαρξη μὲ δημιουργικὴ ἐνέργεια. Γιατὶ ἐκεῖνοι πιστεύουν ὅτι καὶ τὰ δύο εἶναι ταυτόσημα καὶ δὲν διαφέρουν. Ἀλλὰ θὰ κάνει λάθος, ὅπως φαίνεται, καὶ ὁ ἴδιος ὁ μυσταγωγός μας Ἰωάννης, ποὺ ἀποκάλυψε κάτι ἀπὸ τὰ ἀπόρρητα, δηλαδὴ τὸ μονογενής, γιὰ τὸν Υἱό, ὁ ὁποῖος μάλιστα λέγει ὅτι βρίσκεται στοὺς κόλπους τοῦ Θεοῦ καὶ Πατέρα[28], δείχνοντας μὲ αὐτό, ὅπως νομίζω, ὅτι δὲν εἶναι ψεύτικη ἡ γέννηση. Ἔφτασαν ὅμως στὸ θράσος αὐτό, ἂν καὶ ὁ λόγος εἶναι σοφός, ὥστε νὰ τολμοῦν νὰ ὑπερπηδήσουν καὶ τὸν ἴδιο τὸν Υἱό. Γιατὶ θὰ ἔλεγα ὅτι τὶς ἀνόητες ἐπικρίσεις τῶν Ἰουδαίων, ἂν καὶ μποροῦσε ἀμέσως νὰ τὶς ἀντικρούσει, καὶ πολὺ εὔκολα μάλιστα, αὐτὸς ἀντίθετα φαίνεται νὰ τὶς ἐνθαρρύνει ἐναντίον του. Γιατί δηλαδὴ δὲν ἔλεγε, Ἐγὼ εἶμαι τὸ κτίσμα καὶ τὸ δημιούργημα τοῦ Θεοῦ, ἀλλὰ ὀνόμαζε τὸν Θεὸ Πατέρα δικό του, ἐξισώνοντας τὸν ἑαυτό του μὲ τὸν Θεό[29]; Καὶ γιατί ἔπρεπε νὰ φωνάζει στὶς συναγωγές, «Ἐκεῖνος ποὺ πιστεύει στὸν Υἱὸ δὲν δικάζεται»[30], καὶ δὲν ἔλεγε αὐτὸ ποὺ ἦταν φυσικὸ καὶ μποροῦσε εὔκολα νὰ κατευνάσει τὸν ἀδάμαστο φθόνο τῶν ἀκροατῶν του, ὅτι δηλαδὴ ἐκεῖνος ποὺ πιστεύει στὸ κτίσμα δὲν δικάζεται; Γιατὶ πιστεύω, ὅτι ἐὰν τὸν ἄκουε κάποιος νὰ διακηρύττει αὐτά, δὲν θὰ τὸν θεωροῦσε ἐνοχλητικόν, οὔτε θὰ ἤθελε νὰ τὸν λιθοβολήσει, καὶ πηγαίνοντάς τον μέχρι τὴν κορυφὴ τοῦ βουνοῦ, νὰ ἐπιχειρήσουν νὰ τὸν ρίξουν στὸ κρημνὸ παράλογα[31]. Καὶ γιατί οἱ σοφότατοι μαθητὲς ἐνεργοῦσαν πρὸς δόξαν αὐτοῦ, ὁπωσδήποτε βέβαια τοῦ Υἱοῦ καὶ ὄχι τοῦ κτίσματος; Πράγματι ὅταν, περπατώντας πάνω στὸ κῦμα καὶ καθησυχάζοντας τὴν ὑγρὴ καὶ ρευστὴ φύση τῶν ὑδάτων μὲ ἀπερίγραπτη δύναμη κάτω ἀπὸ τὰ πόδια του, διέσχισε τὸ πλατὺ πέλαγος, παρουσίασε ἀσυνήθιστο θαῦμα στοὺς ἁγίους ἀποστόλους, μπῆκε ἀμέσως θεληματικὰ στὸ πλοιάριο καὶ διέπλευσε τὴ λίμνη, ἂν καὶ ἦταν πολὺ εὔκολο, ἂν ἤθελε νὰ τὸ κάνει, νὰ ταξιδέψει πατώντας πάνω στὰ κύματα. Οἱ ἀπόστολοι ἔκθαμβοι καὶ ἀναλογιζόμενοι τὴν ἀκατανίκητη ἐξουσία του τὸν προσκυνοῦσαν λέγοντας· «Πραγματικά, εἶσαι Υἱὸς τοῦ Θεοῦ»[32]. Ἄρα λοιπὸν βεβαιώνοντας ἐδῶ μὲ ὅρκο τὸ πρᾶγμα καὶ ὀνομάζοντάς

*νοι, εἶναί τε Υἱὸν ἀληθῶς διειπόντες Θεοῦ, διαβεβλήσονται μὲν εἰκότως ὡς ψευδοεπεῖς, διημαρτηκότες δὲ τἀληθοῦς ἁλώσονταί τε καὶ ἐλεγχθήσονται· Εἰ γάρ ἐστιν οὐχ Υἱός, ἐκ τῆς τοῦ γεννήσαντος οὐσίας ἀναφύς, ποίημα δὲ μᾶλλον, τῇ τῆς υἱότητος δόξῃ κατακεχρωσμένος καὶ ἐν ψιλαῖς εὐφημίαις τὴν ἐπωνυμίαν λαχών, τί μαθόντες προσεκύνουν; Τί δὲ Υἱὸν ὠνόμαζον οἱ μυσταγωγοὶ καὶ τῆς ἀληθείας κήρυκες;*

*Β. Ὡς ἄριστα ἡμῖν ὁ λόγος ἔχει.*

*Α. Ὁ δὲ δὴ θεῖός τε καὶ ἱερώτατος Παῦλος, καίτοι «σκεῦος ἐκλογῆς» ὠνομασμένος παρὰ Θεοῦ καὶ τεταγμένος ἱερουργὸς εἰς τὰ ἔθνη καὶ ταμίας ἀκριβὴς τῶν τοῦ Σωτῆρος ἡμῶν μυστηρίων, τί ἂν βούλοιτο δηλοῦν ὅταν ἥκει βοῶν περί τε αὐτοῦ τοῦ Υἱοῦ καὶ τῶν ἁγίων ἀγγέλων· «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα· Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· καὶ πάλιν· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;». Καὶ πάλιν· «Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας;». Πῶς γὰρ ἂν ὅλως νοοῖτο πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων τῆς ἀρρήτου δόξης ὁ χαρακτήρ, καὶ μὴν καὶ ἀπαύγασμα τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, εἰ τὴν τοῦ γεγεννῆσθαι δύναμιν οὐκ ἐν πράγματος ἀληθείᾳ διακεκτήσεται, ψιλαῖς δὲ καὶ μόναις καταχρυσοῦται φωναῖς, ἑτεροίως ἔχων κατὰ τὴν φύσιν καὶ συντεταγμένος τοῖς κτίσμασιν; Οὐδὲν γάρ, ὡς ἔοικε, τὸ ἀπεῖργον ἔτι καὶ αὐτὸν ἐν κτίσμασι τελεῖν τὸν Πατέρα, χρῆναί τε νοεῖσθαι γενητόν, εἴπερ αὐτοῦ καὶ χαρακτὴρ καὶ ἀπαύγασμα γενητὸς ὑπάρ-*

---

33. Πράξ. 9, 15. 34. Ἑβρ. 1, 3-5 καὶ 13. 35. Ἑβρ. 2, 2-3.

τον πραγματικὰ Υἱὸ τοῦ Θεοῦ, δὲν θὰ κατηγορηθοῦν εὔλοκα ὡς ψευδομάρτυρες, καὶ δὲν θὰ συλληφθοῦν καὶ θὰ ἐλεγχθοῦν ἐπειδὴ ἔπεσαν ἔξω ὡς πρὸς τὴν ἀλήθεια; Γιατί, ἐὰν δὲν εἶναι Υἱός, ποὺ προῆλθε ἀπὸ τὴν οὐσία ἐκείνου ποὺ τὸν γέννησε, ἀλλ' εἶναι μᾶλλον δημιούργημα, ποὺ ἔχει ἐπιχρωματισθεῖ μὲ τὴ δόξα τῆς υἱότητας καὶ ἀπέκτησε τὸ ὄνομα μὲ ἁπλὲς ἐπευφημίες, γιὰ ποιὸ λόγο τὸν προ-σκυνοῦσαν; Καὶ γιατί τὸν ὀνόμαζαν Υἱὸ οἱ διδάσκαλοι καὶ κήρυκες τῆς ἀλήθειας;

Β. Ὁ λόγος εἶναι ἄριστος.

Α. Ὁ θεῖος πάλι καὶ ἱερώτατος Παῦλος, ποὺ ὀνομάσθηκε σκεῦος ἐκλογῆς[33] ἀπὸ τὸν Θεό, καὶ ἦταν σταλμένος ἱερουργὸς στὰ ἔθνη καὶ ἔμπιστος ταμίας τῶν μυστηρίων τοῦ Σωτῆρα μας, τί θέλει τάχα νὰ φανερώσει ὅταν ἔρχεται φωνάζοντας γιὰ τὸν ἴδιο τὸν Υἱὸ καὶ τοὺς ἁγίους ἀγγέλους, «Αὐτὸς ὁ Υἱός, ὄντας ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ, ὁ ὁποῖος κρατεῖ τὰ πάντα μὲ τὸν παντοδύναμο λόγο του, ἀφοῦ καθάρισε τὶς ἁμαρτίες μας, κάθισε στὰ δεξιὰ τῆς μεγαλωσύνης στὰ ὕψη, γενόμενος τόσο ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσο διαφορετικότερο εἶναι ἀπὸ αὐτοὺς καὶ τὸ ὄνομα ποὺ κληρονόμησε. Γιατὶ σὲ ποιὸν ἀπὸ τοὺς ἀγγέλους εἶπε ποτὲ ὁ Θεός, Ἐσὺ εἶσαι Υἱός μου, ἐγὼ σήμερα σὲ γέννησα, καὶ ἐπίσης, Κάθισε στὰ δεξιά μου, μέχρι νὰ θέσω τοὺς ἐχθροὺς σου ὑποπόδιο τῶν ποδῶν σου; Δὲν εἶναι ὅλοι πνεύματα ποὺ ὑπηρετοῦν καὶ ἀποστέλλονται γιὰ ὑπηρεσία σ' ἐκείνους ποὺ πρόκειται νὰ κληρονομήσουν τὴ σωτηρία;»[34]. Καὶ πάλι· «Ἐὰν ὁ λόγος ποὺ κηρύχθηκε μὲ ἀγγέλους, εἶχε κῦρος καὶ κάθε παράβαση καὶ παρακοὴ ἔλαβε δίκαια ἀνταπόδοση, πῶς θὰ ξεφύγουμε ἐμεῖς, ποὺ δείξαμε ἀμέλεια γιὰ μιὰ τόσο μεγάλη σωτηρία;»[35]. Πῶς λοιπὸν μπορεῖ ὁ Υἱὸς νὰ νοηθεῖ ἀπὸ μᾶς τοὺς ἴδιους, καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους, σφραγίδα τῆς ἀπερίγραπτης δόξας, ἀλλὰ καὶ ἀκτινοβολία τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατέρα, ἐὰν δὲν ἀπέκτησε τὴν ἐξουσία τοῦ νὰ γεννηθεῖ πραγματικά, ἀλλὰ τὴν ἔχει σὰν ἐπιχρύσωμα μὲ ἁπλὲς λέξεις, ἐνῶ εἶναι διαφορετικὸς κατὰ φύση καὶ συγκαταλέγεται μεταξὺ τῶν κτισμάτων; Γιατὶ ἔτσι τίποτε δὲν ἐμποδίζει πιὰ νὰ ποῦμε, ὅτι καὶ ὁ ἴδιος ὁ Πατέρας συγκαταλέγεται ἀνάμεσα στὰ κτίσματα, καὶ ὅτι πρέπει νὰ νοεῖται γεννητός, ἐφόσον ὁ Υἱός, ποὺ εἶναι γεννητός, εἶναι σφραγίδα καὶ ἀκτινοβολία

*χων ἐστὶν ὁ Υἱός. Ὄνομα δὲ πῶς διαφορώτερον ἔτι κεκληρονόμηκε παρὰ τοὺς ἀγγέλους; Εἰ γὰρ ἐν ἴσῳ τοῦ κτίζειν παρὰ Θεῷ τὸ γεννᾶν, δῆλον ἂν εἴη δήπουθεν ὡς τὸ ἐν Υἱοῦ τάξει λελογισμένον ἀδιακρίτως ἔσται καὶ ποίημα, καὶ τὸ ἐν κτίσμασιν ἀληθῶς κατηριθμημένον οὐδὲν ἧττόν ἐστι καὶ γέννημα. Τί οὖν ἔτι διαμέλλει Θεὸς εἴς γε τὸ χρῆναι τυχὸν καὶ ἑκάστῳ τῶν ἁγίων ἀγγέλων εἰπεῖν, «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»; Ὃ γὰρ ἔχουσιν ἑλόντες οἴκοθέν τε καὶ οὐσιωδῶς, τί μὴ νέμων ὁρᾶται, μᾶλλον δὲ (θερμότερον γὰρ εἰρήσεται) τί παραιρεῖται καὶ άδικεῖ τοὺς ἤδη λαχόντας τὴν τῆς γεννήσεως δόξαν καὶ τὸ ἐν υἱοῦ τετάχθαι λόγῳ; Διοίσει γὰρ ὅλως οὐδέν, ἐπείπερ ἁπλοῦς ὁ Θεός, τὸ γεννᾶν τοῦ κτίζειν παρ᾽ αὐτῷ, κατά γε τὸν ἐκείνων ἠλίθιον νοῦν· ἀναχεῖται δὲ ἄμφω πρὸς ἕν τι τὸ δηλούμενον, καὶ τὴν εἰς ταὐτότητα δέχεται συνδρομήν.*

*Β. Ναί· δοκεῖ γὰρ ὧδέ πῃ νοεῖν τε καὶ φράζειν αὐτοῖς.*

*Α. Ἀλλ᾽ οὐχ ὧδε ἔχειν ἐροῦμεν ἡμεῖς· πολλοῦ γε καὶ δεῖ. Πλείστη γὰρ ὅση τοῖν τε ὀνομάτοιν ἡμῖν καὶ αὐτοῦ τοῦ χρήματος ἡ διαφορά. Ἀπόκριναι δέ, εἴ σοι δοκεῖ, φιλοπευστοῦντί μοι.*

*Β. Πύθου δῆτα.*

*Α. Ὁ τῶν θείων ἡμῶν μυσταγωγῶν ἄριστός τε καὶ ὑπέρτατος Ἰωάννης ἀναγέγραφε περὶ τοῦ Υἱοῦ· «Εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι». Ἆρ᾽ οὖν τοῖς οὐκ ἔχουσι τὸ ἐν υἱοῦ κεῖσθαι δόξῃ δεδωρῆσθαι φήσομεν τῆς υἱοθεσίας τὴν χάριν, ἢ τοῖς ἥκιστα δεομένοις τοῦ λαβεῖν, οἴκοθέν τε καὶ οὐσιωδῶς πεπλουτηκόσιν αὐτό, καὶ εἰ μὴ ὑπό του δέχοιντο τυχόν;*

*Β. Τοῖς οὐκ ἔχουσι. Τοῦτο γὰρ οἶμαι καὶ ἀληθές.*

*Α. Εἶτα τίς ἔν γε τοῖς οὖσιν ὅλως οὐκ ἔχων ἁλώσεται, εἴπερ οὐδὲν ἡ γέννησις παρὰ τὸ ἐκτίσθαι ἐστί, μᾶλλον δέ, εἴπερ ἓν ἄμφω καὶ ταὐτόν, διϊστάντος ὅλως πρὸς ἑτερότητα μηδενός; Γεγεννῆσθαι γὰρ δώσομεν πᾶν ὅπερ ἔστι, κἂν εἰ παρήχθη πρὸς γένεσιν.*

---

35α. Ψαλμ. 2,7. καὶ Πράξ. 13,33.

αὐτοῦ. Καὶ τότε πῶς κληρονόμησε διαφορετικώτερο ὄνομα ἀπὸ τοὺς ἀγγέλους; Γιατί, ἐὰν τὸ νὰ γεννᾶ ὁ Θεὸς εἶναι ἴδιο μὲ τὸ νὰ κτίζει, εἶναι ὁπωσδήποτε φανερό, ὅτι αὐτὸ ποὺ ἀδιάκριτα κατατάσσεται στὴν θέση τοῦ Υἱοῦ εἶναι καὶ κτίσμα, καὶ αὐτὸ ποὺ συναριθμεῖται πραγματικὰ μεταξὺ τῶν κτισμάτων, εἶναι ἐξίσου καὶ γέννημα. Τότε γιατί ὁ Θεὸς ἀποφεύγει νὰ πεῖ καὶ στὸν καθένα ἀπὸ τοὺς ἁγίους ἀγγέλους, «Ἐσὺ εἶσαι Υἱός μου, ἐγὼ σήμερα σὲ γέννησα»[35α]; Γιατὶ αὐτὸ ποὺ ἔχουν μὲ δική τους προτίμηση καὶ κατ' οὐσία, γιατί δὲν παρουσιάζεται νὰ τοὺς τὸ ἀπονείμει, ἢ μᾶλλον (γιὰ νὰ τὸ πῶ πιὸ θερμά), γιατί τοὺς τὸ στερεῖ, καὶ ἀδικεῖ αὐτοὺς ποὺ ἤδη ἔχουν τὴ δόξα τῆς γεννήσεως καὶ ἔχουν ταχθεῖ στὴ θέση τοῦ υἱοῦ; Ἐφόσον δηλαδὴ ὁ Θεὸς εἶναι ἁπλός, δὲν διαφέρει καθόλου σ' αὐτὸν τὸ νὰ γεννᾶ ἀπὸ τὸ νὰ κτίζει, σύμφωνα βέβαια μὲ τὸν ἠλίθιο νοῦ ἐκείνων· ἀντίθετα συγκλίνουν καὶ τὰ δύο σὲ μιὰ σημασία καὶ συμβάλλουν στὴν ταύτισή τους.

Β. Ναί· γιατὶ κάπως ἔτσι φαίνεται ὅτι σκέφτονται καὶ μιλοῦν.

Α. Ἀλλ' ἐμεῖς λέμε ὅτι δὲν εἶναι ἔτσι· ἀντίθετα μάλιστα. Ὑπάρχει πολὺ μεγάλη διαφορὰ καὶ στὰ ὀνόματα καὶ στὴν ἴδια τὴν πραγματικότητα. Ἀλλὰ πές μου, ἂν νομίζεις ὅτι πρέπει, γιατὶ θέλω νὰ μάθω.

Β. Ρώτησέ με λοιπόν.

Α. Ὁ ἄριστος καὶ ἀνώτερος ἀπὸ τοὺς θείους μυσταγωγούς μας Ἰωάννης ἔχει γράψει γιὰ τὸν Υἱό· «Ἦρθε στοὺς δικούς του, ἀλλὰ οἱ δικοί του δὲν τὸν δέχθηκαν· σὲ ὅσους ὅμως τὸν δέχθηκαν, ἔδωσε τὴν ἐξουσία νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ, σ' ἐκείνους δηλαδὴ ποὺ πιστεύουν σ' αὐτόν»[36]. Ἄραγε θὰ ποῦμε ὅτι ἡ χάρη τῆς υἱοθεσίας δωρήθηκε σ' ἐκείνους ποὺ δὲν βρίσκονταν στὴν δόξα τοῦ υἱοῦ, ἢ σ' ἐκείνους ποὺ χρειάζονταν πολὺ λίγο γιὰ νὰ τὴ λάβουν ἀπὸ μόνοι τους, καὶ τὸ ἔχουν αὐτὸ κατ' οὐσία, ἔστω κι ἂν δὲν τὸ δέχθηκαν ἀπὸ κάποιον;

Β. Σὲ ἐκείνους ποὺ δὲν τὴν εἶχαν· γιατί αὐτό πιστεύω ὅτι εἶναι σωστό.

Α. Καὶ ἔπειτα, ποιὸς ἀπὸ τὰ κτίσματα γενικὰ θὰ βρεθεῖ νὰ μὴ τὴν ἔχει, ἐὰν βέβαια δὲν διαφέρει καθόλου ἡ γέννηση ἀπὸ τὴν κτίση, ἢ καλύτερα ἐὰν καὶ τὰ δύο εἶναι ἕνα καὶ τὸ αὐτό, καὶ κανένα δὲν εἶναι διαφορετικό; Γιατί δεχόμαστε ὅτι κάθε τι ποὺ ὑπάρχει γεννήθηκε, ἔστω καὶ ἂν δημιουργήθηκε.

---

35α Πράξ. 13, 33.

36. Ἰω. 1, 11-12.

*Β. Ἆρ᾽ οὖν ἐξ αὐτῆς ἡμᾶς τῆς ἰδίας φύσεως γεγέννηκεν ὁ Πατήρ;*

*Α. Οὐ γεγέννηκε μὲν ἡμᾶς ἐξ ἰδίας φύσεως ὁ Θεὸς καὶ Πατήρ· πλὴν οὐχ ὅπερ ἂν φαίνοιτο νοσοῦν ἐφ᾽ ἡμῶν τὸ ἀπρεπὲς καὶ ἀμήχανον τοῦτο δὴ πάντως ἀντιτάξεται κατὰ τὸν ἴσον λόγον καὶ τῷ κατὰ φύσιν Υἱῷ. Ἐκτίσμεθα μὲν γὰρ ὁμολογουμένως ἡμεῖς, ὁ δὲ τῆς οὐσίας ἐξέφυ τοῦ Θεοῦ καὶ Πατρός, πρὸς ὃν καὶ ἡμεῖς διαμορφούμεθα καὶ ἐν γεννήσεως τάξει τὴν ἐξ ἡμερότητος δεχόμενοι χάριν, ἐν υἱοῖς τετάγμεθα Θεοῦ, θύραθεν μὲν καὶ εἰσποιητὸν κομιζόμενοι τὸ ἀξίωμα, θετοὶ δὲ υἱοί, διαπεπλασμένοι πρὸς ἀληθινὸν καὶ εἰσκεκλημένοι πρὸς δόξαν τὴν τοῦ κατὰ φύσιν. Θετοὶ δὲ ὅλως οὐκ ἂν εἶεν υἱοὶ μὴ τοῦ κατὰ φύσιν προϋφεστηκότος καὶ τῆς ἀληθοῦς γεννήσεως τῆς ἐσύστερον εἰκόνος προϋποφαινούσης ἐν ἑαυτῇ τὸ ἀρχέτυπον. Εἴπερ οὖν οὐ τέτοκεν ἀληθῶς ὁ Πατήρ, διά γε τοῦτο παρ᾽ αὐτῷ τὸ γεννᾶν τῷ κτίζειν οὐχ ἕτερον, οἴχεται μὲν ἡμῖν ἐκποδὼν ὁ ἐφ᾽ Υἱῷ λόγος, ἄγονος δὲ καὶ ἡ τοῦ Πατρὸς καταφωρᾶται φύσις. Φρούδη δὲ ὥσπερ καὶ ἡ τῶν τὴν πίστιν παραδεδεγμένων ἐλπίς. Ποῦ γὰρ ὅλως υἱότης ἔτι; Ποῦ δὲ τὸ ἐντεῦθεν ἀξίωμα, πρὸς τὸ ἀμεινόνως ἔχειν ἀνακομίζειν δυνάμενον τὸ ἐν κτίσμασι τελοῦν, εἴπερ ἐν ἴσῳ λόγῳ τε καὶ μέτρῳ τῷ τεχθέντι τὸ ποιηθέν, συνθεούσης κατ᾽ ἐκείνους εἰς ἕν τι τὸ χρῆμα κτίσεώς τε καὶ γεννήσεως; Ἆρ᾽ οὖν οὐχὶ λῆρόν τε εἶναι ταυτὶ καὶ τῶν ἄγαν αἰσχρῶν φαίη τις ἂν αἰσχίονα;*

*Β. Κομιδῇ μὲν οὖν.*

*Α. Εἰ δὲ δὴ καὶ σύνεδρος εἶναι λέγοιτο καὶ ἔστιν ἀληθῶς ὁ Υἱὸς τῷ Πατρί, τῆς ἐν ἀληθείᾳ γεννήσεως οὐκ εἰσκομιζούσης αὐτῷ τὸ δεῖν πάντῃ τε καὶ πάντως τῇ τοῦ τεκόντος ἐναγλαΐζεσθαι φύσει διὰ τῆς εἰσάπαν ὁμοιότητός τε καὶ ἰσότητος, οὐκ ἀναφανδὸν ἤδη πως ἐροῦσι τὴν τῷ γενεσιουργῷ πρέπουσάν τε καὶ ἐνυπάρχουσαν δόξαν καὶ ἐπ᾽ αὐτὴν ἤδη διήκειν τὴν τῶν γεννητῶν φύσιν καὶ ἀξίωμα τὸ δεσποτικὸν ἀνῆφθαι τὸ δοῦλον; Καὶ μὴν ὁ θεσπέσιος γράφει Παῦλος· «Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ», ἤ, «Κάθου ἐκ δεξιῶν μου»; Ἀνθ᾽ ὅτου γὰρ δεῖν ᾠή-*

---

37. Δηλαδὴ ὁ «κατ᾽ εἰκόνα» Θεοῦ πλασθεὶς ἄνθρωπος.

Β. Ἆρα λοιπὸν ἀπὸ τὴ δική του φύση μᾶς γέννησε ἐμᾶς ὁ Πατέρας;

Α. Δὲν μᾶς γέννησε βέβαια ἐμᾶς ἀπὸ τὴ δική του φύση ὁ Θεὸς καὶ Πατέρας· πλὴν ὅμως, αὐτὸ ποὺ θὰ φαινόταν σ' ἐμᾶς ὅτι βρίσκεται σὲ κακὴ κατάσταση, δηλαδὴ τὸ ἀπρεπὲς καὶ ἀκατόρθωτο, δὲν θὰ ἐρχόταν ὁπωσδήποτε κατὰ τὸν ἴσο λόγο σὲ ἀντίθεση πρὸς τὸν κατὰ φύση Υἱό; Γιατὶ ἐμεῖς ὁμολογουμένως ἔχουμε κτισθεῖ, ἐνῶ ἐκεῖνος φύτρωσε ἀπὸ τὴν οὐσία τοῦ Πατέρα· καὶ ἐμεῖς συμμορφωνόμαστε πρὸς αὐτόν, καὶ ἐνῶ βρισκόμαστε στὴν τάξη τῆς γεννήσεως, δεχόμενοι τὴ χάρη ποὺ προέρχεται ἀπὸ τὴν πραότητα, τασσόμαστε ἀνάμεσα στοὺς υἱοὺς τοῦ Θεοῦ, παίρνοντας τὸ ἀξίωμα αὐτὸ ἀπ' ἔξω καὶ πρόσθετο, καὶ γινόμαστε θετοὶ υἱοὶ διαπλασμένοι ἀντίστοιχα πρὸς τὸν ἀληθινό, καὶ καλεσμένοι στὴ δόξα ποὺ ἔχει ἐκεῖνος κατὰ φύση. Καὶ δὲν θὰ ὑπῆρχαν καθόλου θετοὶ υἱοί, ἐὰν δὲν προϋπῆρχε ὁ κατὰ φύση Υἱός, καὶ ἐὰν ἡ ἀληθινὴ γέννηση δὲν προεικόνιζε τὸ ἀρχέτυπο τῆς εἰκόνας ποὺ θὰ γινόταν ἀργότερα[37]. Ἐὰν λοιπὸν δὲν εἶχε γεννήσει πραγματικὰ ὁ Πατέρας, ἐπειδὴ σ' αὐτὸν εἶναι ἴδιο τὸ νὰ γεννᾶ καὶ νὰ κτίζει, καὶ ὄχι διαφορετικό, τότε θὰ περίττευε σὲ μᾶς ὁ λόγος γιὰ τὸν Υἱό, ἡ φύση τοῦ Πατέρα θὰ ἀποδεικνυόταν ἄγονη, καὶ θὰ ἦταν ἀνώφελη ἡ ἐλπίδα αὐτῶν ποὺ δέχθηκαν τὴν πίστη. Ποῦ δηλαδὴ χρειάζεται ἡ υἱότητα πιά; Καὶ πῶς τὸ ἀξίωμα αὐτῆς μπορεῖ νὰ ὁδηγήσει τὸ κτίσμα σὲ ἀνώτερη βαθμίδα, ἐφόσον τὸ κτίσμα καὶ αὐτὸ ποὺ γεννήθηκε βρίσκονται σὲ ἴση μοῖρα, ἀφοῦ, ὅπως λένε ἐκεῖνοι, συναντῶνται σὲ ἕνα πρᾶγμα ἡ κτίση καὶ ἡ γέννηση; Ἆρα λοιπὸν δὲν θὰ μποροῦσε κανεὶς νὰ πεῖ, ὅτι αὐτὰ εἶναι φλυαρία καὶ ἀπὸ τὰ πολὺ αἰσχρὰ αἰσχρότερα;

Β. Καὶ πολὺ μάλιστα.

Α. Καὶ ὅταν ἀκόμα λέγεται σύνεδρος, καὶ εἶναι πράγματι, ὁ Υἱὸς μὲ τὸν Πατέρα, ἐπειδὴ ἡ ἀληθινὴ γέννηση δὲν τοῦ παρέχει τὸ δικαίωμα νὰ κοσμεῖται ὁπωσδήποτε μὲ τὴ φύση ἐκείνου ποὺ τὸν γέννησε, μέσω τῆς ἀπολύτου ὁμοιότητας καὶ ἰσότητας, τότε δὲν λένε φανερὰ πλέον ὅτι, ἡ δόξα ποὺ ταιριάζει καὶ ὑπάρχει στὸν Δημιουργό, ἐκτείνεται ἀκόμα καὶ στὴ φύση τῶν κτιστῶν, καὶ τὸ δοῦλο προσλαμβάνει τὸ δεσποτικὸ ἀξίωμα; Καὶ ὅμως ὁ θεσπέσιος Παῦλος γράφει· «Σὲ ποιὸν ἀπὸ τοὺς ἀγγέλους εἶπε ποτέ, Σὺ εἶσαι Υἱός μου, ἐγὼ σήμερα

*θη Θεὸς τοὺς μὲν ἐν τῷ παρεστάναι τε καὶ λειτουργεῖν τὴν αὐτοῖς πρεπωδεστάτην ἀποκληρώσασθαι δόξαν, τὸν δὲ τοῖς ἀνωτάτω καὶ τοῖς τῆς θεότητος ἐναβρύνεσθαι θώκοις καὶ τὸν οὐδαμόθεν ἰσοφυᾶ σύνεδρόν τε καὶ ὁμόθρονον ἔχειν; Ῥοπή τις, ὡς ἔοικεν, ὑποδραμοῦσα καὶ θέλησις τὴν τοῦ Πατρὸς ἐξουσίαν τὸν μὲν ἐν ἐκείνοις ἐτίθει, τοὺς δὲ ἐν οἷς εἰσι, καίτοι μὴ κατεγνωσμένους Ἐπιψηφίζεται γὰρ τοῦτο αὐτοῖς τὸ ἀδιαβλήτως ἑστάναι καὶ τὸ σῴζειν δύνασθαι τὴν ἰδίαν ἀρχὴν ἄνω τε καὶ κάτω διαθεῖν λειτουργοῦντας Θεῷ. Ἠδίκησεν οὖν, κατὰ τὸ εἰκός, ὁ Θεὸς καὶ Πατήρ, μὴ οὐχὶ τῶν ἴσων ἀξιοῦσθαι καὶ αὐτοῖς ἐφείς; Ἀλλ' οὐχ ὧδε ἔχει ποθέν. Μὴ γὰρ ἔρημοι φρενὸς τῆς ἀρίστης ἡμεῖς κατ' ἐκείνους εἴημεν· πλεῖστον γὰρ ὅσον ἐστὶ τὸ μεσολαβοῦν καὶ διιστῶν ἀμέτρως τοῦ ποιηθέντος τὸ γεννηθέν. Καὶ ὁ μὲν ἔστιν Υἱός, καὶ ὡς τοῦτο ὑπάρχων ὁμόθρονος, οἱ δὲ παρεστᾶσι, κεκλημένοι πρὸς τὸ εἶναι δημιουργικῶς. Τί τοίνυν ἀνακιρνᾶσι τὰ ἄμικτα καὶ συνδεῖν ἐπιχειροῦσιν εἰς ταὐτότητα παραλόγως τὰ τῆς ἀλλήλων ὁμοφυΐας ἐξεστηκότα τοσοῦτον ὅσον αὐτὴ τῶν πραγμάτων ἡ φύσις αὐτομάρτυς οὖσα διαβοήσειεν ἄν; Ἀλλ', ὡς ἔοικεν, ἱδρὼς ἐκείνοις καὶ σκοπὸς τὸ οὔ τί που διειδέναι φιλεῖν καὶ ἐπείγεσθαι τἀληθές, ἐντρυφᾶν δὲ ὥσπερ δυσσεβῶς ἐναθύροντας πολυπλόκοις εὑρεσιλογίαις καὶ ἀχαλίνοις ἀθυροστομίαις.*

*Β. Διαψευδὴ μὲν οὐδαμῶς· σπουδάζεται γὰρ παρ' ἐκείνοις τῶν ἀναγκαίων οὐδέν. Ἐρεῖν δ' οὖν ὅμως ἐκεῖνο ὑπολαμβάνω, πῶς ἂν τὸ ἁπλοῦν διαφόρους ἡμῖν ἐκτέκοι τὰς ἐνεργείας, καὶ γεννήσει μὲν ἑτεροίως ἢ ὡς ἂν ἐργάσαιτο τυχόν, ἐργάσεται δὲ οὐχ οὕτως ἢ ὥσπερ ἂν τέκοι, καὶ τὸν τῆς ἁπλότητος οὐ καταφθερεῖ λόγον;*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστιν, ὡς ἐγῷμαι, πάλιν ἕτερον οὐδὲν ἢ τὸ καλαμίνην μετὰ χεῖρας ῥάβδον ἑλεῖν, καθά φησιν ὁ προφήτης Ἠσαΐας. Τὸ γάρ τοι τοῖς οὕτω σαθροῖς καὶ εὐδιακλάστοις ἐπιθαρσήσαντας λογισμοῖς ἐν βεβαίῳ κεῖσθαι νομίζειν τοῦ φρονεῖν*

---

38. Ἑβρ. 1,5. 39. Ἑβρ. 1,13. 40. Ἠσ. 36,6.

σὲ γέννησα»[38]; ἢ «Κάθισε στὰ δεξιά μου»[39]; Γιὰ ποιὸ λόγο δηλαδὴ ὁ Θεὸς θεώρησε καλό, αὐτοὶ βέβαια νὰ κληρονομήσουν τὴν τιμὴ ποὺ τοὺς ταίριαζε, ἤτοι νὰ παραστέκονται καὶ νὰ ὑπηρετοῦν, ἐνῶ ἐκεῖνος νὰ καμαρώνει στοὺς ἀνώτατους θρόνους ποὺ ἀνήκουν στὴ θεότητα, καὶ νὰ ἔχει σύνεδρο καὶ σύνθρονο ἐκεῖνον ποὺ δὲν εἶναι ἀπὸ πουθενὰ τῆς ἴδιας φύσεως; Ὅπως φαίνεται κάποια στιγμιαία κλίση καὶ θέληση ποὺ εἰσχώρησε κρυφὰ στὴν ἐξουσία τοῦ Πατέρα, αὐτὸν τὸν τοποθέτησε στοὺς θρόνους ἐκείνους, καὶ αὐτοὺς (τοὺς ἀγγέλους) στὴ θέση ποὺ βρίσκονται, ἂν καὶ δὲν ἔχουν καταδικασθεῖ. Γιατὶ ἀποφασίζει γι᾽ αὐτοὺς τοῦτο· νὰ παραμένουν ἀνεπίδεκτοι διαβολῆς καὶ νὰ μποροῦν νὰ διατηροῦν τὴν ἐξουσία τους, καὶ τρέχοντας ἐπάνω καὶ κάτω νὰ ὑπηρετοῦν τὸν Θεό. Τοὺς ἀδίκησε λοιπόν, ὅπως φαίνεται, ὁ Θεὸς καὶ Πατέρας, μὴ ἐπιτρέποντάς τους ν᾽ ἀπολαμβάνουν καὶ αὐτοὶ τὶς ἴδιες τιμές; Ὄχι, δὲν εἶναι ἔτσι· ἀπὸ ποῦ βγαίνει αὐτό; Ἂς μὴν εἴμαστε ἐμεῖς ἄμυαλοι ὅπως ἐκεῖνοι· γιατὶ εἶναι πάρα πολὺ μεγάλη ἡ ἀπόσταση ποὺ χωρίζει κατὰ τρόπο ποὺ δὲν μπορεῖ νὰ μετρηθεῖ αὐτὸ ποὺ γεννήθηκε ἀπὸ ἐκεῖνο ποὺ κτίσθηκε. Καὶ αὐτὸς βέβαια εἶναι Υἱὸς καὶ ἐπειδὴ εἶναι αὐτό, εἶναι καὶ ὁμόθρονος, ἐνῶ ἐκεῖνοι παραστέκονται, ἐπειδὴ ἦρθαν στὴν ὕπαρξη καὶ τρόπο δημιουργικό. Γιατί λοιπὸν ἀναμιγνύουν αὐτὰ ποὺ δὲν ἀναμιγνύονται, καὶ ἐπιχειροῦν κατὰ τρόπο παράλογο νὰ ταυτίσουν αὐτὰ ποὺ διαφέρουν τόσο πολὺ ὡς πρὸς τὴν μεταξύ τους προέλευση, ὅσο θὰ μποροῦσε νὰ βροντοφωνάξει ἡ ἴδια ἡ φύση τῶν πραγμάτων; Ἀλλά, ὅπως φαίνεται, κόπος καὶ σκοπὸς ἐκείνων δὲν εἶναι νὰ μάθουν τὴν ἀλήθεια, ἀλλὰ τὸ κάνουν ἐπειδὴ κατὰ κάποιο τρόπο νοιώθουν εὐχαρίστηση παίζοντας ἀσεβῶς μὲ πολύπλοκα λογοπαίγνια καὶ ἀχαλίνωτες ἀθυροστομίες.

Β. Δὲν κάνεις καθόλου λάθος· γιατὶ δὲν νοιάζονται γιὰ τίποτε σπουδαῖο. Ὑποθέτω ὅμως ὅτι θὰ ποῦν τὸ ἑξῆς· Πῶς εἶναι δυνατὸν αὐτὸ ποὺ εἶναι ἁπλὸ (ὁ Θεὸς) νὰ γεννάει διαφορετικὲς ἐνέργειες, καὶ ἔτσι γεννώντας διαφορετικὰ ἀπὸ ὅ,τι κατασκευάζει, καὶ κατασκευάζοντας ὄχι ὅπως γεννάει, δὲν καταστρατηγεῖ τὸ λόγο τῆς ἁπλότητας;

Α. Καὶ αὐτὸ βέβαια δὲν εἶναι τίποτε ἄλλο, ὅπως ἐγὼ νομίζω, ἀπὸ τὸ νὰ κρατεῖ κανεὶς στὸ χέρι ραβδὶ καλαμένιο, ὅπως λέγει ὁ προφήτης Ἠσαΐας[40]. Γιατὶ τὸ νὰ στηρίζονται σὲ τόσο σαθροὺς καὶ εὔθραυστους συλλογισμούς, καὶ νὰ νομίζουν μὲ βεβαιότητα ὅτι πιστεύουν

*ὀρθῶς, πῶς οὐ καλαμίνην ταῖς ἰδίαις ψυχαῖς ὑποστήσασθαι ῥάβδον ἀσυνέτως ἑλομένους ἀποφήσειεν ἄν; Εὐανάτρεπτον γὰρ κομιδῇ τὸ σοφὸν εἶναι δοκοῦν καταθρήσεις πρόβλημα, δοκιμάσας ὡδί καὶ τοῖς οὖσιν ἐνιεὶς περιεργότατόν τε καὶ ἀκριβῆ τὸν βασανίζοντα νοῦν. Μυρίαι μὲν γὰρ ὅσαι τῶν ὄντων αἱ φύσεις εἰσίν, ὧν αἱ μὲν εἰς διαφορὰν ἀλλήλαις καὶ διαμάχην ἥκιστα μὲν ἠγμέναι πρὸς τοῦ καλοῦντος εἰς γένεσιν τὰ οὐκ ὄντα ποτέ, διῳκισμέναι δὲ μᾶλλον εἰς ἰδικὴν ἀποκλήρωσιν καὶ ἑτέρως ἔχουσαν ἢ αἱ λοιπαί, αἱ δὲ οὐχὶ τοῦτο λαχοῦσαι μόνον, ἀλλὰ καὶ ἀλλήλας ἀναιροῦσαι ταῖς συμπλοκαῖς καὶ ἀσύμβατον ἔχουσαι τὴν εἰς ταὐτὸν συνδρομήν· νόμος γὰρ αὐταῖς ὁ φύσεως ἀνακαίει τὴν ἔχθραν. Ἆρά σοι κατ᾽ ἴχνος τῶν εἰρημένων εἶσιν ὁ νοῦς;*

*Β. Οὐ πάνυ.*

*Α. Σύνες οὖν ὅ φημι, φράσαιμι γὰρ ἂν ὀκνήσας οὐδέν. Οὐκοῦν κέκληνται πρὸς τὸ εἶναι τέχνῃ τε καὶ ἐνεργείᾳ Θεοῦ ἄγγελός τε καὶ ἄνθρωπος, οὐρανὸς ὁμοίως καὶ γῆ, βοῦς τε καὶ ἵππος, ξύλον τε καὶ λίθος. Τούτων δὲ ἕκαστον ἐν ἰδίᾳ μὲν καὶ διῳκισμένῃ νοεῖται φύσει, καὶ οὐχὶ πάντῃ τε καὶ πάντως ἀπαραλλάκτως ἐν ἅπασιν ἢ ἐν οἷς αἱ λοιπαί, οὐ μὴν ἐναντίως ἐχούσῃ πρὸς τὰς ἑτέρας. Χρῆμα γὰρ οὐκ ἀσύμβατον οὔτε ἄλλως ἀμιγὲς ἀνθρώπῳ μὲν ἄγγελος, ἀγγέλῳ δὲ ἄνθρωπος· ἐναντίαι γὰρ οὐδαμῶς ἀλλήλαις αἱ φύσεις· οὐρανοῦ δὲ ὕπαρξις, ἤγουν ὁ τῆς ὑπάρξεως λόγος, οὐ διαμαχεῖται τοῖς ἄλλοις. Οὐ γὰρ διεστήξει πρὸς ἔχθραν γῆ μὲν οὐρανῷ, γῇ δὲ ἐκεῖνος, ἤγουν τῷ λίθῳ τὸ ξύλον, ἐπεί τοι τὸν τοῦ εἶναι λόγον οὐκ ἐκ τῶν ἀνθεστηκότων καὶ εἰς ἐναντιότητα φύσεως ἀποτετμημένων διεκληρώσατο. Πρὸς δὴ τούτοις ἅπασι πεποιῆσθαί φαμεν ἐξ ἐνεργείας Θεοῦ πῦρ τε τὸ καυστικὸν καὶ μὴν καὶ τὸ ὕδωρ διαψύχειν εἰδός, ἀλλ᾽ ἑνὸς ἄμφω ποιήματα, τοῦ ἁπλοῦ Καὶ εἴπερ ἐστὶν ἁπλῆς ἐνεργείας ἔργα ταυτί, καίτοι πρὸς τοσαύτην διεστηκότα τὴν πρὸς ἄλληλα διαφοράν, πῶς ἂν ἔτι τὸ τῆς ἐνεργείας πολυειδὲς τὴν ἁπλῆν οὐσίαν παραιρήσομεν, εὐσεβείας*

σωστά, δὲν δείχνει ὅτι προτιμοῦν ἀπερίσκεπτα νὰ στηρίξουν τὶς ψυχές τους μὲ καλαμένιο ὑποστήριγμα; Γιατὶ τὸ ἐπιχείρημα ποὺ φαίνεται νὰ εἶναι σοφό, θὰ δεῖς ὅτι ἀνατρέπεται πάρα πολὺ εὔκολα, ἐλέγχοντάς το μὲ τρόπο καὶ βάζοντας τὸν πολὺ περίεργο καὶ λεπτολόγο νοῦ σου νὰ ἐξετάσει τὰ ὄντα. Γιατὶ εἶναι μυριάδες βέβαια οἱ φύσεις τῶν ὄντων, ἀπὸ τὶς ὁποῖες ἄλλες βέβαια ἔχουν δημιουργηθεῖ μὲ ἐλάχιστη μεταξύ τους διαφορὰ καὶ ἀντίθεση ἀπὸ ἐκεῖνον ποὺ κάλεσε κάποτε τὰ ὄντα στὴν ὕπαρξη, καὶ διακρίνονται μᾶλλον ἀπὸ δική τους προτίμηση, ποὺ εἶναι διαφορετικὴ ἀπὸ τὶς ἄλλες, ἐνῶ οἱ ἄλλες, δὲν ἔχουν μόνο αὐτὴ τὴ διαφορά, ἀλλὰ ἀναιρεῖ ἡ μιὰ τὴν ἄλλη μὲ συμπλοκές, καὶ ἔχουν ἀσυμβίβαστη τὴν κοινὴ συνύπαρξη· γιατὶ ὁ φυσικὸς νόμος προκαλεῖ τὴν μεταξύ τους ἔχθρα. Ἄραγε ἀκολούθησε τὰ ἴχνη αὐτῶν ποὺ εἶπα ὁ νοῦς σου;

Β. Ὄχι καὶ τόσο πολύ.

Α. Ἄκου λοιπὸν μὲ προσοχὴ αὐτὸ ποὺ λέγω, γιατὶ θὰ σοῦ τὸ πῶ χωρὶς νὰ διστάσω. Πράγματι δηλαδὴ ἦρθαν στὴν ὕπαρξη μὲ κατασκευὴ καὶ ἐνέργεια τοῦ Θεοῦ ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος, ὅπως ἐπίσης ὁ οὐρανὸς καὶ ἡ γῆ, τὸ βόδι καὶ τὸ ἄλογο, τὸ ξύλο καὶ ἡ πέτρα. Τὸ καθένα ὅμως ἀπὸ αὐτὰ ἐμφανίζεται μὲ ἰδιαίτερη καὶ ξεχωριστὴ φύση, ἡ ὁποία δὲν εἶναι πάντοτε καὶ ὁπωσδήποτε ἀπαράλλακτη σὲ ὅλα, ἢ ὅπως καὶ οἱ ἄλλες φύσεις. Ὅμως δὲν εἶναι ἀντίθετες πρὸς τὶς ἄλλες. Γιατὶ δὲν εἶναι πρᾶγμα ἀσυμβίβαστο, οὔτε τέτοιο ποὺ νὰ μὴ σμίγει κατ᾽ ἄλλον τρόπο ὁ ἄγγελος μὲ τὸν ἄνθρωπο καὶ ὁ ἄνθρωπος μὲ τὸν ἄγγελο· γιατὶ δὲν εἶναι καθόλου ἀντίθετες οἱ φύσεις τους μεταξύ τους. Καὶ ἡ ὕπαρξη τοῦ οὐρανοῦ, δηλαδὴ ὁ λόγος τῆς ὑπάρξεως, δὲν ἀντιμάχεται τὰ ἄλλα. Γιατὶ δὲν διάκειται ἐχθρικὰ ἡ γῆ πρὸς τὸν οὐρανό, καὶ ἐκεῖνος πρὸς τὴ γῆ, οὔτε τὸ ξύλο πρὸς τὴν πέτρα, ἐπειδὴ ὡς πρὸς τὸν λόγο τῆς ὑπάρξεώς τους δὲν ἀνήκουν στὴ φύση ἐκείνων ποὺ εἶναι ἀντίθετα καὶ ἐχθρικὰ μεταξύ τους. Ἐκτὸς ἀπὸ ὅλα αὐτὰ ὅμως, λέμε ὅτι μὲ ἐνέργεια τοῦ Θεοῦ δημιουργήθηκαν καὶ ἡ φωτιὰ ποὺ καίει, ἀλλὰ καὶ τὸ νερὸ ποὺ δροσίζει, ὅμως καὶ τὰ δύο αὐτὰ εἶναι δημιούργημα ἑνός, τοῦ ἁπλοῦ Θεοῦ. Ἐφόσον λοιπὸν αὐτὰ εἶναι ἔργα ἁπλῆς ἐνέργειας, ἂν καὶ ἔχουν τόσο μεγάλη μεταξύ τους διαφορὰ ποὺ τὰ διαχωρίζει, τότε πῶς μποροῦμε ἀκόμα νὰ ἀφαιρέσουμε τὴν πολυειδῆ ἐνέργεια ἀπὸ τὴν ἁπλῆ οὐσία τοῦ Θεοῦ, ἐκλαμβάνο-

*ἀφορμὴν τὴν τῆς ἀληθείας ἀναίρεσιν οὐκ οἶδ' ὅπως ὑπειληφότες; Ἄθρει δέ, εἴ σοι δοκεῖ, καὶ ἕτερόν τι πρὸς τούτοις. Εἰ γὰρ ἐπείπερ ἐστὶν ἁπλοῦς ὁ Θεὸς ἐνεργήσει μονοειδῶς καὶ πρέπειν ἐροῦσι τοῦτο δὴ μάλιστα αὐτῷ, τί μὴ καὶ ἁπλῆν ἐνεῖναι πιστεύουσι τὴν διάθεσιν αὐτῷ;*

*Β. Πῶς λέγεις;*

*Α. Οὐ γάρ, ὦ βέλτιστε, καταμυσάττεται μὲν καὶ κατα σκώπτει τοὺς πονηρούς, καὶ κατεστυγημένον ποιεῖται τὸν ἀλιτήριον, ἐπιγάννυται δὲ τοῖς ὁσίοις, καὶ τὸ ἐπαινεῖσθαι πρέπειν τοῖς τὴν ἕξιν ἀγαθοῖς ἀπονέμει;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Συγχωρήσεις δὲ εἶναι κίνημα μὲν εἰς ὀργήν, τὴν κατὰ τῶν πλημμελούντων κόλασιν, πραότητος δὲ καρπὸν ἤπερ ἂν γένοιτο τυχὸν εἰς ἁγίους τιμή τε καὶ χάρις;*

*Β. Συγχωρῶ, καὶ γὰρ ὧδε ἔχει.*

*Α. Οὐκοῦν, ἐπείτοι φασὶ τὴν θείαν ἁπλῆν εἶναι φύσιν, ἐξέστησάν τε διὰ τοῦτο αὐτῆς τὸ τῆς ἐνεργείας πολυειδές, ἁπλῆν ἔχειν οἰέσθωσαν καὶ οὐ πολλὴν ἐν ἑαυτῷ τὴν διάθεσιν. Οὐκοῦν, οἷς ἂν ἐπαινῇ, τούτοις ἄν, οἶμαι, καταμωμήσαιτο, καὶ οἷς ἂν ἀγάσαιτο, πάντως που καὶ καταψέξειε. Καὶ τὸ μὲν θυμοῦ καὶ ὀργῆς ἐνέργημα πραότητος ἔσται καρπός, εἶναι δὲ ταὐτὸν καταλογιούμεθά που τῇ πραότητι τὴν ὀργήν. Προσθείην δ' ἂν ἔγωγε τοῖς εἰρημένοις καὶ τόδε· φύσις μὲν γὰρ θεότητος μία καὶ ἁπλῆ· φαμὲν δὲ αὐτὴν εἶναι ζωήν τε καὶ δύναμιν καὶ σοφίαν καὶ δόξαν. Καὶ ζωῇ μὲν ζῇ τὸ ζωοποιούμενον, δυνάμει δὲ δυναμοῦται τὸ δυναμούμενον καὶ σοφίᾳ σοφοῦται τὸ σοφούμενον, δόξῃ δὲ δοξάζεται τὸ δόξης ἐπιδεές, ἤτοι τὸ δοξαζόμενον. Ἦ οὐκ ἀληθὲς ὅ φημι;*

*Β. Καὶ μάλα.*

*Α. Οὐσίας δὲ τῆς ἁπλῆς πῶς ἂν γένοιτο καρπὸς τὸ πολυειδὲς εἰς ἐνέργειαν, κατά γε τὸ ἐκείνοις εὖ ἔχειν ὑπειλημμένον; Ἐνεργεῖ δὲ πολυτρόπως, καίτοι τὴν φύσιν ἁπλοῦς ὢν ὁ Θεός. Ἆρ' οὖν, ὦ Ἑρμεία, δοίης ἂν εἶναί τι τῶν τοιούτων τὸ παραλογώτερον; Οὐ γὰρ ἄμεινον παραπολὺ καὶ λογισμοῦ τοῦ καθήκοντος ὁρᾶται με-*

ντας τὴν καταστρατήγηση τῆς ἀλήθειας ὡς ἀφορμὴ τῆς εὐσέβειας; Πρόσεχε ὅμως, ἐὰν θέλεις, κοντὰ σ' αὐτὰ καὶ κάτι ἄλλο. Ὅτι δηλαδή, ἐὰν ὁ Θεός, ἐπειδὴ εἶναι ἁπλός, ἐνεργεῖ κατὰ τρόπο ἁπλό, καὶ λένε ὅτι αὐτὸ τοῦ ταιριάζει περισσότερο, τότε γιατί δὲν πιστεύουν ὅτι καὶ ἡ διάθεσή του εἶναι ἁπλῆ;

Β. Πῶς τὸ ἐννοεῖς αὐτὸ ποὺ λές;

Α. Ὅτι δηλαδή, φίλε, δὲν μισεῖ καὶ ἐμπαίζει τοὺς πονηρούς, καὶ βδελύσσεται τὸν ἁμαρτωλό, ἀλλὰ λάμπει ἀπὸ χαρὰ γιὰ τοὺς δικαίους, καὶ λέγει ὅτι ταιριάζει ἔπαινος σ' αὐτοὺς ποὺ ἔχουν ἀγαθὴ βούληση.

Β. Πῶς δηλαδὴ ὄχι;

Α. Συμφωνεῖς ὅμως, ὅτι ἡ τιμωρία ἐκείνων ποὺ παρανομοῦν εἶναι κίνηση ὀργῆς, ἐνῶ ἡ τιμὴ καὶ χάρη ποὺ ἀποδίδεται τυχὸν πρὸς τοὺς ἁγίους εἶναι καρπὸς πραότητας;

Β. Συμφωνῶ, γιατὶ πράγματι ἔτσι εἶναι.

Α. Λοιπόν, ἐπειδὴ ἀκριβῶς λένε ὅτι ἡ θεία φύση εἶναι ἁπλῆ, καὶ ἐξαιτίας αὐτοῦ παραμέρισαν ἀπὸ αὐτὴν τὴν πολυμορφία τῆς ἐνέργειας, ἂς πιστέψουν ὅτι εἶναι ἁπλῆ, καὶ δὲν ἔχει μέσα της πολλὲς ἐνέργειες. Λοιπόν, αὐτοὺς ποὺ ἐπαινεῖ, αὐτούς, νομίζω, ὅτι κατηγορεῖ, καὶ αὐτοὺς ποὺ ἀγαπᾶ, ὁπωσδήποτε μερικὲς φορὲς καὶ τοὺς κατηγορεῖ. Καὶ ἡ ἐνέργεια βέβαια τοῦ θυμοῦ καὶ τῆς ὀργῆς εἶναι καρπὸς τῆς πραότητας, καὶ θεωροῦμε τὴν ὀργὴ ὅτι εἶναι τὸ ἴδιο μὲ τὴν πραότητα. Ἐγὼ μάλιστα θὰ πρόσθετα σ' αὐτὰ ποὺ εἰπώθηκαν καὶ τὸ ἑξῆς· ἡ φύση δηλαδὴ τῆς θεότητας εἶναι μία καὶ ἁπλῆ, ὅμως λέμε ὅτι αὐτὴ εἶναι ζωὴ καὶ δύναμη καὶ σοφία καὶ δόξα. Καὶ μὲ τὴ ζωὴ βέβαια ζεῖ αὐτὸ ποὺ ζωογονεῖται, μὲ τὴ δύναμη παίρνει δύναμη αὐτὸ ποὺ ἐνδυναμώνεται, μὲ τὴ σοφία σοφίζεται αὐτὸ ποὺ ἐπιδιώκει σοφία, καὶ μὲ τὴ δόξα δοξάζεται αὐτὸ ποὺ χρειάζεται δόξα, ἤτοι αὐτὸ ποὺ δοξάζεται. Ἢ μήπως δὲν εἶναι ἀλήθεια αὐτὸ ποὺ λέγω;

Β. Καὶ πολὺ μάλιστα.

Α. Πῶς ὅμως μπορεῖ νὰ γίνει καρπὸς τῆς ἁπλῆς οὐσίας ἡ πολυμορφία τῶν ἐνεργειῶν, ὅπως ὑποστηρίζουν ἐκεῖνοι ὅτι ἔτσι εἶναι; Ἁπλούστατα, ἐνεργεῖ μὲ πολλοὺς τρόπους ὁ Θεός, ἂν καὶ εἶναι ὡς πρὸς τὴ φύση ἁπλός. Ἄρα λοιπόν, Ἑρμεία, νομίζεις ὅτι κάτι ἀπὸ αὐτὰ εἶναι πάρα πολὺ παράλογο; Δὲν φαίνεται νὰ εἶναι πάρα πολὺ

*μεστωμένον τὸ ἁπλοῦν μὲν εἶναι τὴν φύσιν οἴεσθαι τὸν Θεόν, τὸ δὲ ὅπως ἔχει καὶ ἐνεργεῖ διαφόρως ἐξεπίστασθαι παραχωρεῖν αὐτῷ δὴ καὶ μόνῳ, πολυπραγμονεῖν δὲ οὐκ ἔτι· Θεὸς γὰρ καὶ τὰ αὐτοῦ πάντως που καὶ ὑπὲρ νοῦν καὶ λόγον.*

*Β. Εὖ ἔφης.*

*Α. Διακεισόμεθα τοίνυν οὐκ ἀσυνετοῦντες ἡμεῖς ξηρὰν οὔ τί που καὶ ἄγονον τοῦ αὐτῇ πρέποντος καὶ ἰδίου καρποῦ τὴν τῶν ὅλων γενεσιουργὸν ἀπομεῖναι φύσιν, πρὸς ἣν δὴ πάντα τὰ καρπογόνα μεμόρφωται, καὶ κατ᾽ αὐτὸ δὴ τοῦτο καρπογόνα.*

*Β. Ἄμεινον δή που καὶ ἀσυγκρίτως· προσαπαιτήσουσι δέ, κατὰ τὸ εἰκὸς εἰπεῖν, πῶς ἂν νοοῖτο γεγεννηκὼς ὁ Πατήρ. Εἶτά τι μὴ πεπονθὼς τῶν ὅσα παρέπεσθαι τοῖς γεννῶσι φιλεῖ, μερισμὸν δὴ λέγω καὶ ἀπορροήν, ἢ πῶς ἂν εἴη τοῦ αἰτιατοῦ πάντῃ τε καὶ πάντως οὐκ ἐν πρεσβυτέρᾳ νοήσει τε καὶ θέσει τὸ αἴτιον αὐτοῦ;*

*Α. Παγχάλεπον, ὦ Ἑρμεία, καὶ δυσδιεξίτητον κομιδῇ τὸ χρῆμά ἐστι, καὶ τοῖς ὅτι μάλιστα κατεγλωττισμένοις ἀστιβὲς εἰπεῖν, μᾶλλον δὲ καὶ αὐτὸ τὸ συνιέναι μόνον. Νῷ τε γὰρ δὴ τὰ ὑπὲρ νοῦν οὐχ ἁλώσιμα, λόγῳ τε τὰ ὑπὲρ λόγον διατρανοῦν οὐκ ἔνεστιν. Ὅτι μὲν γὰρ Πατὴρ ὁ Θεὸς καὶ γεγέννηκεν ἀληθῶς ἐξ ἰδίας ἡμῖν οὐσίας τὸν Υἱὸν παραδέδωκεν ἡ πίστις, κατεσφράγισε δὲ καὶ ἀληθὲς ὂν ἀπέφηνεν ἡ θεόπνευστος Γραφή, Πατέρα καὶ γέννησιν ὀνομάζουσα πανταχῇ. Οἶμαι δὲ δεῖν οὐκ ἔτι τὸ πίστει παραδεχθὲν θρασυτέραις ὥσπερ ἐκβασανίζειν ἐρεύναις. Πίστις γὰρ οὐκέτι τὸ ζητούμενον. Ὅνπερ γὰρ τρόπον «ἐλπὶς βλεπομένη οὐκ ἔστι ἐλπίς (ὃ γὰρ βλέπει τις, τί καὶ ὑπομένει;», κατὰ τὴν τοῦ σοφωτάτου Παύλου φωνήν), οὕτω δὴ πίστις ἐρευνωμένη καὶ οὐκ ἔχουσα τὸ ἀζήτητον πίστις οὐκ ἂν εἴη, κατὰ τὸν ἴσον ἐλπίδι λόγον. Τὸ γάρ τοι πίστει τετιμημένον βασάνου πάντως ἐλεύθερον. Χρῆναι δὴ οὖν ἔγωγέ φημι, καθάπερ ἀμέλει τὸν προσιόντα Θεῷ, πιστεύειν μὲν ὅτι ἔστι, ζητεῖν δὲ οὐκέτι· οὕτω διακεῖσθαι καὶ φρο-*

---

41. Ρωμ. 8, 24.

ἀνώτερο καὶ γεμᾶτο ἀπὸ πρέπουσα λογικὴ σκέψη, τὸ νὰ πιστεύουμε ὅτι ὁ Θεὸς εἶναι βέβαια ἁπλὸς στὴ φύση, τὸ πῶς ὅμως εἶναι καὶ ἐνεργεῖ κατὰ διαφόρους τρόπους, αὐτὸ ἐπιτρέπει νὰ τὸ γνωρίζει καλὰ μόνον αὐτός, καὶ δὲν ἀφήνει νὰ τὸ περιεργαζόμαστε. Γιατὶ ὁ Θεός, καὶ ὅλα τὰ σχετικὰ μὲ αὐτόν, εἶναι ὁπωσδήποτε πάνω ἀπὸ κάθε ἀντιληπτικὴ καὶ λογικὴ ἱκανότητα.

Β. Πολὺ σωστὰ τὰ εἶπες.

Α. Ἐμεῖς λοιπὸν θ' ἀποδειχθοῦμε λογικοί, μὴ δεχόμενοι ὅτι ἡ δημιουργὸς τῶν ὅλων φύση εἶναι ξηρὴ καὶ ἄγονη ἀπὸ τὸν καρπὸ ποὺ τῆς ταιριάζει καὶ εἶναι δικός της, ἀφοῦ ὅλα τὰ καρποφόρα διαμορφώθηκαν ἀντίστοιχα πρὸς αὐτὴν καὶ γι' αὐτὸ εἶναι καὶ καρποφόρα.

Β. Εἶναι ὁπωσδήποτε δίκαιο καὶ ἀσύγκριτο· ὅμως θὰ θελήσουν, ὅπως εἶναι φυσικό, νὰ ρωτήσουν, πῶς μπορεῖ νὰ νοεῖται ὅτι γέννησε ὁ Πατέρας. Ἔπειτα, γιατί δὲν ἔπαθε καὶ αὐτὸς ὅσα συνήθως συνοδεύουν αὐτοὺς ποὺ γεννοῦν, ἐννοῶ τὸν ἀποχωρισμὸ καὶ τὴν πρὸς τὰ ἔξω ροή· ἢ πῶς μπορεῖ τὸ αἴτιο αὐτοῦ νὰ μὴ εἶναι ὁπωσδήποτε πρεσβύτερο λογικὰ καὶ πραγματικὰ ἀπὸ τὸ αἰτιατό;

Α. Εἶναι πολὺ δύσκολο καὶ δυσεξήγητο πρᾶγμα, Ἑρμεία, καὶ ἀδύνατο ἀκόμα καὶ γι' αὐτοὺς ποὺ ἔχουν γλώσσα ἀκόλαστη νὰ τὸ ποῦν, ἢ μᾶλλον νὰ τὸ κατανοήσουν. Γιατὶ μὲ τὸν νοῦ δὲν εἶναι κατανοητὰ αὐτὰ ποὺ ξεπερνοῦν τὶς δυνατότητες τοῦ νοῦ, καὶ μὲ τὸ λόγο δὲν εἶναι δυνατὸν νὰ ἀποδειχθοῦν αὐτὰ ποὺ ξεπερνοῦν τὶς ἱκανότητες τοῦ λόγου. Γιατί, τὸ ὅτι ὁ Θεὸς εἶναι Πατέρας καὶ γέννησε γιὰ μᾶς πραγματικὰ ἀπὸ τὴν οὐσία του τὸν Υἱό, μᾶς τὸ παρέδωσε ἡ πίστη, ἀλλὰ τὸ ἐπιβεβαίωσε καὶ τὸ ἀπέδειξε ἀληθὲς ἡ θεόπνευστη Γραφή, ἡ ὁποία ἀναφέρει παντοῦ Πατέρα καὶ γέννηση. Καὶ νομίζω ὅτι δὲν πρέπει πιὰ αὐτὸ ποὺ ἔγινε ἀποδεκτὸ ἀπὸ τὴν πίστη νὰ τὸ ὑποβάλλουμε σὲ ἐξονυχιστικὲς ἔρευνες. Ἄλλωστε τὸ ζητούμενο δὲν εἶναι πλέον ἡ πίστη. Γιατί, ὅπως «ἐλπίδα ποὺ βλέπεται, δὲν εἶναι πιὰ ἐλπίδα· αὐτὸ δηλαδὴ ποὺ τὸ βλέπει κανεὶς γιατί καὶ νὰ τὸ ἐλπίζει;»[41], σύμφωνα μὲ τὰ λόγια τοῦ σοφότατου Παύλου. Ἔτσι λοιπὸν ἡ πίστη ποὺ ἐρευνᾶται, χωρὶς νὰ ὑπάρχει ζητούμενο, δὲν μπορεῖ νὰ εἶναι πίστη, σύμφωνα πρὸς τὸν ἴσο μὲ τὴν ἐλπίδα λόγο. Γιατὶ αὐτὸ ποὺ ἔχει τιμηθεῖ μὲ τὴν πίστη, ὁπωσδήποτε δὲν χρειάζεται ἔρευνα. Λέγω λοιπὸν ἐγώ, ὅτι πρέπει αὐτὸς ποὺ προσέρχεται στὸν Θεό, ὅπως πιστεύει

νεῖν ὅτι καὶ Πατὴρ ὁ Θεὸς καὶ γεγέννηκε, τὸ δὲ ἀνορύττειν ὅπως, ὡς ἀνέφικτον ἐᾶν. Καταμειδιάσειν γὰρ οἶμαι παντελῶς οὐδένα τῶν ὅτι προσῆκε τοῖς ἄγαν ὑπερκειμένοις χαρίζεσθαι τὸ νικᾶν σωφρόνως διεσκεμμένων. Νοῦ δὲ δὴ παντὸς ἀμείνων ὁ τῆς θείας γεννήσεως νοοῖτ' ἂν τρόπος. Ἔστι γοῦν διαπυθέσθαι σαφῶς τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς τὸν ἐξ αὐτοῦ κατὰ φύσιν ἐκπεφηνότα διαβοῶντος Λόγον· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε». Τὸ μὲν γὰρ οἱονεὶ τῆς ὠδῖνος γνήσιον καὶ τὸ ἐξ αὐτῆς ἡμῖν τῆς οὐσίας τοῦ Πατρὸς ἐκτετέχθαι τὸν Υἱὸν παραδείξειεν ἂν εὖ μάλα τὸ «ἐκ γαστρός», ὡς ἐκ παραδείγματος τοῦ καθ' ἡμᾶς χρειωδέστατα παραληφθέν. Τὸ δέ γε «πρὸ ἑωσφόρου» τὴν ἀπότεξιν εἰπεῖν σημαίνει τάχα που τὸ ἐν ἀφανείᾳ καὶ ἀκαταληψίᾳ καὶ καθάπερ ἐν σκότῳ βαθεῖ τὸν τῆς γεννήσεως κατακεκλεῖσθαι τρόπον. Ἑωσφόρου μὲν γὰρ ἐξ ἑῴων ἄρτι τερμάτων λαμπροῦ πρὸς τὸ ἄνω διαπηδήσαντος, αὐγαὶ κατασκίδνανται τὸν αἰθέρα λεπταὶ καὶ φῶς ἀραιόν τε καὶ ἀδρανὲς ἔτι τῆς ἡλίου μαρμαρυγῆς συναναθρῴσκει προάγγελον, ἀφηβήσαντος ἤδη τοῦ τῆς νυκτὸς σκότους. Ὀφθέντος δὲ οὔπω κατ' οὐρανόν, ἐν ἀκμαῖς ἔτι κείσεται τὰ νυκτός, ὅτε καὶ παχὺς τῶν ὀμμάτων καταχεῖται σκότος καὶ ἐν ἴσῳ τοῖς τὰς ὄψεις λελωβημένοις καὶ οἱ τοῦ πάθους ἀπείρατοι. Ἐπεὶ λέγοις ἂν ἡμῖν αὐτὸς τί τὸ θαῦμα τὸ θεοπρεπὲς ἐν τῷ γεγεννῆσθαι τὸν Υἱόν, εἰ καὶ νοοῖτο «πρὸ ἑωσφόρου»;

Β. Οὐκ ἀθαύμαστον, ὦ τᾶν, τὸ τῆς γεννήσεως χρῆμα. Τὸ γὰρ ἀρχαῖον αὐτῆς καὶ πρεσβύτατον ἀναμάθοι τις ἂν διὰ τοῦ νοεῖσθαι «πρὸ ἑωσφόρου».

Α. Εἶτα πῶς οὐκ ἄμεινον πρὸ ἡλίου καὶ σελήνης, μᾶλλον δὲ οὐρανοῦ τε καὶ γῆς εἰπεῖν; Πρεσβύτερα γὰρ ἄστρων τε καὶ ἑωσφόρου ταυτί. Μᾶλλον δὲ καὶ τὸ πρὸ γῆς τε καὶ οὐρανοῦ καὶ ἁπάσης ἁπαξαπλῶς τῆς κτίσεως εἶναι λέγεσθαι τὸν Υἱὸν οἰηθείην ἂν ἔγωγε σμικρόν τε καὶ εὐτελές· ἐξ ἀνάρχου γὰρ πέφηνε Πατρός, ἄφραστόν τε καὶ ἀπερινόητον παντελῶς τὸν τῆς γεννήσεως ἔχει τρόπον. Τοιγάρτοι καὶ αὐτὸς ἡμῖν ὁ διαβόητος Ἠσαΐας·

---

42. Πρβλ. Ἑβρ. 11, 6. 43. Ψαλμ. 109, 3.

ὅτι ὑπάρχει καὶ δὲν τὸν ἀναζητᾶ πιά, ἔτσι νὰ εἶναι διατεθειμένος καὶ νὰ πιστεύει[42], ὅτι ὁ Θεὸς εἶναι καὶ Πατέρας καὶ γέννησε, καὶ νὰ ἀφήνει κατὰ μέρος τὴν ἔρευνα γιὰ τὸ πῶς, ὡς ἀκατόρθωτη. Γιατί νομίζω πὼς δὲν θὰ μειδίαζε εἰρωνικὰ κάποιος ἀπὸ αὐτοὺς ποὺ σκέπτονται λογικά, ἀκούοντας ὅτι πρέπει νὰ ὑποχωροῦμε μπροστὰ σ' αὐτοὺς ποὺ βρίσκονται πολὺ πιὸ πάνω ἀπὸ μᾶς. Καὶ ὁ τρόπος τῆς θείας γέννησης εἶναι πάνω ἀπὸ κάθε λογική. Εἶναι λοιπὸν δυνατὸ νὰ ρωτήσουμε καὶ νὰ μάθουμε μὲ σαφήνεια ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, ὁ ὁποῖος φωνάζει σ' ἐκεῖνον ποὺ προῆλθε ἀπὸ αὐτόν· «Σὲ γέννησα ἀπὸ τοὺς κόλπους μου πρὶν ἀπὸ τὸν αὐγερινό»[43]. Μὲ τὸ «ἀπὸ τοὺς κόλπους μου», ποὺ χρησιμοποιεῖται ὡς παράδειγμα ἀπὸ τὰ δικά μας, δείχνει κατὰ κάποιο τρόπο τὴ γνησιότητα τῆς γέννησης, καὶ ὅτι ὁ Υἱὸς γεννήθηκε γιὰ χάρη μας ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Πατέρα, ἐνῶ λέγοντας ὅτι ἡ γέννηση ἔγινε «πρὶν ἀπὸ τὸν αὐγερινό», σημαίνει προφανῶς ὅτι ὁ τρόπος τῆς γέννησης ἔγινε μέσα σὲ ἀφάνεια καὶ ἀκατανοησία, καὶ σὰν μέσα σὲ βαθὺ σκοτάδι. Γιατὶ μόλις ἀπὸ τὸ τέρμα τῆς ἀνατολῆς ξεπήδησε λαμπερὸς ὁ αὐγερινὸς πρὸς τὰ ἄνω, διέσχισαν τὸν αἰθέρα λεπτὲς ἀκτῖνες καὶ φῶς ἀραιὸ καὶ ἀδρανές, ποὺ προανήγγειλε τὴν ἀκτινοβολία τοῦ ἡλίου ποὺ ἐπρόκειτο νὰ ἀνατείλει, ἀφοῦ ἤδη εἶχε περάσει τὸ σκοτάδι τῆς νύχτας. Ὅμως πρὶν ἀκόμα φανεῖ στὸν οὐρανό, ἡ νύχτα βρίσκεται στὴν ἀκμή της, καὶ πυκνὸ σκοτάδι καλύπτει τὰ μάτια, καὶ εἶναι ὅμοιοι μὲ τοὺς τυφλοὺς καὶ ἐκεῖνοι ποὺ δὲν πάσχουν ἀπὸ τύλφωση. Ὕστερα ἀπὸ αὐτὰ θὰ μποροῦσες νὰ μᾶς πεῖς, ποιὸ εἶναι τὸ θαῦμα τὸ ἀντάξιο τοῦ Θεοῦ μὲ τὴ γέννηση τοῦ Υἱοῦ, ἔστω καὶ ἂν ἔγινε πρὶν ἀπὸ τὸν ἑωσφόρο;

Β. Δὲν εἶναι ἀνάξιο θαυμασμοῦ, φίλε, τὸ γεγονὸς τῆς γέννησης. Γιατὶ ἀπὸ τὴ δήλωση «πρὸ ἑωσφόρου» μπορεῖ κανεὶς νὰ μάθει τὴν ἀρχαιότητα τῆς γέννησης, καὶ ὅτι ἔγινε πρὶν ἀπὸ ὅλα τὰ κτίσματα.

Α. Πῶς λοιπὸν δὲν εἶναι προτιμότερο νὰ ποῦμε πρὶν ἀπὸ τὸν ἥλιο καὶ τὴ σελήνη, ἢ μᾶλλον πρὶν ἀπὸ τὸν οὐρανὸ καὶ τὴ γῆ; Γιατὶ αὐτὰ εἶναι παλιότερα ἀπὸ τὰ ἄστρα καὶ τὸν αὐγερινό. Ἐγὼ μάλιστα καὶ τὸ νὰ λέμε ὅτι ὁ Υἱὸς γεννήθηκε πρὶν ἀπὸ τὴ γῆ καὶ τὸν οὐρανό, καὶ γενικὰ πρὶν ἀπὸ ὅλη τὴν κτίση, νομίζω ὅτι εἶναι καὶ λίγο τα-πεινωτικό· γιατὶ προῆλθε ἀπὸ ἄναρχο Πατέρα, καὶ ὁ τρόπος τῆς γέννησής του εἶναι τελείως ἀπερίγραπτος καὶ ἀδιανόητος. Γι' αὐτὸ ἄλλω-

*«Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; φησίν, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ», γενεάν, οἶμαί που, τὴν γέννησιν, ζωὴν δὲ τὴν ὕπαρξιν εὖ μάλα διακαλῶν, ἣν καὶ ἀπὸ πάσης αἴρεσθαι τῆς γῆς, τουτέστιν ἀνακουφίζεσθαί τε καὶ ὑπερφέρειν ἅπαντα νοῦν τῶν ἐπὶ τῆς γῆς, καὶ ἄνω που κεῖσθαι τῶν καθ' ἡμᾶς ἐννοιῶν, ἀστιβῆ δὲ καὶ ἀνέμβατον τοῖς τῆς ἀνθρωπότητος μέτροις, ἀληθέστατά μοι φάναι δοκεῖ. Ὅτι δὲ καὶ χρόνου παντὸς ἐπέκεινα καὶ ἀρχῆς ἀμείνων τῆς τοιᾶσδε πέφηνεν ὁ Υἱὸς οὐ μεῖον ἢ ὁ Πατήρ, ἕτερός τις ἡμᾶς τῶν ἁγίων προφητῶν ἀναπείσει βοῶν· «Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος», τὴν ἐκ Πατρὸς ὕπαρξιν ἰδικὴν ἔξοδον ὥσπερ τινὰ γεγενῆσθαι λέγων, καθ' ἣν ἀπ' ἀρχῆς ἧς οὐδὲν ἐπέκεινα παντελῶς τῷ ἰδίῳ γεννήτορι συνυφεστῶτα νοοῦμεν, οὐκ ἀγεννήτως, ἀλλὰ γεννητῶς. Πόσον οὖν οἴει δεῖν γέλωτα ὄφλειν αὐτοὺς ἀνθρωπίνοις διασκέμμασι καὶ πεποσωμέναις ἐννοίαις ἐφικνεῖσθαι δύνασθαι τῶν οὕτως ὑπερκειμένων οὐκ οἶδ' ὅπως ὑπειληφότας; Τίνα γὰρ ἄν τις εἰδείη τρόπον τὸ ὅπως ἂν τέκοι Θεός, μὴ οὐχὶ δὴ πρότερον ἐκμεμαθηκὼς ὅ τί ποτε ἄρα κατὰ φύσιν ἐστίν;*

*Β. Ἀλλ' ἔστι τοῦτο ἀμήχανον· «Ἔθετο γὰρ σκότος ἀποκρυφὴν αὐτοῦ», καθὰ γέγραπται, «καὶ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ», τό, οἶμαι, δυσκάτοπτον, μᾶλλον δὲ ἄποπτόν τε καὶ ἀκατάληπτον καὶ σκότος εἰπὼν καὶ σκηνὴν ὀνομάσας, ὑφ' ἣν τρόπον τινὰ καὶ εἰσδὺς ὁ πάντα πληρῶν, αὐτός τε ὑφ' ἑαυτοῦ καὶ ὑπὸ μόνου γινώσκεται τοῦ ἰδίου γεννήματος. Ἔφη γὰρ ὅτι «Οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει τίς ἐστιν, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ».*

*Α. Εὖ λέγεις, καὶ σὲ δὴ μάλιστα νυνὶ τῶν τοιούτων ἄγαμαι*

---

44. Ἠσ. 53, 6.
45. Μιχ. 5, 1. Ματθ. 2, 6-7.
46. Ψαλμ. 17, 12.
47. Ματθ. 11, 26-27

στε καὶ ὁ περιβόητος Ἠσαΐας μᾶς λέγει· «Ποιὸς μπορεῖ νὰ διηγηθεῖ τὴ γενεὰ του; γιατὶ θὰ ἀφαιρεθεῖ ἀπὸ τὴ γῆ ἡ ζωή του»[44]· καὶ νομίζω ὅτι γενεὰ ἐννοεῖ τὴ γέννηση, ἐνῶ ζωὴ τὴν ὕπαρξή του μᾶλλον, ἡ ὁποία ἀφαιρεῖται ἀπὸ ὅλη τὴ γῆ, δηλαδὴ ξεπερνᾶ καὶ ὑπερέχει ἀπὸ κάθε νοῦ ποὺ ὑπάρχει πάνω στὴ γῆ, καὶ βρίσκεται πάνω ἀπὸ τὶς δικές μας ἀντιληπτικὲς ἱκανότητες, καὶ νομίζω ὅτι πραγματικὰ λέγει πὼς εἶναι ἄβατη καὶ ἀπλησίαστη στὰ ἀνθρώπινα μέτρα. Ὅτι ὅμως ὁ Υἱὸς εἶναι πέρα καὶ ἀπὸ κάθε ἔννοια χρόνου καὶ ἀνώτερος ἀπὸ μιὰ τέτοια ἀρχή, ὅσο καὶ ὁ Πατέρας, μᾶς πείθει κάποιος ἄλλος ἀπὸ τοὺς ἁγίους προφῆτες ὁ ὁποῖος φωνάζει· «Καὶ σύ, Βη-θλεέμ, γῆ τοῦ Ἐφραθᾶ, δὲν εἶσαι μικρότερη μεταξὺ τῶν ἡγεμόνων τοῦ Ἰούδα. Γιατὶ ἀπὸ σένα θὰ προέλθει ἕνας ἀρχηγὸς ποὺ θὰ κυβερνήσει τὸν Ἰσραηλιτικὸ λαό. Ἡ ἀρχὴ καὶ οἱ ἐνέργειες αὐτοῦ ξε-περνοῦν τὴν ἀρχὴ τῶν ἡμερῶν τῆς δημιουργίας»[45], ἐννοώντας μὲ τὴ λέξη 'ἔξοδοι' τὴν προέλευσή του ἀπὸ τὸν Πατέρα, σὰν μία ἰδιαίτερη ἔξοδο, σύμφωνα μὲ τὴν ὁποία τὴ φράση 'ἀπ' ἀρχῆς' τὴν ἑρμηνεύουμε ὡς ἀρχὴ πέρα καὶ πρὶν ἀπὸ τὴν ὁποία δὲν ὑπῆρχε τίποτε, καὶ ὅτι ὁ Υἱὸς ὑπῆρχε μαζὶ μὲ αὐτὸν ποὺ τὸν γέννησε, ὄχι μὲ τρόπο ἀγέννητο, ἀλλὰ γεννητόν. Καταλαβαίνεις λοιπὸν πόσο ἄξιοι γιὰ γέλια εἶναι αὐτοί, ποὺ, δὲν ξέρω πῶς, νόμισαν ὅτι μποροῦν νὰ κατανοήσουν μὲ ἀνθρώπινους συλλογισμοὺς καὶ μὲ μετρήσιμες ἔννοιες, αὐτὰ ποὺ βρίσκονται τόσο ψηλότερα; Πῶς δηλαδὴ θὰ μποροῦσε κάποιος νὰ γνωρίσει τί ἀκριβῶς εἶναι ὡς πρὸς τὴ φύση, ἂν δὲν ἔχει προηγουμένως μάθει πῶς γεννάει ὁ Θεός;

Β. Ἀλλὰ αὐτὸ εἶναι ἀδύνατο· γιατὶ κρύβεται σὲ σκοτάδι μυστηρίου τὸ ἀπροσπέλαστο μεγαλεῖο του, καί, ὅπως ἔχει γραφεῖ, γύρω ἀπὸ αὐτὸν ἁπλώνεται ἡ σκηνή του[46], ἐννοώντας, ὅπως νομίζω, πόσο δύσκολο εἶναι, ἢ μᾶλλον ἀδύνατο, νὰ ὁραθεῖ καὶ νὰ κατανοηθεῖ, χρησιμοποιώντας τὴ λέξη σκοτάδι καὶ σκηνή, κάτω ἀπὸ τὴν ὁποία εἰσδύοντας κατὰ κάποιο τρόπο αὐτὸς ποὺ πληροῖ τὰ πάντα, γνωρίζεται ὁ ἴδιος μόνο ἀπὸ τὸν ἑαυτό του καὶ ἀπὸ αὐτὸν ποὺ ὁ ἴδιος γέννησε. Γιατὶ εἶπε· «Κανένας δὲν γνωρίζει ποιὸς εἶναι ὁ Υἱός, παρὰ μόνο ὁ Πατέρας, οὔτε τὸν Πατέρα γνωρίζει κανεὶς τί εἶναι, παρὰ μόνον ὁ Υἱός, καὶ ἐκεῖνος στὸν ὁποῖο θὰ τὸν φανερώσει ὁ Υἱός»[47].

Α. Σωστὰ τὰ λές, καὶ ὁμολογουμένως σὲ θαυμάζω τώρα γιὰ αὐτὰ

*λόγων. Οὐκοῦν, εἰ περιεργάζοιτό τις καὶ ῥιψοκινδύνως ἰχνηλάτοι τὰ νῷ μὲν οὐκ ἐφικτά, δυνάμει δὲ λόγων οὐ καταθλούμενα, τὸν τοιοῦτον ἐροῦμεν ἥκιστα μὲν ὡς εἴη φιλομαθής, εἰκαίοις δὲ μᾶλλον καὶ περιττοῖς ἐπινήχοιτο πόνοις. Εἰρήσεται δὲ περί γε τοῦ τοιούτου παντὸς καὶ οὐκ ἀπὸ σκοποῦ· «Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πτερωτά. Ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται, διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν». Ἐρρῶσθαι γὰρ ὥσπερ τοῖς ἀναγκαίοις εἰς ὄνησιν καὶ τοῖς ἀληθείας μεμεστωμένοις ἀνοητότατα φράζοντες, περιέπουσι τὸ ψεῦδος καὶ τὸ καρπὸν εὐσεβείας οὐκ ἔχον ὡς ἀναγκαῖον εἰσδέχονται, ἀναθρώσκει δὲ δὴ πρὸς τοῦτο αὐτοῖς ἀλαζονείας ὁ νοῦς, ὡς τάχα που καὶ ἡγεῖσθαι λοιπὸν ἐπίκλημα καὶ γραφὴν τὸ ὅπως ἂν ἔχοι φύσεως μὴ αὐτῷ διειδέναι καὶ μόνῳ παραχωρεῖν τῷ Θεῷ, καίτοι τῆς θεοπνεύστου Γραφῆς ἀνεκφράστους εἶναι βοώσης καὶ λίαν ἀμείνους ἢ κατὰ νοῦν τὸν ἀνθρώπινον τὰς θείας ὁδούς, τουτέστι τὴν ἐφ' ἑκάστῳ τῶν γεγονότων διεξαγωγὴν ὥσπερ τινὰ καὶ οἰκονομίαν. Ἀναμελῳδεῖ γάρ που καὶ ἀναμέλπει λέγων ὁ θεῖος Δαβίδ· «Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται». Ὁλκάδος μὲν γὰρ τοῖς ἐξ οὐρίας πνεύμασιν εὖ μάλα συνωθουμένης καὶ εἰς τὸ βαθὺ δὴ τουτὶ διαττούσης πέλαγος ἀσυμφανὲς τὸ ἴχνος ἐστίν. Ἀρότρου γὰρ δίκην ἐπιχαράττουσα μόλις τῆς θαλάττης τὸν νῶτον, ὑπόπτερος τρόπον τινὰ διὰ μέσων ἴεται τῶν κυμάτων, ἃ καὶ ταῖς εἰς ἄλληλα συνδρομαῖς ἀνακιρνᾶσιν εὐθὺς τὸ διατετμῆσθαι δοκοῦν. Ἢ οὐχ ὧδε ἔχει;*

*Β. Κομιδῇ μὲν οὖν. Σκόπει δὲ ὅπως ἂν ἡμῖν ἡ γέννησις δίχα πάθους ἔσται καὶ ἀπορροῆς, καὶ εἴπερ ἐνδέχεται μὴ προϋφεστάναι λέγειν τοῦ αἰτιατοῦ τὸ αἴτιον αὐτοῦ.*

*Α. Οὐ προϋφεστήξει ποθέν, πολλοῦ γε καὶ δεῖ· ἀλλ' οὐδ' ἂν τῷ τόκῳ συμπαρομαρτῆσαι ποτὲ τομή τε καὶ πάθος, εἰ ἐπὶ Θεοῦ τὸ χρῆμα νοοῖτο, ἐφ' οὗ καὶ τὸ δύνασθαι παθεῖν καὶ τὸ δεῖν ἐν χρόνῳ τίκτεσθαι τὸ γεννώμενον ἀσθενεῖ. Σωμάτων μὲν γὰρ πέρι*

---

48. Παροιμ. 9, 12.

49. Ψαλμ. 76, 20.

σου τὰ λόγια. Λοιπόν, ἐὰν κάποιος ἐρευνᾶ μὲ σχολαστικότητα καὶ ἀναζητᾶ κατὰ τρόπο ριψοκίνδυνο τὰ ἴχνη αὐτῶν ποὺ δὲν μπορεῖ νὰ συλλάβει ὁ νοῦς, καὶ οὔτε κατακτῶνται μὲ τὴ δύναμη τῶν λόγων, αὐτὸς λέμε ὅτι εἶναι ἐλάχιστα φιλομαθής, καὶ ὑποβάλλεται σὲ ἄσκοπους καὶ περιττοὺς μᾶλλον κόπους. Καὶ βρίσκει ἐφαρμογὴ γιὰ κάθε τέτοιον, καὶ ὄχι σκόπιμα, τό· «Ὅποιος στηρίζεται σὲ ψέματα, αὐτὸς βόσκει ἀνέμους, καὶ εἶναι σὰν νὰ κυνηγάει πουλιὰ ποὺ πετοῦν»[48]. Γιατὶ ἐγκατέλειψε τοὺς δρόμους τῶν ἀμπελώνων του, ξεστράτισε μακριὰ ἀπὸ τὴν κατεύθυνση τοῦ χωραφιοῦ του, καὶ περπατᾶ μέσα σὲ ἄνυδρη ἔρημο καὶ γῆ ποὺ εἶναι προορισμένη γιὰ διψασμένους, καὶ θερίζει μὲ τὰ χέρια του στάχυα χωρὶς καρπό. Γιατὶ ἀποχαιρετώντας ἀνόητα αὐτὰ ποὺ εἶναι ἀπαραίτητα καὶ ὠφέλιμα καὶ γεμᾶτα ἀλήθεια, καλλιεργοῦν αὐτὸ ποὺ εἶναι ψεύτικο καὶ δέχονται ὡς ἀναγκαῖο αὐτὸ ποὺ δὲν ἔχει καρπὸ εὐσέβειας, καὶ φουσκώνει ὁ νοῦς τους σὲ τέτοιο σημεῖο ἀλαζονείας, ὥστε νὰ νομίζουν ὅτι εἶναι κατηγορία καὶ βρισιὰ τὸ ὅτι αὐτὸς δὲν γνωρίζει καλὰ τὴ φύση του, ἀλλὰ ἡ γνώση του παραχωρεῖται μόνο ἀπὸ τὸν Θεό, παρόλο ποὺ ἡ θεόπνευστη Γραφὴ ἀναφωνεῖ ὅτι εἶναι πολὺ ἀνέκφραστοι οἱ δρόμοι τοῦ Θεοῦ, δηλαδὴ ὅτι ἡ δημιουργία τῶν ἐπιμέρους ὄντων εἶναι κάποιας μορφῆς οἰκονομία. Γιατὶ ψάλλει κάπου ὁ θεῖος Δαβίδ· «Οἱ δρόμοι σου εἶναι στὴ θάλασσα καὶ τὰ μονοπάτια σου πάνω σὲ πολλὰ νερά, ὥστε νὰ μένουν ἄγνωστα τὰ ἴχνη σου»[49]. Παρόμοια δηλαδὴ μὲ ἕνα πλοῖο ποὺ ὠθούμενο ἀπὸ εὐνοϊκοὺς ἀνέμους καὶ κινούμενο μέσα στὸ βαθὺ πέλαγος δὲν ἀφήνει φανερὰ τὰ ἴχνη του. Γιατὶ σὰν ἄλλο ἀλέτρι, χαράζοντας μόλις τὴν ἐπιφάνεια τῆς θάλασσας, περνάει σὰν νὰ πετάει μέσα ἀπὸ τὰ κύματα, τὰ ὁποῖα μὲ τὶς ἐπαναφορές τους καλύπτουν τὴν ἐπιφάνεια τῆς θάλασσας ποὺ φαίνεται ὅτι ἔχει διαχωρισθεῖ. Ἢ μήπως δὲν εἶναι ἔτσι;

Β. Καὶ πολὺ μάλιστα. Σκέψου ὅμως ἂν μπορεῖ ἡ γέννηση γιὰ μᾶς νὰ γίνει χωρὶς πάθος καὶ ροὴ πρὸς τὰ ἔξω, καὶ ἂν εἶναι δυνατὸ νὰ λέμε ὅτι δὲν προϋπάρχει τὸ αἴτιο ἀπὸ τὸ αἰτιατό.

Α. Δὲν προϋπάρχει καθόλου· πολὺ ἀπέχει αὐτὸ ἀπὸ τὴν ἀλήθεια. Ἀλλ' οὔτε καὶ κατὰ τὴ γέννηση ἀκολούθησε κάποια ἀποκοπὴ καὶ πάθος, ἐὰν τὸ γεγονὸς τὸ νοήσουμε στὸν Θεό, στὸν ὁποῖο καὶ ἡ δυνατότητα νὰ πάθει, καὶ τὸ νὰ πρέπει αὐτὸ ποὺ γεννιέται νὰ γεννη-

*λόγος ἦν εἴπερ τις εἰς τὸ παρόν, οἷς ἂν ἁρμόσαι καὶ τὸ παθεῖν, οὐκ ἀμελετήτως ἐχούσης τῆς φύσεως εἰς ἀπορροήν, καὶ μὴν καὶ ἀραρότως ἀκολουθοῦν τῷ χρόνῳ περιορίζεσθαι, καὶ τὴν τῆς γεννήσεως ἀρχὴν οὐκ ἄναρχον ἔχειν, φαίην ἂν εἰκότως ὡς οὐκ ἂν ἐξοίχοιτο τυχὸν τοῦ πιθανῶς ἔχειν τὰ τῆς ὑποψίας αὐτοῖς. Ἐπειδὴ δὲ περὶ φύσεως ἡμῖν ὁ λόγος τῆς ἀνωτάτω παντὸς ἁπτοῦ τε ἅμα καὶ ὁρατοῦ σώματος, ἣ καὶ αὐτῶν αἰώνων ἐστὶ τεχνῖτις καὶ χρόνου παντὸς τὸ πρεσβύτατον, πῶς οὐκ ἀπόπληκτον παντελῶς τὸ γοῦν οἴεσθαί τι παθεῖν γεννῶσαν αὐτὴν καὶ τὴν ἐν χρόνῳ γένεσιν ἔχειν τὸ ἐξ αὐτῆς ὡς ἴδιόν τε καὶ ἐνυπάρχον αὐτῇ; Αἴτιον δὲ καὶ αἰτιατὸν οὐδὲ ὀνομάσαι θέμις, πρέποι δ' ἂν μᾶλλον ἐπὶ Θεοῦ Πατέρα τε εἰπεῖν καὶ γεννηθέντα Υἱόν.*

*Β. Ἀλλ' ἴσθι τοι καὶ ἐφιέντας τυχὸν ὧδε μὲν τοῦτο ἔχειν, εἰ δοκεῖ· ἐρεῖν δ' οὖν ὅμως πῶς ἂν γεννήσειεν ὁ Πατὴρ ἐξ ἑαυτοῦ καθ' ὑμᾶς, καὶ οὐκ ἄν τι πρόοιτο διακοπὴν ὑπομείνας καὶ ἀπορροήν, τὴν εἰς ἕτερόν τι παρ' αὐτόν, εἴπερ ἐστὶν ἀληθῶς ἐξ αὐτοῦ κατ' οὐσίαν ἰδιοσυστάτως ὁ Υἱός· πῶς δὲ οὐχὶ τὸ γεννῶν πάντῃ τε καὶ πάντως τοῦ γεγεννημένου προϋφεστήξει καὶ προεπινοηθήσεται;*

*Α. «Ὁ μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει», κατὰ τὴν τοῦ προφήτου φωνήν. Οἷς γὰρ ἦν εἰκὸς οὐ μετρίως ἐπερυθριᾶν, εἴπερ τι μετῆν εὐβουλίας αὐτοῖς, τούτοις οὐκ οἶδ' ὅπως ἀσυνέτως ἐπισεμνύνονται, τομὰς καὶ ἀπορροὴν καὶ τὸ ἐν χρόνῳ δεῖν ἀποτεκεῖν ἐπ' αὐτῆς ἡμῖν τῆς θείας διοριζόμενοι φύσεως. Εἶτα πῶς οὐκ ἄμεινον ἐννοεῖν ὅτι μήτε ἐν χρόνῳ μήτε κατὰ σῶμα τὴν γέννησιν ἢ νοεῖν ἢ φράζειν ἄξιον; Οὐδὲ γὰρ ἂν ἔχοιεν εἰπεῖν ὡς ἐν χρόνῳ γέγονε Πατὴρ ὁ Θεός, ἀλλ' ἦν ἀχρόνως τε καὶ ἀνάρχως τοῦθ' ὅπερ ἐστί, συνυφεστηκότος αὐτῷ δηλονότι τοῦ δι' ὅν ἐστι Πατήρ. Ἐξέλαμψε γὰρ τρόπῳ τε τῷ ὑπὲρ νοῦν καὶ ὡς οὐκ ἄν τις φράσαι τῆς τοῦ Πατρὸς οὐσίας ὁ Υἱός, οὐ κατὰ μερισμὸν ἢ διαίρεσιν τοῦ γεγεννηκότος τὴν ἰδίαν ὕπαρξιν ὡς ἑτέραν ἔχων,*

---

50. Ἠσ. 32, 6.

θεῖ μέσα στὸν χρόνο, δὲν ἔχουν ἰσχύ. Ἂν βέβαια τώρα γίνεται λόγος γιὰ τὰ σώματα, στὰ ὁποῖα ταιριάζει καὶ τὸ πάθος, ἀφοῦ ἡ φύση τους ὑφίσταται ἀνυπολόγιστη ροὴ πρὸς τά ἔξω, ἀλλὰ καὶ τὰ συνοδεύει μονίμως ὁ χρονικὸς περιορισμός, καὶ δὲν ἔχουν ἄναρχη τὴν ἀρχὴ τῆς γέννησής τους, θὰ μποροῦσε κανεὶς εὔλογα νὰ πεῖ, ὅτι δὲν ἀπέχει πολὺ ἀπὸ τοῦ νὰ εἶναι πιθανὴ ἡ ὑποψία αὐτῶν. Ἐπειδὴ ὅμως κάνουμε λόγο γιὰ τὴ φύση ποὺ εἶναι ἀνώτερη ἀπὸ κάθε σῶμα χειροπιαστὸ καὶ ὁρατό, καὶ ἡ ὁποία φύση εἶναι αὐτὴ ποὺ κατασκεύασε τοὺς ἴδιους τοὺς αἰῶνες, καὶ τὸ μεγαλύτερο σὲ ἡλικία ἀπὸ κάθε ἔννοια χρόνου, πῶς δὲν εἶναι ἐντελῶς τρελλὸ τὸ νὰ πιστεύουμε ὅτι ἔπαθε κάτι γεννώντας, καὶ ὅτι αὐτὸ ποὺ γεννήθηκε ἀπὸ αὐτὴν ἔχει τὴν μέσα στὸν χρόνο γέννηση ὡς ἰδιαίτερο χαρακτηριστικὸ ποὺ ὑπάρχει μέσα σ᾽ αὐτήν; Γιὰ αἴτιο ὅμως καὶ αἰτιατὸ δὲν εἶναι σωστὸ οὔτε νὰ μιλᾶμε, ἀντίθετα πρέπει γιὰ τὸν Θεὸ νὰ λέμε Πατέρα καὶ Υἱὸ ποὺ γεννήθηκε.

Β. Γνώριζε ὅμως ὅτι ἐνδεχομένως θὰ θέλουν αὐτὸ νὰ εἶναι ἔτσι, ἐὰν νομίζεις· ὅμως θὰ ρωτήσουν, πῶς εἶναι δυνατὸ νὰ γεννήσει ὁ Πατέρας ἀπὸ τὸν ἑαυτό του, ὅπως δεχόμαστε ἐμεῖς, καὶ νὰ μὴν ὑποστεῖ ἀποκοπὴ καὶ ροὴ πρὸς τὰ ἔξω, σὲ κάτι ἐκτὸς αὐτοῦ, ἐὰν βέβαια πράγματι ὁ Υἱὸς προέρχεται ἀπὸ τὴν οὐσία τοῦ Πατέρα ὡς ἰδιαίτερη ὑπόσταση; Καὶ πῶς αὐτὸ ποὺ γεννᾶ δὲν προϋπάρχει καὶ δὲν ἐννοεῖται ὁπωσδήποτε πρὶν ἀπὸ αὐτὸ ποὺ γεννιέται;

Α. «Ὁ μωρὸς λέγει πράγματα ἀνόητα καὶ ἡ καρδιά του σκέφτεται πράγματα μάταια», ὅπως λέγει ὁ προφήτης[50]. Γιατὶ αὐτὰ γιὰ τὰ ὁποῖα ἔπρεπε νὰ κοκκινίζουν ἀπὸ ντροπή, ἂν εἶχαν λίγο μυαλό, δὲν ξέρω πῶς καυχῶνται ἀπερίσκεπτα γι᾽ αὐτά, καθορίζοντας τομὲς καὶ ροὴ πρὸς τὰ ἔξω, καὶ ὅτι πρέπει ἡ θεία φύση νὰ ἔχει γεννήσει μέσα στὸν χρόνο. Καὶ ἔπειτα, πῶς δὲν εἶναι προτιμότερο νὰ σκεπτόμαστε ὅτι δὲν εἶναι ἄξιο νὰ λέμε ὅτι ἡ γέννηση ἔγινε μέσα στὸν χρόνο καὶ σύμφωνα μὲ τοὺς νόμους τοῦ σώματος; Γιατὶ τότε δὲν θὰ μποροῦσαν νὰ ποῦν ὅτι ὁ Θεὸς ἔγινε Πατέρας μέσα στὸν χρόνο, ἀλλ᾽ ἦταν αὐτὸ ποὺ εἶναι πέρα ἀπὸ τὸν χρόνο καὶ χωρὶς ἀρχή. Γιατὶ ὁ Υἱὸς ἐμφανίσθηκε, κατὰ τρόπο ποὺ ὑπερβαίνει τὸν νοῦ καὶ δὲν μπορεῖ κανεὶς νὰ τὸν περιγράψει, ἀπὸ τὴν οὐσία τοῦ Πατέρα, χωρὶς νὰ ἔχει τὴν ἰδιαίτερη ὕπαρξή του μὲ μερισμὸ ἢ διαίρεση, ἀλλὰ ὑπάρχοντας ὡς ἰδιαί-

*ἀλλ᾽ ὑπάρχων μὲν ἰδιοσυστάτως, γεννηθεὶς δὲ οὕτως ὡς ἂν ἀποτέκοι τὸ ἀσώματον, ὃ τομῆς τέ ἐστι καὶ μερισμοῦ παντελῶς ἀπείρατον. Εἰ γὰρ ὅλως τομῆς τε καὶ μερισμοῦ καὶ ὧν ἐκεῖνοί φασιν ἡ θεία φύσις ἀνέχεται, νοείσθω καὶ σῶμα· εἰ δὲ τοῦτο, καὶ ἐν τόπῳ πάντως που, καὶ ἐν μεγέθει καὶ ποσῷ. Καὶ ἐπειδὴ πεπόσωται, μὴ φευγέτω περιγραφήν. Ἕψεται δὲ τούτοις καὶ ἑτέρων ἡμῖν ἐννοιῶν ἑσμός, τὰ σωμάτων ἴδια καταχέων αὐτῆς καὶ λογισμῶν ἀτοπία δεινή.*

*Β. Σύμφημι κἀγώ.*

*Α. Οὐ γάρ, ὦ φιλότης, καὶ τόδε εἰπεῖν καταδείσαιμ᾽ ἂν οὐδαμῶς.*

*Β. Τὸ ποῖον;*

*Α. Εἰ γὰρ τοῖς τῶν σωμάτων ἔθεσί τε καὶ νόμοις καὶ ἡ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπενεχθεῖσα φύσις, τέξεται μὲν καὶ οὐ δίχα πάθους, ὑπομενεῖ δὲ τὸν μερισμόν, ἔσται που πάντως καὶ ἐν ἰδίᾳ τινὶ θέσει τε καὶ τόπῳ τὸ γεννώμενον, ἅτε δὴ καὶ εἰσάπαν τῆς τοῦ τεκόντος ποσότητος ἐκπεφοιτηκός· τίκτεται γὰρ ὧδε τὰ ἀπὸ σωμάτων. Εἴπερ οὖν οἴονται τὰ πάντα πληροῦν τὸν Θεὸν καὶ Πατέρα, ποῖ ποτε ἡμῖν τὸ ἐξ αὐτοῦ κείσεται καὶ τίνα τὸν ἴδιον εὑρήσει τόπον;*

*Β. Ἄριστα ἔφης ὡς ἔσται τις ἐντεῦθεν οὐ μετρία πληθὺς ἀνοσίων ἐννοιῶν. Παραιτητέον γὰρ οὖν τὸ τῆς γεννήσεως χρῆμα καὶ μὴ νοείσθω, φασίν, ἀληθὲς ἐπὶ Θεοῦ. Συνοιχήσεται γὰρ οὕτω καὶ ἡ τῶν λογισμῶν ἀτοπία.*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστιν ἕτερον οὐδέν, ἢ τὸν ἀκριβῆ τῆς πίστεως διαλακτίσαι λόγον. Πῶς γὰρ ἂν ἔτι τὸ ἐν Τριάδι ταὐτὸν ἡ θεία τε καὶ ἄφραστος κεκτήσεται φύσις, εἰ τὸν ἀληθῆ τῆς γεννήσεως ἀναιρήσομεν τρόπον; Τερθρεία δὲ οἶμαι ταυτί, καὶ φρενοβλαβείας ἰουδαϊκῆς ἀπαίδευτον θράσος. Ἐν ἴσῳ δὴ οὖν ἐσόμεθα καὶ ἡμεῖς αὐτοὶ τοῖς ἕνα μὲν εἶναι δοξάζουσι τὸν τῶν ὅλων γενεσιουργὸν καὶ Πατέρα Θεόν, μὴ μὴν ἔτι παραδεδειγμένοις τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. Τί δὲ δὴ καὶ τὸ καταλεύειν αὐτὸν διακωλύσειεν ἄν, ἐγκαλοῦντας ἰουδαϊκῶς, «Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς ἑαυτὸν Θεόν»; Εἰ γὰρ δὴ τὸν ἀληθῆ τῆς γεννήσεως*

---

51. Ἰω. 10, 33.

τερη ὑπόσταση, ὄντας ὅμως γεννημένος ἔτσι ὅπως θὰ γεννοῦσε τὸ ἀσώματο, τὸ ὁποῖο δὲν ἐπιδέχεται καθόλου τομὴ καὶ μερισμό. Γιατί, ἐὰν ἡ θεία φύση ἐπιδέχεται γενικὴ τομὴ καὶ μερισμὸ καὶ ὅλα ὅσα λένε ἐκεῖνοι, τότε πρέπει νὰ νοεῖται ὅτι εἶναι σῶμα. Ἐὰν ὅμως αὐτὸ εἶναι ἔτσι, τότε πρέπει ὁπωσδήποτε νὰ εἶναι περιορισμένη καὶ σὲ τόπο καὶ σὲ μέγεθος καὶ σὲ ποσό. Καὶ ἐὰν ἔχει ποσότητα, τότε δὲν ἀποφεύγει καὶ τὴν περιγραφή. Θὰ ἀκολουθήσει ὅμως σ᾽ αὐτὰ καὶ πλῆθος ἄλλων ἐννοιῶν, ποὺ θὰ τὴν περιλούσει μὲ τὰ γνωρίσματα τῶν σωμάτων, καὶ φοβερὴ ἀνοησία συλλογισμῶν.

Β. Συμφωνῶ κι᾽ ἐγώ.

Α. Δὲν θὰ διστάσω ὅμως, φίλε μου, καθόλου νὰ πῶ καὶ τὸ ἑξῆς.

Β. Ποιό;

Α. Ἐὰν ἡ φύση τοῦ Θεοῦ καὶ Πατέρα, ὑποταγμένη στὶς συνήθειες καὶ τοὺς νόμους τῶν σωμάτων, γέννησε ὄχι χωρὶς πόνους, καὶ ὑπέστη τὴ διαίρεση, τότε αὐτὸ ποὺ γεννήθηκε θὰ πρέπει νὰ βρίσκεται σὲ κάποια ἰδιαίτερη θέση καὶ τόπο, ἀφοῦ βγῆκε μιὰ γιὰ πάντα ἀπὸ τὴν ποσότητα τοῦ Πατέρα. Γιατὶ μ᾽ αὐτὸν τὸν τρόπο γεννιῶνται αὐτὰ ποὺ προέρχονται ἀπὸ τὰ σώματα. Ἐὰν λοιπὸν πιστεύουν ὅτι ὁ Θεὸς καὶ Πατέρας γεμίζει τὰ πάντα, τότε ποῦ βρίσκεται αὐτὸ ποὺ γεννήθηκε ἀπὸ αὐτὸν καὶ ποῦ θὰ βρεῖ δικό του τόπο;

Β. Πολὺ σωστὰ εἶπες, ὅτι θὰ ἀκολουθήσει ἀπὸ αὐτὸ μεγάλο πλῆθος ἀνίερων συλλογισμῶν. Ἑπομένως πρέπει νὰ ἐγκαταλείψουμε τὸ θέμα τῆς γέννησης καὶ νὰ μὴ τὸ θεωροῦμε ἀληθινὸ στὴν περίπτωση τοῦ Θεοῦ. Γιατὶ ἔτσι θὰ φύγει καὶ ἡ ἀτοπία τῶν συλλογισμῶν.

Α. Αὐτὸ βέβαια δὲν σημαίνει τίποτε ἄλλο, παρὰ ὅτι δίνουμε κλωτσιὰ στὸν λόγο τῆς πίστεως. Γιατὶ πῶς ἡ θεία καὶ ἀπερίγραπτη φύση θὰ ἔχει τὴν Τριαδική της ταυτότητα, ἐὰν καταργήσουμε τὸν πραγματικὸ τρόπο τῆς γέννησης; Νομίζω πὼς αὐτὸ εἶναι σόφισμα καὶ ἀγροῖκο θράσος ἰουδαϊκῆς φρενοβλάβειας. Γιατὶ θὰ εἴμαστε ἴσοι καὶ ἐμεῖς οἱ ἴδιοι μὲ ἐκείνους ποὺ πιστεύουν, ὅτι ἕνας εἶναι ὁ δημιουργὸς τῶν ὅλων καὶ Πατέρας Θεός, ἀλλὰ δὲν παραδέχονται τὸν Κύριό μας Ἰησοῦ Χριστόν. Καὶ τί θὰ τοὺς ἐμπόδιζε νὰ τὸν σκοτώσουν μὲ λιθοβολισμό, ἀφοῦ τὸν κατηγοροῦν κατὰ τρόπο ἰουδαϊκό, «Δὲν σὲ λιθοβολοῦμε γιὰ κάποιο καλὸ ἔργο, ἀλλὰ γιὰ βλασφημία, γιατὶ ἐσύ, ἐνῶ εἶσαι ἄνθρωπος, κάνεις τὸν ἑαυτό σου Θεό»[51]; Γιατί, ἐὰν καταργή-

*τρόπον ἀναιρήσουσι δυσσεβῶς, οὐκ ἄν, οἶμαι, τίς εἰς τοῦτο λοιπὸν ἐννοιῶν ἐλαφρίας καταφοιτήσειεν, ὡς Θεὸν εἶναι κατὰ φύσιν οἴεσθαι τὸν Υἱόν, διακεκλῆσθαι δὲ μόνον, καθὰ καὶ ἡμᾶς αὐτούς, καὶ εἰσποίητον ἀληθῶς τὸ τῆς θεότητος ὄνομα λαχεῖν, ὡς οὐκ ἐξ αὐτῆς πεφηνότα τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός. Ἐπειδὴ δὲ κατ᾽ ἐκείνους Υἱὸς μὲν οὐκ ἔτι, τελεῖ δέ, ὡς ἔοικεν, σὺν ἡμῖν ἐν κτίσμασι, λελυτρώμεθα μὲν οὔπω τοῦ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα, προσκυνοῦντες αὐτῷ, δυσσεβείας δὲ τῆς ἐπὶ τούτῳ γράψεται μὲν ἡμᾶς οὐκ ἐν δίκῃ Θεός, ἑαυτῷ δὲ μᾶλλον ἀναθήσει τὰς αἰτίας, ἐπείπερ εἰσάγων τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει· «Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ». Ὁ δὲ καὶ πρὸς αὐτῶν τῶν ἁγίων ἀγγέλων προσκυνούμενος καὶ τὴν τῷ Θεῷ καὶ Πατρὶ πρέπουσαν δόξαν ὡς ἰδίαν ἔχων, πῶς οὐκ ἂν εἴη καὶ ἐκ τοῦ Πατρὸς φυσικῶς, διά τε τοῦτο Θεός; Αἰσθάνῃ δὴ οὖν εἰς οἷον αὐτοῖς καταστρέφει τέλος τὸ δεῖν οἴεσθαι μήτε ἀληθῆ τὴν γέννησιν ἐπὶ Θεοῦ, μήτε μὴν ἐθέλειν ἐᾶν τὸ ὅπως ἂν ἔχοι φύσεως ἀποτίκτειν αὐτόν, πολυπραγμονοῦντας οὐδέν, ἐπιρρίπτειν δὲ ὥσπερ ἐξ ἀφύκτου λοιπὸν ἀνάγκης αὐτῷ τομὰς καὶ ἀπορροὴν καὶ τὰ τῶν σωμάτων ἴδια πάθη.*

*Β. Συνίημι μέν· πῶς δ᾽ ἂν τέκοι, φασί, καὶ οὐχὶ πάντῃ τε καὶ πάντως ἕψεται τὸ παθεῖν;*

*Α. Ὅτι, καθάπερ ἔφθην εἰπών, οὐχὶ τοῖς σωμάτων νόμοις ὑπεζεῦχθαι τὸ ἀσώματον ὑπονοεῖν εὐσεβές, οὐδὲ ἐπεί τοι κατὰ πάθος καὶ μερισμὸν ἀποτίκτει τὸ σῶμα, τέκοι ἂν ἀπαραλλάκτως ὡδὶ τὸ ἀσώματον· ἀλλ᾽ ὥσπερ ἐστὶ κατά γε τὸν τοῦ πῶς εἶναι λόγον ἑτεροίως ἔχον παρὰ τὸ σῶμα, καὶ τὸν τῆς γεννήσεως τρόπον ἕξει που πάντως αὐτῷ πρέποντά τε καὶ ἴδιον. Καὶ ἐπειδήπερ ἐν χρόνῳ τὸ σῶμα γεννᾷ, τέξεταί που πάντως οὐχ ὁμοίως τὸ ἀσώματον. Ἕκαστον γάρ, οἶμαι, τῶν ὄντων οὐχὶ τοῖς ἑτέρου πάντως, ἀλλ᾽ ἰδίοις τισὶν ὑποκείσεται νόμοις· καὶ κοινὸν μὲν τοῖς οὖσι τὸ εἶναι, διανέμει δ᾽ οὖν ὅμως ἡ φύσις ἑκάστῳ τὴν ἑτερότητα, θεσμοῖς ἰδίοις ἐξείργουσα πρὸς τὸ μὴ οὕτως ἔχειν εἰσάπαν ὥσπερ ἂν εἴη τὸ*

52. Ἑβρ. 1, 6.

σουν μὲ ἀσέβεια τὸν ἀληθινὸ τρόπο τῆς γέννησης, δὲν νομίζω ὅτι κάποιος θὰ φτάσει σὲ τέτοιο σημεῖο ἐπιπολαιότητας σκέψεων, ὥστε νὰ πιστεύει ὅτι ὁ Υἱὸς εἶναι κατὰ φύση Θεός, ἐνῶ μόνο ὀνομάζεται, ὅπως καὶ ἐμεῖς, καὶ ἔχει τὸ ὄνομα τῆς θεότητας στὴν πραγματικότητα μὲ υἱοθεσία, ἐπειδὴ δὲν προῆλθε ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα. Ἐπειδὴ λοιπόν, σύμφωνα μ' ἐκείνους, δὲν εἶναι πιὰ Υἱός, καὶ ὅπως φαίνεται εἶναι κτίσμα μαζὶ μὲ μᾶς, καὶ ἔχουμε λυτρωθεῖ χωρὶς νὰ λατρεύουμε τὴν κτίση, ἀλλὰ τὸν κτίστη, ὅταν προσκυνοῦμε αὐτὸν (δηλαδὴ τὸν Υἱὸ) ὁ Θεὸς δὲν θὰ κατηγορήσει ἐμᾶς ὡς δυσεβεῖς γι' αὐτό, ἀλλὰ θὰ ἀποδώσει στὸν ἑαυτό του τὴν αἰτία, γιατὶ παρουσιάζοντας τὸν πρωτότοκο στὴν οἰκουμένη λέγει· «Καὶ νὰ τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ»[52]. Αὐτὸς ὅμως ποὺ προσκυνεῖται καὶ ἀπὸ τοὺς ἴδιους τοὺς ἀγγέλους, καὶ ὁ ὁποῖος ἔχει τὴ δόξα ποὺ ἀνήκει στὸν Θεὸ καὶ Πατέρα ὡς δική του, πῶς μπορεῖ νὰ μὴ προέρχεται καὶ ἀπὸ τὸν Πατέρα κατὰ τρόπο φυσικό, καὶ νὰ εἶναι ἐξαιτίας αὐτοῦ καὶ Θεός; Ἀντιλαμβάνεσαι λοιπὸν σὲ ποιὸ καταστροφικὸ συμπέρασμα τοὺς ὁδηγεῖ, τὸ ὅτι πρέπει νὰ πιστεύουν, ὅτι οὔτε ἡ γέννηση στὸν Θεὸ εἶναι ἀληθινή, οὔτε ὅμως καὶ νὰ θέλουν νὰ ἀφήσουν τὸ ὅτι αὐτὸς γεννάει κατὰ τρόπο ἀνάλογο πρὸς τὴ φύση του, χωρὶς νὰ τὴν περιεργάζονται σχολαστικά, καὶ νὰ τοῦ ἀποδίδουν, ἀπὸ ἀναπόφευκτη δῆθεν ἀνάγκη, μερισμοὺς καὶ ἀπορροή, ἀνάλογα πρὸς τὰ πάθη τῶν σωμάτων.

Β. Τὸ καταλαβαίνω, ἀλλὰ πῶς μπορεῖ νὰ γεννήσει, λένε, χωρὶς νὰ ἀκολουθήσει ὁπωσδήποτε καὶ τὸ πάθος;

Α. Ἀφοῦ, ὅπως εἶπα ἤδη, τὸ ἀσώματο δὲν ὑποτάσσεται στοὺς νόμους τῶν σωμάτων, εἶναι δίκαιο νὰ ὑποθέσουμε ὅτι, ἐπειδὴ τὸ σῶμα γεννάει μὲ πάθος καὶ διαχωρισμό, τὸ ἀσώματο δὲν γεννάει ἀπαράλλακτα ὅπως αὐτό, ἀλλ' ὅπως εἶναι διαφορετικὸ ἀπὸ τὸ σῶμα ὡς πρὸς τὸν τρόπο τῆς ὑπάρξεως, ἔτσι ἔχει ὁπωσδήποτε καὶ τὸν τρόπο γεννήσεως ποὺ τοῦ ταιριάζει καὶ εἶναι ἰδιαίτερος. Καὶ ἐπειδὴ τὸ σῶμα γεννάει μέσα στὸν χρόνο, τὸ ἀσώματο ὁπωσδήποτε δὲν γεννάει κατὰ τὸν ἴδιο τρόπο. Γιατὶ καθένα ἀπὸ τὰ ὄντα, νομίζω, ὑπακούει σὲ κάποιους ἰδιαίτερους νόμους· καὶ εἶνα βέβαια κοινὸ στὰ ὄντα ἡ ὕπαρξη, ἀλλὰ ἡ φύση μοιράζει στὸ καθένα τὴν ἰδιαιτερότητα, ἐμποδίζοντάς τα μὲ ἰδιαίτερους νόμους, ὥστε κανένα νὰ μὴ εἶναι σὰν τὸ

*ἕτερον· ὑπεζεύχθω δὴ οὖν ἔθεσι μὲν καὶ νόμοις τοῖς τῶν σωμάτων τὰ σώματα, καὶ γεννάτω καθ' ἑαυτά, καὶ πασχέτω τοὺς μερισμούς, ἀνείσθω δὲ τὸ ἀσώματον εἰς ἰδίους αὖ λόγους, καὶ γεννάτω καθ' ἑαυτό, πάθους καὶ τομῆς ἐλευθέραν ἔχον τὴν φύσιν. Καὶ εἰ ἐφίκοιτο μὲν ὁ νοῦς εἰς τὸ διειδέναι δύνασθαι τίνα μὲν τρόπον τὸ σῶμα γεννᾷ, συνίησι δὲ οὐκέτι τὴν τῆς ἀσωμάτου φύσεως γέννησιν, τί μὴ μᾶλλον ἑαυτὸν ἀμαθίας γράψεται; Τὸ δὲ δὴ μεῖζόν τε καὶ ἄμεινον ἢ κατὰ σῶμα, πολὺ μᾶλλον δὲ ἀσυγκρίτως ὑπερκείμενον, εἰς τὸν τοῦ χείρονος καταβιάζεται τόπον, καὶ τὰ μηδαμόθεν αὐτῷ προσήκοντα πάθη προσάπτων οὐκ ἐρυθριᾷ. Καὶ εἰ, ὅπερ ἡμῖν οὐ συνιέναι ῥᾷον ἢ ἀνέφικτον εἰδέναι, τοῦτο δὴ πάντως καὶ ἀναιρήσομεν; Ἐπειδὴ δὲ τί κατὰ φύσιν ἐστὶν ὁ Πατὴρ οὐκ ἄν τις ἐκμάθοι, μείων γάρ, οἶμαι, τοῦ τοιοῦδε πᾶς νοῦς, δυσσεβούντων ἀναιδέστερον καὶ μηδὲ αὐτὸν εἶναι λεγόντων, ἢ γοῦν, ἐπεί τοι τῶν ὄντων δημιουργικῶς ἀπαθὲς οὐδέν, διατεινέσθων ὅτι πείσεταί τι καὶ αὐτὸς εἰς ἰδίαν φύσιν καὶ τοῖς τῶν γενητῶν ὑποπεσεῖται θεσμοῖς, ἀγένητος ὤν. Ἀλλ' οἶμαι, λόγος οὐδεὶς καταθήσειεν ἂν εἴς γε δὴ τοῦτο Θεόν· μένει δὲ πάντως ἐρηρεισμένως ἐν οἷς εἶναι πεπίστευται.*

*Β. Μένει γάρ, ἐπεί τοι φύσις ἡ θεία παντελῶς ἀκλόνητος. Ἀλλ' εἰ γεγέννηκε, φησίν, ὁ Θεός, προεπινοηθήσεται πάντως τοῦ Υἱοῦ καὶ προϋφεστήξει τοῦ ἰδίου γεννήματος.*

*Α. Οὐκοῦν ἐρῶ δὴ πάλιν ὡς, εἰ μὴ τοῖς τῶν σωμάτων ἕποιτό τε καὶ ὑποπίπτει θεσμοῖς τὸ ἀσώματον, γεννήσει που πάντως καθ' ἑαυτὸ καὶ οὐ κατὰ σώματος φύσιν. Τὰ μὲν γὰρ προεπινοεῖσθαί τε καὶ προϋφεστάναι τῶν γεννωμένων, ἀναγκαῖος, ὡς ἔοικε, καὶ δυσδιεξίτητος κομιδῇ διαδείξει λόγος, καὶ πρεσβυτέραν ἔχειν τοῦ εἶναι τὴν δόξαν, εἴπερ ἐστὶν ἓν ἐξ ἑνὸς καὶ ὡς ἐκ πρώτου τὸ δεύτερον πρόεισί τε κατὰ χρόνον, οὐκ ἀνάρχως ἐκφυόμενα τοῖς εἰωθόσι γεννᾶν, ἐπείτοι μηδὲ αὐτὴν τῆς ἑαυτῶν γεννήσεως ἄναρχον ἔχει τὴν ῥίζαν. Τὸ δὲ ἀνάρχως ὑπάρχον καὶ τελευτᾶν οὐκ εἰδός,*

ἄλλο· ἔτσι λοιπὸν τὰ σώματα ὑπακοῦουν στὶς συνήθειες καὶ τοὺς νόμους τῶν σωμάτων καὶ γεννοῦν ἰδιαιτέρως καὶ ὑφίστανται διαμερισμούς, ἐνῶ τὸ ἀσώματο ἀφήνεται ἐλεύθερο στοὺς ἰδιαίτερους τρόπους καὶ γεννάει κατὰ τρόπο ἰδιαίτερο, ἐπειδὴ ἡ φύση του εἶναι ἀπαλλαγμένη ἀπὸ πάθος καὶ διαίρεση. Καὶ ἐὰν ὁ νοῦς φτάνει νὰ μπορεῖ νὰ γνωρίζει μὲ ποιὸ τρόπο γεννάει τὸ σῶμα, ὅμως δὲν καταλαβαίνει ποτὲ τὸν τρόπο μὲ τὸν ὁποῖο γεννάει ἡ ἀσώματη φύση, γιατὶ νὰ μὴ κατηγορεῖ τὸν ἑαυτό του γιὰ ἀμάθεια; Ἐνῶ ἀναγκάζοντας τὸ μεγαλύτερο καὶ σπουδαιότερρο ἀπὸ τὸ σῶμα, ποὺ βρίσκεται ἀσυγκρίτως ψηλότερα, νά κατέβει στὴν χειρότερη θέση καὶ προσάπτοντάς του τὰ πάθη ποὺ δὲν ἔχουν καμμιὰ σχέση μ' αὐτό, δὲν κοκκινίζει ἀπὸ ντροπή. Καὶ ἂν κάτι δὲν εἶναι εὔκολο σέ μᾶς νὰ τὸ καταλάβουμε, ἢ εἶναι ἀδύνατο νὰ τὸ γνωρίσουμε, πρέπει αὐτὸ ὁπωσδήποτε νὰ τὸ καταργήσουμε; Καὶ ἐπειδὴ δὲν εἶναι δυνατὸ νὰ μάθει κανεὶς τί ἀκριβῶς εἶναι ὡς πρὸς τὴ φύση του ὁ Πατέρας, γιατὶ ὁ κάθε νοῦς, πιστεύω, εἶναι κατώτερος αὐτοῦ, ἂς ἀσεβήσουν μὲ περισσότερη ἀναίδεια καὶ ἂς ποῦν, πὼς οὔτε κἂν ὑπάρχει, ἢ ὅτι, ἐπειδὴ κανένα ἀπὸ τὰ ὄντα ποὺ δημιουργήθηκαν δὲν εἶναι ἀπαθές, ἂς ὑποστηρίζουν ὅτι ὑφίσταται καὶ αὐτὸς στὴ δική του φύση πάθη, καὶ ξεπέφτει στὶς συνήθειες αὐτῶν ποὺ ἔχουν γεννηθεῖ, ἐνῶ εἶναι ἀγέννητος. Ἀλλὰ νομίζω κανένας λόγος δὲν θὰ ὑποβίβαζε σὲ τέτοιο σημεῖο τὸν Θεό, καὶ μένει ὁπωσδήποτε σταθερὰ σ' αὐτὰ ποὺ πιστεύεται ὅτι εἶναι.

Β. Μένει φυσικά, ἐπειδὴ ἡ θεία φύση εἶναι τελείως ἀκλόνητη. Ὅμως ἐὰν γέννησε, λέγει, ὁ Θεός, τότε ἐννοεῖται ὁπωσδήποτε πρὶν ἀπὸ τὸν Υἱό, καὶ ὑπάρχει πρὶν ἀπὸ αὐτὸ ποὺ γέννησε.

Α. Λοιπὸν θὰ πῶ πάλι, ὅτι, ἐὰν τὸ ἀσώματο δὲν ἀκολουθεῖ καὶ οὔτε ὑποτάσσεται στὶς συνήθειες τῶν σωμάτων, γεννάει ὁπωσδήποτε μὲ ἰδιαίτερο τρόπο καὶ ὄχι σύμφωνα μὲ τὴ φύση τοῦ σώματος. Γιατί, ὅτι αὐτὰ προϋπάρχουν καὶ νοοῦνται προγενέστερα ἐκείνων ποὺ γεννιοῦνται, τὸ ἀποδεικνύει ἀναγκαῖος ὅπως φαίνεται καὶ ἐντελῶς ἀξεπέραστος λόγος, καὶ ὅτι ἔχουν μεγαλύτερη σὲ ἡλικία τὴ γνώμη τῆς ὑπάρξεώς τους, ἐφόσον γεννιέται ἕνα ἀπὸ ἕνα, καὶ ἀπὸ τὸ πρῶτο προέρχεται χρονικὰ δεύτερο, καὶ δὲν βγαίνουν κατὰ τρόπον ἄναρχο ἀπὸ ἐκεῖνα ποὺ συνηθίζουν νὰ γεννοῦν, ἐπειδὴ καὶ αὐτὰ δὲν ἔχουν ἄναρχη τὴ δική τους ρίζα τῆς γεννήσεως. Ἐνῶ ἐκεῖνο ποὺ εἶναι

*φημὶ δὴ Θεός, πῶς ἄν, εἰπέ μοι, τοῖς τῆς ἰδίας φύσεως ἀντιφέροιτο νόμοις, ἀρχὴν τῷ ἰδίῳ καὶ κατὰ φύσιν Υἱῷ τὴν ἐν καιρῷ τε καὶ χρόνοις εἰσδεδεγμένον; Εἴη γὰρ ἂν ἑτεροφυὲς ἔκφυλόν τε οὕτω τὸ γεννώμενον, εἰ τὴν τοῦ τεκόντος αὐτὸ διαψεύσαιτο φύσιν· κείσεται δέ, οἶμαι, τὸ χρῆμα λοιπὸν τερατολογίας οὐ μακράν. Τὸ γάρ τοι πρὸς ἑτερότητα φυσικὴν διατετμῆσθαι δοκεῖν τοῦ γεννῶντος τὸ γεννώμενον ἀμοιρήσειεν ἂν οὐ σφόδρα τοῦ τερατολογεῖσθαι πρέπειν. Οὐκοῦν ἀποτέξεται κατ' ἰδίαν φύσιν τὸ ἀσώματον, οὐ τὴν ἐν χρόνῳ γέννησιν ἔχοντος τοῦ γεννήματος, ἀλλὰ τῇ τοῦ γεννῶντος ὑπάρξει συνεπινοουμένου τε καὶ συνυφεστηκότος, καὶ οὔ τί που κατόπιν ἰόντος, εἴπερ ἐξ ἀνάρχου πέφηνεν ἀρχῆς, τῆς καὶ αὐτῶν τῶν αἰώνων ἀνῳκισμένης.*

*Β. Ὀρθῶς ἔφης· πλὴν εἰ γένοιτο σαφὴς ὁ λόγος καὶ καταβιβάζοιτό πως ἐπὶ τὴν τῶν γενητῶν φύσιν, παραδείξειεν ἂν εὖ μάλα τὸ ζητούμενον. Τὰ γάρ τοι τῶν νοημάτων διεκθρῴσκοντα πολὺ τῶν ἀκροωμένων τὸν νοῦν καταφανεστέραν ἂν ἔχοι τὴν δήλωσιν, εἰ δι' ἐναργῶν ἴοι παραδειγμάτων.*

*Α. Ἀληθὴς μὲν οὖν ὁ λόγος, ὦ 'γαθέ, ἀλλ' εἰ τὴν τῶν ὄντων διασκέψαιο φύσιν, ἆρα ἂν ἔχοις ἀκριβῶς εἰπεῖν ὅτῳ μάλιστα τῶν πάντων εἴκασται Θεός, ὡς τὴν εἰς πᾶν ὁτιοῦν ἐμφέρειαν δύνασθαι λαχεῖν καὶ ἀπαραλλάκτως ἔχειν;*

*Β. Οὐδαμῶς, ἐπεί τοι Θεὸς κατὰ φύσιν οὐδὲν ἔν γε τοῖς τελοῦσιν ἐν γενητοῖς.*

*Α. Ἄγασθαι δὴ οὖν εὖ μάλα δεήσει τὸν ἱερὸν ἡμῖν ὑποφωνοῦντα Παῦλον· «Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι»· καὶ μὴν καὶ τὸ «Ἄρτι γινώσκω ἐκ μέρους», οὐκ ἀθαύμαστον ἐᾶν ὅσιον ἂν εἴη καὶ σοφόν.*

*Β. Εὖ γε δή.*

*Α. Ἰτέον δὴ οὖν ἐπ' αὐτὴν ᾗ τάχος τὴν ἁγίαν Γραφήν. Λειμῶνα δὲ ὅπως εὐφυᾶ τε καὶ εὐανθῆ, τοῖς ἐξ ὡρῶν βλαστήμασιν ἐκπεποικιλμένον, μελιττῶν ἐν τάξει διαποτώμενοι, καὶ τοῖς ὅτι μάλιστα τῷ λόγῳ πρεπωδεστάτοις ἐνιζήσαντες παραδείγμασι, τὸν τῆς ἀρρήτου καὶ ὑπὲρ νοῦν γεννήσεως ἐξεικονίζωμεν τρόπον· καὶ*

---

53. Α' Κορ. 13, 12. 54. Ὅπ. π.

χωρὶς ἀρχὴ καὶ δὲν γνωρίζει θάνατο, δηλαδὴ ὁ Θεός, δὲν θὰ ἐρχόταν σὲ ἀντίθεση, πές μου, πρὸς τοὺς νόμους τῆς δικῆς του φύσεως, δεχόμενος ἀρχὴ στὸν δικό του καὶ κατὰ φύση Υἱό, ὡς πρὸς τὸν καιρὸ καὶ τοὺς χρόνους; Γιατὶ ἔτσι θὰ ἦταν ἑτεροθαλὲς καὶ ξένο αὐτὸ ποὺ θὰ γεννιώταν, ἐὰν ἐξαπατοῦσε τὴ φύση ἐκείνου ποὺ τὸ γέννησε· καί, νομίζω, ὅτι τὸ πρᾶγμα ἐγγίζει τὰ ὅρια τῆς τερατολογίας. Γιατὶ αὐτὸ ποὺ φαίνεται νὰ διαφοροποιεῖ ὡς πρὸς τὴ φύση αὐτὸ ποὺ γεννιέται ἀπὸ ἐκεῖνο ποὺ τὸ γέννησε, δὲν ἀπέχει πολὺ ἀπὸ τοῦ νὰ θεωρεῖται τέρας. Ἑπομένως τὸ ἀσώματο γεννάει σύμφωνα μὲ τὴ δική του φύση, χωρὶς αὐτὸ ποὺ γεννιέται νὰ ἔχει γέννηση μέσα στὸν χρόνο, ἀλλὰ νὰ νοεῖται μαζὶ μὲ τὴν ὕπαρξη ἐκείνου ποὺ τὸ γέννησε καὶ νὰ συνυπάρχει μ' αὐτό, καὶ ὄχι νὰ ἔρχεται ὕστερα ἀπὸ αὐτό, ἐφόσον βγαίνει ἀπὸ ἄναρχη ἀρχή, ἡ ὁποία ὑπάρχει ἀκόμα καὶ πρὶν ἀπὸ τοὺς αἰῶνες.

Β. Σωστὰ μίλησες· ὅμως ἐὰν ὁ λόγος γινόταν σαφὴς καὶ ὑποβιβαζόταν κάπως στὴ φύση τῶν γεννητῶν, θὰ ἀποδεικνυόταν πολὺ περισσότερο τὸ ζητούμενο. Γιατὶ αὐτὰ ἀπὸ τὰ νοήματα ποὺ ξεπερνοῦν τὸν νοῦ τῶν ἀκροατῶν, θὰ ἔκαναν πιὸ φανερὸ αὐτὸ ποὺ θέλουν νὰ ποῦν, ἐὰν προσφέρονταν μὲ σαφῆ παραδείγματα.

Α. Εἶναι σωστὸς βέβαια ὁ λόγος σου, καλόπιστε, ἀλλὰ ἐὰν σκεπτόσουν σοβαρὰ τὴ φύση τῶν ὄντων, θὰ μποροῦσες ἄραγε νὰ πεῖς μὲ βεβαιότητα, ὅτι ὁ Θεὸς τῶν ὅλων περιγράφεται ἔτσι, ὥστε νὰ μπορεῖ νὰ παίρνει τὴν ὁμοιότητα πρὸς κάθε τι καὶ νὰ εἶναι ἀπαράλλακτα ἴδιος μὲ αὐτό;

Β. Καθόλου, γιατὶ κανένα ἀπὸ αὐτὰ ποὺ ἀνήκουν στὰ γεννητὰ δὲν εἶναι κατὰ φύση Θεός.

Α. Πρέπει νὰ θαυμάζεται πάρα πολὺ ὁ ἱερὸς Παῦλος ποὺ μᾶς φωνάζει· «Τώρα βλέπουμε σὰν σὲ καθρέφτη καὶ ἀμυδρά»[53], ἀλλὰ καὶ τό· «Τώρα γνωρίζω κατὰ ἕνα μέρος»[54]· τὸ νὰ μὴ τὸν ἀφήνουμε χωρὶς θαυμασμὸ εἶναι ἱερὸ καὶ σοφό.

Β. Πολὺ σωστά.

Α. Ἂς πᾶμε λοιπόν, ὅσο γρηγορότερα γίνεται, στὴν ἴδια τὴν ἁγία Γραφή, καὶ σὰν σὲ λιβάδι ὄμορφο καὶ ὁλάνθιστο, στολισμένο μὲ τὴν ἐποχιακὴ βλάστηση, πετώντας ὑπὸ μορφὴν μελισσῶν καὶ ἐπικαθήμενοι στὰ παραδείγματα ποὺ ταιριάζουν πάρα πολὺ στὸ θέμα μας, ἂς περιγράψουμε μὲ ζωηρότητα καὶ ἀκρίβεια τὸν ἀπερίγραπτο καὶ

*καθάπερ οἱ λεπτοῖς ἐνιέντες γράμμασι τὸν τοῦ σώματος ὀφθαλμόν, φέρε καὶ αὐτοὶ τὸν νοῦν ἀπερείδοντες, κἂν γοῦν ἐκ μέρους καὶ ὡς ἐν αἰνίγμασι τὴν θείαν ἡμῖν ὅπως ἔχει καταθρήσωμεν φύσιν. Λόγῳ τοίνυν παρεικάζων τὸν Υἱὸν ὁ Πατήρ· «Ἐξηρεύξατο», φησίν, «ἡ καρδία μου λόγον ἀγαθόν». Ἴθι δὴ οὖν, ὦ ἑταῖρε, καί μοι σπουδαίως ἐρομένῳ φράσον, ποῖος ἔν γε τουτοισὶ διακοπῆς καὶ ἀπορροῆς ἐπινοηθείη ἂν ἢ τρόπος ἢ τόπος; Τέξεται μὲν γὰρ καὶ προήσει λόγον τὸν ἐξ ἑαυτοῦ νοῦς ὁ ἀνθρώπινος, καὶ τὴν ἰσχνὴν ὠδῖνα κινήσας ἀπερεύξεται τὸ δοκοῦν, καὶ ταῖς μὲν ἐκ βάθους εἰς τὸ ἄνω τε καὶ ἔξω διαδρομαῖς οὐσιώδη πως τὴν γέννησιν ὁ λόγος ἡμῖν ὑποπλάττεται. Καὶ εἶναι μέν τις ἕτερος παρὰ τὸν προέντα δοκεῖ, διατετμήσεται δὲ οὐδαμῶς· οὔτε μὴν τοῦ πρὸς τὸ ἄνω διαπηδήσαντος λόγου τὴν πρεσβυτέραν ὁ νοῦς ἀποίσεται δόξαν. Ἔστι γὰρ ἐκ νοῦ καὶ εἰς νοῦν ὁ λόγος ἀεί, καὶ μὴν καὶ ὁ νοῦς ἐν λόγῳ. Ἢ εἰ τοῦτο φαῖεν ἂν ὡς οὐκ ἄριστα ἔχοι, νοῦς μὲν ἄλογος ἔσται, λόγος δὲ ἄνους, καὶ ὅπερ ἄμφω τοῦθ' ὅπερ εἰσὶ νοεῖσθαι ποιεῖ φροῦδόν πως ἤδη διοιχήσεται καὶ ἐλάσει πρὸς τὸ μηδέν. Νοῦς μὲν γὰρ ἀεὶ λόγου ῥίζα τε καὶ γένεσις, νοῦ δὲ αὖ λόγος καρπός τε καὶ κύημα. Ὁ μὲν γὰρ ἄλογος οὐδαμῶς, καὶ εἰ λόγον ἐκτέκοι, ὁ δὲ τὴν τοῦ τεκόντος ποιότητα καὶ ἰδέαν φύσιν ὥσπερ ἰδίαν διεκληρώσατο, πρόεισί τε τὸν τεκόντα παραβλάψας οὐδέν. Τὸ δὲ δὴ καὶ φάναι τολμᾶν, ἔν γε δὴ μάλιστα τούτοις, ὡς ἔστι που πάντως τοῦ γεννωμένου τὸ γεννῶν πρεσβύτερον ἠλίθιον οἶμαι παντελῶς. Πρόεισι μὲν γὰρ ἐκ νοῦ λόγος. Ἐπειδὴ δέ ἐστιν νοῦς ὅτι λόγον ἔχει, λόγος δὲ αὖ πάλιν ὅτι μεμέστωται νοῦ, πῶς ἂν νοοῖτό ποτε δίχα μὲν λόγου νοῦς, λόγος δὲ νοῦ τητώμενος; Τὰ μὲν γὰρ ἔχοντά τι τῶν ἔχεσθαι λεγομένων πρεσβυτέραν πως ἐφ' ἑαυτοῖς ἀπαιτεῖ τὴν τοῦ εἶναι διάληψιν, καὶ ἐν ψιλαῖς ἐννοιῶν φαντασίαις πεπολίωταί πως οὐ μεῖον ἢ ὥσπερ ἂν ἔχοιεν πρὸς υἱοὺς πατέρες, ἀλλ' οἷς συνυπάρχειν ἀνάγκη, καὶ πάντῃ τε καὶ πάν-*

45. Ψαλμ. 44, 2.

πάνω ἀπὸ κάθε νοῦ τόπο τῆς γεννήσεως, καὶ σὰν ἐκείνους ποὺ ρίχνουν τὰ σωματικὰ μάτια τους στὰ μικρὰ γράμματα, ἐμπρὸς κι ἐμεῖς, προσηλώνοντας τὸν νοῦ μας, νὰ προσεγγίσουμε, ἔστω καὶ ἀμυδρὰ καὶ σὰν μὲ αἰνίγματα, τὴ θεία φύση. Ὁ Πατέρας λοιπὸν παρομοιάζοντας τὸν Υἱὸ μὲ λόγο, λέγει· «Ἀναπήδησε ἀπὸ τὴν καρδιά μου λόγος ἀγαθός»[55]. Ἔλα λοιπόν, φίλε, καὶ πὲς σὲ μένα, ποὺ σὲ ρωτῶ μὲ ἐνδιαφέρον, στὰ λόγια αὐτὰ ποιὸς τρόπος ἢ τόπος γιὰ ἀποκοπὴ καὶ ροὴ πρὸς τὰ ἔξω ὑπάρχει; Γιατὶ ὁ ἀνθρώπινος νοῦς γεννᾶ καὶ ἐκφέρει λόγο ἀπὸ μέσα του, καὶ κινώντας τὸν ἰσχνὸ πόνο τοῦ τοκετοῦ, βγάζει αὐτὸ ποὺ κρίνει σωστό, καὶ μὲ τὸν ἐρχομό του ἀπὸ τὸ βάθος πρὸς τὰ ἄνω καὶ ἔξω, κάνει τὴ γέννηση ὁ λόγος κατὰ κάποιο τρόπο οὐσιώδη. Καὶ φαίνεται βέβαια πὼς εἶναι διαφορετικὸς ἀπὸ ἐκεῖνον ποὺ τὸν πρόφερε, ἀλλὰ δὲν διαχωρίζεται ἀπὸ αὐτὸν μὲ κανένα τρόπο, οὔτε καὶ μὲ τὴν ἀναπήδηση τοῦ λόγου πρὸς τὰ ἄνω, ὁ νοῦς ἀποβάλλει τὴ γνώμη ποὺ εἶναι προγενέστερη. Γιατὶ ὁ λόγος προέρχεται ἀπὸ τὸν νοῦ καὶ ὑπάρχει πάντοτε στὸν νοῦ, ὅπως καὶ ὁ νοῦς στὸν λόγο. Ἤ, ἐὰν ἀρνοῦνται ὅτι αὐτὸ δὲν εἶναι ἀληθινό, θὰ εἶναι ὁ νοῦς ἄλογος καὶ ὁ λόγος ἄμυαλος, καὶ αὐτὸ ποὺ κάνει καὶ τοὺς δύο (λόγο καὶ νοῦ) νὰ θεωροῦνται αὐτὸ ποὺ εἶναι, ἐξαφανίζεται ὡς ἀνώφελο καὶ ὁδηγεῖται πρὸς τὸ μηδέν. Γιατὶ ὁ νοῦς εἶναι πάντοτε ἡ ρίζα καὶ ἡ δημιουργὸς αἰτία τοῦ λόγου, καὶ ὁ λόγος πάλι εἶναι καρπὸς καὶ ἀποκύημα τοῦ νοῦ. Γιατὶ ὁ νοῦς δὲν μένει χωρὶς λόγο, ἀκόμη καὶ ὅταν γεννάει λόγο, ἐνῶ ὁ λόγος κληρονομεῖ κατὰ κάποιο τρόπο τὴν ποιότητα καὶ μορφὴ τοῦ νοῦ σὰν δική του φύση, καὶ βγαίνει χωρὶς νὰ βλάπτει αὐτὸν ποὺ τὸν γέννησε. Αὐτὸ λοιπὸν ποὺ τολμοῦν νὰ λένε, ἰδιαίτερα μάλιστα γι᾽ αὐτά, ὅτι δηλαδὴ ἐκεῖνο ποὺ γεννάει εἶναι ὁπωσδήποτε χρονικὰ προγενέστερο ἀπὸ αὐτὸ ποὺ γεννιέται, νομίζω ὅτι εἶναι τελείως ἠλίθιο. Γιατὶ ὁ λόγος προέρχεται ἀπὸ τὸν νοῦ. Καὶ ἀφοῦ εἶναι νοῦς, ἐπειδὴ ἔχει λόγο, καὶ ὁ λόγος ἀντίστοιχα ἐπειδὴ εἶναι γεμᾶτος νοῦ, πῶς θὰ μποροῦσε νὰ νοηθεῖ νοῦς χωρὶς λόγο καὶ λόγος στερημένος νοῦ; Γιατὶ ἐκεῖνα ποὺ ἔχουν κάτι ἀπὸ αὐτὰ ποὺ λέγονται ὅτι εἶναι ἐξηρτημένα ἀπὸ κάτι, διεκδικοῦν γιὰ τὸν ἑαυτό τους τὴν ἀντίληψη ὅτι εἶναι κάπως προγενέστερα χρονικά, καὶ μὲ ἁπλὲς ἔννοιες φαίνονται ὅτι δὲν εἶναι πιὸ λίγο παλαιότερα ἀπὸ ὅσο οἱ πατέρες σὲ σχέση μὲ τοὺς υἱούς τους, ἀλλὰ ἐκεῖνα ποὺ εἶναι ἀνά-

*τως τὸ ἀλλήλοις συνεπινοεῖσθαι πρέπει. Ἀποπεραίνεται δὲ οὕτω τὸ εἶναί τε καὶ συνεστάναι τι, ἄν τις ἀνάπτοι τὸ μεῖον ἐν χρόνῳ καὶ τὸ πρεσβύτερον, καὶ οὐχὶ δὴ μᾶλλον ὅτι καὶ συνδιολεῖται φαμὲν ἀλλήλοιν, εἰ ἑτέρου τὸ ἕτερον προανίσχοι καὶ φαίνοιτο.*

*Β. Βραδύς εἰμί πως εἴς γε τὸ ἀναμαθεῖν δύνασθαι ταυτί, συνίημι δὲ οὐ λίαν ὅ τί ποτ' ἔστιν ὃ λέγεις. Οὐκοῦν διασάφει, καὶ μή μοι νωθείαν ἐγκάλει, μηδὲ ὥσπερ τινὰ δίκην ἐπαρτήσῃς τὴν σιωπήν.*

*Α. Καὶ μὴν ἐγὼ φράζειν ἕτοιμος, ὄκνου γὰρ λόγος οὐ πολὺς ἔν γε τοῖς οὕτω λεπτοῖς ἔστ' ἂν ἡμῖν ἴοι κατὰ ῥοῦν ὁ λόγος. Τὸ γὰρ ἄνω τε καὶ κάτω καὶ οἱονεί πως ἐν κύκλῳ περιφοιτᾶν τὰ δυσέφικτα τῶν θεωρημάτων βλάβος μὲν οὐδέν, οὐ μετρίαν δ' ἂν ἡμῖν ἐμποιῆσαι τὴν ὄνησιν. Οὐκοῦν ἴδοις ἂν ὅπερ ἔφην εὖ μάλα καὶ σαφῶς εἰ τὴν τῶν χρωμάτων διασκέψαιο φύσιν. Εἰπὲ γὰρ ἐκεῖνο, τὴν λευκότητα τυχὸν ἤτοι τὴν μελανίαν, οὔπω τοῖς ἔχειν αὐτὰς εἰωθόσιν ἐνιδρυμένας, αὐτάς που καθ' ἑαυτὰς ἆρ' ὑπάρχειν οἰήσῃ δύνασθαι;*

*Β. Οὐδαμῶς. Συμβαίνει γὰρ τὰ τοιάδε μᾶλλον ἑτέροις, εἶτα τοῦθ' ὅπερ εἰσί, τότε δὴ μόλις ἐκφαίνονται.*

*Α. Ὀρθῶς ἔφης. Οὐκοῦν, οὐσίαι μέν τινες εἶεν ἂν προεπινοηθεῖσαί τε καὶ προϋποκείμεναι τῷ λόγῳ, τήν τε λευκότητα καὶ τὴν μελανίαν εἰσδεδεγμέναι, αἵ δέ εἰσιν ἐν τοῖς ἐχομένοις. Ἀλλ' εἰ βούλοιτό τις ἀναμέρος διατεμὼν τό τε ἔχον ἐν τούτοις καὶ αὖ τὸ ἐχόμενον, καὶ τὸ μὲν ἔχον ὅτι πρεσβύτερον εἴη λέγοι, τό γε μὴν ἐχόμενον ὑστερίζειν οἴοιτο, εἰς ποῖον ἡμῖν οὐσίας καταθήσει τόπον τὸ πεφυκὸς εἶναι λευκόν, εἰ μήπω ἐστὶ λευκόν; Ἢ πῶς ἡ λευκότης εἴη ἂν ὅπερ εἶναι καὶ λέγεται, εἰ μὴ διὰ τοῦ συμβῆναι τοῖς ἔχειν εἰδόσι καὶ πεφυκόσι αὐτὴν ὅτι λευκότης εἴη γνωρίζοιτο; Ἰσόχρονον γὰρ εἰ μὴ λάβοι τὴν συνδρομὴν τὰ πρὸς ἑνὸς ὁτουοῦν συνθέοντα σύστασιν καὶ οὐχ ἑτέρως ἔχειν δυνάμενα, θεωρίᾳ μὲν*

γκη νὰ συνυπάρχουν ὁπωσδήποτε, πρέπει νὰ θεωροῦνται μεταξύ τους σύγχρονα. Ἔτσι τελειώνει τὸ θέμα τοῦ νὰ ὑπάρχει κάτι καὶ νὰ ὑφίσταται, ἂν κάποιος θέλει νὰ συνδέσει τὸ χρονικὰ μικρότερο καὶ τὸ χρονικὰ μεγαλύτερο, καὶ λέμε ὅτι δὲν ἀλληλοαφανίζονται, μὲ τὸ νὰ φαίνεται ὅτι τὸ ἕνα ἀνατέλλει πρὶν ἀπὸ τὸ ἄλλο.

Β. Εἶμαι κάπως βραδύνους στὸ νὰ μπορῶ νὰ τὰ μάθω αὐτά, καὶ δὲν καταλαβαίνω πολὺ τί ἀκριβῶς σημαίνει αὐτὸ ποὺ λές. Ἐξήγησέ μου τα λοιπὸν καὶ μὴ μὲ κατηγορήσεις γιὰ τὴ βραδύνοιά μου, οὔτε νὰ μὲ ἀπειλήσεις μὲ κάποια ποινὴ γιὰ τὴ σιωπή μου.

Α. Πίστεψέ με, εἶμαι ἕτοιμος νὰ σοῦ ἐξηγήσω, γιατὶ δὲν δικαιολογεῖται καθυστέρηση σ᾽ αὐτὰ τὰ τόσο λεπτὰ θέματα, καὶ μπορεῖ νὰ ἀρχίσει ἡ ροὴ τῆς συζητήσεώς μας. Γιατὶ τὸ νὰ κάνουμε ἄνω κάτω καὶ νὰ τριγυρίζουμε, σὰν μέσα σὲ κύκλο, γύρω ἀπὸ τὰ δυσπρόσιτα θέματα, δὲν βλάπτει καθόλου, ἀντίθετα μᾶς προκαλοῦν μεγάλη ὠφέλεια. Λοιπὸν θὰ μπορέσεις νὰ δεῖς αὐτὸ ποὺ εἶπα πολὺ καλὰ καὶ καθαρά, ἂν σκεφθεῖς προσεκτικὰ τὴ φύση τῶν χρωμάτων. Πές λοιπὸν τὸ ἑξῆς· ἡ λευκότητα ἢ ἡ μαυρίλα, γιὰ παράδειγμα, πρὶν νὰ ἐμφανισθοῦν σ᾽ αὐτὰ ποὺ συνήθως τὶς ἔχουν, πιστεύεις ὅτι μποροῦν αὐτὲς νὰ ὑπάρχουν κάπου αὐτοτελῶς;

Β. Μὲ κανένα τρόπο. Γιατὶ αὐτὰ συνδέονται μὲ ἄλλα, καὶ τότε ἀμέσως ἐμφανίζονται αὐτὸ ποὺ εἶναι.

Α. Πολὺ σωστά. Ἑπομένως πρέπει νὰ ὑπάρχουν κάποιες οὐσίες οἱ ὁποῖες ἐξυπακούονται καὶ προϋπάρχουν στὸν λόγο, καὶ ἔχουν μέσα τους τὴ λευκότητα καὶ τὴ μαυρίλα, καὶ αὐτὲς πάλι ὑπάρχουν μέσα σ᾽ αὐτὲς τὶς οὐσίες ποὺ τὶς ἔχουν. Ἂν ὅμως κάποιος θελήσει νὰ διαχωρίσει ἐπὶ μέρους τὶς οὐσίες ποὺ ἔχουν τὰ χρώματα αὐτά, καὶ τὰ ἴδια τὰ χρώματα, καὶ πεῖ ὅτι οἱ οὐσίες ποὺ τὰ περιέχουν εἶναι παλαιότερες, ἐνῶ τὰ ἴδια τὰ χρώματα εἶναι μεταγενέστερα, σὲ ποιὸ τόπο τῆς οὐσίας θὰ τοποθετήσει αὐτὸ ποὺ ἀπὸ τὴ φύση του εἶναι λευκό, ἢ ποὺ δὲν εἶναι ἀκόμα λευκό; Ἢ πῶς μπορεῖ ἡ λευκότητα νὰ εἶναι καὶ νὰ λέγεται αὐτὸ ποὺ εἶναι, παρὰ μόνο ὅταν συνδεθεῖ μὲ αὐτὰ ποὺ γνωρίζουν καὶ τὴν ἔχουν ἀπὸ τὴ φύση τους, ὁπότε ἀναγνωρίζεται ὅτι εἶναι λευκότητα; Γιατί, ἂν δὲν συναντηθοῦν ταυτόχρονα αὐτὰ ποὺ συμβάλλουν στὴ σύσταση ἑνὸς ὁποιουδήποτε πράγματος, καὶ ποὺ δὲν μποροῦν νὰ ὑπάρχουν ἀλλιῶς, μόνο θεωρητικὰ γίνονται κατανοητά,

*ἔσται ληπτά, ἕξει δὲ οὔπω τὸ εἶναι καθ' ὕπαρξιν, κατά γε τὸν σφισι πρέποντα λόγον.*

*Β. Ἀλλ' ὧδε μὲν ἔχει καὶ ἀληθῶς εἰρῆσθαι ταυτὶ διακείσομαί τε αὐτός, οἶμαι δ' ἂν καὶ ἑτέρους οὐ μεῖον ἢ ἐγώ. Πατρί γε μὴν καὶ Υἱῷ πῶς ἂν ἡμῖν ἡ ἀμφοῖν τοῖν παραδειγμάτοιν ἁρμόσοι δύναμις;*

*Α. Ὅτι λόγου μὲν ἡ ἐκ νοῦ πρὸς τὸ ἔξω φορὰ καὶ τὸ ἀπαθὲς τῆς γεννήσεως καὶ μὴν ὅτι τὸ γεννηθὲν οὐ διατετμήσεται, μενεῖ δὲ μᾶλλον αὐτό τε ἐν τῷ γεννήσαντι νῷ καὶ τὸν γεννήσαντα νοῦν ἕξει που πάντως ἐν ἑαυτῷ, διαρκέστατά τε μάλα σαφῶς ἐκδείξειεν ἄν, καὶ πρός γε δὴ τούτοις ὅτι συμφυᾶ τε ἀμέσως καὶ συνυφεστῶσαν ἔχει ταῖς ἐννοίαις τὴν ὕπαρξιν. Τὸ δέ γε τῶν ὄντων τισὶν ἀναγκαίως ἐμφῦναι τὸ χρῶμα λέγειν, καὶ ὡς οὐκ ἂν ἔχοιεν ἑκάτερον ἑκατέρου κατὰ σφῶν αὐτῶν τὸ πρεσβύτερον, ἀναγκαιοτάτην λαχόντα συνύπαρξιν (ἰσοδρομήσει γὰρ πάντως εἰς ἰσόχρονον ἀρχήν), τὸ μὲν τῆς θείας γεννήσεως τίς ἂν νοοῖτο πρὸς ἡμῶν ὁ τρόπος οὐκ οἶμαι σαφηνιεῖν, ἐκεῖνο δὲ μᾶλλον ὡς εἴπερ ἐστὶ Πατὴρ ὁ Θεός, οὐκ ἐν χρόνῳ τὸ εἶναι τοῦθ' ὅπερ ἐστὶν εὑράμενος· ἔστι γὰρ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχων καὶ τροπῆς ἀμείνων τῆς ἐπ' ἀμφοῖν νοουμένης· παντέλειος γάρ, οὔτε τῆς εἰς ὁτιοῦν τῶν ἀγαθῶν πληρώσεως ὑπάρχων ἐπιδεής, οὔτε μὴν τὸν ἐπὶ τοῖς πεφυκόσι λυπεῖν ὑπομένων ὄλισθον· συνεισκρίνεταί που πάντως αὐτῷ καὶ ἡ τοῦ τεχθέντος δήλωσίς τε ὁμοῦ καὶ ὕπαρξις οὐχ ὑστερίζουσα κατὰ χρόνον, οὔτε μὴν κατόπιν ἰοῦσα τῆς τοῦ τεκόντος δόξης διά γε τὸ χρῆναι πάντῃ τε καὶ πάντως ἐπὶ Θεοῦ συνεπινοεῖσθαί τε καὶ συνυπάρχειν ἀεὶ Υἱῷ μὲν Πατέρα, Πατρὶ δὲ αὖ τὸν Υἱόν, πρὸς ἄναρχον ἀρχαιότητα δι' ἑαυτοῦ μαρτυρούμενον, εἰ καὶ ἔστι γεννητῶς, ὡς ἐκ Πατρὸς κατὰ φύσιν. Ἀπαύγασμα δὲ τῆς δόξης τοῦ Θεοῦ καὶ Πατρὸς ὀνομάζων ἡμῖν τὸν Υἱὸν ὁ θεσπέσιος Παῦλος, καὶ μὴν ὅτι καὶ χαρακτήρ ἐστι τῆς ὑποστάσεως αὐτοῦ, κατασφραγιεῖ δή που, καθάπερ ἐγῷμαι, τὸν ἀρτίως ἡμῖν γεγονότα λόγον, ὡς πεποίηται μὲν ἀμωμήτως κομιδῇ, μεθύει δὲ ψήφοις ταῖς εἰς ὀρθότητα καὶ ἀλήθειαν.*

*Β. Πῶς ἔφης;*

56. Ἑβρ. 1, 3.

ἀλλὰ δὲν ὑπάρχουν ὡς χωριστὲς ὑπάρξεις, σύμφωνα μὲ τὸν λόγο ποὺ τοὺς πρέπει.

Β. Ἔτσι πράγματι εἶναι, καὶ συμφωνῶ καὶ ἐγὼ ὅτι σωστὰ εἰπώθηκαν ταυτόχρονα, νομίζω ὅμως ὅτι συμφωνοῦν καὶ ἄλλοι, ὄχι λιγότερο ἀπὸ μένα. Ὅμως πῶς θὰ μποροῦσαν νὰ ἐφαρμοσθοῦν τὰ δύο αὐτὰ παραδείγματα καὶ στὸν Πατέρα καὶ τὸν Υἱό;

Α. Ὅτι ἡ ἐκφορὰ τοῦ λόγου ἀπὸ τὸν νοῦ πρὸς τὰ ἔξω καὶ ἡ ἀπαθὴς γέννηση, καθὼς καὶ τὸ ὅτι αὐτὸ ποὺ γεννιέται δὲν ἀποχωρίζεται, ἀλλὰ καὶ αὐτὸ παραμένει μέσα στὸν νοῦ ποὺ τὸ γέννησε, καὶ ἔχει μέσα του τὸν νοῦ ποὺ τὸ γέννησε, μπορεῖ νὰ τὸ ἀποδείξει ἐπαρκέστατα καὶ μὲ πολλὴ σαφήνεια, μαζὶ μὲ τὰ ἄλλα, καὶ τὸ ὅτι ἡ ὕπαρξη τοῦ λόγου εἶναι ἄμεσα συνεδεμένη καὶ συνυπάρχει μὲ τὶς σκέψεις. Καὶ ὅταν λέμε ὅτι σὲ μερικὰ ὄντα εἶναι φυτευμένο τὸ χρῶμα ἀναγκαστικά, καὶ ὅτι μεταξύ τους δὲν εἶναι τὸ ἕνα παλαιότερο καὶ τὸ ἄλλο νεότερο, ἐπειδὴ ἀναγκαστικὰ συνυπάρχουν, δείχνει ὅτι ὁπωσδήποτε ἔχουν τὴν ἴδια χρονικὴ ἀρχή. Ὅμως ποιὸς εἶναι ὁ τρόπος τῆς θείας γεννήσεως ὡς πρὸς ἐμᾶς δὲν νομίζω ὅτι τὸν διασαφηνίζει, παρὰ μόνο ἐκεῖνο, ὅτι δηλαδή, ἐφόσον εἶναι Πατέρας ὁ Θεός, δὲν ἦρθε στὴν ὕπαρξη, σ' αὐτὸ δηλαδὴ ποὺ εἶναι, μέσα στὸν χρόνο· γιατὶ εἶναι πάντοτε ἴδιος καὶ ἀμετάβλητος καὶ ἀνώτερος ἀπὸ κάθε ἀλλαγὴ ὅσον ἀφορᾶ καὶ τὰ δύο· γιατὶ εἶναι τέλειος σὲ ὅλα, καὶ δὲν ἔχει ἀνάγκη οὔτε ἀπὸ τὴν συμπλήρωση κάποιου ἀγαθοῦ, οὔτε ὑφίσταται διολίσθηση πρὸς ἐκεῖνα ποὺ ἀπὸ τὴ φύση τους προκαλοῦν λύπη· καὶ ἐννοοῦνται ταυτόχρονα καὶ ἡ δήλωση τῆς γεννήσεως καὶ ἡ ὕπαρξή του, χωρὶς νὰ ὑστερεῖ χρονικά, οὔτε νὰ ἔρχεται ὕστερα ἀπὸ τὴ δόξα ἐκείνου ποὺ τὸν γέννησε, γιατὶ πρέπει ὁπωσδήποτε στὸν Θεὸ νὰ ἐννοοῦνται καὶ νὰ ὑπάρχουν πάντοτε ταυτόχρονα ὁ Υἱὸς μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα στὸν Υἱό, τοῦ ὁποίου ἡ χωρὶς ἀρχὴ παλαιότητά του, ἂν καὶ εἶναι γεννητός, ἐπιβεβαιώνεται ἀπὸ τὸ ὅτι προέρχεται κατὰ φύση ἀπὸ τὸν Πατέρα. Καὶ ὁ θεσπέσιος Παῦλος, ὀνομάζοντας τὸν Υἱὸ ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ καὶ Πατέρα, καὶ ἀκόμα ὅτι εἶναι σφραγίδα τῆς ὑποστάσεώς του[56], ἐπιβεβαιώνει, ὅπως ἐγὼ πιστεύω, τὸν λόγο ποὺ κάναμε πρόσφατα, ὅτι δηλαδὴ ἔγινε τελείως ἄψογα καὶ κοσμεῖται μὲ τὴν ὀρθότητα καὶ τὴν ἀλήθεια.

Β. Πῶς τὸ ἐννοεῖς;

*Α. Οἶον δέ με πάλιν ὧδέ πῃ διεσκεμμένον τὸ χρῆμα εἰπεῖν· ὅτι τὸ ὑπό του τυχὸν ἐξηυγασμένον εἴη δ' ἄν που φῶς, οἶμαι, τουτί, τῆς ἀπαυγαζούσης οὐσίας αὐτὸ διακομίζον τοῖς ἔξω τὴν εἴδησιν, καὶ ταῖς δι' ὀμμάτων αἰσθήσεσιν ἐγχρίμπτον ἀεί, ἢ γοῦν καθ' ἕτερόν τινα τρόπον προσβολῆς ὁμιλοῦν τοῖς σώμασι· τὸ τί κατὰ φύσιν ἐστὶν ἡ προϊεῖσά τε καὶ ἐξαστράπτουσα ῥίζα τε αὐτοῦ καὶ γένεσις ἐφῆκε νοεῖν. Συντετάχθω δὲ ὁ λόγος εἰς παράδειγμα λαβὼν τὴν ἡλίου φύσιν καὶ τὴν ἐξ αὐτοῦ προχεομένην αὐγήν. Τί γὰρ κατὰ φύσιν ἐκεῖνος τὸ ἐξ αὐτοῦ προϊέμενον σέλας ἀποφήνειεν ἄν. Διαίρεσιν δὲ ὅλως, ἤτοι τὴν τομὴν καὶ ἀπορροὴν καὶ πάθος, οὐδ' ὅσον εἰδέναι τυχὸν ἀνάσχοιτο ἂν ἡ ἡλίου φύσις, καίτοι χύδην καὶ οὐσιωδῶς τὸ ἐξ αὐτῆς προϊεῖσα φῶς, ἀλλ' ἔστι μὲν ὁλοκλήρως ἐν αὐτῷ, καὶ εἰ προχέοιτο τυχόν, ἔχοι δὲ αὖ ἐν ἑαυτῷ τὸ ἴδιον φῶς, οὐκ ἀπορριζούμενον ἐν τῷ διαχεῖσθαι καὶ δοκεῖν πως ἤδη διὰ τούτου καὶ εἰς ἰδικὴν ἑτερότητα δραμεῖν. Ἀποδιελὼν γὰρ ὁ λόγος ἥλιον μὲν ἀναμέρος αὐτὸν καθ' αὐτόν, τὴν οὐσίαν ὅ τί ποτέ ἐστι φαντάζεται, τὸ δ' ἐν αὐτῷ τε καὶ ἐξ αὐτοῦ προχεόμενον φῶς, ἴδιον μὲν αὐτοῦ, πλὴν εἰς ἀμέριστον ἑτερότητα τὴν ὡς ἐν ψιλαῖς καὶ μόναις ἐννοίαις, εὖ μάλα διοικιεῖ, διά τοι τὴν ἐξ αὐτοῦ πρὸς τὸ ἔξω πρόοδον. Ὅτι δὲ δὴ γελοῖον ἂν εἴη παντελῶς τὸ πρεσβυτέραν μὲν τὴν ἡλίου φαντάζεσθαι γένεσιν, ὑστερίζουσαν δὲ κἂν γοῦν τι βραχὺ τῆς ἐνούσης αὐτῷ φωτοειδοῦς ἐνεργείας τὴν δύναμιν, οὐκ ἂν οἰηθείην ἐνδοιάσειν ὅλως τὸν ᾧπερ ἂν εἴη σώφρων τε καὶ ἐρρωμένος ὁ νοῦς. Ἴσον γὰρ ἥλιον μηδὲ εἶναι λέγειν, εἰ μὴ συνυπάρχον ἔχοι τὸ δι' ὃ νοεῖται τοῦθ' ὅπερ ἐστίν. Οὐκοῦν, ἀνατύπωσιν ὥσπερ τινὰ διαπεπλασμένην ὀρθῶς τῶν ἐν αἰσθήσει παραδειγμάτων τὴν δύναμιν ὡς ἐν ἐννοίαις ἑλὼν ταῖς εἰς λῆξιν ἰούσαις τὴν ἀνωτάτω, τὴν θείαν γέννησιν οὐ καταφθερεῖς, τομὰς ἐπ' αὐτὴν καὶ ἀπορροὴν καὶ πάθος ἀσυνέτως εἰσδεδεγμένος Ἐπὶ γάρ τοι τῆς ἀνωτάτω πασῶν οὐσίας ἀπαθὴς μὲν ἡ γέννησις, καὶ μὴν καὶ οὐσιώδης ἡ τοῦ γεννήματος ὕπαρξις καὶ διατομῆς ἐλευθέρα, καὶ τῷ τεκόντι συνθέουσα καὶ ἀπαραιτήτως συν-*

Α. Πρόσεχέ με πάλι νὰ σοῦ ἐξηγήσω τὸ θέμα ὡς ἑξῆς· αὐτὸ ποὺ ἀκτινοβολεῖ ἀπὸ κάποιο ἄλλο εἶναι, νομίζω, φῶς ποὺ μεταφέρει στοὺς ἔξω τὴ γνώση τῆς οὐσίας ποὺ τὸ ἐκπέμπει, καὶ τὸ ὁποῖο εἰσδύοντας στὶς αἰσθήσεις μέσα ἀπὸ τὰ μάτια, ἢ μιλώντας στὰ σώματα μὲ κάποιον ἄλλο τρόπο, ἀφήνει νὰ καταλάβουμε τί εἶναι κατὰ φύση ἡ ρίζα καὶ ἡ γενεσιουργὸς αἰτία αὐτοῦ ποὺ τὸ ἐκπέμπει καὶ τὸ ἀκτινοβολεῖ. Τὰ λέγω αὐτὰ παίρνοντας ὡς παράδειγμα τὴ φύση τοῦ ἡλίου καὶ τὴν ἀκτῖνα ποὺ ἐκπέμπεται ἀπὸ αὐτόν. Γιατὶ τὸ φῶς ποὺ προέρχεται ἀπὸ αὐτὸν ἀποκαλύπτει τί εἶναι κατὰ φύση ἐκεῖνος. Ἡ φύση λοιπὸν τοῦ ἡλίου δὲν ἀνέχεται οὔτε νὰ γνωρίζει γενικὰ διαίρεση, δηλαδὴ τομὴ καὶ ροὴ πρὸς τὰ ἔξω καὶ πάθος, ἂν καὶ ἐκπέμπει μὲ ἀφθονία ἀπὸ τὸν ἑαυτό του καὶ ἀπὸ τὴν οὐσία του τὸ φῶς, ἀλλὰ μένει ὁλόκληρο σ' αὐτόν, καὶ μολονότι ἐκπέμπεται, ἔχει πάλι στὸν ἑαυτό του τὸ φῶς του, χωρὶς νὰ ξερριζώνεται μὲ τὴν ἀκτινοβολία, ποὺ δίνει κάπως τὴν ἐντύπωση ὅτι ἀποσπᾶται σὲ ἰδιαίτερη ὀντότητα. Γιατὶ κάνοντας ὁ λόγος διαίρεση, ἥλιο θεωρεῖ τὸν ἥλιο καθεαυτόν, αὐτὸ ποὺ εἶναι στὴν οὐσία του, ἐνῶ τὸ φῶς, ποὺ ὑπάρχει σ' αὐτὸν καὶ ἐκπέμπεται ἀπὸ αὐτόν, εἶναι βέβαια δικό του, ὅμως τὸ χωρίζει πολὺ σωστὰ σὲ ἀχώριστη ἀπὸ τὸν ἥλιο ὀντότητα, ἡ ὁποία διακρίνεται μόνο μὲ ἁπλοὺς συλλογισμούς, ἐξαιτίας τῆς πρὸς τὰ ἔξω ἐκπομπῆς του ἀπὸ αὐτόν. Ὅτι ὅμως εἶναι ἐντελῶς γελοῖο τὸ νὰ φανταζόμαστε τὴ δημιουργία τοῦ ἡλίου προγενέστερη, καὶ τὴ δύναμη καὶ ἐνέργεια τῆς ἀκτινοβολίας ποὺ ὑπάρχει σ' αὐτὸν νὰ εἶναι ἔστω καὶ κατὰ πολὺ λίγο μεταγενέστερη ἀπὸ τὸν ἥλιο, δὲν μπορῶ νὰ πιστέψω ὅτι τὸ ἀμφισβητεῖ ὅποιος ἔχει συνετὸ καὶ ὑγιῆ νοῦ. Γιατὶ δὲν μποροῦμε οὔτε νὰ λέμε ὅτι εἶναι ἰσότιμος μὲ ἥλιο, ἐὰν δὲν ἔχει ταυτόχρονα αὐτὸ μὲ τὸ ὁποῖο θεωρεῖται αὐτὸ ποὺ εἶναι. Ἐπομένως παίρνοντας τὴ σημασία τῶν παραδειγμάτων, ποὺ, σὰν μιὰ σωστὰ διατυπωμένη περιγραφή, ὑποπίπτουν στὶς αἰσθήσεις, σὰν ἔννοιες ποὺ ὁδηγοῦν στὴν ἀνώτατη ἀρχή, δὲν θὰ καταστρέψεις τὴ θεία γέννηση, δεχόμενος ἀπερίσκεπτα σ' αὐτὴν διαχωρισμοὺς καὶ ροὴ πρὸς τὰ ἔξω καὶ πάθος. Γιατὶ ἡ γέννηση τῆς ἀνώτατης ὅλων οὐσίας εἶναι ἀπαθής, καὶ ἡ ὕπαρξη αὐτοῦ ποὺ γεννήθηκε εἶναι οὐσιώδης καὶ ἀπαλλαγμένη ἀπὸ διαχωρισμό, καὶ συμπίπτει (χρονικὰ) μὲ αὐτὸν ποὺ τὴ γέννησε καὶ νοεῖται καὶ πορεύεται ἀπαραίτητα μαζὶ μὲ αὐτόν. Ἄλλωστε τὴν ἐκτὸς χρόνου

*νοουμένη τε καὶ συνεισβαίνουσα. Τὸ γὰρ ἄναρχον ἐν χρόνῳ μεμαρτύρηκε τῷ Υἱῷ καὶ ὁ σοφὸς Ἰωάννης, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος» εἰπών, καὶ αὖ ἐπὶ τούτοις· «Ὁ ὤν, ὁ ἦν, ὁ ἐρχόμενος».*

*Β. Ἐκπεπόνηται μὲν ἡμῖν ὡς ἄριστά γε, ὦ τᾶν, ὁ περὶ τούτου λόγος. Οἴει δέ που, κατὰ τὸ εἰκός, ἀπηλλάχθαι πραγμάτων, καὶ ἑτέρου δεῖσθαι μηδενὸς εἰς ἀπόδειξιν τοῦ προϋφεστηκέναι μὲν οὐδαμῶς τοῦ Υἱοῦ τὸν Πατέρα δοκεῖν, συμφυᾶ δὲ δεῖν καὶ συνυπάρχοντα νοεῖν· ἀφικνεῖται δὲ οὔπω κατὰ νοῦν ἐκεῖνα, δυσπρόσιτον κομιδῇ καὶ ἀνάντη λίαν ἔχοντα τὴν προσβολήν.*

*Α. Τὰ ποῖα ἄττα φῄς;*

*Β. Ἐρησομένους ἴσθι τοι, δριμεῖς γὰρ εἰς λόγους, πότερόν ποτε θελητῶς ἤγουν ἀνεθελήτως ὁ Θεὸς καὶ Πατὴρ ἐκτέτοκε τὸν Υἱόν.*

*Α. Εἶτα, ὅποι ποτὲ ἄρα κατασκήψειεν ἂν τὸ κακούργημα αὐτοῖς τῶν οὕτω δεινῶν εὑρημάτων, ὡς ἥδιστα ἂν εἰδείην.*

*Β. Προσθέντες γάρ, οἶμαι, κἀκεῖνο ἐροῦσιν, ὡς εἴπερ ἐστὶν ἀνεθέλητος ὁ Υἱὸς τῷ Πατρί, τέτοκεν οὐχ ἑκών, ἀλλ' ἔκ του πρὸς τοῦτο συνωθούμενος, ἢ φέρε εἰπεῖν ἀνάγκης ἤ τι καὶ παθὼν τῶν ἀβουλήτων ἁλώσεται. Περιενεγκόντες δὲ οὕτως εἰς ἀτοπίαν τὸν λόγον, καθείρξουσιν εἰς ὁμολογίαν τοῦ χρῆναι λοιπὸν εἰπεῖν τὸ μὴ ἀβουλήτως γεγεννῆσθαι παρὰ τοῦ Πατρὸς τὸν Υἱόν, καὶ τελευτῶντες ἐπάγουσιν· Εἰ μὴ ἀνεθελήτως τέτοκεν ὁ Πατὴρ τὸν Υἱόν, θελητῶς δὲ καὶ κατὰ βούλησιν, πάντως που καὶ προηγήσεται καὶ προαναφανεῖται τῆς τοῦ Υἱοῦ γεννήσεως ἡ θέλησις τοῦ Πατρός. Ὧν δὲ δή που, φησί, καὶ προϋφεστηκὼς ἐσκέπτετο καὶ πρεσβυτέραν ἔχει τοῦ τόκου τὴν θέλησιν.*

*Α. Ὡς ἀνόσιά γε τοῖς διεστραμμένοις ἐκμεμηχάνηται καθ' ἡμῶν τὰ εὑρήματα. Κατορχεῖται δὲ οὕτω τῶν τῆς ἀληθείας δογμάτων ὁ λόγος, ὥστε, εἴ τῳ δόξειεν ἕν γε τοῖς ἄγαν ἀπηχεστάτοις τὴν ἁπασῶν ἐπέκεινα ψῆφον ἑλεῖν, οὐκ ἂν οἶμαι δράσειν ἄμεινον ἢ οὗτοι. Ἀκλεᾶ δὲ οὕτω τὴν νίκην ἀράμενοι καὶ ταῖς εἰς δυσσέβειαν ὑπερβολαῖς τῆς τῶν ἄλλων ἀμαθίας προὔχοντές τε καὶ προεκκείμενοι, λοιπὸν ἀκουόντων· «Ἐδικαιώθη Σόδομα ἐκ*

57. Ἰω. 1, 1. 58. Ἀποκ. 1, 4.

γέννηση τοῦ Υἱοῦ βεβαίωσε καὶ ὁ σοφὸς Ἰωάννης λέγοντας· «Στὴν ἀρχὴ ὑπῆρχε ὁ Λόγος»[57], καί, «Αὐτὸς ποὺ ὑπάρχει, αὐτὸς ποὺ ὑπῆρχε, καὶ αὐτὸς ποὺ θὰ ἔρθει»[58].

Β. Ἀναπτύχθηκε πάρα πολὺ καλά, φίλε μου, ὁ λόγος γιὰ τὸ θέμα αὐτό. Πίστευε λοιπὸν ὅτι, ὅπως εἶναι λογικό, ἀπαλλάχθηκα ἀπὸ τὶς δυσκολίες καὶ δὲν χρειάζομαι τίποτε ἄλλο ποὺ νὰ ἀποδεικνύει πὼς δὲν πρέπει νὰ πιστεύουμε ὅτι προϋπάρχει ὁ Πατέρας τοῦ Υἱοῦ, καὶ πρέπει νὰ τὸν ἐννοοῦμε ὅτι εἶναι σύμφυτος καὶ συνυπάρχει μὲ τὸν Υἱό. Καὶ ἀκόμα, ὅτι τὰ θέματα αὐτὰ δὲν γίνονται κατανοητὰ ἀπὸ τὸν νοῦ, ἐπειδὴ ἡ προσέγγισή τους εἶναι δύσκολη καὶ ἀνηφορική.

Α. Ποιὰ ἐννοεῖς;

Β. Νὰ γνωρίζεις ὅτι θὰ ρωτήσουν, γιατὶ εἶναι φοβεροὶ στοὺς λόγους, ποιὸ ἀπὸ τὰ δύο· θέλοντας ἢ χωρὶς νὰ τὸ θέλει γέννησε ὁ Θεὸς καὶ Πατέρας τὸν Υἱό;

Α. Θὰ ἤθελα λοιπὸν πολὺ εὐχαρίστως νὰ μάθω ποῦ ἀκριβῶς στοχεύει τὸ κακούργημα τῶν τόσο φοβερῶν ἐπινοήσεών τους.

Β. Νομίζω βέβαια ὅτι θὰ ποῦν ἐπιπροσθέτως καὶ τὸ ἑξῆς· Ἐὰν ὁ Υἱὸς εἶναι ἀθέλητος στὸν Πατέρα, τότε ὁ Πατέρας γέννησε χωρὶς νὰ θέλει, καὶ συλλαμβάνεται νὰ τὸ ἔχει κάνει ὠθούμενος σ' αὐτὸ ἀπὸ κάποια ἀνάγκη, γιὰ παράδειγμα, ἢ ἀπὸ κάποιο ἀπὸ τὰ ἀθέλητα πάθη, καὶ ἔτσι ὁδηγώντας τὸν λόγο σὲ παραλογισμό, θὰ σὲ ἀναγκάσουν νὰ ὁμολογήσεις καὶ νὰ πεῖς, πὼς ὁ Υἱὸς δὲν γεννήθηκε χωρὶς τὴ θέληση τοῦ Πατέρα· καὶ τελειώνοντας προσθέτουν· ἐὰν ὁ Πατέρας δὲν γέννησε τὸν Υἱὸ χωρὶς τὴ θέλησή του, ἀλλὰ μὲ τὴ θέληση καὶ τὴ βούλησή του, τότε ὁπωσδήποτε ἡ θέληση τοῦ Πατέρα προηγήθηκε καὶ ἐμφανίσθηκε πρὶν ἀπὸ τὴ γέννηση τοῦ Υἱοῦ. Ἀλλὰ τότε, λένε, ἐφόσον προϋπῆρχε, σκεπτόταν, καὶ ἡ θέλησή του εἶναι προγενέστερη ἀπὸ τὴ γέννηση τοῦ Υἱοῦ.

Α. Πόσο ἀνίερα εἶναι τὰ ἐφευρήματα ποὺ ἐπινόησαν οἱ διεστραμμένοι ἐναντίον μας! Καὶ χλευάζει τόσο πολὺ ὁ λόγος τους τὰ δόγματα τῆς ἀλήθειας, ὥστε, ἐὰν σὲ κάποιον φανεῖ καλό, ἀκόμα καὶ στὰ πιὸ παράφωνα νὰ προτιμήσει αὐτὸ ποὺ εἶναι πέρα ἀπὸ ὅλα, δὲν νομίζω ὅτι θὰ κάνει κάτι καλύτερο ἀπὸ αὐτούς. Καὶ ἔτσι κερδίζοντας ἄδοξα τὴ νίκη, καὶ μὲ τὶς ἀσεβεῖς ὑπερβολές τους ὑπερέχοντας ἀπὸ τὴν ἀμάθεια τῶν ἄλλων καὶ προεξέχοντας, θὰ ἀκούσουν· «Μήπως

*σοῦ». Ἄλις γάρ, ἅλις πικρίας, ὦ οὗτοι, καὶ διεστραμμένων ἐννοιῶν. Φέρε κατευθὺ τῆς ἀληθείας ἴωμέν τε ἤδη καὶ λέγωμεν ὡς οὐκ ἂν νοοῖτό ποτε δίχα τοῦ συνόντος τε ἀεὶ καὶ συνυφεστῶτος αὐτῷ γεννήματος ὁ ἀνάρχως τε καὶ ἀϊδίως Πατήρ. Ἀλλ' εἰ καὶ ἔστιν οὐκ ἀνεθελήτως τοῦ Υἱοῦ Πατήρ, οὐ προανακύψει καὶ προανανήξεται πάντως τοῦ γεννηθέντος ἡ θέλησις. Εἰ γὰρ ἦν ἐν σοφίᾳ καὶ λόγῳ τὸ θέλειν τοῦ Πατρός· οὐ γὰρ ἄσοφόν γε καὶ ἄλογον τὴν θείαν ἐροῦσι θέλησιν· Σοφία δὲ καὶ Λόγος ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, αὐτὸς ἄρα ἐστὶν ὁ ἐν ᾧ πᾶσα θέλησις τοῦ Πατρός.*

*Ὥστε τοῖς ἐκεῖνα πεφλυαρηκόσι περιτρέπεταί πως ἡ σκέψις καὶ τὸ δεινὸν ἐγχείρημα πρὸς τὸ ἔχον ἐναντίως. Ἀναπυθέσθαι γὰρ δὴ καὶ ἡμᾶς, ὡς ἔοικεν, ἀπείρξειεν ἂν οὐδὲν τῆς τῶν λογισμῶν ἀτοπίας ἠφειδηκότας, πότερα, θελητῶς, ἤγουν ἀνεθελήτως ὑπάρχει τε καὶ ἔστιν ὁ Πατήρ. Καὶ εἰ μὲν οὐ θελητῶς, ἐκβεβίασταί που πάντως ἐξ ἀνάγκης εἰς ὕπαρξιν. Εἰ δὲ ὧδε μὲν οὐχί, θελητῶς δέ, προηγήσεταί που τῆς ὑπάρξεως αὐτοῦ τὸ θέλειν αὐτοῦ. Καὶ ἐπειδὴ τὸ θέλειν ἐπράττετο σοφῶς δηλονότι καὶ οὐ δίχα λόγου, Σοφία δέ ἐστι καὶ Λόγος ὁ Υἱός, προϋφεστήξει τοῦ Πατρός. Βουλὴν δὲ καὶ θέλησιν τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱὸν ὁ θεῖος ἡμῖν ὀνομάζει λόγος. Ψάλλει γὰρ ἐν Πνεύματι καί φησιν ὁ θεσπέσιος Δαβίδ, ὡς ἐκ προσώπου τῶν πεπιστευκότων· «Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐν τῇ βουλῇ σου ὡδήγησάς με». Καὶ μὴν καὶ ἑτέρωθι· «Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν». Πεποδηγήμεθα γὰρ ἐν Χριστῷ πρὸς τὸ θέλημα τοῦ Πατρός, καὶ εἰς ὑπερκόσμιον κάλλος ἐν αὐτῷ μορφούμεθα, πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν δι' αὐτοῦ νευρούμενοι. Οὐκοῦν, ὅσον ἧκεν εἰς ἐννοιῶν σαθρότητα καὶ λογισμῶν ἀτοπίαν, προϋφεστήξει τοῦ Πατρὸς ὁ Υἱός, αὐτὸς ὢν ἡ θέλησις· εἶτα πῶς τοῦ γεννήσαντος προαναφανεῖται τὸ γεννηθέν; Ἄθρει δὴ οὖν ἵν' εἰσὶ*

---

59. Πρβλ. Ἰεζ. 16, 48, 52.
60. Ψαλμ. 72, 23.
61. Ψαλμ. 29, 8.

δικαιώθηκαν τὰ Σόδομα ἀπὸ σένα;»[59]. Γιατὶ αὐτά, φίλοι, προκαλοῦν σωρεία πικρίας καὶ διεστραμμένων σκέψεων. Ἐμπρὸς λοιπὸν νὰ πᾶμε κατευθεῖαν στὴν ἀλήθεια καὶ νὰ ποῦμε, ὅτι δὲν μπορεῖ νά νοηθεῖ ποτὲ χωρὶς τὸν Υἱό, ποὺ συνυπάρχει πάντοτε μὲ αὐτόν, ὁ ἄναρχος καὶ αἰώνιος Πατέρας. Ἀλλά, ἂν καὶ εἶναι μὲ τὴ θέλησή του Πατέρας τοῦ Υἱοῦ, ἡ θέλησή του δὲν προϋπῆρχε οὔτε καὶ ἐπέπλεε πρὶν ἀπὸ αὐτὸν ποὺ γεννήθηκε. Ἐφόσον δηλαδὴ ἡ θέληση τοῦ Πα-τέρα ὑπῆρχε μαζὶ μὲ τὴ Σοφία καὶ τὸν Λόγο, δὲν μποροῦν νὰ ποῦν ἄσοφη καὶ ἄλογη τὴ θεία θέληση. Σοφία βέβαια καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατέρα εἶναι ὁ Υἱός, καὶ ἄρα αὐτὸς εἶναι ἐκεῖνος στὸν ὁποῖο ὑπάρχει κάθε θέληση τοῦ Πατέρα.

Ὥστε ὁ συλλογισμὸς στρέφεται ἐναντίον ἐκείνων ποὺ λένε τὶς φλυαρίες αὐτές, καὶ τὸ φοβερὸ ἐπιχείρημά τους ὁδηγεῖ στὸ ἀντίθετο. Θὰ ρωτήσουμε λοιπὸν καὶ ἐμεῖς, ὅπως εἶναι εὔλογο, χωρὶς νὰ μπορεῖ καθόλου νὰ μᾶς ἐμποδίσει τὸ γεγονὸς ὅτι ἀδιαφοροῦμε γιὰ τὴν ἀτοπία τῶν συλλογισμῶν· ποιὸ ἀπο τὰ δύο· ὁ Πατέρας ὑπάρχει καὶ ὑφίσταται μὲ τὴ θέλησή του, ἢ παρὰ τὴ θέλησή του; Καὶ ἂν βέβαια ὑπάρχει χωρὶς τὴ θέλησή του, τότε ὁπωσδήποτε ὑποχρεώθηκε ἀναγκαστικὰ νά ὑπάρξει, ἂν πάλι δὲν ἔγινε ἔτσι, ἀλλ' ὑπάρχει μὲ τὴ θέλησή του, τότε θὰ προηγήθηκε ἀσφαλῶς τῆς ὑπάρξεώς του ἡ θέλησή του. Καὶ ἐπειδὴ ἡ θέλησή του γινόταν πράξη μὲ σαφήνεια ἀσφαλῶς καὶ ὄχι χωρὶς λόγο, σοφία ὅμως καὶ Λόγος εἶναι ὁ Υἱός, ἄρα ὁ Υἱὸς ὑπῆρχε πρὶν ἀπὸ τὸν Πατέρα. Βουλὴ βέβαια καὶ θέληση τοῦ Θεοῦ καὶ Πατέρα ὀνομάζει ὁ θεῖος λόγος τὸν Υἱό. Γιατὶ ψάλλει ἐμπνεόμενος ἀπὸ τὸ ἅγιο Πνεῦμα καὶ λέγει ὁ θεσπέσιος Δαβίδ, ἐκ μέρους ἐκείνων ποὺ εἶχαν πιστέψει· «Μὲ κράτησες ἀπὸ τὸ δεξί μου χέρι, καὶ μὲ τὴ συμβουλή σου μὲ καθοδήγησες»[60]· ἀλλὰ καὶ κάπου ἀλλοῦ· «Κύριε, μὲ τὴ θέλησή σου ἔδωσες δύναμη στὴν ἀκμὴ τοῦ σώματός μου»[61]. Γιατὶ παιδαγωγούμαστε μὲ τὸν Χριστὸ στὸ θέλημα τοῦ Πατέρα, καὶ μέσα ἀπὸ τὴν κοινωνία μας μὲ αὐτὸν μεταμορφωνόμαστε σὲ ὑπερκόσμια ὡραιότητα, ἐνδυναμούμενοι ἀπὸ αὐτὸν σὲ κάθε τι ἀγαθό. Σύμφωνα μὲ τὴ σαθρότητα τῶν ἐννοιῶν λοιπὸν καὶ τὴν ἀτοπία τῶν συλλογισμῶν αὐτῶν, ὁ Υἱὸς ὑπῆρχε πρὶν ἀπὸ τὸν Πατέρα, ἀφοῦ αὐτὸς εἶναι ἡ θέλησή, καὶ πρὶν ἀπὸ ἐκεῖνον ποὺ τὸ γέννησε, ἐμφανίσθηκε αὐτὸ ποὺ γεννήθηκε. Κρίνε λοιπὸν ἐὰν εἶναι κακοὶ αὐτοὶ ποὺ μετα-

*κακοῦ, τὸ «Ἑαυτοὺς δοκιμάζετε, εἰ ἐστὲ ἐν τῇ πίστει», μεθέντες ὡς ἀπωτάτω.*

*Β. Ἔοικεν.*

*Α. Περιτρέψειε δ' ἄν τις καὶ οὐ σὺν ἱδρῶτι μακρῷ καὶ πρὸς ἑτέραν αὐτοῖς ἀτοπίαν τὴν γραώδη πρότασιν, ἀποκρίνεσθαι δεῖν ἐκεῖνο εἰπών.*

*Β. Τὸ τί δή;*

*Α. Πότερα δημιουργὸς καὶ βασιλεὺς φιλοικτίρμων τε καὶ ἀγαθὸς νοοῖτ' ἂν καὶ λέγοιτο πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ὁ Θεὸς καὶ Πατήρ, ἢ οὔ;*

*Β. Ἀλλὰ ταυτὶ μὲν ὡς ἔστιν ἀμελητὶ φαῖεν ἄν, ὡς ἐγῷμαι. Πῶς γὰρ οὔ;*

*Α. Φραζόντων οὖν ἔτι· προσερήσομαι γάρ, ἀνεθελήτως ἄρα ταῦτά ἐστιν ἢ θελητῶς; Εἰ μὲν γὰρ ἀνεθελήτως ἐροῦσι, πεπονθέναι δώσουσι τὴν ἀνεθελησίαν αὐτόν, τὸ ὡς ἐξ ἀνάγκης πάθος. Εἰ δὲ μὴ ἀβουλήτως οἰήσονται, προϋπῆρχε δὲ ἡ βούλησις τοῦ εἶναι αὐτὸν ἅ ἐστιν, οὐκ ἀεὶ δυνάμει δημιουργός, οὔτε μὴν ἀνάρχως βασιλεύς, ἢ φιλοικτίρμων, ἢ ἀγαθός· χρόνος δὲ ἴσως προεισελάσειέ τις καθ' ὃν ἔτι ταῦτα οὐκ ὤν, τὸ δεῖν εἶναι διεσκέπτετο. Τίς δὴ οὖν ἄρα τῶν τοιούτων ἂν ἐπαΐοι λόγων, εἶτα ταῖς ἐκείνων τερθρείαις οὐκ ἐποιμώξειε μέγα, καὶ δὴ καὶ ἐρρῶσθαι φράσας, ἄμεινον μὲν ἢ ἐκεῖνοι διασκέψεται καὶ τὴν τῶν πραγμάτων εὖ μάλα καταθρήσει φύσιν, διαλογιεῖται δέ, ὅτι τῶν μὲν πρακτέων ἢ μὴ θέλησίς τε καὶ ἀνεθελησία κρατεῖ, γεννήσεως δὲ οὐκ ἔτι; Τοῖς δὲ τὸ ἀνθ' ὅτου λέγουσιν, ἔν γε τουτοισί, σοφὸν ὑπειπεῖν τό τισιν ὑμνούμενον· «Ἡ φύσις ἐβούλετο, ᾗ νόμων οὐδὲν μέλει»· προσθείην δ' ἂν ὅτι βουλῆς καὶ ἀβουλησίας οὐδ' ὁπωστιοῦν ἐμπάζεται. Ἦ οὐκ ἄν σοι δόξαιμι νοεῖν ὀρθῶς, εἰ ἀποφηναίμην ὅτι, εἰ ὅσα ἐστὶν οὐσιωδῶς ὁ Θεὸς καὶ Πατὴρ οὐκ ἐξ ἐπιδόσεως ἔχει τῆς κατὰ θέλησιν, τετραμμένος ἐπὶ τὸ ἄμεινον, οὐδὲ τὸ εἶναι Πατὴρ θεληματικῶς κεκτήσεται;*

*Β. Πῶς ἔφης;*

---

62. Β' Κορ. 13, 5.

θέτουν στὸ μακρινὸ μέλλον τό, «Ἐξετάζετε τὸν ἑαυτό σας, ἐὰν στέκεστε σταθεροὶ στὴν πίστη»[62].

Β. Φαίνεται.

Α. Μπορεῖ κανεὶς νὰ ἀνατρέψει καὶ χωρὶς ἱδρώτα πολὺ καὶ ἀπὸ ἄλλο παραλογισμό τους τὴ γραϊδίστικη πρόταση, λέγοντας ὅτι πρέπει νὰ ἀπαντήσουν στὸ ἑξῆς.

Β. Ποιὸ δηλαδή;

Α. Ποιὸ ἀπὸ τὰ δύο· μπορεῖ νὰ νοεῖται καὶ νὰ λέγεται δημιουργὸς καὶ βασιλιὰς σπλαχνικὸς καὶ ἀπὸ μᾶς τοὺς ἴδιους καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους, ὁ Θεὸς καὶ Πατέρας, ἢ ὄχι;

Β. Αὐτὸ βέβαια, ὅπως ἐγὼ νομίζω, μποροῦν νὰ τὸ ποῦν ἀμέσως. Γιατί ὄχι;

Α. Ἐνῶ λοιπὸν ἀκόμα θὰ ἀπαντοῦν, θὰ ξαναρωτήσω πάλι· εἶναι αὐτὰ χωρὶς τὴ θέλησή του, ἢ θεληματικά; Γιατί, ἐὰν ἀπαντήσουν χωρὶς τὴ θέλησή του, τότε δέχονται ὅτι ὑφίσταται τὴν ἀθελησία του ὡς ἀναγκαστικὸ πάθος. Ἐὰν πάλι νομίσουν, ὅτι αὐτὰ εἶναι μὲ τὴ θέλησή του, καὶ προϋπῆρχε ἡ βούλησή του νὰ εἶναι αὐτὰ ποὺ εἶναι, δὲν ἦταν πάντοτε δυνάμει δημιουργὸς οὔτε καὶ βασιλιάς, ἢ σπλαχνικὸς ἢ ἀγαθὸς χωρὶς ἀρχή, καὶ ἀσφαλῶς θὰ προηγήθηκε κάποιος χρόνος κατὰ τὸν ὁποῖο, ἐνῶ δὲν ἦταν ἀκόμα αὐτά, σκέφθηκε ὅτι πρέπει νὰ εἶναι. Ἑπομένως ποιὸς ἄραγε ποὺ γνωρίζει καλὰ αὐτοὺς τοὺς λόγους, δὲν θὰ ἀναστενάξει βαθειὰ μὲ τὶς σοφιστικὲς λεπτολογίες ἐκείνων, καὶ ἀφοῦ τοὺς ἀποχαιρετίσει, δὲν θὰ σκεφθεῖ μὲ μεγαλύτερη ἀπὸ ἐκείνους προσοχὴ καὶ δὲν θὰ ἐπιμείνει πάρα πολὺ στὴ φύση τῶν πραγμάτων, καὶ δὲν θὰ συλλογισθεῖ, ὅτι σ' ἐκεῖνα ποὺ πρέπει νὰ κάνουμε ἢ ὄχι ἐπικρατεῖ ἡ θέληση καὶ ἡ ἀνεθελησία, ἐνῶ στὴ γέννηση ὄχι; Σ' ἐκείνους ὅμως ποὺ θὰ ρωτήσουν γιὰ ποιὸ λόγο, σ' αὐτὰ τὰ θέματα εἶναι σοφὸ νὰ ὑπενθυμίσουμε αὐτὸ ποὺ θρυλεῖται ἀπὸ κάποιους· «Ἡ φύση ἤθελε, ἐκεῖ ὅπου τοὺς νόμους δὲν τοὺς μέλει», καὶ θὰ πρόσθετα, ὅτι τὴ θέληση καὶ τὴν ἀθελησία δὲν τὴν νοιάζεται καθόλου. Ἢ μήπως δὲν θὰ σοῦ φανῶ ὅτι σκέφτομαι σωστά, ἂν ἔλε-γα, ὅτι ἐὰν ὅσα ὁ Θεὸς καὶ Πατέρας τὰ ἔχει οὐσιωδῶς, δὲν τὰ ἔχει ἀπὸ τὸ γεγονὸς ὅτι ἡ θέλησή του εἶναι στραμμένη πρὸς τὸ καλύτερο, οὔτε καὶ ἀπέκτησε θεληματικὰ τὸ νὰ εἶναι Πατέρας;

Β. Πῶς τὸ ἐννοεῖς αὐτό;

*Α. Ἅγιον ἄρα τὸν Πατέρα εἶναι φής, καὶ μὴν ὅτι καὶ ἀγαθός;*

*Β. Καὶ πάνυ.*

*Α. Οὐσιωδῶς ἄρα προσπεφυκυίαιν αὐτῷ ταῖν ἀρεταῖν, ἢ εἰσκεκριμέναιν ἔξωθεν κατὰ θέλησιν, ὡς εἰ καὶ πάθοι τυχὸν τὴν ἀνεθελησίαν ἐξοιχησομέναιν; Κίνησις γὰρ ἥδε θεληματική.*

*Β. Οὐσιωδῶς· καταμειδιάσαι γὰρ οἶμαι τῶν οὐχ ὧδε ἔχειν κατατολμώντων εἰπεῖν ὁ τῆς ὀρθότητος λόγος*

*Α. Εὖγε, ὦ ἑταῖρε, ἔφης, καί σε τῆς φιλομαθείας ἄγαμαι. Εἶτα πῶς ὁ Θεὸς καὶ Πατὴρ θελητῶς ἂν εἴη τυχὸν ἤγουν ἀνεθελήτως Πατήρ, καὶ οὐχὶ μᾶλλον οὐσιωδῶς, εἴπερ ἐστὶν οὕτως ἅγιός τε καὶ ἀγαθός, καὶ οὐκ ἐν ψιλαῖς θελήσεσιν ἔχει τὸ εἶναι ἅ ἐστι; Τί δὲ δὴ αὖ, πῶς ἐκεῖνο οὐχ ὁρᾷς, καίτοι δεινῶς ἄγαν ἐκλελυττηκὸς καὶ οἱονεί πως καθυλακτοῦν τῶν δι' ἐναντίας;*

*Β. Οὔπω μανθάνω.*

*Α. Ἀλλ' εἴσῃ μὲν δή· φράσαιμι γὰρ ἂν ὡς ἥδιστά σοι χρηστομαθεῖν ᾑρημένῳ. Σύνες δὲ αὐτὸς ὅ φημι. Ἆρα γὰρ οἰήσονται δεῖν ὅτι γεννήτωρ κατὰ φύσιν ἐστὶν ὁμολογεῖν τὸν Πατέρα καὶ οὐσιῶδες αὐτῷ τὸ χρῆμα ἐροῦσιν; Ἢ καὶ τοῦτο καταρνήσονται, φρονοῦντες ἀνοσιώτατα; Εἰ μὲν γὰρ οὐκ εἶναί φασιν οὐσιωδῶς γεννήτορα, ἀναιρήσουσιν εἰσάπαξ τὴν ὕπαρξιν τοῦ Υἱοῦ, οὐκ ἀγεννήτως τὸ εἶναι λαχόντος, ἀλλ' ὄντος τε καὶ ὑφεστηκότος ἐκ Πατρός, κατά γε τὴν πίστιν τῶν ἱερῶν Γραμμάτων. Εἰ δὲ φύσιν οὐκ ἔχων τὴν γεννητικὴν ἀληθῶς ὁ Θεὸς καὶ Πατὴρ βουλήσει κεκίνηται πρὸς τὸ δύνασθαι γεννᾶν, ὥρα λέγειν ἤδη πως ὡς αὐτός που τάχα τὴν ἰδίαν εἴργασται φύσιν, γεννητικὴν ἀποφήνας, καὶ εἰς ὅπερ οὐκ ἦν ἐνεγκών, καὶ δὴ νοοῖτ' ἂν εἰκότως καὶ ἑαυτοῦ πρεσβύτερος, εἴ γε ὢν καὶ ὑφεστηκώς, ὅπερ ἐστὶν εἶναι βεβούληται, φημὶ δὴ Πατήρ. Ἀλλ' εἰς ὄρος μὲν ἐρρίφθω καὶ κῦμα ταυτί, φορητὴν οὐκ ἔτι νοσοῦντα τὴν ἀτοπίαν. Ἡμεῖς δὲ τοῖς ἐξ ὀρθότητος ἑπόμενοι λογισμοῖς, φαμὲν ὅτι περιττὸν ἂν εἴη καὶ ἀμαθὲς τὸ γοῦν ἀνεθελήτως ἢ θελητῶς γεννήτορα ὑπάρχειν οἴεσθαι τὸν*

Α. Δὲν λὲς ὅτι ὁ Πατέρας εἶναι ἅγιος, ἀλλὰ καὶ ἀγαθός;

Β. Βεβαιότατα.

Α. Ἄραγε οἱ δύο αὐτὲς ἀρετὲς ὑπάρχουν οὐσιωδῶς σ᾽ αὐτόν, ἢ ἔχουν εἰσαχθεῖ ἀπὸ ἔξω μὲ τὴν θέλησή του, ἀποκλείοντας τὸ ἐνδεχόμενο νὰ τὶς ἔχει χωρὶς τὴ θέλησή του; Γιατὶ αὐτὴ εἶναι κίνηση θεληματική.

Β. Τὶς ἔχει οὐσιωδῶς· γιατὶ νομίζω πὼς ὁ λόγος τῆς ὀρθότητας θὰ περιγελάσει αὐτοὺς ποὺ τολμοῦν νὰ ποῦν ὅτι δὲν εἶναι ἔτσι.

Α. Μίλησες πολὺ σωστά, φίλε μου, καὶ θαυμάζω τὴ φιλομάθειά σου. Τότε ὅμως πῶς ὁ Θεὸς καὶ Πατέρας μποροῦσε νὰ γίνει Πατέρας μὲ τὴ θέλησή του ἢ χωρὶς αὐτήν, καὶ ὄχι οὐσιωδῶς, ἐφόσον εἶναι τόσο ἅγιος καὶ ἀγαθὸς καὶ δὲν ἔχει μὲ ἁπλὲς θελήσεις τὸ νὰ εἶναι αὐτὰ ποὺ εἶναι; Καὶ γιατί ἐπίσης δὲν βλέπεις ἐκεῖνο, ἂν καὶ στε-νοχωρεῖ πάρα πολὺ καὶ κατὰ κάποιο τρόπο γαυγίζει ἐνοχλητικὰ τοὺς ἀντίθετους;

Β. Δὲν τὸ γνωρίζω.

Α. Ἀλλὰ θὰ τὸ μάθεις· γιατὶ θὰ σοῦ τὸ πῶ, ἀφοῦ προτίμησες μὲ πολλὴ εὐχαρίστηση νὰ μάθεις πράγματα ὠφέλιμα. Προσπάθησε νὰ καταλάβεις αὐτὸ ποὺ λέγω. Ἄραγε νομίζουν πὼς πρέπει νὰ ὁμολογοῦν ὅτι ὁ Πατέρας εἶναι γεννήτορας κατὰ φύση, καὶ λένε ὅτι αὐτὸ ὑπάρχει σ᾽ αὐτὸν οὐσιῶδες, ἢ τὸ ἀρνοῦνται καὶ αὐτό, πιστεύοντας κατὰ τρόπο πάρα πολὺ ἀνίερο; Γιατί, ἂν ποῦν ὅτι δὲν εἶναι κατ᾽ οὐσία γεννήτορας, τότε ἀναιροῦν μιὰ γιὰ πάντα τὴν ὕπαρξη τοῦ Υἱοῦ, ὁ ὁποῖος ἔχει τὴν ὕπαρξή του χωρὶς νὰ γεννηθεῖ, ἀλλὰ εἶναι καὶ προέρχεται ἀπὸ τὸν Πατέρα, σύμφωνα μὲ τὴν πίστη τῶν ἁγίων Γραφῶν. Ἂν ὅμως ὁ Θεὸς καὶ Πατέρας, μὴ ἔχοντας πραγματικὰ γεννητικὴ φύση, κινήθηκε μὲ τὴ θέλησή του στὸ νὰ μπορεῖ νὰ γεννᾶ, ὥρα εἶναι νὰ ποῦν, ὅτι αὐτὸς δῆθεν δημιούργησε τὴ δικὴ του φύση κάνοντάς την γεννητικὴ καὶ φέρνοντάς την σ᾽ αὐτὸ ποὺ δὲν ἦταν, καὶ ἔτσι εὔλογα θὰ μποροῦσε νὰ νοεῖται καὶ μεγαλύτερος σὲ ἡλικία ἀπὸ τὸν ἑαυτό του, ἐὰν βέβαια, ἐνῶ ὑπῆρχε καὶ ὑφίστατο, ἀποφάσισε νὰ γίνει αὐτὸ ποὺ εἶναι, ἐννοῶ δηλαδὴ Πατέρας. Ἀλλὰ ἂς ριχθοῦν σὲ ὄρος καὶ στὸ κῦμα αὐτά, ἐπειδὴ πάσχουν ἀπὸ ἀνυπόφορο πιὰ παραλογισμό. Ἐμεῖς ὅμως ἀκολουθώντας τοὺς σωστοὺς συλλογισμοὺς λέμε, ὅτι εἶναι περιττὸ καὶ ἀμαθὲς τὸ νὰ νομίζουμε ὅτι ὁ Πατέρας εἶναι μὲ τὴ

*Πατέρα, φύσει δὲ μᾶλλον καὶ οὐσιωδῶς. Ἔστι γὰρ οὐκ ἀνεθελήτως ἅ ἐστι φυσικῶς, σύνδρομον ἔχων τῇ φύσει τὴν θέλησιν τοῦ εἶναι ἅ ἐστιν.*

*Β. Ὡδὶ ταῦτ᾽ ἔχειν καὶ αὐτῷ μοι δοκεῖ.*

*Α. Καὶ πρός γε δὴ τούτοις, κατακινδυνεύσειεν ἂν καὶ εἰς ἑτέραν αὐτοῖς ἀτοπίαν, τὸ δὴ χρῆναι λέγειν ἐπὶ Θεοῦ καὶ Πατρὸς πρεσβυτέραν οἴεσθαι τοῦ τόκου τὴν θέλησιν. Διασκεπτέον γάρ, εἰ δοκεῖ, πότερόν ποτε νυνὶ δὴ καὶ μόλις ὁ Θεὸς καὶ Πατὴρ ἐν τοῖς αὐτῷ πρέπουσίν ἐστιν ὅτι γεγέννηκεν, ἢ πρεπωδεστέραν αὐτῷ τὴν ἀγεννησίαν εὑρήσομεν. Εἰ μὲν οὖν ὅτι γεγέννηκε τὸ τῇ ἰδίᾳ φύσει πρέπον οὐκ ἐξοιχήσεται, τί τὸ ἐκ τῆς ἀγεννησίας αὐτῷ προσνέμοντες ἀκαλλές, οὐκ ἐρυθριῶσιν οἱ τάλανες; Εἰ δὲ ἦν ὅτι μὴ τέτοκεν ἐν ἀμείνοσι καὶ ἐν τοῖς πρεπωδεστέροις, τί πρὸς τὸ γεννᾶν ἐκάλει τὸ ἐν χείροσί που πάντως ἐσόμενον εἰ πείσαιτο τὸ γεννᾶν; Οὐκοῦν διημάρτηκε καὶ λογισμοῦ τοῦ πρέποντος, καὶ εἰσδέδεκται θελητῶς τὸ πεφυκὸς ἀδικεῖν, καὶ τοῦτο, τὴν αὐτοῦ δόξαν τε καὶ φύσιν, καὶ ξένη τις ὡς ἔοικεν ἀνέφυ γραφὴ κατὰ τῆς ἀρρήτου βουλῆς τοῦ Πατρός. Ἆρ᾽ οὖν οὐχὶ παντὸς μὲν ἐμέτου ταυτὶ βδελυρώτερα, παντὸς δὲ εἰς λῆξιν ἥκοντα κακοῦ δυσσεβείας τε ὁμοῦ τῆς ἄγαν εἰς ὑπερβολὴν ἱγμένα;*

*Β. Ναί.*

*Α. Φέρε δὴ οὖν, ταυτὶ μεθέντες ὡς πορρωτάτω, πρὸς ἐκεῖνο ἴωμεν.*

*Β. Τὸ ποῖόν τι φῄς;*

*Α. Τὸ χρῆναί φημι τὴν ἁπασῶν ἀρίστην περὶ Θεοῦ δόξαν ταῖς ἰδίαις ἡμᾶς ἐγκατακλείειν ψυχαῖς, ἐννοοῦντας ὅτι τῆς τοῦ Υἱοῦ γεννήσεως προηγήσεται μὲν οὐδέν, οὔτε μὴν προανατελεῖ τοῦ γεγεννηκότος ἡ θέλησις τῆς τοῦ γεννηθέντος ὑπάρξεως, ἦν δὲ ἅμα Πατὴρ ὁ Θεὸς καὶ θελητὴς τοῦ εἶναι Πατήρ· ἔστι γὰρ οὐκ ἀνεθελήτως ὅ ἐστιν, οὐκ ἀναγκαίαν ὑπομένων ἔν γε τούτῳ τὴν θέλησιν, καθάπερ ἀμέλει καὶ εἰ νοοῖτο τυχὸν ἅγιός τε καὶ ἀγαθός. Ἅμα γὰρ καὶ οὐσιωδῶς ἅγιός τέ ἐστι καὶ ἀγαθός, καὶ θελητὴς τοῦ εἶναι ἅ ἐστι, καὶ οὐχ ἑτέρως ἔχειν ὑποτοπητέον ἐπὶ Θεοῦ. Ἅ-*

θέλησή του ἢ χωρὶς αὐτὴν γεννήτορας, ἀλλὰ κατὰ φύση καὶ κατ' οὐσίαν. Γιατὶ εἶναι ὄχι χωρὶς νὰ τὸ θέλει αὐτὰ πού εἶναι κατὰ φύση, ἔχοντας συνεργάτη στὴ φύση τὴ θέληση νὰ εἶναι αὐτὰ ποὺ εἶναι.

Β. Καὶ ἐγὼ νομίζω πὼς αὐτὰ ἔτσι ἔχουν.

Α. Καὶ κοντὰ σ' αὐτὰ κινδυνεύουν νὰ πέσουν καὶ σέ ἄλλο παραλογισμό, λέγοντας ὅτι στὸν Θεὸ καὶ Πατέρα πιστεύουν ὅτι ἡ θέληση εἶναι προγενέστερη ἀπὸ τὴ γέννηση. Ἄς σκεφθοῦμε λοιπόν, ἂν θέλεις, ποιὸ ἀπὸ τὰ δύο· μόλις τώρα ὁ Θεὸς καὶ Πατέρας εἶναι αὐτὸ ποὺ πρέπει, ἐπειδὴ γέννησε, ἢ βρίσκουμε ὅτι περισσότερο τοῦ ταιριάζει ἡ ἀγεννησία; Ἐὰν λοιπὸν μὲ τὸ ὅτι γέννησε δὲν χάθηκε αὐτὸ ποὺ ταιριάζει στὴν ἰδιαίτερη φύση του, γιατί ἀπονέμοντάς του τὴν ἀπρέπεια τῆς ἀγεννησίας οἱ ταλαίπωροι δὲν κοκκινίζουν ἀπὸ ντροπή; Ἐὰν πάλι τὸ ὅτι δὲν γέννησε ἦταν μεταξὺ τῶν ἀνωτέρων καὶ ἐκείνων ποὺ τοῦ ταιριάζουν περισσότερο, τότε γιατί τὸν καλοῦσε νά γεννήσει αὐτὸ ποὺ θὰ ἦταν ὁπωσδήποτε χειρότερο, ἂν τὸν ἔπειθε νὰ γεννήσει; Ἑπομένως ἔπεσε ἔξω καὶ στὸν συλλογισμὸ γιὰ τὸ ποιὸ εἶναι πρέπον, καὶ δέχθηκε θεληματικὰ αὐτὸ ποὺ ἀπὸ τὴ φύση του ἀδικεῖ καὶ τὴ δόξα καὶ τὴ φύση του, καὶ προέκυψε, ὅπως φαίνεται, κάποια ἄλλη περιγραφὴ ἀντίθετη πρὸς τὴν ἀπερίγραπτη βουλὴ τοῦ Πατέρα. Ἄρα λοιπὸν δὲν εἶναι αὐτὰ πιὸ σιχαμερὰ ἀπὸ κάθε ἔμετο, καὶ ξεπερνοῦν σὲ ὑπερβολικὸ βαθμὸ κάθε κακὸ δυσσέβειας;

Β. Ναί.

Α. Ἐμπρὸς λοιπόν, ἀφήνοντας αὐτὰ ὡς πάρα πολὺ μακρινά, νὰ προχωρήσουμε σ' ἐκεῖνο.

Β. Ποιὸ ἐννοεῖς;

Α. Λέγω ὅτι πρέπει νὰ κλείνουμε καλὰ στὶς ψυχές μας τὴν πιὸ καλὴ ἀπὸ ὅλες γνώμη γιὰ τὸν Θεό, ἐννοώντας ὅτι τίποτε δὲν προηγήθηκε πρὶν ἀπὸ τὴ γέννηση τοῦ Υἱοῦ, οὔτε καὶ εἶχε ἐμφανισθεῖ πρὶν ἀπὸ τὴν ὕπαρξη τούτου ποὺ γεννήθηκε ἡ θέληση ἐκείνου ποὺ τὸν γέννησε, καὶ ὅτι ἦταν ταυτόχρονα Πατέρας ὁ Θεὸς καὶ ἤθελε νὰ εἶναι Πατέρας· γιατὶ δὲν εἶναι χωρὶς τὴ θέλησή του αὐτὸ ποὺ εἶναι, χωρὶς νὰ δέχεται ἀναγκαστικὰ στὸ θέμα αὐτὸ τὴ θέληση, ὅπως ἀκριβῶς καὶ ὅταν νοεῖται ἅγιος καὶ ἀγαθός. Γιατὶ εἶναι ταυτόχρονα καὶ κατ' οὐσίαν καὶ ἅγιος καὶ ἀγαθός, καὶ θέλει νὰ εἶναι αὐτὰ ποὺ εἶναι, καὶ δὲν πρέπει νὰ ὑποπτευόμαστε ὅτι εἶναι διαφορετικὰ στὸν Θεό.

*μα γάρ ἐστι Θεὸς καὶ ἅμα Πατήρ, οὐχ ὑστερίζουσαν ἔχων τοῦ εἶναι τὴν γέννησιν, ἀλλ' ὁμοῦ τὸ εἶναι Πατὴρ καὶ ὑφεστὼς καὶ νοούμενος. Τῷ γε μὴν ὧδε φύσεως ἔχοντι πάντως που δοτέον συνυφεστηκὸς ἀνάρχως τὸ γεννηθέν, τουτέστι τὸν Υἱόν.*

*Β. Ἀλλ' εἰ βούλει, φασίν, ὧδέ πῃ καὶ τόδε ἐχέτω, καὶ νοείσθω συνυπάρχειν. Ἦν γὰρ ἀεὶ δυνάμει Πατὴρ ὁ Θεός, ψιλῇ δὴ οὖν ἄρα θεωρίᾳ ληπτὸς καὶ ἐν μόνῃ τοῦ εἶναι δοκήσει πρὸ τῆς γεννήσεως ὁ Υἱός, γεγέννηται δὲ μετὰ τοῦτο.*

*Α. Οὐκοῦν, ἀληθὴς μὲν τέως καὶ ἐκ Πατρὸς ἀληθῶς ὁμολογείσθω λοιπὸν ἡ γέννησις. Ὁ γὰρ εἶναι πεφυκὼς ὁμολογείσθω λοιπὸν ἡ γέννησις. Ὁ γὰρ εἶναι πεφυκὼς δυνάμει τε καὶ ἐνεργείᾳ πατὴρ οὐ θέλησιν ἔχει τὸ ἐπ' ἀμφοῖν βραβεύουσαν, φύσεως δὲ μᾶλλον ἕψεται νόμοις, οἷς ἂν νοοῖτο καὶ τὸ τεκεῖν. Ἀλλ' οὐδ' ἂν ὀθνείου του γένοιτο πατήρ, εἴπερ ἀεὶ τὸ γεννώμενον ὁμοφυὲς εἶναι τῷ γεννῶντι δεήσει. Ὅτι δὲ καὶ αὐτῷ τῷ Πατρὶ τὸν ἐκ τοῦ τετράφθαι δυσκλεᾶ προσάπτουσι μῶμον, καίτοι τῆς θείας λεγούσης Γραφῆς «Παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα», κἀντεῦθεν εἴσοιτο. Τί γὰρ δὴ τοῦτό ἐστι, ὦ τᾶν, ἢ τροπὴ καὶ παχεῖά τις ὥσπερ ἐξαλλαγή, τὸ ἐκ τοῦ δυνάμει φημὶ μεταχωρεῖν εἰς ἐνέργειαν; Τὸ μὲν γὰρ εἶναί τι δυνάμει τῇ κατὰ φύσιν ὑπειλημμένον, μὴ μὴν ἤδη τοῦτο καὶ ἐνεργείᾳ δεχθέν, ἕστηκεν ἐν τῇ δυνάμει τέως, εἰσδεδεγμένον μὲν οὔπω τὴν εἰς ἐνέργειαν κίνησιν, ἐμφιλοχωροῦν δὲ ἔτι τῷ ἐν ἀρχαῖς τε καὶ πρώτῳ. Εἰ δὲ εἰσδέξαιτο τυχὸν τὴν εἰς ἐνέργειαν κίνησιν, μεταφοιτήσειεν ἂν εἰκότως ἐφ' ἕτερον, οἶμαι, τι παρ' ὅπερ ἦν ἐν ἀρχαῖς, εἴπερ οὐχ ἕνα καὶ τὸν αὐτὸν ἀπονέμουσι τόπον τῷ τε κατὰ δύναμιν καὶ τῷ κατ' ἐνέργειαν.*

*Β. Οὐκ οἶμαι.*

*Α. Εἰ μὲν οὖν εἶναί φασι τὸ διϊστῶν οὐδέν, ἀλλ' οἴσουσί τε ὁμόσε καὶ εἰς ἕνα καὶ τὸν αὐτὸν ἐγκαθιδρύσαιντο τόπον, ἐνεργείᾳ Πατὴρ καὶ ἀνάρχως ἦν ὁ Θεός. Ἀπείρξει γὰρ ἔτι τοῦτο λέγειν οὐδέν, εἰς ταὐτὸν ἡμῖν ἰγμένοιν τοῦ τε κατὰ δύναμιν καὶ τοῦ κατ' ἐνέργειαν. Εἰ δὲ ἥκιστα μὲν ὡδί, διεστήξει γε μὴν ἀλλήλοιν*

---

63. Ἰακ. 1, 17.

Γιατὶ εἶναι συγχρόνως Θεὸς καὶ Πατέρας, καὶ δὲν ἔχει ἐκ τῶν ὑστέρων στὴν φύση του τὴ γέννηση, ἀλλὰ συγχρόνως μαζὶ μὲ τὸ νὰ εἶναι Πατέρας, καὶ ὑπῆρχε καὶ ἐθεωρεῖτο. Μαζὶ μὲ αὐτὸν ποὺ εἶναι αὐτῆς τῆς φύσεως, πρέπει ὁπωσδήποτε νὰ δεχόμαστε ὅτι συνυπάρχει ἀνάρχως καὶ αὐτὸ ποὺ γεννήθηκε, δηλαδὴ ὁ Υἱός.

Β. Ἐὰν ὅμως θέλεις, λένε, ὅτι κάπως ἔτσι εἶναι καὶ νοεῖται ὅτι συνυπάρχει ὁ Υἱὸς μὲ τὸν Πατέρα. Ἦταν δηλαδὴ πάντοτε δυνάμει Πατέρας ὁ Θεός, ἀλλ᾽ ἦταν καταληπτὸς ἁπλῶς θεωρητικά, καὶ ὁ Υἱὸς πρὶν ἀπὸ τὴ γέννησή του ὑπῆρχε μόνο φαινομενικά, ἀλλὰ γεννήθηκε ἀργότερα.

Α. Ἑπομένως, ὁμολογεῖται κατ᾽ ἀρχὴν ὅτι ἡ γέννηση εἶναι πραγματικὴ καὶ ἔγινε ἀπὸ τὸν Πατέρα. Γιατὶ αὐτὸς ποὺ εἶναι ἀπὸ τὴ φύση του δυνάμει καί ἐνεργείᾳ Πατέρας, δὲν ἔχει μὲ τὴ θέλησή του καὶ τὰ δύο αὐτά, ἀλλὰ ἀκολουθώντας τοὺς νόμους τῆς φύσεως, στὴν ὁποία ἀνήκει καὶ ἡ γέννηση, ὅμως δὲν μποροῦσε νὰ γίνει Πατέρας κάποιου ξένου, ἐφόσον πάντοτε αὐτὸ ποὺ γεννιέται πρέπει νὰ εἶναι ἴδιας φύσεως μὲ ἐκεῖνον ποὺ τὸ γεννᾶ. Ὅτι ὅμως καὶ στὸν ἴδιο τὸν Πατέρα ἀποδίδουν τὴν ἄτιμη μομφὴ τῆς μετατροπῆς, παρόλο ποὺ ἡ ἁγία Γραφὴ λέγει, «Στὸν ὁποῖο δὲν ὑπάρχει ἀλλαγὴ ἢ ἴχνος μετατροπῆς»[63], γίνεται γνωστὸ καὶ ἀπὸ αὐτό. Πράγματι τί ἄλλο εἶναι αὐτό, φίλε, παρὰ μετατροπὴ καὶ κάτι σὰν παχειὰ μεταβολή, ἡ μετάβαση δηλαδὴ ἀπὸ τὸ "δυνάμει" στὸ "ἐνεργείᾳ"; Γιατὶ τὸ νὰ εἶναι κάτι 'δυνάμει' κατὰ φύση, τὸ ὁποῖο ὅμως δὲν ἔχει προχωρήσει στὸ 'ἐνεργείᾳ', στέκεται μέχρι τώρα στὸ 'δυνάμει', χωρὶς νὰ ἔχει δεχθεῖ ἀκόμα τὴν κίνηση πρὸς τὴν ἐνέργεια, καὶ παραμένει ἀκόμα σ᾽ αὐτὸ ποὺ ἦταν στὶς ἀρχὲς καὶ στὸ πρῶτο. Ἐὰν ὅμως κινηθεῖ ἐνδεχομένως πρὸς τὴν ἐνέργεια, τότε, ὅπως εἶναι φυσικό, μεταβαίνει, νομίζω, σὲ κάτι ἄλλο, διαφορετικὸ ἀπὸ αὐτὸ ποὺ ἦταν στὶς ἀρχές, ἐφόσον δὲν δέχονται ἕνα καὶ τὸν ἴδιο τόπο καὶ στὸ 'δυνάμει' καὶ στὸ 'ἐνεργείᾳ'.

Β. Δὲν νομίζω.

Α. Ἐὰν λοιπόν, λένε, ὅτι δὲν ὑπάρχει κάτι ποὺ νὰ διαχωρίζει, ἀλλὰ ὑπάρχουν μαζὶ καὶ εἶναι σὲ ἕνα καὶ τὸν ἴδιο τόπο ἐγκατεστημένα, ὁ Θεὸς ἦταν Πατέρας 'ἐνεργείᾳ' καὶ χωρὶς ἀρχή. Ἄλλωστε δὲν μᾶς ἐμποδίζει τίποτε νὰ τὸ λέμε αὐτό, ἀφοῦ γιὰ μᾶς καὶ τὸ 'δυνάμει' καὶ τὸ 'ἐνεργείᾳ' πηγαίνουν μαζί. Ἐὰν ὅμως δὲν εἶναι ἔτσι, ἀλλὰ δια-

*καὶ οὐ μετρίᾳ διαφορᾷ, πῶς οὐ παρήλλακται τὰ Θεοῦ, στάσιν μὲν οὐκέτι τὴν ἐν τῷ κατὰ δύναμιν ἀποσῴζοντα, πεπονθότα δὲ ὥσπερ τὴν εἰς ἐνέργειαν κίνησιν;*

*Β. Ἔφης μὲν εἰκότα, πλὴν οἶμαί που κἀκεῖνο εἰς νοῦν τοῖς δι' ἐναντίας ἐλθεῖν καὶ μὴν καὶ ἑλέσθαι λέγειν· Ἆρ' οὖν, ἐπειδήπερ ἀεὶ μὲν ἔστι κατὰ φύσιν καὶ ἀνάρχως δημιουργὸς ὁ Πατήρ, εἴργασταί γε μὴν οὐκ ἀχρόνως τὰ πεποιημένα· Οὐ γὰρ συναΐδιον ἔχει τὴν κτίσιν, ἀλλ' ἐν καιρῷ παρεκόμισεν ἐξ οὐκ ὄντων αὐτήν· κεκινῆσθαι δώσομεν καὶ «τροπῆς ἀποσκίασμα» παθεῖν τὴν ἄτρεπτον αὐτοῦ φύσιν; Εἶτα τίς ὁ φάναι τοῦτο τολμῶν; Οὐκοῦν εἰ προήκοι, φησί, καὶ ἐπὶ τὸ λέγεσθαι γεννᾶν ἐκ τοῦ κατὰ δύναμιν εἰς ἐνέργειαν, οὐ τροπὴ τὸ χρῆμα καὶ κίνησις εἰς μεταβολήν, ἀλλὰ φύσεως μᾶλλον ἐπιτηδειότης ἐχούσης ὧδε περὶ τὴν γέννησιν.*

*Α. Ὡς εὔκολός σοι πρὸς ἐλαφρίαν ὁ νοῦς, εἴπερ τι τῶν ἀναγκαίων ἐντεθυμῆσθαι δοκεῖς τοὺς διεστραμμένους. Ἐκβασανιστέον γὰρ ὅτι μάλιστά γε τὸν τῆς ἐπ' ἀμφοῖν κινήσεως τρόπον, καὶ τί τὸ μεσολαβοῦν καὶ τὴν μεταξὺ κειμένην ἐμφανίζει διαφοράν· εἴσῃ τε οὕτω λοιπὸν τῆς ἐκείνων ἀμαθίας τὸν γραώδη λόγον. Τὸ μὲν γὰρ ἐξ ἑαυτοῦ τι τεκεῖν λεγόμενον καὶ ἐκ τοῦ κατὰ δύναμιν προβεβηκὸς εἰς ἐνέργειαν ὡς ἐν ἰδίᾳ φύσει σεσάλευται. Πάθοι γὰρ ἂν οὐκ ἐφ' ἑτέροις τισίν, ἀλλ' ἐφ' ἑαυτῷ τὴν κατ' ἐνέργειαν κίνησιν. Τὸ δὲ ἀπὸ τοῦ τι μὴ δρᾶν ἐπὶ τὸ δεῖν ἐργάζεσθαι παρελθὸν οὐκ ἐφ' ἑαυτῷ τὴν κίνησιν, ἀλλ' ἐφ' ἑτέροις ἔχον τε καὶ ποιοῦν εὑρήσομεν.*

*Β. Ὀνήσαις ἂν οὐχ ἧττον ἢ πάλαι σαφεστέραν ἡμῖν ποιούμενος τὴν ἀφήγησιν.*

*Α. Οὐκοῦν φέρε λέγωμεν ὡς ἐπ' ἀνθρώπου τυχόν. Γεννητικὸς μὲν γὰρ κατὰ φύσιν καὶ δυνάμει τοῦτο ὢν ἐν ἀρχαῖς, πάρεισιν ἐν χρόνῳ καὶ εἰς ἐνέργειαν. Οὐκ ἀνεπιτήδευτον δὲ τὴν σοφίαν ἔχων, ἐμπεφυκὸς δὲ μᾶλλον οὐσιωδῶς τὸ καὶ δύνασθαί τι δρᾶν τῶν ἐξ ἐπιστήμης καὶ τέχνης ἀνθρωποπρεποῦς, ναυπηγεῖται μὲν ὁλκάδα, χαλκῶν δὲ ἐκτυπωμάτων ἰδέας διαμορφοῖ ἢ γοῦν ἕτερόν τι τῶν ὁμοίων ἐργάζεται. Ἆρ' οὖν ἐν ἴσῳ τρόπῳ τε καὶ λόγῳ κεκινῆσθαί σοι δοκεῖ, καὶ εἰς τὸ εἶναι Πατὴρ κατ' ἐνέργειαν ἐκ τοῦ κατὰ δύνα-*

χωρίζονται μεταξύ τους, καὶ μάλιστα μὲ μεγάλη ἀπόσταση, τότε πῶς δὲν μεταβάλλονται τὰ τοῦ Θεοῦ, ἀφοῦ δὲν διατηροῦν τὴ στάση τους στὸ «δυνάμει», ἀλλὰ ἔχουν κινηθεῖ πρὸς τὸ 'ἐνεργείᾳ';

Β. Εἶναι εὔλογα αὐτὰ ποὺ εἶπες βέβαια, ὅμως νομίζω ὅτι θὰ ἔρθει στὸ νοῦ τῶν ἀντιθέτων καὶ τοῦτο, καὶ φυσικὰ θὰ θελήσουν νὰ τὸ ποῦν. Ἄραγε, ἐπειδὴ ὁ Πατέρας εἶναι πάντοτε κατὰ φύση καὶ ἀνάρχως δημιουργός, ὅμως δὲν ἔκανε ἀχρόνως τὰ δημιουργήματα, γιατί δὲν εἶναι συναιώνια ἡ κτίση, ἀλλὰ τὴν παρήγαγε μέσα στὸν χρόνο ἀπὸ τὸ μηδέν, θὰ δεχθοῦμε ὅτι ἡ ἀμετάβλητη φύση του κινήθηκε καὶ ὑπέστη ἀποσκίασμα μετατροπῆς; Καὶ ποιὸς εἶναι αὐτὸς ποὺ τολμᾶ νὰ τὸ πεῖ αὐτό; Ἑπομένως ἐὰν προχωρεῖ, λέγει, κατὰ τὴ λεγόμενη γέννηση, ἀπὸ τὸ 'δυνάμει' στὸ 'ἐνεργείᾳ', ἡ πράξη αὐτὴ δὲν ἀποτελεῖ κίνηση σὲ μεταβολή, ἀλλὰ μᾶλλον ἐπιδεξιότητα τῆς φύσεως, ἡ ὁποία λειτουργεῖ μὲ τὸν τρόπο αὐτὸ ὅσον ἀφορᾶ τὴ γέννηση.

Α. Πόσο εὔκολος σὲ ἐπιπολαιότητα εἶναι ὁ νοῦς σου, ἐὰν πιστεύεις ὅτι οἱ διεστραμμένοι ἔχουν στὸν νοῦ τους κάτι τὸ ἀναγκαῖο. Πρέπει δηλαδὴ νὰ ἐξετάσεις πάρα πολὺ τὸν τρόπο κινήσεως καὶ στὰ δύο, καὶ τί μεσολαβεῖ ἀνάμεσά τους, ποὺ ἐμφανίζει τὴ διαφορὰ ποὺ ὑπάρχει ἀνάμεσά τους, καὶ τότε θὰ γνωρίσεις τὸν λόγο τῆς γραϊδίστικης ἀμάθειας ἐκείνων. Γιατὶ ἐκεῖνο ποὺ λέγεται ὅτι γέννησε ἀπὸ τὸν ἑαυτό του κάτι, καὶ ἀπὸ τὸ 'δυνάμει' μετακινήθηκε στὸ 'ἐνεργείᾳ', κινήθηκε σύμφωνα μὲ τὴ δική του φύση. Καθόσον τὴν κίνηση πρὸς τὸ 'ἐνεργείᾳ' δὲν τὴν κάνει σὲ κάποιους ἄλλους, ἀλλὰ στὸν ἑαυτό του. Ἐνῶ ἐκεῖνο ποὺ κινεῖται, ἀπὸ τὸ νὰ μὴ κάνει τίποτε, στὴν ἀνάγκη νὰ ἐργασθεῖ, βλέπουμε ὅτι κάνει τὴν κίνηση ὄχι στὸν ἑαυτό του, ἀλλὰ σὲ ἄλλα.

Β. Θὰ μᾶς ὠφελήσεις ὄχι λιγότερο ἀπὸ ὅ,τι παλαιότερα, κάνοντας τὴν ἐξήγηση πιὸ σαφῆ.

Α. Ἐμπρὸς λοιπὸν νὰ μιλήσουμε γιὰ τὸν ἄνθρωπο, λόγου χάρη. Εἶναι γεννητικὸς κατὰ φύση, καὶ ἐνῶ αὐτὸ τὸ ἔχει στὴν ἀρχὴ 'δυνάμει', προχωρεῖ μέσα στὸν χρόνο στὸ 'ἐνεργείᾳ'. Ἀποκτώντας ὅμως μὲ πολλὴ ἄσκηση τὴ σοφία, καὶ ἔχοντας ἔμφυτη οὐσιωδῶς τὴν ἱκανότητα νὰ κατασκευάζει ἔργα ἐπιστήμης καὶ τέχνης τέτοια ποὺ ταιριάζουν στὸν ἄνθρωπο, ναυπηγεῖ πλοῖα, κατασκευάζει χάλκινα ἐκτυπώματα μορφῶν, ἢ ἄλλα παρόμοια. Ἆρα λοιπὸν νομίζεις ὅτι κατὰ τὸν ἴδιο τρόπο καὶ λόγο κινήθηκε καὶ στὸ νὰ εἶναι Πατέρας κατ' ἐνέρ-

*μιν παρενηνεγμένος, καὶ εἰς τὸ εἶναι δημιουργὸς τῶν ὅσα ἐστὶν ἐκ τέχνης ἀναφοιτῶν;*

*Β. Οὐκ ἂν οἰηθείην πώποτε. Ὁ μὲν γὰρ οὐκ ἐφ' ἑαυτῷ κεκίνηται, τῆς ἐνούσης δὲ μᾶλλον ἐπιστήμης αὐτῷ τὴν ἔκφανσιν περὶ τὰ ἔξω ποιεῖται, ὁ δέ ἐστιν οὐσιωδῶς ἐφ' ἑαυτῷ οἱονεὶ κινούμενος, καὶ μετάστασίν τινα καὶ τροπὴν περὶ αὐτὴν ἡμῖν ἐξεργάσεται τὴν φύσιν, ἤτοι τῆς φύσεως τὴν ἐφ' ὁτῳοῦν ἐνέργειάν τε καὶ δύναμιν.*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστιν ὅπερ ἔλεγον ἀρτίως, τὴν τοῦ κεκινῆσθαι διαφορὰν ἀνασκοπεῖσθαι δεῖν ἐπ' ἀμφοῖν ἐθέλων. Οὐδὲν οὖν ἄρα τὸ ὡς ἐξ ἀνάγκης ὠθοῦν τὴν τοῦ Θεοῦ φύσιν κεκινῆσθαι λέγειν καὶ τὸν κλόνον ὑπομεῖναι περί τι τῶν ὄντων οὐσιωδῶς, εἰ προήκοι κατὰ χρόνους ἐπὶ τὸ χρῆναι δημιουργεῖν. Πάθοι δ' ἂν εἰς οὐσίαν αὐτὴν τὴν κίνησιν, ἐκ τοῦ κατὰ δύναμιν εἰς ἐνέργειαν τοῦ γεννᾶν οὐκ οἶδ' ὅπως παρενηνεγμένος.*

*Β. Ὀρθῶς ἔχει.*

*Α. Καὶ ἑτέρως δὲ (χρῆναι γὰρ οἶμαι τὰς ἄγαν εὐρινοτάτας ἀπομιμεῖσθαι κυνῶν τοὺς οἵπερ ἂν ἕλοιντο τὰ ἐκ τῆς ἀληθείας φιλοθηρεῖν εὑρήματα) κατίδοι τις ἂν ἀδρανῆ τε καὶ ἄκομψον τῶν δι' ἐναντίας τὸν λόγον. Τὸ μὲν γὰρ θεῖόν τε καὶ ὑπερκόσμιον γέννημα ἀπείρξειεν ἄν, οἶμαι, παντελῶς οὐδὲν τῶν εἰς ἀναγκαίους ἡκόντων λόγους τῷ ἰδίῳ συνυφεστάναι γεννήτορι, ἀεὶ καὶ ἀνάρχως Πατρὸς νοουμένου τε καὶ ὄντος Θεοῦ. Ἐπειδὴ δέ ἐστιν ἡ κτίσις εὐσθενείας ἐνέργημα δημιουργικῆς, πῶς ἂν καὶ πόθεν ἔχοι τὸ συνυφεστάναι Θεῷ καὶ τοῦ ἀϊδίως εἶναι τὴν δόξαν, ἐπεὶ μήτε ἄναρχος ἐν χρόνῳ καὶ τὴν εἰς τὸ εἶναι κίνησιν ἐξ οὐκ ὄντων ἔχει; Ἢ οὐκ ἀναγκαῖον εἶναι φὴς προεπινοεῖσθαί τε καὶ προϋφεστάναι πάντῃ τε καὶ πάντως τὴν δημιουργοῦσαν φύσιν παντὸς τοῦ καλουμένου πρὸς ὕπαρξιν δημιουργικῶς;*

*Β. Ναί, φημί.*

*Α. Οὐκοῦν, οὔπω μὲν ἡ κτίσις παρῆκτο πρὸς γένεσιν, ἦν δὲ καὶ τότε δημιουργὸς ὁ Θεός. Καὶ οὐχ ὅτι δημιουργός, ταύτῃ τοι Πατήρ, ἀλλ' ὅτι γεγέννηκεν, Υἱὸς δὲ ὅτι γεγέννηται. Ὅτε τοίνυν ἐν μὲν τῷ δημιουργός τε καὶ κτίσις, τὸ συνυπάρχειν οὐκ ἀναγκαῖον,*

γεια, μεταβαίνοντας σ' αὐτὸ ἀπὸ τὸ κατὰ δύναμη, καὶ στὸ νὰ γίνει, ἐπανερχόμενος, δημιουργὸς αὐτῶν ποὺ εἶναι ἔργα τέχνης;

Β. Δὲν τὸ νόμισα ποτέ. Γιατὶ ὁ ἄνθρωπος δὲν κινεῖται πρὸς τὸν ἑαυτό του, ἀλλὰ βγάζει πρὸς τὰ ἔξω μᾶλλον τὴν ἐπιστήμη ποὺ ὑπάρχει μέσα του. Ἐνῶ ὁ Πατέρας εἶναι σὰν νὰ κινεῖται κατὰ κάποιο τρόπο οὐσιωδῶς πρὸς τὸν ἑαυτό του, καὶ κάνει κάποια μετατόπιση καὶ μεταβολὴ πρὸς τὴ δική μας φύση, δηλαδὴ τὴν ἐνέργεια καὶ δύναμη πρὸς ὁποιονδήποτε.

Α. Ἀκριβῶς αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἔλεγα τώρα μόλις, θέλοντας νὰ κάνω ἀνασκόπηση τῆς διαφορᾶς ποὺ ὑπάρχει στὴν κίνηση καὶ τῶν δύο. Δὲν ὑπάρχει λοιπὸν τίποτε ποὺ νὰ μᾶς ὠθεῖ νὰ λέμε ὅτι ἡ φύση τοῦ Θεοῦ κινήθηκε καὶ ὑπέστη κλονισμὸ γιὰ κάποιο ἀπὸ τὰ ὄντα οὐσιωδῶς, ἐὰν φθάνει μέσα στὸν χρόνο στὸ νὰ δημιουργεῖ καὶ νὰ κάνει τὴν κίνηση αὐτὴ στὴν οὐσία, μεταβαίνοντας, δὲν ξέρω μὲ ποιὸ τρόπο, ἀπὸ τὸ νὰ γεννᾷ 'δυνάμει' στὸ 'ἐνεργείᾳ'.

Β. Εἶναι σωστό.

Α. Ἀλλὰ καὶ μὲ ἄλλο τρόπο· νομίζω ὅτι πρέπει νὰ μιμοῦνται τοὺς σκύλους ποὺ ἔχουν πολὺ δυνατὴ ὄσφρηση, αὐτοὶ ποὺ θέλουν νὰ ἀνακαλύψουν τὴν ἀλήθεια· θὰ μποροῦσε τότε νὰ δεῖ κανεὶς ὅτι εἶναι νωθρὸς καὶ ἀγροῖκος ὁ λόγος τῶν ἀντιθέτων. Γιατὶ τὸ θεῖο καὶ ὑπερκόσμιο γέννημα (δηλαδὴ ὁ Υἱὸς) δὲν ἐμποδίζει, νομίζω, καθόλου κανένα ἀπὸ αὐτὰ ποὺ ὑπακούουν σὲ ἀναγκαστικοὺς λόγους, μὲ τὸ νὰ συνυπάρχει μαζὶ μὲ αὐτὸν ποὺ τὸν γέννησε, ὁ ὁποῖος νοεῖται πάντοτε Πατέρας καὶ εἶναι Θεός. Ἐπειδὴ ὅμως ἡ κτίση εἶναι ἔργο δημιουργικῆς δύναμης, μὲ ποιὸν τρόπο καὶ ἀπὸ ποῦ ἔχει τὸ νὰ συνυπάρχει μὲ τὸν Θεὸ καὶ νὰ εἶναι αἰώνια ἡ δόξα της; Γατὶ οὔτε χωρὶς ἀρχὴ εἶναι μέσα στὸν χρόνο, καὶ τὴν κίνηση στὴν ὕπαρξη τὴν ἔχει ἀπὸ τὸ μηδέν. Ἢ μήπως λὲς ὅτι δὲν εἶναι ἀπαραίτητο νὰ προεπινοεῖται καὶ νὰ προϋπάρχει κάθε φορὰ ὁπωσδήποτε ἡ δημιουργοῦσα φύση κάθε ὄντος ποὺ καλεῖται στὴν ὕπαρξη μὲ τρόπο δημιουργικό;

Β. Ναί, τὸ λέγω.

Α. Ἑπομένως, ἐνῶ ἡ κτίση δὲν εἶχε ἔρθει ἀκόμα στὴν ὕπαρξη, ὅμως ἦταν καὶ τότε ὁ Θεὸς δημιουργός, καὶ δὲν ἦταν Πατέρας, ἐπειδὴ ἦταν δημιουργός, ἀλλὰ ἐπειδὴ γέννησε, καὶ Υἱὸς εἶναι, ἐπειδὴ γεννήθηκε. Ἀφοῦ λοιπὸν στὸν δημιουργὸ καὶ τὴν κτίση τὸ νὰ συνυ-

*ἀπαραίτητον δὲ τὴν συνύπαρξιν τὸ τῶν ἐννοιῶν ἀκριβὲς εἰσκομίσειεν ἂν ἐπὶ Θεοῦ κἂν εἴτε Πατὴρ εἴτε Υἱὸς ὀνομάζοιτο, πῶς ἂν προανίσχοι τὸ ἓν καὶ προαναφαίνοιτό πως θατέρου θάτερον, εἴπερ ἐστὶν ὅ ἐστιν ἑκάτερον ἐν τῷ νοεῖσθαι συνυπάρχοντα, καὶ οὐχὶ τῆς ἀλλήλων συνδρομῆς τητώμενα; Πατὴρ γὰρ ὡς πρὸς Υἱόν, καὶ τὸ ἔμπαλιν. Μῶν ἐκβεβιάσθαι σοι δοκεῖ πρὸς τὸ οὐκ ἔχον ὀρθῶς ὁ λόγος;*

*Β. Ἥκιστά γε.*

*Α. Εἰ δὲ δὴ καὶ χρῆναι γεννᾶν ἐξ ἑαυτοῦ καὶ Υἱοῦ τοῦ κατὰ φύσιν ὁρᾶσθαι Πατέρα σοφὸν εἶναί τι καὶ παγκάλως ἔχον κατεφαίνετο τῷ Θεῷ καὶ Πατρί, τίς ὁ ἐπὶ τὸ χρῆναι τεκεῖν ἢ πόθεν ἂν γένοιτο μελησμός; Τί τὸ ἐμποδὼν καὶ τὸ οὔπω δεῖν εἶναι Πατέρα τὸν Θεὸν χρησίμως τε καὶ ἀναγκαίως ἐκδυσωποῦν; Ἄνθρωποι μὲν γὰρ ἀεὶ μὲν ὅτι δυνάμει πατέρες, οὐ μὴν ἔτι καὶ ἐνεργείᾳ, οὐδενὶ τῶν ὄντων ἀσυμφανές, ἐναργὴς δὲ λίαν ἡ παρὰ πόδας κειμένη καὶ διακωλύουσα πρόφασις. Ἀφιγμένης γὰρ οὔπω πρὸς ἥβην τῆς τοῦ σώματος ἡλικίας, καταμύει πως ἔτι καὶ ἐνηρεμεῖ τῇ φύσει τὰ αὐτῆς, καὶ οἱονεὶ τὸν πρέποντα ταῖς εἰς ἐμφάνειαν ἀναδείξεσι περιμένει καιρόν. Ἐπὶ δέ γε Θεοῦ, τοῦ τελείως ἔχοντος ἀεὶ καὶ ὄντος ὅ ἐστιν, οὐκ ἐξ ἐπιδόσεως τῆς ἐπί τι τῶν οὔπω προσπεφυκότων καὶ τὴν ἐν χρόνῳ διάδειξιν ἀπαραίτητόν τε καὶ ἀναγκαίαν ἐχόντων, ἐκλάμποντος δὲ τῆς ἰδίας οὐσίας ἡμῖν τὸν Υἱὸν καὶ ἐν τάξει χαρακτῆρος οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ τὸ ἴδιον ἔχοντος γέννημα, πῶς ἂν ἐπινοηθείη τὸ μὴ ἀεί τε καὶ ὁμοῦ τῷ εἶναι τεκεῖν κατ' ἐνέργειαν, ἑστάναι δὲ μᾶλλον ἐν τῷ κατὰ δύναμιν, καὶ οὐσιώδη παθεῖν τὴν κίνησιν, τὴν εἰς ὅπερ οὐκ ἦν ἐν ἀρχαῖς εἰσδεδεγμένον μετάστασιν; Δυσσεβήσομεν δὲ οὐ μετρίως καὶ εἰς αὐτὸν τὸν Υἱόν, εἰ μὴ ταῖς τῶν δι' ἐναντίας ἀντιταττόμεθα δόξαις. Οὐκέτι γὰρ ἔσται ποιητὴς αἰώνων ὁ Μονογενής, παρεισδεδυκότος οὐκ οἶδ' ὅπως τοῦ χρόνου καὶ πρεσβυτέραν ἔχοντος τὴν ὑπόληψιν τοῦ κατ' ἐνέργειαν λέγεσθαι*

πάρχουν αὐτὰ τὰ δύο δὲν εἶναι ἀναγκαῖο, ἀπαραίτητα ὅμως ἡ συνύπαρξη μπορεῖ νὰ δώσει τὴν ἀκρίβεια τῶν ἐννοιῶν στὴν περίπτωση τοῦ Θεοῦ, εἴτε Πατέρας ὀνομάζεται, εἴτε Υἱός, πῶς μπορεῖ τὸ ἕνα νὰ ἀνατέλλει πιὸ πρὶν καὶ νὰ ἐμφανίζεται τὸ ἕνα πρὶν ἀπὸ τὸ ἄλλο, ἀφοῦ τὸ καθένα εἶναι αὐτὸ ποὺ εἶναι, μὲ τὸ νὰ θεωροῦνται συνυπάρχοντα, καὶ δὲν στεροῦνται τὴ μεταξύ τους συνύπαρξη; Γιατὶ εἶναι Πατέρας ὡς πρὸς τὸν Υἱό, καὶ τὸ ἀντίθετο. Μήπως ὅμως σοῦ φαίνεται ὅτι ὁ λόγος ὁδηγεῖται διὰ τῆς βίας σ᾽ αὐτὸ ποὺ δὲν εἶναι ὀρθό;

Β. Καθόλου.

Α. Ἀφοῦ λοιπὸν καὶ τὸ ὅτι πρέπει νὰ γεννᾶ ἀπὸ τὸν ἑαυτό του καὶ νὰ φαίνεται Πατέρας τοῦ Υἱοῦ κατὰ φύση, εἶναι κάτι σοφὸ καὶ φαίνεται καθαρὰ ὅτι εἶναι πάρα πολὺ καλὸ στὸν Θεὸ καὶ Πατέρα, ποιὰ μέριμνα θὰ μποροῦσε νὰ ὑπάρξει γιὰ τὸ ἂν πρέπει νὰ γεννήσει, ἢ ἀπὸ ποῦ; Τί εἶναι ἐκεῖνο ποὺ πέφτοντας στὰ πόδια του ἱκετεύει θερμὰ ὅτι δὲν εἶναι ἀκόμα χρήσιμο καὶ ἀναγκαῖο νὰ εἶναι ὁ Θεὸς Πατέρας; Γιατί, ὅτι οἱ ἄνθρωποι εἶναι πάντοτε 'δυνάμει' πατέρες, ἀλλὰ ὄχι βέβαια καὶ 'ἐνεργείᾳ', εἶναι σὲ ὅλα τὰ ὄντα ὁλοφάνερο, καὶ εἶναι πολὺ φανερὴ ἡ αἰτία ποὺ πεσμένη στὰ πόδια τους τοὺς παρεμποδίζει. Ὅταν δηλαδὴ δὲν ἔχει ἀκόμα φτάσει ἡ ἐνηλικίωση τοῦ σώματος, ἀποκοιμίζει κατὰ κάποιο τρόπο καὶ ἠρεμεῖ στὴ φύση αὐτὰ ποὺ εἶναι δικά της, περιμένοντας κατὰ κάποιο τρόπο τὸν κατάλληλο καιρὸ γιὰ νὰ τὰ ἐκδηλώσει. Στὸν Θεὸ ὅμως, ὁ ὁποῖος εἶναι πάντοτε τέλειος, καὶ εἶναι αὐτὸ ποὺ εἶναι, δὲν εἶναι ἀπαραίτητο νὰ περιμένει τὴν ὡρίμανση αὐτῶν ποὺ δὲν ἔχουν ἀκόμα ἐμφανισθεῖ καὶ εἶναι ἀπαραίτητο καὶ ἀναγκαῖο νὰ ἀναδειχθοῦν κατὰ τὴ διάρκεια τοῦ χρόνου, ἀλλὰ ἐκπέμπει γιὰ χάρη μας ἀπὸ τὴν οὐσία του τὸν Υἱό, καὶ ἔχει ὑπὸ μορφὴν σφραγίδας φυτευμένο σ᾽ αὐτὸν τὸ δικό του γέννημα, πῶς εἶναι δυνατὸ νὰ ἐπινοηθεῖ τὸ ὅτι δὲν εἶναι πάντοτε καὶ μαζί του ἡ ἱκανότητα νὰ γεννήσει 'ἐνεργείᾳ', ἀλλὰ στέκεται μᾶλλον στὸ 'δυνάμει', καὶ ὅτι ἔπαθε οὐσιώδη κίνηση, δηλαδὴ μετατόπιση σ᾽ αὐτὸ ποὺ δὲν ἦταν ἀπὸ τὴν ἀρχή; Θὰ ἀσεβήσουμε βέβαια ὄχι λίγο καὶ στὸν ἴδιο τὸν Υἱό, ἐὰν δὲν ἀντιταχθοῦμε στὶς δοξασίες τῶν ἀντιθέτων. Γιατὶ δὲν θὰ εἶναι πλέον δημιουργὸς τῶν αἰώνων ὁ Μονογενής, ἀφοῦ, δὲν ξέρω μὲ ποιὸν τρόπο, ἔχει παρεμβληθεῖ ὁ χρόνος, ὁ ὁποῖος πιστεύεται παλαιότερος ἀπὸ τὸν Πατέρα καὶ Θεό, ποὺ λέγεται ὅτι

*γεννᾶν τὸν Πατέρα καὶ Θεόν· εἴπερ ἐξ ἀγεννησίας ἔτι, τουτέστιν ἐκ τοῦ κατὰ δύναμιν, εἰς γέννησιν κατ' ἐνέργειαν οὐκ ἀχρόνως προήκοι ἄν, καὶ εἰ βραχὺ κομιδῇ καὶ ἀκαριαῖον νοοῖτο τὸ μεταξύ. Εἶναι δέ φημι πάναισχρόν τε καὶ ἀκαλλὲς ἥλιον μὲν οἴεσθαι καὶ πῦρ οὔ ποτε μὲν ὅπερ εἰσὶν οὐκ εἶναι τυχόν, ἀλλ' οὐδὲ στάσιν καὶ ἕδραν ἐσχηκέναι πώποτε, τὴν ἐν μόνῳ τῷ κατὰ δύναμιν νοουμένην, ἥκειν δὲ οὕτως εἰς ἐνέργειαν ὡς ἐν κινήσει τῇ κατὰ χρόνον καὶ φύσει, συμπεφυκότα δὲ μᾶλλον καὶ τῇ τῆς γενέσεως ἀρχῇ συντρέχοντα τὰ ἐνόντα λαχεῖν, Θεὸν δὲ σωμάτων μὴ ὑπερκεῖσθαι λέγειν, μήτε μὴν ὑπονοεῖν φύσεως ἰδίας ὥσπερ ἕπεσθαι θεσμοῖς ἔν γε τῷ χρῆναι τεκεῖν, ἧπερ ἂν αὐτῷ τε καὶ μόνῳ πρέποι.*

γεννᾶ κατ' ἐνέργεια· ἐφόσον ἀπὸ τὴν κατάσταση τῆς ἀγεννησίας, δηλαδὴ ἀπὸ τὸ κατὰ δύναμη, προχώρησε στὴν κατ' ἐνέργεια γέννηση μέσα στὸν χρόνο, ἔστω καὶ ἂν τὸ διάστημα ποὺ μεσολάβησε νοεῖται πολὺ μικρό, ἀκόμα καὶ ἀκαριαῖο. Λέγω μάλιστα, ὅτι εἶναι πάρα πολὺ αἰσχρὸ καὶ ἄσχημο νὰ πιστεύουν ὅτι ὁ ἥλιος καὶ ἡ φωτιά, ποὺ κάποτε δὲν ἦταν αὐτὸ ποὺ εἶναι τώρα, ἀλλ' οὔτε εἶχαν ποτὲ ἀκινησία καὶ ἀδράνεια, ποὺ νὰ νοεῖται μόνο στὸ 'δυνάμει', κινοῦνται ἔτσι πρὸς τὸ 'ἐνεργείᾳ' μέσα στὸν χρόνο καὶ στὴ φύση, μὲ τὰ ὁποῖα εἶναι μᾶλλον σύμφυτα, καὶ τρέχουν ἀπὸ τὴν ἀρχὴ τῆς δημιουργίας νὰ ἀποκτήσουν αὐτὰ ποὺ εἶναι, ἐνῶ γιὰ τὸν Θεὸ νὰ λένε, ὅτι δὲν εἶναι ἀνώτερος ἀπὸ τὰ σώματα, ἀλλὰ οὔτε καὶ νὰ ὑπονοοῦν ὅτι ἔχει ἰδιαίτερη φύση, τῆς ὁποίας τοὺς νόμους ἀκολουθεῖ ὅταν πρέπει νὰ γεννήσει, καὶ ἡ ὁποία φύση ταιριάζει σ' αὐτὸν καὶ μόνο.

## (ΔΙΑ)ΛΟΓΟΣ ΤΡΙΤΟΣ

### *Ὅτι Θεὸς ἀληθινὸς ὁ Υἱὸς καθὰ καὶ ὁ Πατήρ.*

*Α. Ἄριστον μέν, ὦ Ἑρμεία, φαίης ἂν οἶδ' ὅτι καὶ αὐτός που τάχα τοῖς εἰς ἀρετὴν σπουδάσμασιν ἐναγλαΐζεσθαι δεῖν, ἐμφιλοχωρεῖν δὲ μάλιστα τοῖς εἰς εὐσέβειαν λόγοις, εἶεν δ' ἂν οὗτοι οἱ περὶ Θεοῦ. Τοιγάρτοι καὶ Γράμμα φησὶν ἱερόν· «Καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ καὶ πορευόμενος ἐν ὁδῷ, κοιταζόμενος καὶ διανιστάμενος». Τὸ γάρ οἶμαι δεῖν ἀκαταλήκτως ἔχειν τὸν θεῖον ἡμᾶς ἐπὶ γλώττης λόγον οὐκ ἀσυντελὲς εἰς ὄνησιν καὶ οὐχ ἑτέροις ἂν πρέποι μᾶλλον, ἢ οἷς ἐν φροντίδι τὸ διαβιῶναι θεοφιλῶς.*

*Β. Σύμφημι κἀγώ· τοῦδε γὰρ ἄμεινον οὐδέν. Ἐπειδὴ δὲ ἀποχρώντως ἡμῖν εἴς γε τὸ παρὸν ὁ περὶ τῆς θείας τε καὶ ἀπορρήτου γεννήσεως ἐκβεβασάνισται λόγος, ὡς ἐξέφυ μὲν ἑτέρωθεν οὐδαμῶς, ἐξ αὐτῆς δὲ ἡμῖν τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἀνέλαμψεν ὁ Υἱός· ὧδε γὰρ ἔχων ἐφαίνετο· τί τὸ ἀναπεῖθον ἔτι τοὺς δι' ἐναντίας, ἕνα μὲν ὑπάρχειν οἴεσθαι Θεὸν τὸν Πατέρα κατὰ φύσιν καὶ ἀληθινόν, συναριθμεῖν δὲ αὐτῷ μηδένα παντελῶς, ἀλλὰ καὶ αὐτὴν τοῖς ἄλλοις ὁμοῦ πόρρω που τῆς ἀληθοῦς θεότητος, τὴν τοῦ μόνου καὶ ἀληθῶς Υἱοῦ παρωθεῖσθαι φύσιν;*

*Α. Τί τὸ ἀναπεῖθον, ἐπείπερ ἔρεσθαί σοι δοκεῖ, φαίην ἂν ἔγωγε περὶ τῶν ὧδε διειληφότων, ὡς εἴη μὲν «Ἐξ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· Ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας ὁ οἶνος αὐτοῖς». Ἐκμεμεθυσμένοι γὰρ ὥσπερ τοῖς οὐκ οἶδ' ὅθεν ἐξευρημένοις ψευδηγορήμασιν, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτῶν*

1. Δευτ. 6,7.	2. Δευτ. 32,32.

## ΔΙΑΛΟΓΟΣ Γ΄.

### Ὅτι ὁ Υἱὸς εἶναι Θεὸς ἀληθινός, ὅπως καὶ ὁ Πατέρας.

Α. Γνωρίζω πολὺ καλά, Ἑρμεία, πῶς καὶ σὺ θὰ ἔλεγες ὅτι πρέπει νὰ δείχνουμε μεγάλο ἐνδιαφέρον γιὰ τὴν ἀρετή, καὶ νὰ ἐνδιατρίβουμε προπαντὸς στοὺς λόγους τῆς πίστεως, καὶ τέτοιοι εἶναι αὐτοὶ ποὺ ἀναφέρονται στὸν Θεό. Γι' αὐτὸ ἄλλωστε καὶ ἡ ἁγία Γραφὴ λέγει· «Καὶ νὰ μιλᾶς γι' αὐτὰ ὅταν κάθεσαι στὸ σπίτι, ὅταν βαδίζεις στὸ δρόμο, ὅταν πέφτεις νὰ κοιμηθεῖς, καὶ ὅταν σηκώνεσαι ἀπὸ τὸν ὕπνο»[1]. Γιατὶ νομίζω τὸ νὰ ἔχουμε διαρκῶς στὸ στόμα μας τὸν λόγον τοῦ Θεοῦ συντελεῖ πολὺ στὴν ὠφέλειά μας, καὶ δὲν ταιριάζει σὲ ἄλλους, παρὰ μόνον σ' ἐκείνους ποὺ φροντίζουν νὰ ζοῦν ὅπως ἀρέσει στὸν Θεό.

Β. Συμφωνῶ καὶ ἐγώ· γιατὶ τίποτε δὲν εἶναι καλύτερο ἀπὸ αὐτό. Ἐπειδὴ μάλιστα πρὸς τὸ παρὸν κάναμε ἐπαρκῆ λόγο γιὰ τὴ θεία καὶ ἀπερίγραπτη γέννηση, ὅτι δὲν προῆλθε ἀπὸ πουθενὰ ἀλλοῦ, ἀλλὰ ὁ Υἱὸς ἀκτινοβόλησε γιὰ χάρη μας ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα (γιατὶ ἔτσι φαινόταν νὰ εἶναι), τί εἶναι ἐκεῖνο ποὺ παρασύρει ἀκόμα τοὺς ἀντίθεους νὰ πιστεύουν βέβαια ὅτι ἕνας εἶναι ὁ Θεὸς καὶ Πατέρας κατὰ φύση καὶ ἀληθινός, νὰ μὴ συνυπολογίζουν ὅμως σ' αὐτὸν ἐντελῶς κανέναν, ἀλλὰ νὰ ἐκδιώκεται ἀπὸ τοὺς ἄλλους μακριὰ ἀπὸ τὴν ἀληθινὴ θεότητα καὶ ἡ ἴδια ἡ φύση τοῦ μόνου καὶ ἀληθινοῦ Υἱοῦ;

Α. Τί εἶναι ἐκεῖνο ποὺ τοὺς παρασύρει, θὰ ἔλεγα κι' ἐγώ, ἐπειδὴ ρώτησες γιὰ αὐτοὺς ποὺ ἀναφέρθηκαν ἐδῶ, ὥστε νὰ εἶναι «ἀπὸ τὸ ἀμπέλι τῶν Σοδόμων τὸ ἀμπέλι τους, καὶ τὰ κλήματά τους ἀπὸ τὴ Γομόρρα. Τὰ σταφύλια τους εἶναι γεμᾶτα χολὴ καὶ τὰ τσαμπιά τους γεμᾶτα πικρὸ κρασί»[2]. Γιατὶ μεθυσμένοι ἀπὸ τὰ ψευδολογήματα, ποὺ δὲν ξέρω ποὺ τὰ βρῆκαν, ἐκστομίζουν ἀπὸ τὸν πονηρὸ θησαυρὸ τῆς

*ἐρεύγονται πονηρά. Ἀχάλινοι δὲ ταῖς ἐφ' Υἱῷ δυσφημίαις ἀνέντες τὴν γλῶτταν, κἂν ἀδελφὴν καὶ γείτονα τῆς τῶν Φαρισαίων ἀφιλοθεΐας νοσοῦντες ἀπόνοιαν, ἀκουόντων σὺν ἐκείνοις· «Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λέγειν πονηροὶ ὄντες;». Καίτοι χρῆν δή που ταῖς οὕτω σεπταῖς τε καὶ ἀπορρήτοις ἐρεύναις ἐνιέντας τὸν νοῦν τὸ μὲν σφίσι δοκοῦν οὐχὶ δή που πάντως οἴεσθαι καλῶς καὶ ἀδιαβλήτως ἔχειν, ἐν κύκλῳ δὲ ὥσπερ τὸν ἔσω καὶ κεκρυμμένον περικομίζοντας ὀφθαλμὸν καὶ μυρίων ὅσων ἐννοιῶν διαθέοντας πλάτος, ἀποφοιτᾶν μὲν ὡς ἀπωτάτω τῶν ἐξ ἐλαφρίας συντεθειμένων, δοκιμάσαντας δὲ ἀκριβῶς τὸ τελοῦν εἰς ὄνησιν καὶ τῆς εἰς εὐθὺ διαλήψεως καὶ ἀκραιφνῶς ἔχοντος λόγου ποδηγούντων εἰς κατάληψιν, μόνοις ἐφιζῆσαι τοῖς τῆς ἀληθείας δόγμασιν. Ἀποπληξία γάρ, οἶμαι, νοῦ καὶ παρακοπὴ Θεὸν μὲν οὐκ εἶναι λέγειν κατὰ φύσιν καὶ ἀληθινὸν τὸν ἐκ Θεοῦ πεφηνότα Υἱόν, ὡς λόγον ἐκ νοῦ ἢ ὥσπερ ἂν εἴη τοῦ φωτὸς ἀπαύγασμα τυχόν, εἰκαίοις δὲ ὥσπερ ἐπινήχεσθαι λογισμοῖς καὶ κιβδήλοις ἐννοιῶν ἐπαυχεῖν εὑρήμασιν. Ἦ γὰρ οὐκ ἄμεινον ἐξ εὐμαθοῦς διανοίας ἐκεῖνο ἰδεῖν, ὡς ἔνθαπερ ἂν εἴη τὸ γεννᾶσθαι κατὰ φύσιν οὐ διεψευσμένον, ἐκεῖ δήπου πάντως καὶ τῷ γεννωμένῳ πρὸς τὸ γεννῶν εἴη ἂν οὐ σχετικὴ μᾶλλον ἢ ψευδώνυμος ἡ οἰκειότης, ἀλλὰ φυσική; Ἐξ αὐτῆς γὰρ ἔσται τῆς οὐσίας τοῦ τεκόντος τὸ ἀληθῶς γεννώμενον. Πῶς ἂν οὖν ἁμάρτοι καὶ ἐξοίχοιτο κατ' αὐτοὺς τοῦ κατ' ἀλήθειαν εἶναι Θεὸς τὸ ἐκ Θεοῦ γεννηθέν;*

*Β. Ναὶ καὶ αὐτὸν φαῖεν ἂν ἴσως ὡς Θεός τε εἴη καὶ ἐκ Θεοῦ, πλὴν ἑτεροίως καὶ παρηλλαγμένως.*

*Α. Οὐκοῦν, τὸ μὲν ἑτεροίως ὅ τί ποτ' ἐστὶ συνίημι μὲν οὐ σφόδρα ἐγώ, φράσαις δ' ἂν ἴσως αὐτός, εἴπερ οἶσθά που. Διαπεπύσθαι γάρ δή σε καὶ μάλα εἰκός.*

*Β. Ἐπυθόμην. Θεὸν μὲν γάρ εἶναί φασιν ἀληθινὸν τὸν Πατέρα, τὸν δέ γε Υἱὸν οὐχ ὧδε ἔχειν, καὶ εἰ καλοῖτο Θεός, εἶναι δὲ καὶ ἐκ Θεοῦ. Καὶ γάρ τοί φασι· Καὶ τὰ πάντα ἐκ Θεοῦ.*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστιν ἀπημφιασμένως ἀνακεκράγειν ὡς*

3. Ματθ. 12, 34.

καρδιᾶς τους πράγματα πονηρά. Ἀφήνοντας λοιπὸν ἀχαλίνωτη τὴ γλώσσα τους στὶς βλασφημίες ἐναντίον τοῦ Υἱοῦ, καὶ πάσχοντας ἀπὸ ἀνοησία ποὺ εἶναι ἀδελφὴ καὶ γειτονικὴ πρὸς τὴν ἀσέβεια τῶν Φαρισαίων, ἀκοῦν μαζὶ μὲ ἐκείνους· «Γενεὰ ἐχιδνῶν, πῶς μπορεῖτε νὰ μιλᾶτε γιὰ καλὰ πράγματα, ἀφοῦ εἶστε πονηροί;»[3]. Ἂν καὶ βέβαια ἔπρεπε, καταπιανόμενοι μὲ τὶς τόσο σεβαστὲς καὶ ἀπερίγραπτες ἔρευνες, ἐκεῖνο ποὺ φαίνεται σ' αὐτοὺς σωστό, νὰ μὴ νομίζουν ὅτι ὁπωσδήποτε εἶναι καλὸ καὶ ἀδιάβλητο, καὶ περιστρέφοντας σὰν σὲ κύκλο τὰ ἐσωτερικὰ καὶ κρυμμένα μάτια, καὶ διεξερχόμενοι τὸ πλῆθος τῶν μυριάδων ἐννοιῶν, νὰ φύγουν ὅσο πιὸ πολὺ γίνεται μακριὰ ἀπὸ ἐκεῖνες ποὺ εἶναι σχηματισμένες ἀπὸ ἐλαφρότητα, καὶ ἀφοῦ δοκιμάσουν μὲ σχολαστικότητα ἐκεῖνο ποὺ συμβάλλει στὴν ὠφέλειά τους καὶ στὴ σωστὴ κρίση, καὶ μὲ τὴν καθοδήγηση τοῦ καθαροῦ λόγου στὴν κατανόησή τους, νὰ μείνουν στὰ δόγματα τῆς ἀλήθειας. Γιατὶ εἶναι, νομίζω, ἀποπληξία καὶ εὐνουχισμὸς τοῦ νοῦ νὰ λένε ὅτι δὲν εἶναι Θεὸς ἀληθινὸς καὶ κατὰ φύση ὁ Υἱὸς ποὺ προῆλθε ἀπὸ τὸν Θεό, ὅπως ὁ λόγος ἀπὸ τὸν νοῦ, ἢ ὅπως ἡ ἀκτινοβολία ἀπὸ τὸ φῶς, καὶ νὰ ἐπιπλέουν πάνω σὲ ἄσκοπους συλλογισμοὺς καὶ νὰ καμαρώνουν γιὰ κίβδηλα ἐφευρήματα ἐννοιῶν. Μήπως ὅμως δὲν εἶναι καλύτερο ἀπὸ μιὰ εὐμαθῆ διάνοια νὰ δοῦμε ἐκεῖνο· ὅτι ἐκεῖ ὅπου δὲν διαψεύδεται ἡ κατὰ φύση γέννηση, ἐκεῖ ὁπωσδήποτε καὶ ἡ σχέση ἐκείνου ποὺ γεννιέται πρὸς ἐκεῖνο ποὺ γεννᾶ δὲν εἶναι σχετική, ἢ ἡ οἰκειότητα ψεύτικη, ἀλλὰ φυσική; Γιατὶ αὐτὸ ποὺ γεννιέται πραγματικὰ προέρχεται ἀπὸ τὴν ἴδια τὴν οὐσία ἐκείνου ποὺ γεννᾶ. Πῶς λοιπόν, αὐτὸ ποὺ γεννήθηκε ἀπὸ τὸν Θεό, στερεῖται καὶ παύει νὰ εἶναι, σύμφωνα μὲ αὐτούς, πραγματικὰ Θεός;

Β. Ναί, καὶ ἐγὼ θὰ ἔλεγα ἴσως ὅτι εἶναι Θεὸς καὶ προῆλθε ἀπὸ Θεό, ἀλλὰ κατὰ τρόπον διαφορετικὸ καὶ παραλλαγμένο.

Α. Λοιπόν, τί ἀκριβῶς εἶναι αὐτὸ τὸ "διαφορετικὸ" ἐγὼ δὲν τὸ καταλαβαίνω πολύ, καὶ θὰ μποροῦσες ἴσως ἐσὺ νὰ μοῦ πεῖς, ἐὰν φυσικὰ γνωρίζεις κάτι. Γιατὶ εἶναι πολὺ φυσικὸ νὰ ἔχεις ρωτήσει.

Β. Ρώτησα. Λένε λοιπὸν ὅτι ὁ Πατέρας εἶναι Θεὸς ἀληθινός, ὁ Υἱὸς ὅμως δὲν εἶναι ἔτσι, ἔστω καὶ ἂν ὀνομάζεται Θεός, ἀλλὰ προέρχεται ἀπὸ τὸν Θεό. Λένε δηλαδή· Ὅλα προέρχονται ἀπὸ τὸν Θεό.

Α. Αὐτὸ βέβαια εἶναι σὰν νὰ φωνάζουν ἔχοντας ἀποβάλλει κάθε

*οὔτε Θεός ἐστιν ὁ Υἱός, ἀλλὰ καὶ ἐν ἴσῳ τοῖς ἄλλοις ἐκ Θεοῦ, κατὰ τρόπον δὲ δηλονότι τὸν τῆς δημιουργίας, παρῆκται δὴ οὖν εἰς γένεσιν καὶ παρακεκόμισται πρὸς τὸ εἶναι μὴ ὤν, καὶ κτίσει λοιπὸν ὡς ἀδελφῇ συντετάξεται. Κατασκιασμάτων γὰρ ἤδη τῶν ἐκ πανούργου τέχνης ἀπαμφιάσαι τὸν λόγον ἄριστον οἶμαί που καὶ σοφόν, ῥηματίοις δὲ τοῖς κεκομψευμένοις καταχρυσοῦν οὐκ ἐᾶν τὴν τοῦ Υἱοῦ φύσιν τοὺς δι' ἐναντίας, οὐδὲν ἀληθὲς ἐπ' αὐτῷ δοξάζοντας, διαρρήδην δὲ μᾶλλον ἀναπείθειν εἰπεῖν ὅπερ εἶναι πιστεύουσιν. Ἅπας γάρ οἶμαί που τῆς ἐκείνων ἠλιθιότητος κατορχήσεται λόγος. Καὶ ὅτι μὲν τὸ ἐκ Θεοῦ πεφηνέναι τὸν Υἱὸν οὐχ ἕτερόν τι δηλοῦν ὑπολάβοι τις ἄν, εἴ γε νοῦν ἔχοι τὸν ἀπαράφθορον, ἢ ὅτι γεγέννηται καὶ ὡς αὐτῆς ἐξέφυ τῆς οὐσίας τοῦ Πατρός, ὁ γείτων ἡμῶν καὶ πεπερασμένος ἀρτίως παρέδειξε λόγος. Ἀτέρῳ γε μὴν τὸν ἐμβασανίζειν εἰδότα καταθῆξαι νοῦν, οἰήσομαι δεῖν.*

*Β. Ὡς ἥδιστά γε δρῴης ἂν ἐπὶ τοῦτο παρορμώμενος. Ὃ δὲ δὴ δεῖν ἐγνώκασι τοῖς παρ' ἡμῶν ἀντεξάγειν λόγοις ἐκεῖνό ἐστιν. Εἷς γὰρ ὠνόμασται, φασί, Θεὸς ἀληθινός, ὁ Πατήρ, ἔν γε τοῖς Ἀρχαιοτέροις καὶ τοῖς Νέοις Γράμμασιν. Ἔφη μὲν γὰρ ὁ Μωσῆς· «Ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι». Καὶ μὴν καὶ ἐν ᾠδαῖς αὐτὸν εἰσκεκόμικεν ἀνακεκραγότα τὸν Θεόν· «Ἴδετε, ἴδετε ὅτι ἐγώ εἰμι καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ». Καὶ πάλιν· «Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ». Καὶ μὴν καὶ αὐτὸς ὁ Υἱός φησι πρὸς τὸν ἑαυτοῦ Πατέρα· «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν». Παραθεῖεν δ' ἂν ἀμογητὶ συμφέροντες μύρια μὲν ὅσα τοιαῦτα, νεανικώτερον δὲ τοῖς σφῶν αὐτῶν ἐπαγωνιοῦνται λόγοις, καὶ μὴν καὶ ἐλπίδος αὐτοῖς οὐ μακρὰν οἰχήσεται τὸ συμφρονεῖν ἑλέσθαι τινὰς ὡς εἴη μὲν εἷς τε καὶ μόνος ἀληθῶς καὶ φύσει Θεὸς ὁ Πατήρ, ἕτερος δὲ πρὸς αὐτῷ τὸ σύμπαν οὐδείς.*

*Α. Κενὰ δὲ ἱδροῦν, εἰπέ μοι, τί τὸ ἀναπεῖθον αὐτούς; Οὐ γάρ, ὦ 'γαθέ, δεηθείημεν ἂν οὐδενός ἔν γε τούτῳ πόνου, συνθεόντων ἑτοιμότατα καὶ ἡμῶν αὐτῶν, ἕνα τε καὶ φύσει καὶ ἀληθινὸν εἰσδε-*

---

4. Δευτ. 6, 4. 4α. Πρόκειται γιὰ τὸ λεγόμενο «Κύκνιο ᾆσμα τοῦ Μωυσέως, ποὺ ἀποτελεῖ τὴ δεύτερη ἀπὸ τὶς ὀκτὼ ᾠδὲς τῆς Παλαιᾶς Διαθήκης.
5. Δευτ. 32, 39. 6. Ἡσ. 41, 4. 7. Ἰω. 17, 3.

αἴσθημα ντροπῆς, ὅτι οὔτε Θεὸς εἶναι ὁ Υἱός, ἀλλὰ καὶ ὅτι ἰσότιμα πρὸς τὰ ἄλλα κτίσματα, δηλαδὴ μὲ τὸν τρόπο τῆς δημιουργίας, γεννήθηκε καὶ ἦρθε στὴν ὕπαρξη, ἀπὸ τὴν ἀνυπαρξία, καὶ κατατάχθηκε μεταξὺ τῶν κτιστῶν ὡς ἀδελφός τους. Νομίζω λοιπὸν ὅτι εἶναι ἄριστο καὶ σοφὸ νὰ ἀπαλλάσσεις τὸν λόγο ἀπὸ τὶς σκιὲς τῆς πονηρῆς τέχνης, καὶ νὰ μὴ ἀφήνεις νὰ χρυσώσουν μὲ κομψὲς λεξοῦλες τὴ φύση τοῦ Υἱοῦ οἱ ἀντίθετοι, οἱ ὁποῖοι δὲν πιστεύουν τίποτα τὸ ἀληθινὸ σ' αὐτόν, καὶ νὰ τοὺς μεταπείθεις νὰ ποῦν ὅτι πιστεύουν σ' αὐτὸ ποὺ εἶναι. Γιατὶ νομίζω ὅτι θὰ χορεύει ἀπὸ χαιρεκακία κάθε λόγος τῆς ἠλιθιότητάς τους. Καὶ ὅτι βέβαια ὁ Υἱὸς προῆλθε ἀπὸ τὸν Θεό, θὰ μποροῦσε κανεὶς νὰ τὸ ἐκλάβει, ἐὰν φυσικὰ δὲν ἔχει διεφθαρμένο μυαλό, ὅτι δὲν σημαίνει τίποτε ἄλλο, παρὰ μόνο ὅτι ἔχει γεννηθεῖ, ὅτι ὅμως βγῆκε ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Πατέρα, τὸ ἀπέδειξε ὁ διάλογος ποὺ ἔγινε τελευταῖα. Καὶ νομίζω ὅτι πρέπει κάθε νοῦ ποὺ ξέρει νὰ ἐμφαθύνει, νὰ τὸν παροξύνει.

Β. Κάνεις πολὺ καλὰ ποὺ εἶσαι πρόθυμος γι' αὐτό. Ἐκεῖνο ὅμως ποὺ ξέρουν νὰ ἀντιτάσσουν στὰ δικά μας ἐπιχειρήματα εἶναι τὸ ἑξῆς· Λένε δηλαδή, ὅτι ἕνας ὀνομάζεται Θεὸς ἀληθινός, ὁ Πατέρας, καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη. Γιατὶ εἶπε ὁ Μωϋσῆς· «Ἄκουσε, Ἰσραηλιτικὲ λαέ, ὁ Κύριος καὶ Θεός σου εἶναι ἕνας Κύριος»[4]. Ἀλλὰ καὶ στὶς ᾠδὲς[4α] παρουσιάζει τὸν ἴδιο τὸν Θεὸ νὰ φωνάζει· «Προσέξτε καλά, ὅτι ἐγὼ εἶμαι ὁ ἀληθινὸς Θεὸς καὶ δὲν ὑπάρχει ἄλλος ἐκτὸς ἀπὸ μένα»[5]. Καὶ πάλι· «Ἐγὼ εἶμαι ὁ πρῶτος Θεὸς καὶ ἐγὼ ὑπάρχω στοὺς αἰῶνες, καὶ δὲν ὑπάρχει ἄλλος ἐκτὸς ἀπὸ μένα»[6]. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Υἱὸς λέγει στὸν Πατέρα· «Αὐτὴ εἶναι ἡ αἰώνια ζωή· νὰ γνωρίζουν ἐσένα τὸν μόνο ἀληθινὸ Θεό»[7]. Θὰ μποροῦσαν ὅμως εὔκολα νὰ ἀναφέρουν ἄπειρα τέτοια χωρία κύρια, ἀλλὰ θὰ ἀγωνισθοῦν γενικώτερα μὲ τὰ δικά τους ἐπιχειρήματα, ἐλπίζοντας πὼς πολὺ γρήγορα κάποιοι θὰ προτιμήσουν νὰ πιστεύουν, ὅτι ὁ Πατέρας εἶναι ἕνας καὶ μόνος ἀληθινὸς Θεός, καὶ ἄλλος ἐκτὸς ἀπὸ αὐτὸν δὲν ὑπάρχει ἀπολύτως κανένας.

Α. Πές μου ὅμως, τί εἶναι αὐτὸ ποὺ τοὺς πείθει νὰ κοπιάζουν ἄσκοπα; Γιατί, φίλτατε, δὲν θὰ χρειαζόταν νὰ κοπιάσουμε καθόλου, νὰ συμφωνήσουμε ἀμέσως μ' αὐτούς, παραδεχόμενοι στὸ Σύμβολο τῆς Πίστεως καὶ ἐμεῖς ἕνα κατὰ φύση καὶ ἀληθινὸ Θεὸ τὸν Πατέρα.

*δεγμένων ἐν πίστει Θεὸν τὸν Πατέρα. Πῶς γὰρ ἢ πόθεν ἐνδοιάσαι τις ἄν; Εἰ δὲ δὴ καὶ φαῖεν ὅτι Θεὸς ἕτερος ἐπ' αὐτῷ τὸ σύμπαν οὐδείς, ἥκιστά γε τουτὶ τῇ τοῦ Υἱοῦ διαλυμανεῖται φύσει. Ἔξω γὰρ πάντων καὶ οὐκ ἔν γε τοῖς πᾶσίν ἐστι, τῷ ἰδίῳ Πατρὶ συνυφεστηκὼς καὶ συναναλάμπων ἀεί, καὶ ἐν τῇ μιᾷ τῆς θεότητος φύσει τῷ τεκόντι συννοούμενος. Εἷς τοιγαροῦν ὁ Θεός, καὶ οὗτος ὁ ἀληθινός. Ἐκλελυτρώμεθα γὰρ ἐκ πολυθεΐας, καὶ τὴν ἐπὶ τούτῳ κηλίδα διανιψάμενοι, ὀψὲ μὲν καὶ μόλις, τὸν δ' οὖν ἕνα καὶ ἀληθῶς Δεσπότην ἐγνώκαμεν. Ταυτὶ δὲ μεθέντες εἰς τὸ παρόν, ἐπ' ἐκεῖνο ἴωμεν· ὧδε γὰρ δή σοι χρῆναι δοκεῖ.*

*Β. Τὸ ποῖόν τι φῄς;*

*Α. Μόνον ἔφη Θεὸν ἀληθινὸν ὁ Υἱὸς τὸν Πατέρα.*

*Β. Ἔφη γάρ.*

*Α. Καὶ μὴν ὅτι Θεὸς ἕτερος παρ' αὐτὸν οὐδεὶς τὸ ἀρχαῖον ἡμῖν ἀνεφώνει λόγιον.*

*Β. Ἀληθές.*

*Α. Ἰτέον δὴ οὖν, ὦ φιλότης, καὶ ἡμῖν οὑτοῖς ἐπὶ τὸ Γράμμα τὸ ἱερόν, καὶ τοὺς τῶν ἁγίων πολυπραγμονοῦντες λόγους, φέρε δή, φέρε καταθρήσωμεν εἰ δή πή τις ἄρα μόνον ἔφη Θεὸν τὸν Υἱόν, ἐπωνόμασε δὲ καὶ ἀληθινόν.*

*Β. Εὖ λέγεις.*

*Α. Οὐκοῦν αὐτίκα δὴ μάλα παρέσται μὲν ἡμῖν ὁ σοφὸς Ἰωάννης, ὁ καὶ βροντῆς υἱὸς κατωνομασμένος, διαρρήδην ἀνακεκραγώς· «Καὶ οἴδαμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος». Συνεισδραμεῖται δὲ αὖ καὶ ὁ μέγας ἡμῖν Βαρούχ καὶ σαφῆ ποιήσεται τὴν ἀνάρρησιν τῆς τοῦ Υἱοῦ φύσεώς τε καὶ δόξης, ὡδὶ καὶ αὐτὸς ἀναβοῶν, μονονουχὶ δὲ καὶ δακτύλῳ καταδεικνύς· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ δὲ ταῦτα ἐπὶ*

---

8. Μάρκ. 3,17. 9. Α' Ἰω. 5,20.

Μὲ ποιὸ τρόπο ἄλλωστε καὶ μὲ ποιὰ δικαιολογία θὰ μποροῦσε κανεὶς νὰ ἀμφιβάλλει; Ἐὰν ὅμως λένε, ὅτι ἄλλος Θεὸς ἐκτὸς ἀπὸ αὐτὸν δὲν ὑπάρχει κανένας, αὐτὸ δὲν ζημιώνει καθόλου τὴ φύση τοῦ Υἱοῦ. Γιατὶ εἶναι ἔξω ἀπὸ ὅλα, καὶ δὲν συγκαταλέγεται μέσα στὰ κτίσματα τοῦ σύμπαντος, ἀφοῦ συνυπάρχει μαζὶ μὲ τὸν Πατέρα του, καὶ ἀκτινοβολεῖ πάντοτε μαζί του καὶ νοεῖται μαζὶ μὲ αὐτὸν ποὺ τὸν γέννησε στὴ μία φύση τῆς θεότητας. Ἕνας λοιπὸν εἶναι ὁ Θεός, καὶ αὐτός εἶναι ὁ ἀληθινός. Γιατὶ λυτρωθήκαμε ἀπὸ τὴν πολυθεΐα, καὶ ἀφοῦ καθαρισθήκαμε ἀπὸ τὴν κηλίδα ποὺ εἴχαμε ἐξαιτίας τῆς πολυθεΐας, μόλις τελευταῖα γνωρίσαμε τὸν ἕνα καὶ ἀληθινὸ Δεσπότη. Ἀφήνοντας ὅμως πρὸς τὸ παρὸν αὐτά, ἂς πᾶμε σ᾽ ἐκεῖνο· γιατὶ ἔτσι νομίζεις ὅτι πρέπει νὰ κάνουμε.

Β. Ποιὸ ἀκριβῶς ἐννοεῖς;

Α. Ὁ Υἱὸς εἶπε ὅτι μόνος ἀληθινὸς Θεὸς εἶναι ὁ Πατέρας.

Β. Ναὶ τὸ εἶπε.

Α. Ἀλλὰ καὶ ὅτι δὲν ὑπάρχει ἄλλος Θεὸς κοντὰ σ᾽ αὐτόν, μᾶς τὸ φωνάζει τὸ ἀρχαῖο ῥητό.

Β. Πραγματικά.

Α. Ἂς πᾶμε λοιπόν, φίλτατε, καὶ ἐμεῖς οἱ ἴδιοι στὴν ἁγία Γραφή, καὶ ἂς ἐρευνήσουμε μὲ σχολαστικότητα τοὺς λόγους τῶν ἁγίων. Ἐμπρὸς λοιπόν, ἔλα νὰ ἐξετάσουμε μήπως κάπου κάποιος ὀνόμασε τὸν Υἱὸ μόνον καὶ ἀληθινὸ Θεό.

Β. Σωστὰ τὰ λές.

Α. Λοιπὸν ἀμέσως θὰ παρουσιασθεῖ σὲ μᾶς ὁ σοφὸς Ἰωάννης, ποὺ ἐπονομάζεται καὶ Υἱὸς τῆς βροντῆς[8], ὁ ὁποῖος φωνάζει καθαρά· «Καὶ γνωρίζουμε, ὅτι ἦρθε ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ μᾶς ἔδωσε νοῦ γιὰ νὰ γνωρίσουμε τὸν ἀληθινὸ Θεό, καὶ εἴμαστε πραγματικὰ προσκολλημένοι στὸν ἀληθινὸ Υἱό του τὸν Ἰησοῦ Χριστό. Αὐτὸς εἶναι ὁ ἀληθινὸς Θεός, καὶ ἡ ζωὴ ἡ αἰώνια»[9]. Μᾶς βοηθάει ὅμως καὶ ὁ μεγάλος Βαρούχ, ποὺ κάνει σαφῆ τὴν ἀνακήρυξη τῆς φύσεως καὶ δόξας τοῦ Υἱοῦ, φωνάζοντας κατὰ τὸν ἴδιο τρόπο, καὶ δείχνοντας κατὰ κάποιο τρόπο μὲ τὸ δάχτυλό του· «Αὐτὸς εἶναι ὁ Θεός μας, κανένας ἄλλος δὲν μπορεῖ νὰ συγκριθεῖ μὲ αὐτόν. Αὐτὸς βρῆκε ὅλη τὴν ὁδὸ τῆς σοφίας καὶ τὴν ἔδωσε στὸν δοῦλο του Ἰακὼβ καὶ στὸν ἀγαπημένο του Ἰσραηλιτικὸ λαό. Καὶ ἔπειτα ἀπὸ ὅλα αὐτὰ φανερώθηκε στὴ

*τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Καὶ μὴν ἔχοιμ' ἂν εἰπεῖν ὡς ἕνα μὲν Κύριον Ἰησοῦν Χριστὸν ὁ ἱερὸς ἡμῖν ἔφη Παῦλος. Ψάλλει δὲ καὶ ὁ Δαβὶδ ἐν Πνεύματι ὅτι «Τίς Θεὸς πλὴν τοῦ Κυρίου; καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;». Ἆρ' οὖν οὐχὶ σαφέστατά γε καὶ ἐναργέστατα διὰ τῆς τῶν θεολόγων φωνῆς εἷς τε καὶ μόνος καὶ ἀληθινὸς ἀνεκηρύχθη Θεὸς ὁ Μονογενής;*

*Β. Ἀληθές.*

*Α. Ὅτε τοίνυν μόνος ἡμῖν καὶ ἀληθινὸς εἰσκεκόμισται Θεὸς ὁ Πατήρ, ἰσοτρόπως δὲ αὖ καὶ ἀπαραλλάκτως ἔχων ὁ Υἱός· καταλογισθείη γὰρ ἂν ἕτερος ἐπ' αὐτῷ τὸ σύμπαν οὐδείς· ποῖ ποτε ἄρα δραμεῖται τῶν πιστευόντων ὁ νοῦς, εἴπερ ἄμφω διὰ σφῶν αὐτῶν ἐξωθεῖεν ἄν, καὶ οὐκ ἐν βεβαίῳ τῆς θεοπρεποῦς ἔσονται δόξης, εὐκατάσειστόν τε καὶ εὐανάτρεπτον κομιδῇ λαχόντε τὴν φύσιν; Ἢ οὐκ ἀληθὲς εἰπεῖν ὡς, εἴπερ εἶναι παραδεξαίμεθα μόνον καὶ ἀληθινὸν Θεὸν τὸν Πατέρα, κατασφραγιοῦμεν εὐθὺς τὸ ἑτεροφυὲς τῷ Υἱῷ, καὶ τῶν τῆς ἀληθοῦς θεότητος ὅρων ἀποσοβοῦντες αὐτόν, ἐν ἑτέρᾳ που φύσει γεγονότα διοψόμεθα; Εἰ δὲ δὴ μόνῳ τῷ Υἱῷ τὸ τῆς ἀληθοῦς θεότητος ὄνομά τε καὶ χρῆμα προσνέμοντες, οὐδένα τὸ σύμπαν ἐπ' αὐτῷ καταλογισαίμεθα, ἆρ' οὐχὶ καθοριοῦμεν τῆς τοῦ Πατρὸς δόξης, ἃ μὴ θέμις εἰπεῖν;*

*Β. Ἕρπει μὲν εἰς τοῦτο τῶν ἐννοιῶν ἡ δύναμις· πλὴν τάχα που κἀκεῖνο εἰκὸς τοὺς δι' ἐναντίας εἰπεῖν, ὡς περιεστήξει πάντως ἡμῖν εἴπερ ἐστὶ Θεὸς ἀληθινὸς ὁ Υἱός, οὐχ ἕνα δὴ λέγειν, ἀλλὰ δύο τοὺς θεούς.*

*Α. Ἀνεπιτήδευτον μὲν τῶν ἄγαν ἐκτόπων ἐκείνοις οὐδέν, δυσφημίας δὲ τρόπος ἀπαστισοῦν βάσιμός τε καὶ ἱππήλατος. Σκοπὸς δὲ ἡμῖν οὐχὶ τοῦτο φάναι ποθέν, συνωθεῖ δὲ μᾶλλον εἰς ὁμολογίαν ὁ λόγος τοῦ χρῆναι νοεῖν ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας διὰ τῆς ἀληθοῦς γεννήσεως ἀναφῦναι τὸν Υἱόν, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, οὐκ εἰς ὀθνείαν τινὰ καὶ ἔκφυλον ἐκπεφυκότα φύσιν, ἀλλ' ὄντα τοῦτο οὐσιωδῶς ὅπερ ἂν εἶναι νοοῖτο καὶ ὁ Πατήρ, δίχα*

---

10. Βαρούχ 3,36. 11. Ψαλμ. 17,32.

γῆ καὶ συναναστράφηκε μὲ τοὺς ἀνθρώπους»[10]. Ἐπίσης θὰ μπορούσαμε νὰ ποῦμε, ὅτι καὶ ὁ ἱερὸς Παῦλος μᾶς εἶπε ὅτι ἕνας εἶναι ὁ Κύριος Ἰησοῦς Χριστός. Ἀλλὰ καὶ ὁ Δαβὶδ ψάλλει ἐμπνευσμένος ἀπὸ τὸ Πνεῦμα· «Ποιὸς ἄλλος εἶναι Θεός, ἐκτὸς ἀπὸ τὸν Κύριο; Καὶ ποιὸς Θεὸς ὑπάρχει ἐκτὸς ἀπὸ τὸν Θεό μας;»[11]. Ἄρα λοιπὸν μὲ τὰ λόγια τῶν θεολόγων μὲ σαφήνεια καὶ πολὺ ξεκάθαρα ὁ Μονογενὴς ἀνακηρύχθηκε Θεὸς μόνος καὶ ἀληθινός.

Β. Εἶναι ἀλήθεια.

Α. Ἀφοῦ λοιπὸν γιὰ μᾶς μόνος καὶ ἀληθινὸς Θεὸς ὀνομάζεται ὁ Πατέρας, καὶ κατὰ τὸν ἴδιο τρόπο καὶ ἀπαράλλακτα καὶ ὁ Υἱός, γιατὶ κανένας ἀπολύτως ἄλλος δὲν μπορεῖ νὰ προστεθεῖ σ' αὐτόν, ποῦ ἄραγε μπορεῖ νὰ πάει ὁ νοῦς αὐτῶν ποὺ πιστεύουν, ἐφόσον καὶ οἱ δύο θὰ τοὺς ἐμπόδιζαν μὲ τοὺς ἑαυτούς τους καὶ δὲν θὰ ἦταν βέβαιοι γιὰ τὴ δόξα ποὺ ταιριάζει στὸν Θεό, ἀφοῦ ἔχουν φύση ποὺ εὔκολα κρημνίζεται καὶ ἀνατρέπεται; Ἢ μήπως δὲν εἶναι σωστὸ νὰ ποῦμε, ὅτι, ἐφόσον παραδεχόμαστε ὅτι ἕνας καὶ μόνος ἀληθινὸς Θεὸς ὑπάρχει, ὁ Πατέρας, ἐπιβεβαιώνουμε ἀμέσως ὅτι ὁ Υἱὸς εἶναι διαφορετικῆς φύσεως, καὶ ἀπομακρύνοντάς τον ἀπὸ τὰ ὅρια τῆς ἀληθινῆς θεότητας, τὸν βλέπουμε νὰ βρίσκεται σὲ κάποια ἄλλη φύση; Ἐὰν πάλι, ἀπονέμοντας μόνο στὸν Υἱὸ τὸ ὄνομα καὶ τὸ πρᾶγμα τῆς ἀληθινῆς θεότητας, δὲν συνυπολογίζουμε κανέναν ἄλλο σ' αὐτόν, δὲν περιορίζουμε ἄραγε τὴ δόξα τοῦ Πατέρα, πρᾶγμα ποὺ δὲν εἶναι δίκαιο νὰ τὸ λέμε;

Β. Βέβαια ἡ σημασία τῶν ἐννοιῶν ὁδηγεῖ σ' αὐτό· ὡστόσο εἶναι δικαιολογημένο νὰ ποῦν οἱ ἀντίθετοι, ὅτι, ἐὰν ὁ Υἱὸς εἶναι Θεὸς ἀληθινός, θὰ μᾶς ἀναγκάσει νὰ μὴ λέμε ὅτι ὁ Θεὸς εἶναι ἕνας, ἀλλὰ δύο.

Α. Κανένα βέβαια ἀπὸ τὰ πολὺ παράξενα ἐκείνων δὲν εἶναι εἰλικρινές, ἀλλὰ εἶναι ἕνας τρόπος βλασφημίας ὁπωσδήποτε βάσιμος καὶ μεταδιδόμενος μὲ μεγάλη ταχύτητα. Σκοπός μας ὅμως δὲν εἶναι νὰ ποῦμε ἀπὸ ποῦ προέρχεται αὐτὴ ἡ βλασφημία, ἀλλὰ μᾶς σπρώχνει περισσότερο ὁ λόγος νὰ ὁμολογήσουμε ὅτι πρέπει νὰ ἐννοήσουμε πὼς ὁ Υἱὸς φύτρωσε μὲ πραγματικὴ γέννηση ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, καὶ εἶναι Θεὸς ἀληθινὸς ποὺ προῆλθε ἀπὸ ἀληθινὸ Θεό, καὶ δὲν γεννήθηκε σὲ κάποια ξένη καὶ ἀλλόκοτη φύση, ἀλλὰ εἶναι κατ' οὐσίαν αὐτὸ ποὺ θεωρεῖται ὅτι εἶναι καὶ ὁ Πατέρας,

*μόνου τοῦ εἶναι Πατήρ. Συναριθμουμένου γὰρ ὧδε καὶ συναναθρώσκοντος εἰς θεολογίαν τοῦ ἁγίου Πνεύματος, μία λοιπὸν ἡ ἀληθινὴ καὶ φύσει θεότης ἐν ὁμοουσίῳ προσκυνεῖται Τριάδι.*

*Β. Ἀλλ᾽ εἰ τρεῖς εἶναι, φασί, τὰς ὑποστάσεις δώσομεν, καὶ ἡ θεότης ἐν τριπλῷ νοηθείη ἄν, κατά γε τὸν εἰκότα λογισμόν.*

*Α. Ἀλλ᾽ ὅ γε τῆς ἀληθοῦς μυσταγωγίας ἡμᾶς οὐχ ὧδε ταῦτ᾽ ἔχειν ἐκπεπαίδευκε λόγος. Βεβαπτίσμεθα γὰρ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καὶ οὔ τί πού φαμεν εἰς τρεῖς ὅτι θεοὺς ἡ πίστις, ἀλλ᾽ εἰς μίαν θεότητα, τὴν ἐν Τριάδι προσκυνητήν. Τί τοίνυν ἀποβιβάζῃ καὶ λογισμοῖς ἀνθρωπίνοις ὑποφέρειν πειρᾷ τὰ ὑπὲρ νοῦν καὶ λόγον, ἃ καὶ οἶμαι δεῖν ἀπεριεργάστῳ καὶ μόνῃ τιμᾶσθαι τῇ πίστει; Ἀνόσιον γὰρ κομιδῇ καὶ δυσσεβείας εἰς λῆξιν ἧκον τὴν ἀνωτάτω τὸ φάναι περιεργότατα, πῶς ἄρα καὶ τίς ἡ Τριάς, ἔχει δὲ ὅπως καθ᾽ ἑαυτὴν ἡ τῆς θεότητος φύσις; Εὐσεβὲς δὲ μᾶλλον τὸ περινοεῖν ἐθέλειν ὀρθῶς, κατὰ τίνα δὴ τρόπον ἐν ἁγίᾳ Τριάδι μία προσκυνεῖται θεότητος φύσις. Φάθι δὴ οὖν, ὦ Ἑρμεία, τουτὶ μὲν ἡμᾶς οἴεσθαί τε καὶ δοξάζειν ὀρθῶς, ἀνοσιουργεῖν δὲ τοὺς δι᾽ ἐναντίας, τὰ καὶ νοῦ παντὸς ὑπερφέροντα λογισμῶν ἀθλίων εὑρήμασιν ἀσυνέτως ἐκβασανίζοντας.*

*Β. Εὖ λέγεις. Φημὶ γὰρ οὖν ἔγωγε, τοῦτο δρᾶν αὐτούς. Πῶς οὖν ἄρα Θεὸς εἷς ἐν ἡμῖν, εἴπερ ἐν ἰδίαις ὑποστάσεσι καὶ ὁ Πατὴρ νοοῖτο καὶ ὁ Υἱός;*

*Α. Συλλήπτορά τε καὶ ἀρωγὸν ἀναγκαίως εἰς τοῦτο παραληψόμεθα τὸν τῆς ὁμοουσιότητος τρόπον, τὸ διττὸν ἐν ὑποστάσεσιν εἰς ἕν τι τὸ δι᾽ ἀμφοῖν κατασφίγγοντα καὶ τὸ διαχεῖσθαι δοκοῦν εἰς ἰδιότητα τὴν ἐφ᾽ ἑκατέρῳ καὶ ἀναμέρος εἰς ταὐτότητα συλλέγειν εὖ μάλα δυνάμενον, ὡς ἂν μήτε τὸ διπλοῦν τῇ ἁπλῇ τε καὶ ἀσυνθέτῳ πρὸς τινοσοῦν ὅλως ἐπιφημίζοιτο φύσει, μήτε μὴν αἰδοῖ τοῦ μὴ δοκεῖν τὸν τῆς ἁπλότητος κατασίνεσθαι λόγον, τὸ διττὸν ἐν ὑποστάσεσιν ἀναιροῦντες ἁλισκοίμεθα. Ἀληθῆ δὲ ὄντα τὸν τῆς ὁμοουσιότητος λόγον, καὶ αὐτά που μάλα διεκφήνειεν ἂν τὰ ἐφ᾽ Υἱῷ μαρτύρια, τῶν ἱερῶν ἡμῖν παρακεκομισμένα Γραμμάτων. Μόνος*

ἐκτὸς μόνο ἀπὸ τὸ νὰ εἶναι Πατέρας. Μὲ τὴ συναρίθμηση ἐδῶ καὶ τὴν συνανύψωση στὴ θεότητα καὶ τοῦ ἁγίου Πνεύματος, προσκυνεῖται μία ἀληθινὴ καὶ κατὰ φύση θεότητα σὲ ὁμοούσια Τριάδα.

Β. Ὅμως, ἐάν, λένε, δεχθοῦμε ὅτι ὑπάρχουν τρεῖς ὑποστάσεις θὰ μποροῦσε τότε καὶ ἡ θεότητα νὰ νοηθεῖ τριπλῆ, σύμφωνα μὲ τὸν εὔλογο συλλογισμό.

Α. Ἐμᾶς ὅμως ὁ λόγος τῆς ἀληθινῆς μυσταγωγίας δὲν μᾶς δίδαξε ὅτι ἔτσι ἔχουν αὐτά. Γιατὶ ἔχουμε βαπτισθεῖ στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ φυσικὰ δὲν λέμε ὅτι πιστεύουμε σὲ τρεῖς θεούς, ἀλλὰ σὲ μία θεότητα ποὺ προσκυνεῖται σὲ Τριάδα. Γιατί λοιπὸν βιάζεσαι καὶ προσπαθεῖς νὰ ὑποτάξεις σὲ ἀνθρώπινους συλλογισμοὺς αὐτὰ ποὺ ξεπερνοῦν τὰ ὅρια τοῦ νοῦ καὶ τοῦ λόγου, τὰ ὁποῖα νομίζω ὅτι πρέπει νὰ τιμῶνται μόνο μὲ τὴν ἀπαλλαγμένη ἀπὸ περιέργεια πίστη; Γιατὶ εἶναι τελείως ἀνίερο καὶ ἐγγίζει τὰ ἀνώτατα ὅρια ἀσέβειας τὸ νὰ λέμε μὲ φιλοπερίεργη διάθεση, πῶς ἄραγε καὶ ποιὰ εἶναι ἡ ἁγία Τριάδα, καὶ πῶς εἶναι αὐτὴ ἡ ἴδια ἡ φύση τῆς θεότητας; Ἀντίθετα εἶναι εὐσεβὲς τὸ νὰ θέλουμε νὰ σκεπτόμαστε ὀρθά, μὲ ποιὸ τρόπο προσκυνεῖται στὴν ἁγία Τριάδα ἡ μία φύση τῆς θεότητας. Συμφωνεῖς λοιπόν, Ἑρμεία, ὅτι αὐτὰ ἐμεῖς τὰ θεωροῦμε καὶ τὰ πιστεύουμε σωστά, ἐνῶ οἱ ἀντίθετοι κάνουν ἀνοσιούργημα προσπαθώντας νὰ ἐρευνήσουν ἀπερίσκεπτα μὲ ἐφευρήματα ἄθλιων συλλογισμῶν, αὐτὰ ποὺ ξεπερνοῦν κάθε νοῦ;

Β. Σωστά. Ὁμολογῶ, ὅτι αὐτὸ ἐπιχειροῦν ἐκεῖνοι. Ὅμως πῶς ὁ Θεός μας εἶναι ἕνας, ἀφοῦ νοοῦνται μὲ ἰδιαίτερες ὑποστάσεις ὁ Πατέρας καὶ ὁ Υἱός;

Α. Βοηθὸ καὶ ὑποστηρικτὴ σ' αὐτὸ θὰ λάβουμε ἀναγκαστικὰ τὸν τρόπο τῆς ὁμοουσιότητας, ὁ ὁποῖος συνενώνει τὶς δύο ὑποστάσεις σὲ ἕνα, καὶ αὐτὸ ποὺ φαίνεται ὅτι διαχέεται στὴν ἰδιότητα τοῦ καθενὸς καὶ ἐπὶ μέρους, μπορεῖ εὔκολα νὰ τὸ συγκεντρώνει ταὐτίζοντάς το, ὥστε νὰ μὴ ἀποδίδεται τὸ διπλὸ στὴν ἁπλῆ καὶ ἀσύνθετη πρὸς ὁ,τιδήποτε γενικὰ φύση, οὔτε ὅμως καὶ νὰ συλληφθοῦμε, ἀπὸ φόβο μήπως φανοῦμε ὅτι βλάπτουμε τὸν λόγο τῆς ἁπλότητας, ὅτι ἀναιροῦμε τὶς δύο ὑποστάσεις. Ὅτι ὅμως ὁ λόγος τῆς ὁμοουσιότητας εἶναι ἀληθινός, μποροῦν νὰ τὸ φανερώσουν καὶ οἱ ἴδιες οἱ μαρτυρίες γιὰ τὸν Υἱὸ ποὺ ἔχουμε προσκομίσει ἀπὸ τὶς ἅγιες Γραφές. Ἐπειδὴ

*γὰρ ὢν ὁ Πατὴρ φύσει τε καὶ ἀληθῶς Θεός, μόνον ὄντα Θεὸν φύσει τε καὶ ἀληθῶς τὸν Υἱὸν παραδέξαιτο ἂν οὐχ ἑτέρως εἴς τε τὸ ὑπάρχειν ἰδιοσυστάτως καὶ εἰς ταὐτότητα φυσικήν, εἰ μὴ ὑπάρχοι μὲν αὐτὸς ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ, ἔχοι δὲ αὖ ὁ Υἱὸς ἐν ἰδίᾳ φύσει τὸν γεγεννηκότα, ταύτῃ τοι νοοῖτο λέγεσθαί τε καὶ ὑπάρχειν ἕν. Καὶ γοῦν ὁ χρηστὸς ἡμῖν ἐπετιμᾶτο Φίλιππος, τὸ τῆς διανοίας εὐμαθὲς οὐ τοῖς ἄγαν ἐξητασμένοις καταχαλλύνων ῥήμασι. Καίτοι γὰρ ἐνὸν ἐν Υἱῷ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς καταθεᾶσθαι φύσιν, ἐλιπάρει λέγων· «Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν». Καὶ πρός γε ταῦτα Χριστός· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»· καὶ ἀληθὴς ὁ λόγος. Ἐπειδὴ γὰρ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκπέφηνεν ὁ Υἱός, ἐνυπάρχει μὲν αὐτὸς τῷ ἰδίῳ Πατρί, παραδείξειε δ' ἂν ἐν ἑαυτῷ διὰ ταὐτότητος φυσικῆς καὶ τὴν τοῦ γεγεννηκότος. Νοηθείη δ' ἂν ὁ Πατὴρ οὐχ ἑτέρως, ἢ δι' Υἱοῦ τε καὶ ἐν Υἱῷ, ἐπείπερ ἐστὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τὴν ὅθεν ἐξέφυ διαστίλβων φύσιν ἐν ἰδίᾳ μορφῇ. Χρῆναι γὰρ οἶμαι καὶ καθ' ἡμᾶς εἰπεῖν· τοιγάρτοι καὶ ἐπ' ἀμφοῖν ὅπερ ἂν ὑπό του λέγοιτο τυχόν, χωρήσει δὴ πάντως καὶ ἀναμέρος ἐφ' ἑκατέρῳ, καὶ τὴν οὐδενὸς ἀδικήσει δόξαν.*

*Β. Πῶς δὴ ἄρα καὶ τοῦτο φής;*

*Α. Οὐ γὰρ ἐπαΐεις ἀνακεκραγότος, ὦ τᾶν, τοῦ μακαρίου Παύλου περὶ τοῦ Θεοῦ καὶ Πατρός· «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»;*

*Β. Ἀλλὰ τί μήν;*

*Α. Ἴθι δὴ οὖν, καὶ ἄθρει τὸ ἰσοστατοῦν εἰς δόξαν ἀπονέμοντα τῷ Υἱῷ, καὶ τὴν τοῦ Μονογενοῦς καταχρυσοῦντα φύσιν, οἷς ἂν καὶ αὐτὸς ὁ Πατὴρ εὖ μάλα κατασεμνύνοιτο. Ἔφη γάρ που περὶ αὐτοῦ· «Τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου».*

*Β. Ἔφη γάρ.*

*Α. Οὐκοῦν ἀπορήσειεν ἄν, οἶμαί που, πᾶς ὁστισοῦν, ὧδέ πη*

---

12. Ἰω. 14, 8. 13. Ἰω. 14, 9. 14. Ἰω, 10, 30. 15. Ἐφ. 1, 23.

δηλαδὴ ὁ Πατέρας εἶναι ὁ μόνος κατὰ φύση καὶ ἀληθινὸς Θεός, θὰ παραδεχόταν ὅτι καὶ ὁ Υἱὸς εἶναι μόνος κατὰ φύση καὶ ἀληθινὸς Θεός, ἐὰν ἔχει ἰδιαίτερη ὑπόσταση καὶ ταυτίζεται κατὰ φύση ὄχι μὲ ἄλλον τρόπο, παρὰ μόνο ἐὰν ὑπάρχει ὁ Υἱὸς ἀπὸ αὐτὸν καὶ μέσα σ' αὐτόν, ἀλλὰ καὶ ἐὰν ὁ Υἱὸς ἔχει μέσα στὴ δική του φύση αὐτὸν ποὺ τὸν γέννησε, καὶ μὲ τὸν τρόπο αὐτὸν νοεῖται ὅτι λέγονται καὶ εἶναι ἕνα. Ἔτσι λόγου χάρη ὁ ἀγαθὸς γιὰ μᾶς Φίλιππος ἐπιτιμήθηκε, ἐπειδὴ τὴ δίψα τῆς διάνοιάς του γιὰ μάθηση δὲν τὴν στόλισε μὲ τὰ λόγια ποὺ εἶχαν πάρα πολὺ διερευνηθεῖ. Γιατί, ἂν καὶ μποροῦσε νὰ δεῖ καθαρὰ στὸ πρόσωπο τοῦ Υἱοῦ τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα, ἐκεῖνος παρακαλοῦσε λέγοντας· «Κύριε, δεῖξε μας τὸν Πατέρα, καὶ μᾶς εἶναι ἀρκετό»[12]. Καὶ ὁ Χριστὸς στὰ λόγια του αὐτὰ ἀπάντησε· «Τόσο χρόνο εἶμαι μαζί σας καὶ δὲν μὲ γνώρισες, Φίλιππε; Δὲν πιστεύεις ὅτι ἐγὼ εἶμαι μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα σὲ μένα; Αὐτὸς ποὺ εἶδε ἐμένα, εἶδε τὸν Πατέρα»[13]. «Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[14], καὶ ὁ λόγος του εἶναι ἀληθινός. Γιατί, ἐπειδὴ ὁ Υἱὸς βγῆκε ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, αὐτὸς βέβαια ὑπάρχει μέσα στὸν Πατέρα του, ἀλλὰ καὶ μπορεῖ νὰ ἐπιδεικνύει στὸν ἑαυτό του μέσα ἀπὸ τὴ φυσική του ταυτότητα, καὶ τὴν φύση ἐκείνου ποὺ τὸν γέννησε. Καθόσον ὁ Πατέρας δὲν μπορεῖ νὰ νοηθεῖ μὲ ἄλλον τρόπο, παρὰ μόνο μέσα ἀπὸ τὸν Υἱὸ καὶ στὸν Υἱό, ἀφοῦ εἶναι σφραγίδα τῆς ὑποστάσεώς του, ἀκτινοβολώντας στὴ δική του μορφὴ τὴ φύση ἀπὸ τὴν ὁποία προῆλθε. Νομίζω ὅμως ὅτι πρέπει καὶ σύμφωνα μὲ μᾶς νὰ ποῦμε, ὅτι αὐτὸ ποὺ τυχὸν λέγεται γιὰ τοὺς δύο, ἰσχύει ὁπωσδήποτε ἐπὶ μέρους καὶ γιὰ τὸν καθένα, καὶ δὲν ἀδικεῖ κανενὸς τὴ δόξα.

Β. Μὲ ποιὸ νόημα τὸ λὲς αὐτό;

Α. Δὲν γνωρίζεις, φίλε μου, ὅτι ὁ μακάριος Παῦλος ἀναφωνεῖ γιὰ τὸν Θεὸ καὶ Πατέρα, «Γιὰ νὰ εἶναι ὁ Θεὸς τὰ πάντα σὲ ὅλα»[15];

Β. Καὶ τί σημαίνει αὐτό;

Α. Ἔλα λοιπὸν καὶ πρόσεξε, ὅτι ἀπονέμει στὸν Υἱὸ ἰσότιμη δόξα, καὶ στολίζει τὴ φύση τοῦ Μονογενοῦς μὲ αὐτὰ ποὺ καὶ ὁ ἴδιος ὁ Πατέρας πολὺ θὰ σεμνυνόταν. Γιατὶ εἶπε κάπου γι' αὐτόν· «Τὸ πλήρωμα ἐκείνου ποὺ γεμίζε τὰ πάντα μὲ ὅλα»[15].

Β. Ναί, τὸ εἶπε.

Α. Νομίζω λοιπὸν πὼς ὁποιοσδήποτε θὰ ἀποροῦσε, ἀναλογιζό-

*διενθυμούμενος τὸ ὅπως ἂν ἔχοι τὸ χρῆμα. Ἀναπιμπλάντος γὰρ ἡμῖν τὰ πάντα τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἐν πᾶσιν ὄντος τε καὶ νοουμένου θεοπρεπῶς, ὅποιπερ ἂν ἔτι χωρήσειεν ἡ δι᾽ Υἱοῦ πλήρωσις κατιδεῖν οὐκ ἔχω. Ἆρ᾽ οὖν ἀνάγκη περινοεῖν ὡς, εἰ μή ἐστιν ἐν ἀμφοῖν οὐσιωδῶς ἑκάτερος, περιττή τις, ὡς ἔοικεν, ἡ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἀναφανεῖται πλήρωσις, ἀποχρώσης εὖ μάλα πρὸς τοῦτο ἡμῖν τῆς δι᾽ Υἱοῦ, ἤγουν ἐπεισφέρεται τοῖς οὖσιν εἰκῇ καὶ οὐκ ἔτι καθηκόντως ἡ δι᾽ Υἱοῦ πλήρωσις, διαρκέστατά τε καὶ οὐκ ἀνικάνως ἔχοντος τοῦ Πατρὸς εἰς τὸ πληρῶσαι τὰ πάντα. Τίνος δ᾽ ἂν ἔτι καὶ δεδεῆσθαι τὰ πάντα καταδείξαι τις ἄν, τὴν πλήρωσιν ἔχοντα τὴν παρὰ Πατρός; Ἆρ᾽ οὖν, ὦ ἑταῖρε, περιττὸς εἰς λόγους ἀναφανεῖται λοιπὸν καὶ ἐρραψῴδηκε μάτην ὁ σοφὸς Ἰωάννης, ἁγίων τε πέρι καὶ τοῦ Υἱοῦ λέγων· «Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»; Τίνος γὰρ ἔτι δεδεημένοι τὰ ἐκ τοῦ πληρώματος δέχονται τοῦ Υἱοῦ, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς ἀποχρώντως ἔχοντος ἕν γε τοῖς καθ᾽ ἑαυτὸν εἰς τὸ κατα στῆσαι τὴν κτίσιν, τῶν παρ᾽ ἑτέρου τινὸς ἀνεπιδεᾶ;*

*Β. Ὀρθότατα ἔφης.*

*Α. Εἰ δὲ δὴ καὶ αὐτὴν ἥτις ποτέ ἐστι τὴν δι᾽ ἑκατέρου πλήρωσιν πολυπραγμονεῖν ἐθέλομεν, ἆρ᾽ οὐκ ἂν γένοιτο παντί τῳ σαφές, ὡς εἴπερ ἀμφοῖν ὁ τῆς οὐσίας διῴκισται λόγος εἰς τὸ ἑτεροίως ἔχειν, ὡς ἂν ἑκάτερος ἔχοι φύσεως, οὕτω τὴν εἰς ἡμᾶς ἐνεργήσει πλήρωσιν;*

*Β. Ἀναγκαίως.*

*Α. Καὶ εἴπερ ἐστὶ Θεὸς μὲν ἀληθινὸς ὁ Πατήρ, θεία τις ἔσται πάντως που καὶ ἡ ἐνέργεια, διεκπίπτοντός γε μὴν τῆς ἀληθοῦς θεότητος τοῦ Υἱοῦ, θεία μὲν οὐκ ἔτι, κατ᾽ αὐτὸν δὲ πάντως, καὶ ἡ τῆς πληρώσεως δύναμις. Ἐνηργήμεθα δὴ οὖν εἰς πλήρωσιν, διττῶς τε καὶ ἀνομοίως. Καὶ εἰ μὲν ἀποχρήσειν ἔμελλε τοῖς ἐνεργουμένοις εἰς σωτηρίαν ἡ πλήρωσις τοῦ Πατρός, θεία τις οὖσα καὶ τῆς ἑτέρας ἀμείνων, τί καὶ ὅλως ἐνήργηκεν εἰς ἡμᾶς ὁ Υἱός, καίτοι τὴν χείρω προστιθείς, εἴπερ οὐχ οὕτως ἐνεργήσειεν ἂν καθὰ καὶ ὁ φύσει Θεός; Εἰ δὲ δὴ χρήσιμόν τε καὶ ἀναγκαῖον εἰς σωτηρίαν ἐφόδιον τὴν*

---

16. Ἰω. 1, 16.

μενος τὸ πῶς ἀκριβῶς ἔχει τὸ πρᾶγμα. Γιατί, ἀφοῦ ὁ Θεὸς καὶ Πατέρας γεμίζει τὰ πάντα, καὶ ὑπάρχει σὲ ὅλα καὶ νοεῖται ὅπως ταιριάζει σὲ Θεό, δὲν μπορῶ νὰ δῶ ποῦ θὰ μποροῦσε νὰ ἔχει θέση ἡ πλήρωση μέσω τοῦ Υἱοῦ. Ἄρα λοιπὸν εἶναι ἀνάγκη νὰ σκεφθοῦμε, ὅτι ἂν δὲν ὑπάρχει καὶ στοὺς δύο ὁ καθένας οὐσιωδῶς, τότε ἡ πλήρωση τοῦ σύμπαντος ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, ὅπως εἶναι φυσικό, ἐμφανίζεται περιττή, ἀφοῦ εἶναι ἀρκετὴ γι' αὐτὸ σὲ μᾶς ἡ πλήρωση διὰ τοῦ Υἱοῦ, δηλαδὴ εἰσάγεται στὰ ὄντα ἀλόγιστα καὶ χωρὶς νὰ χρειάζεται πιὰ ἡ πλήρωση διὰ τοῦ Υἱοῦ, ἀφοῦ ὁ Πατέρας ἐπαρκέστατα καὶ χωρὶς νὰ εἶναι ἀνίκανος γεμίζει τὰ πάντα. Καὶ τί θὰ μποροῦσε νὰ ἀποδείξει κανεὶς ὅτι χρειάζονται τὰ πάντα, ἀφοῦ εἶναι γεμᾶτα ἀπὸ τὸν Πατέρα; Ἄρα λοιπόν, φίλε, ἀποδεικνύεται περιττὸς στὰ λόγια ὁ σοφὸς Ἰωάννης, καὶ ἔπλεξε ἄδικα τὰ ἐγκώμια, λέγοντας γιὰ τοὺς ἁγίους καὶ τὸν Υἱό, «Καὶ ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐλάβαμε ὅλοι ἐμεῖς»[16]; Ἀπὸ τί δηλαδὴ εἶχαν ἀκόμα ἀνάγκη καὶ δέχονται αὐτὸ ἀπὸ τὸ πλήρωμα τοῦ Υἱοῦ, ἀφοῦ ὁ Θεὸς καὶ Πατέρας ἦταν ἐπαρκὴς ἀπὸ αὐτὰ ποὺ ἔχει ὁ ἴδιος γιὰ νὰ κάνει τὴν κτίση νὰ μὴ ἔχει ἀνάγκη ἀπὸ κανέναν ἄλλο;

Β. Πολὺ σωστὰ τὰ εἶπες.

Α. Ἐὰν λοιπὸν θέλαμε νὰ ἐξετάσουμε τί ἀκριβῶς εἶναι αὐτὸ τὸ 'πλήρωμα' τοῦ καθενός, δὲν θὰ γινόταν ἄραγε στὸν καθένα σαφὲς ὅτι, ἐὰν ὁ λόγος τῆς οὐσίας εἶχε μοιραστεῖ καὶ στοὺς δύο, ὥστε νὰ εἶναι διαφορετικοί, τότε ἡ πλήρωση ποὺ θὰ κάνει σὲ μᾶς ὁ καθένας δὲν θὰ εἶναι ἀνάλογη μὲ τὴ φύση του;

Β. Ἀναγκαστικά.

Α. Καὶ ἐὰν ὁ Πατέρας εἶναι Θεὸς ἀληθινός, ὁπωσδήποτε καὶ ἡ ἐνέργειά του θὰ εἶναι ἐνέργεια θεϊκή, ἐνῶ ὁ Υἱός, ἐκπίπτοντας ἀπὸ τὴν ἀληθινὴ θεότητα, καὶ ἡ ἐνέργεια τῆς 'πληρώσεώς' του δὲν θὰ εἶναι φυσικὰ θεϊκή, ἀλλὰ θὰ εἶναι ὁπωσδήποτε ἀνάλογη μὲ αὐτόν. Ἔτσι λοιπὸν ἔχουμε 'πληρωθεῖ' μὲ δύο διαφορετικοὺς τρόπους. Καὶ ἐφόσον ἡ πλήρωση τοῦ Πατέρα ἦταν ἀρκετὴ γιὰ τὴ σωτηρία αὐτῶν στοὺς ὁποίους γινόταν, ὡς θεϊκὴ ποὺ εἶναι καὶ ἀνώτερη ἀπὸ τὴν ἄλλη, τί τελικὰ ἔκανε σὲ μᾶς ὁ Υἱός, μὲ τὸ νὰ μᾶς προσθέσει τὴν χειρότερη πλήρωση, ἀφοῦ δὲν μποροῦσε νὰ ἐνεργήσει ἔτσι, ὅπως ἐνεργοῦσε ὁ κατὰ φύσει Θεός; Ἐὰν πάλι δεχθήκαμε τὴν πλήρωση τοῦ Υἱοῦ ὡς ἕνα χρήσιμο καὶ ἀπαραίτητο ἐφόδιο γιὰ τὴ σωτηρία μας,

*δι᾿ Υἱοῦ πλήρωσιν πεπλουτήκαμεν, περιέσται δή που νοεῖν τε καὶ λέγειν ὅτι τοῦ χείρονος ἐδεήθη τὸ ὑπερτεροῦν, καὶ τὸ ἐλλελοιπὸς τῷ προὔχοντι προσετίθει τὸ ἔλαττον, εἴπερ ἡμᾶς οὐκ εἰσάπαν ἐξήρκεσεν ἂν ἡ τοῦ Θεοῦ καὶ Πατρὸς διασῶσαι πλήρωσις. Ἀλλ᾿ εἶναί φημι τῆς ἐσχάτης ἀποπληξίας αἰτίαμα καὶ γραφὴν τὸ ἀμω μήτως ἔχειν οἴεσθαί τε καὶ φάναι ταυτί. Οὐκοῦν, διερρίφθω μὲν ὡς ἀπωτάτω τὸ ὧδε ληρεῖν. Διακεισόμεθα δὲ καὶ πιστεύσομεν μίαν εἶναι τὴν εἰς ἡμᾶς δι᾿ ἀμφοῖν ἐνέργειάν τε καὶ πλήρωσιν. Μία γὰρ ἡ φύσις. Φύσεις γὰρ ἀλλήλαις εἰς διαφορὰν ἱγμέναι τὴν καθ᾿ ἑτερότητα νοουμένην, καὶ εἰς ὀθνειότητα τὴν εἰσάπαν ἐκπεφορημέναι, τὸ ταὐτοειδὲς κατ᾿ ἐνέργειαν καὶ ἀπαραλλάκτως ἴσον οὐκ ἂν ἔχοιεν τὴν ἐπί τισι τῶν ὄντων, ἀλλ᾿ ἔνθαπερ ἂν ὁ τοῦ πῶς εἶναί τισιν ἑτεροφανὴς εἴη λόγος ἕψεταί που πάντως ἐκεῖ καὶ τὸ κατ᾿ ἐνέργειαν οὐχ ὁμοίως ἔχειν.*

*Β. Ἀληθές· πλὴν ὡς ἥδιστα ἂν σου διαπυθοίμην τὸ ὅπως ἂν ἐν ἡμῖν ἥ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ πλήρωσις νοοῖτό τε καὶ πράττοιτο μία τις οὖσα καὶ οὐ διάφορος.*

*Α. Καὶ μὴν οὐδ᾿ ὁπωστιοῦν ἔν γε δὴ τούτῳ τὸ χαλεπὸν ἢ δυσέφικτον. Πῶς γὰρ ἂν ἑτέρως ἢ διὰ τοῦ ἁγίου Πνεύματος, θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι᾿ ἑαυτοῦ καὶ τῆς ἀρρήτου φύσεως κοινωνοὺς ἀποφαίνοντος; Ὧδε γάρ πού φησι τοῦ Σωτῆρος ὁ μαθητής· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν».*

*Β. Δι᾿ ἑνὸς οὖν τοῦ ἁγίου Πνεύματος ἡ παρ᾿ ἀμφοῖν ἐνεργεῖται πλήρωσις, οὐ μεμερισμένως;*

*Α. Πάνυ μὲν οὖν, ὦ Ἑρμεία· τὸ δὲ δὴ χρῆναι φιλοπευστεῖν ἀναπεῖθον καὶ ἀναμανθάνειν ἐπείγεσθαί σε, τὸ ὅπως ἂν γένοιτο δι᾿ ἑνὸς τοῦ Πνεύματος ἡ παρ᾿ ἀμφοῖν ἐνέργεια, τελοῦσα πρὸς πλήρωσιν, ἐκεῖνο, οἶμαι, ἔστιν.*

*Β. Οἴει δὲ δὴ τί;*

*Α. Διανοῇ γάρ που, κατὰ τὸ εἰκός, ὡς εἴπερ ἀλλήλοιν οὐχ ὁμοίαν λαχόντες φύσιν, ἅτε δὴ τὸ μεῖον οὐσιωδῶς ἔχοντος τοῦ Υἱοῦ, κατά γε τό, οὐκ οἶδ᾿ ὅπως, ἐκείνοις δοκοῦν, ἐνεργήσειάν τι τῶν εἰς ἡμᾶς, οὐκ ἐν ἴσῳ τρόπῳ καὶ ἀπαραλλάκτως ἔχοντι κατὰ πᾶν ὁ-*

δὲν μένει παρὰ νὰ σκεφτοῦμε καὶ νὰ ποῦμε ὅτι αὐτὸ ποὺ ὑπερ-τερεῖ εἶχε ἀνάγκη ἀπὸ τὸ χειρότερο, καὶ αὐτὸ ποὺ ἔλειπε ἀπὸ τὸ ἀνώτερο, τὸ πρόσθεσε τὸ κατώτερο, ἐπειδὴ δὲν ἦταν ἀρκετὴ ἡ πλήρωση τοῦ Θεοῦ καὶ Πατέρα νὰ μᾶς σώσει μιὰ καὶ καλή. Ἀλλ' εἶναι κατηγορία καὶ ἐκδήλωση τῆς χειρότερης μορφῆς παραλογισμοῦ τὸ νὰ πι-στεύουμε καὶ νὰ λέμε ὅτι αὐτὰ εἶναι ἔτσι. Ἑπομένως, ἂς πετάξουμε πολὺ μακριὰ αὐτὴ τὴ φλυαρία. Ἀντίθετα, ἂς ἐπιμείνουμε καὶ ἂς πι-στεύουμε ὅτι μία εἶναι πρὸς ἐμᾶς ἡ ἐνέργεια καὶ ἡ πλήρωση καὶ τῶν δύο (Πατέρα καὶ Υἱοῦ), ἐπιδὴ μία εἶναι ἡ φύση τους. Γιατὶ οἱ φύσεις ποὺ ἔχουν φθάσει νὰ εἶναι μεταξύ τους διαφορετικὲς καὶ ἔχουν γιὰ πάντα ἀποξενωθεῖ, δὲν μποροῦν νὰ ἔχουν ἴδια ἀπόλυτα ἐνέργεια καὶ ἀπαράλλακτα ἰσότιμη σὲ κάποια ἀπὸ τὰ ὄντα, ἀλλὰ ἐκεῖ ὅπου ὁ λό-γος τῆς συστάσεώς τους εἶναι διαφορετικός, ἐκεῖ ὁπωσδήποτε εἶναι διαφορετικὲς καὶ ἀνόμοιες οἱ ἐνέργειές τους.

Β. Πραγματικὰ ἔτσι εἶναι· ὅμως θὰ ἤθελα πολὺ νὰ σὲ ρωτήσω καὶ τὸ ἑξῆς· Πῶς νοεῖται ἡ πλήρωση καὶ ἡ ἐνέργεια τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ μέσα μας, ἀφοῦ εἶναι μία καὶ ὅμοια;

Α. Καὶ βέβαια σ' αὐτὸ δὲν ὑπάρχει ἡ παραμικρὴ δυσκολία προσέγγισής του. Πῶς δηλαδὴ ἀλλιῶς, ἂν ὄχι διὰ τοῦ ἁγίου Πνεύματος, τὸ ὁποῖο μᾶς γεμίζει μέσω τοῦ ἑαυτοῦ του μὲ χαρίσματα, καὶ μᾶς κάνει κοινωνοὺς τῆς ἀπερίγραπτης θείας φύσεως; Γιατὶ κάπως ἔτσι γράφει καὶ ὁ μαθητὴς τοῦ Σωτήρα· «Μὲ αὐτὸ γνωρίζουμε ὅτι βρίσκεται μέσα μας, γιατὶ μᾶς ἔδωσε ἀπὸ τὸ Πνεῦμα του»[17].

Β. Ἡ πλήρωσή μας λοιπὸν ἐκ μέρους καὶ τῶν δύο γίνεται μὲ τὸ ἕνα ἅγιο Πνεῦμα, ἢ χωριστά;

Α. Καὶ πολὺ μάλιστα, Ἑρμεία· ἐκεῖνο ὅμως ποὺ πρέπει νὰ σὲ ὠθεῖ στὸ νὰ θέλεις νὰ ρωτᾶς καὶ νὰ ἐπείγεσαι νὰ μάθεις, εἶναι, νομίζω, τὸ πῶς μπορεῖ νὰ γίνει διὰ τοῦ ἑνὸς Πνεύματος ἡ ἐνέργεια ἐκ μέρους καὶ τῶν δύο, ἀφοῦ εἶναι ἤδη τετελεσμένη.

Β. Ποιὰ εἶναι λοιπὸν ἡ γνώμη σου;

Α. Σκέφτεσαι ἴσως, ὅπως εἶναι φυσικό, ὅτι ἐὰν δὲν ἔχουν μεταξύ τους ὅμοια φύση, ἀφοῦ ὁ Υἱὸς εἶναι κατὰ τὴν οὐσία κατώτερος, ὅπως πιστεύουν ἐκεῖνοι, δὲν γνωρίζω πῶς θὰ μποροῦσαν νὰ ἐνεργήσουν κάτι σὲ μᾶς, ἀφοῦ ὁ Υἱὸς δὲν εἶναι ἰσότιμος καὶ ἀπαράλλακτος στὸ

---

17. Α' Ἰω, 4, 13.

τιοῦν, ἐκπεπεράνθαι τυχὸν τὰ τῆς ἐνεργείας αὐτοῖς νοηθείη ἄν. Εἶτα πῶς ἂν ἔτι δι' ἑνὸς τοῦ ἁγίου Πνεύματος ἢ παρ' ἀμφοῖν ἐν ἡμῖν ἔσται πλήρωσις, οὐχ ὑπουργικῶς ἐνσημαίνοντος τὰ ἑκατέρου τυχὸν καὶ τὴν διακονικὴν ἐν ἡμῖν ἀποπληροῦντος χρείαν, ἀλλ' ὡς ἐν ἰδίᾳ φύσει καὶ τὴν ἀμφοῖν εἰσκομίζοντος;

Β. Προμηθέστατα ἔφης Τουτὶ γὰρ δή μοι στρέφεται κατὰ νοῦν.

Α. Τετράφθω δὴ οὖν ἐπ' αὐτὸ δὴ τουτὶ τοῦ λόγου τὸ σπούδασμα· φαίην δ' ἂν ὅτι τό τινος ἑτέροις ἐμποιοῦν δι' ἑαυτοῦ τὴν μέθεξιν τῆς μὲν πρὸς ἐκεῖνο συμφυΐας ἀποφοιτήσειεν ἂν οὐδαμῶς, ἐνεργήσει δὲ οὕτως ὡς εἴπερ ἦν ἴσως κἀκεῖνο τυχόν. Ἀναγκαίῳ γάρ, οἶμαι, πρὸς οὐσιώδη ταὐτότητα συντετάχαται νόμῳ τἄ ὅσαπερ ἂν ἀλλήλοις ταὐτοσθενῆ τὴν ἐνέργειαν διαλαχόντα φαίνοιτο.

Β Ἴθι μοι διὰ παραδειγμάτων, ἕπομαι γὰρ οὐ λίαν.

Α. Οὐκοῦν εἶμί τοι, καὶ δὴ καὶ ἐρῶ. Ἥλιος μὲν γὰρ αὐτό τι καθ' ἑαυτὸ νοεῖταί τε καὶ ἔστι καὶ ἀνῳκισμένην μέν τινα διέρπει τρίβον, τοῖς τοῦ πεποιηκότος νεύμασι τὸ τῇδε ἔχειν διαλαχών. Καθιεὶς δὲ τὴν ἀκτῖνα καὶ τῶν ἐπὶ γῆς ἐπαφώμενος, ἐνίησι μὲν τῆς θερμότητος τὴν αἴσθησιν. Εἰ δὲ δὴ τίνα τε καὶ ποδαπὴν τὴν φύσιν διεκληρώσατο πολυπραγμονεῖν ἐθέλοιμεν, ἀνιδρωτὶ κατορθώσομεν. Ὅτι γὰρ θερμὸς καὶ πυρώδης, ἁπαστισοῦν εὐκόλως τῶν γε ἅπαξ μετεσχηκότων περινοήσειεν ἄν, τὴν ἐξ αὐτοῦ προεκκύπτουσαν καὶ προχεομένην ἀκτῖνα θερμὴν παραλαβὼν εἰς ἀπόδειξιν.

Β. Εὖ λέγεις. Συνήσει γὰρ οὖν, ἐπείτοι καὶ ἀταλαίπωρον τὸ χρῆμά ἐστιν

Α. Εἶτα πῶς ἐκεῖνο λοιπὸν τοῖς γε νοῦν ἔχουσιν οὐκ ἐμφανές;

Β. Τὸ τί δὴ φῄς;

Α. Ὅτι τῆς ἡλίου φύσεως, ἥτις ποτέ ἐστιν, ἑτεροφυὲς οὔ τί που τὸ ἐξ αὐτοῦ προχεόμενον εἰς τὰ τῆς αἰσθήσεως δεκτικά. Πῶς γὰρ ἂν ἑτέρως ἔχοι τὸ ἐνεργεῖν ὡς ἐκεῖνος, μὴ οὐχὶ τὴν ἡλίου φύσιν τῆς

κάθε τι, καὶ θὰ μποροῦσε νὰ θεωρηθεῖ ὅτι ἔχουν περατωθεῖ οἱ ἐνέργειες αὐτῶν. Ἔπειτα, πῶς θὰ μποροῦσε νὰ γίνει μέσω τοῦ ἑνὸς ἁγίου Πνεύματος ἡ πλήρωσή μας ἐκ μέρους καὶ τῶν δύο, ἀφοῦ ἐνδεχομένως δὲν ἐκπροσωπεῖ λειτουργικὰ καὶ τοὺς δύο (Πατέρα καὶ Υἱὸ) καὶ ἐκπληρώνει τὶς λειτουργικὲς ἀνάγκες σὲ μᾶς, ἀλλὰ μεταφέροντας στὴ δική του φύση τὶς φύσεις καὶ τῶν δύο;

Β. Μίλησες πολὺ λογικά. Γιατὶ αὐτὰ πραγματικὰ στριφογυρίζουν στὸ μυαλό μου.

Α. Ἂς στραφεῖ λοιπὸν σ' αὐτὸ ἡ προσπάθεια τοῦ λόγου. Θὰ ἔλεγα λοιπὸν ὅτι, αὐτὸ ποὺ μέσω τοῦ ἑαυτοῦ του ἐνεργεῖ τὴν συμμετοχὴ κάποιου σὲ ἄλλα, χωρὶς νὰ διακόπτει τὴ φυσικὴ σχέση μ' ἐκεῖνο, ἐνεργεῖ μὲ τέτοιο τρόπο, σὰν νὰ εἶναι ἴσο μὲ ἐκεῖνο. Γιατί, νομίζω, πώς, ὅσα ἐμφανίζονται νὰ ἔχουν μεταξύ τους ἰσοδύναμη ἐνέργεια, κατ' ἀνάγκη κατατάσσονται στὸ νόμο τῆς κατ' οὐσίαν ταυτότητας.

Β. Προχώρησε σὲ παρακαλῶ τὸν λόγο σου μὲ παραδείγματα, γιατὶ δὲν μπορῶ νὰ σὲ παρακολουθήσω.

Α. Προχωρῶ λοιπὸν καί θὰ σοῦ πῶ. Ὁ ἥλιος, γιὰ παράδειγμα, νοεῖται καὶ εἶναι κάτι αὐτὸ καθεαυτό, ποὺ ἀκολουθεῖ κάποιο δρόμο, ὁ ὁποῖος εἶναι ψηλὰ καὶ ὁ ὁποῖος μὲ τὸ νεῦμα τοῦ δημιουργοῦ ἔλαχε νὰ εἶναι ἔτσι. Αὐτὸς λοιπὸν ρίχνοντας πρὸς τὰ κάτω τὶς ἀκτῖνες του καὶ ἐρχόμενος σὲ ἐπαφὴ μὲ αὐτὰ ποὺ ὑπάρχουν πάνω στὴ γῆ, μεταδίδει σ' αὐτὰ τὴν αἴσθηση τῆς θερμότητας, ἐὰν ὅμως θελήσουμε νὰ ἐξετάσουμε ποιὰ εἶναι ἡ φύση του καὶ ἀπὸ ποῦ τὴν ἀπέκτησε, θὰ τὸ κατορθώσουμε χωρὶς πολὺ κόπο. Γιατί, ὅτι εἶναι θερμὸς καὶ ὅμοιος μὲ φωτιά, καθένας ἀπὸ αὐτοὺς ποὺ ἦρθαν ἔστω καὶ μιὰ φορὰ σὲ ἐπαφὴ μαζί του θὰ μποροῦσε εὔκολα νὰ τὸ καταλάβει, ἔχοντας ὡς ἀπόδειξη τὶς θερμὲς ἀκτῖνες ποὺ προέρχονται καὶ ξεχύνονται ἀπὸ αὐτόν.

Β. Σωστὰ μιλᾶς· πραγματικὰ θὰ τὸ καταλάβει, γιατὶ τὸ πρᾶγμα δὲν περιέχει ταλαιπωρία.

Α. Ἐπίσης πῶς δὲν γίνεται φανερὸ καὶ ἐκεῖνο ἀπὸ αὐτοὺς ποὺ ἔχουν μυαλό;

Β. Ποιὸ ἐννοεῖς;

Α. Ὅτι δὲν εἶναι διαφορετικῆς φύσεως ἀπὸ ἐκείνην τοῦ ἡλίου ἡ ἀκτίνα ποὺ ξεχύνεται ἀπὸ αὐτὸν στὰ κτίσματα τὰ ὁποῖα εἶναι δεκτικὰ τῆς θερμότητάς της. Γιατὶ πῶς εἶναι δυνατὸ νὰ ἐνεργεῖ διαφο-

*ἰδίας ἐκδρομῆς ῥίζαν ὥσπερ τινὰ καὶ μητέρα λαχόν, ἵν' ἐξ ὧν εἶναι πεπίστευται, τῆς τοῦ προέντος οὐσίας ὅλην ἔχον ἐν ἑαυτῷ τὴν ποιότητα διεκφαίνοιτο;*

*Β. Οὐχ ἑτέρως ἂν ἔχοι.*

*Α. Ἰτέον δὴ οὖν ἐπ' αὐτὴν ἤδη πως τὴν τοῦ ἁγίου Πνεύματος φύσιν, καὶ περιεργότερον βασανίζοντες, ἐκεῖνο διασκεψώμεθα, οὐκ ἐξαγωνίοις τισὶν ἐπιθρώσκοντες λόγοις, καιροῦ δὲ διέρπειν ἐφ' ἕτερα πρεπωδέστατα παραθήγοντος, πότερόν ποτε, Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα συντετάξεται καὶ ἐν τῇ μιᾷ τῆς θεότητος φύσει καταγραπτέον, ἢ μή;*

*Β. Ἕνα φασὶν ἀληθινὸν εἶναι Θεόν, τὸν Πατέρα, ἐπαριθμοῦσι δὲ αὐτῷ τὸ σύμπαν οὐδένα.*

*Α. Οὐκοῦν ἐξωσθήσεται κατ' αὐτοὺς τῆς ἀληθοῦς θεότητος σὺν Υἱῷ καὶ τὸ Πνεῦμα, καὶ εἰς τὴν τῶν γεγονότων ἀπολισθήσει πληθύν, καὶ ὁμοφυὲς μὲν ἔσται κατ' αὐτοὺς τῷ Υἱῷ, κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, τῆς δὲ τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὡς πορρωτάτω. Ποῖος οὖν ἔτι Θεὸς ἐν ἡμῖν εἰ καὶ ἐναυλίζοιτο τοῖς βαπτιζομένοις καὶ ἐγκατοικῆσαι τὸ Πνεῦμα, παραδεικνύντων ἐκεῖνοι. Περὶ μὲν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς οὐδὲ αὐτοὶ φαῖεν ἄν, καθάπερ ἐγῷμαι. Τῆς γὰρ κατὰ φύσιν καὶ ἀληθοῦς θεότητος τὴν μέθεξιν οὐκ ἄν τις ἕλοι ποτὲ διὰ γενητοῦ τοῦ Πνεύματος, ἐπεὶ μὴ τοῦτο ἐκείνου μέθεξις φυσική. Λείπεται τοίνυν εἰπεῖν ὡς εἴη μὲν μόνος ἐν ἡμῖν ὁ Υἱός, καίτοι κατ' ἐκείνους ὠνομασμένος ἑτεροφυὴς καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκβεβηκώς, διά τε τοῦτο τῇ κτίσει συναριθμούμενος. Κτίσις οὖν ἐν ἡμῖν, οὐκ ἔτι Θεός, καὶ διὰ κτιστοῦ τοῦ Πνεύματος καταπλουτεῖ τὸν ἁγιασμὸν ἡ κτίσις, οὐδὲν ἔχουσα παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Εἰ δὲ δὴ μεθέντες τουτί, παρατρέποιντο πρὸς τὸ ἄμεινον καὶ Θεὸν εἶναι λέγοιεν τὸν Υἱόν, φραζόντων ἐκεῖνο, πότερα, θεῶν ἐν ἡμῖν ἔσται δυάς, ἐγκατοικισθέντων ἡμῖν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἢ γοῦν εἷς τε καὶ μόνος; Ἔφη γὰρ ὁ Χριστός· «Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα».*

---

18. Ἰω. 14, 25.

ρετικὰ ἐκεῖνο, ἔχοντας τὴ φύση τοῦ ἡλίου σὰν ρίζα καὶ μητέρα τῆς δικῆς του ἐκχύσεως, ὥστε νὰ φαίνεται ὅτι ἔχει στὸν ἑαυτό του ὅλη τὴν ποιότητα τῆς οὐσίας ἐκείνου ποὺ τὸ ἐκπέμπει;

Β. Δὲν μπορεῖ νὰ εἶναι διαφορετικό.

Α. Ἂς ἔρθουμε τώρα στὴ ἴδια τὴ φύση τοῦ ἁγίου Πνεύματος, καὶ ἐξετάζοντάς την μὲ προσοχή, χωρὶς νὰ κατατριβόμαστε σὲ λόγους ἔξω ἀπὸ τὸ σκοπό μας, ἐπειδὴ ὁ καιρὸς μᾶς παρακινεῖ νὰ προχωρήσουμε σὲ ἄλλα πιὸ ἐνδιαφέροντα, ἂς σκεφθοῦμε ἐκεῖνο· ποιὸ δηλαδὴ ἀπὸ τὰ δύο· τὸ Πνεῦμα συντάσσεται μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ πρέπει νὰ καταγράφεται στὴ μιὰ φύση τῆς θεότητας, ἢ ὄχι;

Β. Λένε ὅτι ἕνας εἶναι ὁ ἀληθινὸς Θεός, ὁ Πατέρας, καὶ σ' αὐτὸν δὲν ἀριθμοῦν ἐπιπροσθέτως κανέναν ἀπολύτως.

Α. Ἑπομένως, σύμφωνα μὲ αὐτούς, ἐκδιώκεται ἀπὸ τὴν ἀληθινὴ θεότητα μαζὶ μὲ τὸν Υἱὸ καὶ τὸ Πνεῦμα, καὶ ξεγλιστράει πρὸς τὸ πλῆθος τῶν κτισμάτων, καὶ εἶναι βέβαια, σύμφωνα μὲ αὐτούς, τῆς ἰδίας φύσεως μὲ τὸν Υἱό, ὡς πρὸς τὸν λόγο τῆς δημιουργίας του, ἀλλὰ πολὺ μακριὰ ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα. Ποιὸς λοιπὸν Θεὸς βρίσκεται ἀκόμα μέσα μας, ἐφόσον τὸ Πνεῦμα μένει καὶ κατοικεῖ σ' αὐτοὺς ποὺ βαπτίζονται, ἂς μᾶς τὸ δείξουν ἐκεῖνοι. Γιατὶ γιὰ τὸν Θεὸ καὶ Πατέρα δὲν μποροῦν νὰ ποῦν τίποτε, ὅπως ἐγὼ πιστεύω. Ὅμως τὴ μέθεξη στὴν κατὰ φύση καὶ ἀληθινὴ θεότητα δὲν θὰ μποροῦσε ποτὲ κανεὶς νὰ τὴν ἐπιτύχει διὰ τοῦ κτιστοῦ Πνεύματος, ἀφοῦ αὐτὸ δὲν ἔχει φυσικὴ μέθεξη σ' ἐκεῖνον. Μένει λοιπὸν νὰ ποῦμε, ὅτι μέσα μας παραμένει μόνο ὁ Υἱός, ἂν καί, σύμφωνα μὲ ἐκείνους, ὀνομάζεται διαφορετικῆς φύσεως, καὶ βγαλμένος ἔξω ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, ἐξαιτίας αὐτοῦ κατατάσσεται μεταξὺ τῶν κτισμάτων. Ἄρα λοιπὸν μέσα μας εἶναι ἐγκατεστημένη κτίση καὶ ὄχι Θεός, καὶ μέσα ἀπὸ τὸ κτιστὸ Πνεῦμα μᾶς παρέχει τὸν ἁγιασμὸ ἡ κτίση, ἡ ὁποία δὲν ἔχει τίποτε ἀπὸ τὸν Θεὸ καὶ Πατέρα. Ἐὰν πάλι, ἀφήνοντας αὐτὸ στρέφονται πρὸς τὸ ἀνώτερο, καὶ λένε ὅτι ὁ Υἱὸς εἶναι Θεός, ἂς μᾶς ποῦν τὸ ἑξῆς· ποιὸ ἀπὸ τὰ δύο, θὰ ὑπάρχει μέσα μας δυάδα θεῶν, ἐφόσον θὰ ἔχουν κατοικίσει μέσα μας ὁ Πατέρας καὶ ὁ Υἱός, ἢ ἕνας καὶ μοναδικός; Γιατὶ ὁ Χριστὸς εἶπε· «Ἐὰν κάποιος μὲ ἀγαπᾶ, ἐφαρμόζει τὰ λόγια μου, καὶ ὁ Πατέρας μου θὰ τὸν ἀγαπήσει, καὶ θὰ ἔρθουμε σ' αὐτὸν καὶ θὰ κατοικήσουμε μέσα του»[18].

*Β. Δύο μέν, οἶμαι, θεοὺς οὐδ᾽ ἂν αὐτοὺς ἐκείνους ἑλέσθαι νοεῖν· τετράψονται δὲ ἴσως πρός γε τὸ εὐθὺ καὶ ἀμωμήτως ἔχον, Θεὸν ἐν ἡμῖν ἕνα διδόντες, τὸν ἀληθινόν τε καὶ φύσει, προσθεῖεν δ᾽ ἂν ἴσως αὐτοὶ τὸν Πατέρα καὶ μόνον.*

*Α. Οὐκοῦν ἀνάγκη καὶ οὐχ ἑκόντας ἤδη πως ἐκεῖνο φάναι τολμᾶν ὡς εἴπερ ἐστὶν εἷς ἐν ἡμῖν καὶ μόνος Θεὸς ὁ Πατήρ, συνεισβαλεῖ μὲν οὐκέτι χρησίμως, μᾶλλον δὲ ἤδη καὶ περιττῶς ὁ Υἱός, καίτοι τὸ εἶναι Θεὸς ἀληθινὸς οὐκ ἔχων, ὄχλος δὲ ὥσπερ εἰκαῖος ἐν ἡμῖν ἔσται τυχὸν ἡ παρ᾽ αὐτοῦ πλήρωσις. Εἴη δ᾽ ἂν καὶ ἑτέρως οὐκ ἐν κόσμῳ τῷ καθήκοντι τετελεσμένα τὰ τῆς εὐκαίρου συνεισδρομῆς. Ναοὶ γὰρ εἴπερ ἐσμὲν τοῦ Θεοῦ, καὶ οὔ τί που θεῶν, ἐξιτητέον τῆς ἁπάντων καρδίας ἐπιφωνείτω τίς ἤδη τῷ Υἱῷ, μᾶλλον δὲ τί γὰρ ὅλως καὶ συνειβάλλειν ἐπαγγέλλεται τὴν ἀρχήν, εἴπερ οὐδεὶς ἔσται συνεισβαλών, Θεοῦ κατὰ φύσιν ὄντος τοῦ Πατρὸς καὶ ἀποχρώντως εὖ μάλα τὸν ἐν ᾧπερ ἂν γένοιτο πληροῦντος ναόν; Οὐκοῦν (ἀνακυκλήσω γὰρ αὖθις τὸν ἐπὶ τῷδε λόγον), οὔτε Θεὸς ἐν ἡμῖν διὰ τοῦ Πνεύματος· ἐνεργήσει γὰρ οὐδαμῶς τῆς θείας φύσεως ἐν ἡμῖν τὴν μέθεξιν, τὸ μὴ ἐξ αὐτῆς κατ᾽ ἐκείνους· περιττὸς δέ, ὡς ἔοικε, τῷ ἰδίῳ Πατρὶ συνειστρέχων ὁ Υἱός, καὶ οὐδὲν ἔτι τὸ ἀπεῖργον εἰπεῖν ἁμαρτοεπῆ τε καὶ εἰκαιόμυθον τὸν μακάριον Παῦλον, γεγραφότα σαφῶς, ὅτι Χριστὸς ἐν ἡμῖν ὡς Θεὸς διὰ τοῦ Πνεύματος, καλοῦντος δι᾽ ἑαυτοῦ πρὸς μέθεξιν τῆς κατὰ φύσιν τε καὶ ἀληθοῦς θεότητος.*

*Β. Λῆρός που ταυτὶ καὶ δυσσεβείας εἰς ἄκρον ἥκοντες λόγοι.*

*Α. Διακεισόμεθα τοίνυν, μία μὲν ὅτι θεότητος φύσις, ᾗ καὶ τὸ εἶναι κατὰ ἀλήθειαν τοῦθ᾽ ὅπερ ἐστὶ καὶ λέγεται πάντῃ τε καὶ πάντως ἕποιτο ἄν, ἔκφυλός γε μὴν οὐκ ἔτι κατ᾽ ἐκείνους ὁ Υἱὸς τῷ Πατρί, ἀλλ᾽ ὡς ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ Θεὸς ὑπάρχων ἀληθινός, συντετάξεται τῷ γεγεννηκότι πρὸς ταυτότητα φυσικήν. Ὧδε γὰρ ἐν ἡμῖν δύο μὲν οὐκ ἔτι θεοὶ νοηθεῖεν ἄν, εἷς δὲ καὶ μόνος ἐν ἁγίᾳ Τρι-*

---

19. Ρωμ. 8, 9.

Β. Δύο θεούς, νομίζω, δὲν εἶναι δυνατὸν νὰ ἐννοοῦν ἐκεῖνοι· ἴσως στρέφονται πρὸς αὐτὸ ποὺ εἶναι σαφὲς καὶ ἄμεμπτο, δεχόμενοι μέσα μας ἕνα Θεόν, τὸν κατὰ φύση καὶ ἀληθινόν, προσθέτοντας ὅμως ἴσως τὸν Πατέρα καὶ μόνον.

Α. Ἄρα λοιπὸν εἶναι ἀνάγκη καὶ παρὰ τὴ θέλησή τους νὰ τολμήσουν νὰ ποῦν ἐκεῖνο· ὅτι δηλαδὴ ἐὰν μέσα μας ὑπάρχει ἕνας καὶ μοναδικὸς Θεός, ὁ Πατέρας, καὶ εἰσβάλλει μαζὶ μὲ αὐτόν, χωρὶς νὰ εἶναι χρήσιμος, ἀλλὰ μᾶλλον περιττός, ὁ Υἱός, ἂν καὶ δὲν εἶναι Θεὸς ἀληθινός, τότε ἡ ἐκ μέρους αὐτοῦ πλήρωσή μας θὰ εἶναι κατὰ κάποιο τρόπο ἄσκοπο πλῆθος. Ἡ ἄσκοπη ὅμως αὐτὴ εἰσβολὴ τοῦ Υἱοῦ μέσα μας θὰ εἶναι καὶ κατ᾽ ἄλλον τρόπο καμωμένη ὄχι ὅπως ταιριάζει στὸν καθὼς πρέπει κόσμο. Γιατί, ἐφόσον εἴμαστε ναοὶ τοῦ Θεοῦ καὶ δὲν πρέπει νὰ ἐκβάλλεται ἀπὸ τὴν καρδιὰ ὅλων κάτι ἀπὸ τοὺς θεούς, θὰ φωνάξει κάποιος, ποιὸς τότε ὑπόσχεται στὸν Υἱό, ἢ μᾶλλον γιατί τελικὰ ὑπόσχεται ὅτι θὰ μπεῖ κι᾽ αὐτὸς μαζὶ μέσα μας, ἀφοῦ κανένας δὲν θὰ μπεῖ μαζὶ μὲ τὸν Πατέρα, ὁ ὁποῖος εἶναι κατὰ φύση Θεὸς καὶ γεμίζει ἐπαρκῶς τὸν ναὸ στὸν ὁποῖο μπαίνει; Συνεπῶς (θὰ γυρίσω πάλι πίσω τὸν λόγο στὸ θέμα αὐτὸ) οὔτε διὰ τοῦ ἁγίου Πνεύματος ἔρχεται μέσα μας ὁ Θεὸς· γιατὶ δὲν μπορεῖ νὰ ἐνεργήσει τὴ μέθεξη τῆς θείας φύσεως μέσα μας μὲ αὐτὸ πού, σύμφωνα μ᾽ ἐκείνους, δὲν προέρχεται ἀπὸ τὴ θεία φύση, καί, ὅπως φαίνεται, ὁ Χριστὸς εἶναι περιττός, τρέχοντας μαζὶ μὲ τὸν Πατέρα του, καὶ δὲν μᾶς ἐμποδίζει τίποτε πιὰ νὰ ποῦμε φλύαρο καὶ ἀπερίσκεπτο τὸν μακάριο Παῦλο, ὁ ὁποῖος ἔχει γράψει καθαρά, ὅτι ὁ Χριστὸς εἶναι μέσα μας ὡς Θεὸς μέσω τοῦ Πατέρα, ὁ ὁποῖος Πατέρας μᾶς καλεῖ διὰ τοῦ Υἱοῦ νὰ συμμετάσχουμε στὴν κατὰ φύση καὶ ἀληθινὴ θεότητα[19].

Β. Οἱ λόγοι αὐτοὶ εἶναι φλυαρίες καὶ φτάνουν τὰ ὅρια τῆς ἄκρας ἀσέβειας.

Α. Συμφωνοῦμε λοιπόν, ὅτι μία εἶναι ἡ φύση τῆς θεότητας, τὴν ὁποία συνοδεύει πάντοτε καὶ ὁπωσδήποτε καὶ αὐτὸ ποὺ πραγματικὰ εἶναι καὶ λέγεται, καὶ ὁ Υἱὸς δὲν εἶναι, ὅπως λένε ἐκεῖνοι, ξένος πρὸς τὸν Πατέρα, ἀλλὰ ὡς Θεὸς ἀληθινὸς ποὺ προέρχεται ἀπὸ αὐτὸν καὶ ὑπάρχει μέσα σ᾽ αὐτόν, συνταυτίζεται κατὰ τὴ φύση μ᾽ ἐκεῖνον ποὺ τὸν γέννησε. Ἔτσι λοιπὸν σὲ μᾶς δὲν νοοῦνται πιὰ δύο θεοί, ἀλλὰ ἕνας καὶ μοναδικὸς ποὺ προσκυνεῖται ὡς ἁγία Τριάδα. Νομίζεις ὅτι

*άδι προσκυνούμενος. Οἴει τι χρῆναι τούτοις ἐπιτιμᾶν ἢ ὡς οὐκ ἂν εὖ ἔχοι πειρᾶσθαι λέγειν;*

*Β. Οὐδαμῶς.*

*Α. Ἄθρει δὴ οὖν, εἰ δοκεῖ, καὶ αὐτόν, ὦ φιλότης, Μωσέα τὸν ἱερώτατον τῇ ἁπλῇ τε καὶ ἀσυνθέτῳ τοῦ Θεοῦ φύσει τὸν ἐοικότα προσώπῳ τῷ μὴ ἁπλῷ προσάπτοντα λόγον. Ἔνεστι γὰρ δὴ κἀντεῦθεν ἀμογητὶ διασκοπουμένοις ἰδεῖν τὸ ἐν μιᾷ τῇ θεότητι τριπλοῦν καθ' ὑπόστασιν.*

*Β. Καὶ μὴν ὅτι ποτέ ἐστιν ὃ φῄς ἐθέλοιμ' ἂν ἐπαΐειν ἔτι. Φράζε δὴ οὖν μοι σαφέστερον.*

*Α. Ἦ γὰρ οὐχὶ τὸ πρῶτον ἡμῖν τῆς ἑαυτοῦ συγγραφῆς συντιθεὶς βιβλίον, γενεσιουργὸν μὲν καὶ τεχνίτην τῶν ὅλων ἀναγράφει τὸν Θεόν; Ἔφη δὲ εἰπεῖν ἐπὶ μόνῃ τῇ τοῦ ἀνθρώπου κατασκευῇ, καίτοι τὴν τῶν ἄλλων ἁπάντων ἀποσχεδιάσαντα γένεσιν· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν». Καί τι διὰ μέσου προσρίψας βραχύ· «Καὶ ἐποίησεν», ἔφη, «τὸν ἄνθρωπον ὁ Θεός, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν».*

*Β. Μανθάνω.*

*Α. Πύργον δὲ ἀναδείμασθαι τὸν οὐρανομήκη προτεθυμημένων τινῶν ἐξ ἀποπληξίας ποτέ, «Δεῦτε», φησὶν ὁ τῶν ὅλων Θεός, «καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὰς γλώσσας». Τίς δὴ οὖν ὁ λέγων καὶ τίσιν ἄρα τὸ «Δεῦτε, καὶ καταβάντες συγχέωμεν»; Οὐ γὰρ δὴ φαῖεν ἄν, οἶμαί που, τινὲς τῆς τῶν ἁγίων ἀγγέλων δεδεῆσθαι χειρός, ἢ γοῦν ὅλως τῆς παρά του τῶν ὄντων συμπνοίας καὶ συνδρομῆς εἰς τὸ κατισχῦσαι τὸν Θεὸν διαπερᾶναι τὸ δοκοῦν. Παναλκὲς γάρ που τὸ Θεῖόν ἐστι πρὸς πᾶν ὁτιοῦν, καὶ καταπλουτοῦν ἐν ἑαυτῷ τὸ ὅπερ ἂν βούλοιτο κατορθοῦν εὐκόλως, καὶ αὐτὸ τῶν ὄντων ἐστὶν ἡ πᾶσα δύναμις. Ὥσπερ γὰρ εἶναί φαμεν σοφίαν αὐτὸ καὶ ζωήν, καὶ οὐκ ἄν τι δύναιτο διαζῆν ἢ γοῦν τῶν σοφίας μετασχεῖν ἀγαθῶν μὴ οὐχὶ παρ' αὐτοῦ καθάπερ ἀπὸ πηγῆς ἀναβρύουσαν ἔχον τὴν χορηγίαν, κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον, οὐκ ἂν ἕλοι τι τῶν ὄντων ἰσχὺν οὐδ' ἂν εἰς τὸ δύνασθαί τι κατορθοῦν προήκοι ποτέ, μὴ οὐχὶ παρὰ τῆς τῶν ὅλων ἰσχύος εἰς τοῦτο ἡγμένον. Ἐξέσται δὴ οὖν ἀδιαβλήτως εἰπεῖν ὡς οὐκ ἂν ἀγγέλοις ἢ γοῦν ἑτέραις*

πρέπει κάτι ἀπ' αὐτὰ νὰ τὸ ἐπικρίνουμε, ἢ νὰ ποῦμε ὅτι δὲν εἶναι σωστό;

Β. Καθόλου.

Α. Πρόσεχε λοιπόν, ἂν θέλεις, φίλε, καὶ αὐτὸν τὸν ἱερώτατο Μωυσῆ, ὁ ὁποῖος στὴν ἁπλῆ καὶ ὄχι σύνθετη φύση τοῦ Θεοῦ μιλάει σὰν νὰ εἶναι πρόσωπο σύνθετο. Γιατὶ μποροῦμε καὶ ἀπὸ αὐτό, προσέχοντας λίγο, νὰ δοῦμε τὶς τρεῖς ὑποστάσεις στὴ μιὰ θεότητα.

Β. Θέλω λοιπὸν νὰ γνωρίσω καλὰ τί ἀκριβῶς σημαίνει αὐτὸ ποὺ λές. Μίλα μου λοιπὸν καθαρότερα.

Α. Δὲν εἶναι ἀλήθεια ὅτι, γράφοντας γιὰ μᾶς τὸ πρῶτο βιβλίο τοῦ συγγράμματός του, ἀναφέρει ὡς δημιουργὸ καὶ τεχνίτη ὅλων τὸν Θεό; Λέγει λοιπὸν ὅτι, ἀφοῦ αὐτοσχεδίασε τὴ δημιουργία ὅλων τῶν ἄλλων, μόνο γιὰ τὴν δημιουργία τοῦ ἀνθρώπου εἶπε· «Ἂς δημιουργήσουμε τὸν ἄνθρωπο σύμφωνα μὲ τὴ δική μας εἰκόνα, καὶ μὲ τὴ δυνατότητα νὰ μᾶς μοιάσει»[20]. Καὶ ὕστερα ἀπὸ λίγα ἐνδιάμεσα προσθέτει· «Καὶ δημιούργησε ὁ Θεὸς τὸν ἄνθρωπο, κάνοντάς τον σύμφωνα μὲ τὴ δική του εἰκόνα»[21].

Β. Κατάλαβα.

Α. Καὶ ὅταν κάποιοι ἀπὸ παραφροσύνη σκέφθηκαν νὰ κτίσουν πύργο ποὺ νὰ φτάνει μέχρι τὸν οὐρανό, λέγει ὁ Θεὸς τῶν ὅλων· «ἐλᾶτε, ἂς κατεβοῦμε ἐκεῖ κι ἂς ἐπιφέρουμε σύγχυση στὶς γλῶσσες τους»[22]. Ποιὸς λοιπὸν εἶναι αὐτὸς ποὺ μιλάει καὶ σὲ ποιοὺς ἄραγε λέγει τό, «Ἐλᾶτε, ἂς κατεβοῦμε κι' ἂς ἐπιφέρουμε σύγχυση»; Δὲν πιστεύω βέβαια νὰ ποῦν κάποιοι, ὅτι εἶχε ἀνάγκη ἀπὸ τὰ χέρια τῶν ἀγγέλων, ἢ ἀπὸ τὴ συγκατάθεση καὶ βοήθεια ὅλων τῶν δημιουργημάτων, γιὰ νὰ μπορέσει ὁ Θεὸς νὰ φέρει σὲ πέρας αὐτὸ ποὺ ἀποφάσισε. Γιατὶ τὸ Θεῖον εἶναι παντοδύναμο γιὰ κάθε τι, καὶ ἔχει στὸν ἑαυτό του τὴ δύναμη νὰ κάνει εὔκολα ὅ,τι θέλει, καὶ αὐτὸ εἶναι ὅλη ἡ δύναμη τῶν ὄντων. Ὅπως δηλαδὴ λέμε ὅτι τὸ Θεῖον εἶναι σοφία καὶ ζωή, καὶ ὅτι δὲν μπορεῖ κάτι νὰ ζήσει ἢ νὰ μετάσχει στὰ ἀγαθὰ τῆς σοφίας ἂν δὲν ἔχει τὴ χορήγησή τους ἀπὸ αὐτὸ σὰν ἀπὸ κάποια πηγή, κατὰ τὸν ἴδιο, νομίζω, τρόπο δὲν μπορεῖ κάποιο ἀπὸ τὰ ὄντα νὰ ἔχει δύναμη, οὔτε νὰ φτάσει νὰ μπορέσει νὰ κατορθώσει κάτι, ἐὰν δὲν ὁδηγηθεῖ σ' αὐτὸ ἀπὸ τὴ δύναμη τῶν ὅλων. Μποροῦμε ἐπομένως, χωρὶς νὰ κα-

20. Γεν. 1, 26. 21. Ὅπ. π. 27. 22. Ὅπ. π. 11, 7.

*τισὶ δυνάμεσι λογικαῖς τὸ «Δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας» ἔφη Θεός, ἀλλ' οἱονεί πως ὡς ἐν ἁπλῇ κινήσει φύσεως μιᾶς ἑαυτὴν εἰς ἐνέργειαν τὴν ἐπί τισι διεδόνησέ πως ἡ ἁγία Τριάς, ἐπεί τοι καὶ μόνης δημιουργικῆς ἐξουσίας ἔργον ἦν καὶ γλώττης εὔρυθμον κίνημα μεταπλάσαι πρὸς τὸ δοκοῦν καὶ λόγου φύσιν τοῦ καθ' ἡμᾶς τε καὶ ἐν ἡμῖν ἐξ ἁπλῆς τῆς τότε φωνῆς εἰς πολυειδῆ καὶ πολυηχεστέραν ἁπλῶσαι διεκδρομήν, ὥστε καὶ ἀήθη τινὰ καὶ οὐ πάλαι διεγνωσμένην οἶμον ἐλθεῖν τὸν ἑκάστου τῶν διεστραμμένων παρασκευάσαι νοῦν. Ἵνα τοίνυν ἔχοιμεν ἐννοεῖν ὡς ἥκιστα μὲν ἀγγέλων, αὐτουργίας δὲ μᾶλλον κατόρθωμα θεϊκῆς τὸ δρώμενον ἦν, τὸ «Δεῦτέ» φησιν αὐτὴ πρὸς ἑαυτὴν ἡ ἁγία τε καὶ ὁμοούσιος Τριάς*

*Β. Ὀρθῶς ἔχει.*

*Α. Πῶς δ' ἂν καὶ ὅλως τὴν ἀνθρώπου φύσιν διαμεμορφῶσθαι πρὸς Θεὸν οἰηθεῖεν ἄν; Τὴν τίνος ἐροῦσιν ἐνσεσημάνθαι τοῖς ἐπὶ γῆς εἰκόνα;*

*Β. Τί γὰρ εἰ λέγοιεν τὴν τοῦ Θεοῦ καὶ Πατρός;*

*Α. Ἀλλ' εἰ δὴ μόνον φαῖεν τοῦ Θεοῦ καὶ Πατρὸς πρὸς ἐσχάτην ἀθλιότητα κατοιχήσονται λογισμῶν.*

*Β. Τίνα τρόπον;*

*Α. Πρῶτον μὲν ὅτι τὸ «Ποιήσωμεν» καὶ μὴν καὶ τὸ «κατ' εἰκόνα τὴν ἡμετέραν» οὐχ ἑνὶ προσώπῳ, πρέποι δ' ἂν μᾶλλον τοῖς ὑπὲρ ἕνα καὶ δύο. Πρὸς δέ γε τούτῳ, φαμὲν ἐκεῖνο διενθυμούμενοι. Τὸ ἀναμορφούμενον, διαμαρτούσης αὐτῷ τῆς πρώτης ἰδέας καὶ λελωβημένης εἰς τὸ ἀκαλλές, ἆρ' οὐκ εἰς ἐκεῖνο καθηκόντως ὑπονοστήσειεν ἂν πρὸς ὅπερ ἦν ἐν ἀρχαῖς, καὶ τὸ ἐκ τοῦ πεπηρῶσθαι βλάβος ἀποπεμψάμενον, ἐπὶ τὴν ἀλώβητον τῆς φύσεως ὄψιν ἀναθρώσκει πάλιν;*

*Β. Πῶς δὴ φής;*

*Α. Πεύσῃ τοι καὶ μάλα σαφῶς· φράσω γὰρ ὡς ἔνι. Εἴ τις τῶν ἄριστα καὶ τελείως ἐξησκηκότων ἐπιστήμην, φέρε εἰπεῖν τὴν χαλκουργικήν, ἀνδριάντα διατεχνήσαιτο, μορφὴν ἐγχαράξας τὴν ἰδίαν αὐτῷ, ὁ δὲ τῆς ἕδρας ὑπό του τῶν διεφθονηκότων ἐκμεμοχλευ-*

τηγορηθοῦμε, νὰ ποῦμε, ὅτι δὲν μπορεῖ νὰ εἶπε ὁ Θεὸς στοὺς ἀγγέλους, ἢ σὲ κάποιες ἄλλες λογικὲς δυνάμεις τό, «Ἐλᾶτε νὰ κατεβοῦμε καὶ νὰἐπιφέρουμε σύγχυση στὶς γλῶσσες τους», ἀλλὰ κατὰ κάποιο τρόπο σὰν μὲ μιὰ ἁπλῆ φυσικὴ κίνηση ἔθεσε σὲ ἐνέργεια τὸν ἑαυτό της ἡ ἁγία Τριάδα, γιατὶ μποροῦσε καὶ μόνη της ἡ δημιουργικὴ ἐξουσία καὶ τὴν εὔρυθμη κίνηση τῆς γλώσσας νὰ τὴν μεταπλάσει ὅπως νόμιζε σωστό, καὶ τὴ φύση τοῦ λόγου τοῦ δικοῦ μας καὶ αὐτοῦ ποὺ ὑπάρχει μέσα μας ἀπὸ τὴν ἁπλῆ τότε γλώσσα νὰ τὴν ἐπεκτείνει σὲ πολύμορφη καὶ ποικίλων τόνων ἐκφορά, ὥστε νὰ κάνει τὸν νοῦ τοῦ κάθε διεστραμμένου νὰ βγάζει κάποια ἀσυνήθιστη καὶ ἄγνωστη ἀπὸ παλιὰ κραυγή. Γιὰ νὰ καταλάβουμε λοιπὸν ὅτι αὐτὸ ποὺ ἔγινε δὲν ἦταν κατόρθωμα τῶν ἀγγέλων, ἀλλὰ τῆς θείας ἐνέργειας, γι᾽ αὐτὸ λέγει τό, «Ἐλᾶτε» πρὸς τὸν ἑαυτό της ἡ ἴδια ἡ ὁμοούσια ἁγία Τριάδα.

Β. Σωστά.

Α. Καὶ πῶς νομίζουν ὅτι γενικὰ ἡ φύση τοῦ ἀνθρώπου διαμορφώθηκε ἀντίστοιχα πρὸς τὸν Θεό; Τίνος ἡ εἰκόνα, λένε, ὅτι ἀποτυπώθηκε στὸ χῶμα;

Β. Τί λοιπὸν ἂν λένε ὅτι ἀποτυπώθηκε ἡ εἰκόνα τοῦ Θεοῦ καὶ Πατέρα;

Α. Ἂν λένε μόνο τοῦ Θεοῦ καὶ Πατέρα, ὁδηγοῦνται σὲ συλλογισμοὺς ἔσχατης ἀθλιότητας.

Β. Μὲ ποιὸ τρόπο;

Α. Κατὰ πρῶτον βέβαια ἐπειδὴ τὸ «ἂς κάνουμε», ἀλλὰ καὶ τὸ «σύμφωνα μὲ τὴ δική μας εἰκόνα» ἀναφέρονται ὄχι σὲ ἕνα πρόσωπο, ἀλλὰ σὲ περισσότερα ἀπὸ ἕνα καὶ δύο. Ἐκτὸς ἀπὸ αὐτὸ ὅμως σκεπτόμαστε καὶ τὸ ἑξῆς· ἐκεῖνο ποὺ ἀναμορφώνεται, ἐπειδὴ ἀπέτυχε ἡ πρώτη μορφή του καὶ ἔχασε τὸ κάλλος της, δὲν πρέπει νὰ ἐπανέλθει σ᾽ αὐτὸ ποὺ ἦταν ἀρχικά, καὶ ἀφοῦ διορθωθεῖ ἡ βλάβη ποὺ ὑπέστη ἀπὸ τὸν ἀκρωτηριασμό του, νὰ ξαναπάρει τὴν ἀκέραια μορφὴ τῆς φύσεώς του;

Β. Πῶς τὸ ἐννοεῖς αὐτό;

Α. Ἄκουσέ με καλὰ καὶ θὰ σοῦ τὸ ἐξηγήσω ὅσο εἶναι δυνατόν. Ἐὰν κάποιος ἀπὸ αὐτοὺς ποὺ κατέχουν ἄριστα καὶ τέλεια ἕνα ἐπάγγελμα, παραδείγματος χάριν τὴ χαλκουργική, φιλοτεχνήσει ἕνα ἀνδριάντα, δίνοντας σ᾽ αὐτὸν τὴ δική του μορφή, καὶ ὁ ἀνδριάντας

*μένος, πεσών τε καταδουπήσειε, καταπηρωθείη τε οὕτω καὶ μεταθεῖτο πρὸς τὸ ἀκαλλές· εἶτα τὸ χρῆμα οὐ φορητὸν εἰ ποιοῖτο τυχὸν ὁ τοῦδε τεχνίτης, βούλοιτό τε τὸν τοῦ κατασιναμένου κατατῆξαι φθόνον, ἀγριωτέρᾳ φλογί, καὶ δὴ μεταπλάττοι πρὸς εἶδος αὖθις τὸ ἐν ἀρχαῖς τὸ τέχνημα, τὰ ἐκ τοῦ πεπηρῶσθαι βλάβη περιελών· ἆρα ἄν σοι δόξαι φρονεῖν ὀρθῶς εἰ, τὸ οἰκεῖον εἶδος ἀφείς, ἀτεχνῶς αὐτὸ πρὸς τὴν ἑτέρου του μεταστοιχειῶσαι μορφήν;*

*Β. Οὐ πάνυ.*

*Α. Ἐντιθείς γε μὴν τὸ εἶδος αὐτῷ τὸ ἐν ἀρχαῖς, ἀνεμόρφωσέ τε κατὰ ἀλήθειαν καὶ τὴν ἰδίαν αὐτῷ πάλιν ἐνεχάραξεν εἰκόνα;*

*Β. Καὶ μάλα.*

*Α. Ὧδε τοιγαροῦν ἔχοντος ἡμῖν τοῦ τοιοῦδε λόγου, τί δὴ ἄρα πεπραχέναι δώσομεν τὸν Πατέρα καὶ Θεὸν ἐς γεγονότα τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοί τε καὶ μόνου (τοῦτο γάρ που φὴς ἐννενοηκέναι τοῦ δι' ἐναντίας), ἐπείπερ ἠθέλησεν ἀναμορφοῦν διωλισθηκότα καὶ λελωβημένον, οὐχὶ δὴ μᾶλλον εἰς εἶδος αὐτὸν κεκαινούργηκε τὸ ἐν ἀρχαῖς, τουτέστιν εἰς ὁμοίωσιν τὴν πρὸς ἑαυτόν, ἐνετίθει δὲ μᾶλλον αὐτῷ μορφήν τε καὶ εἶδος ἕτερον, εἴπερ οὖν ἕτερος παρ' αὐτὸν φυσικῶς ὁ Υἱός, πρὸς ὃν μεμορφώμεθα; Γράφει γὰρ ὧδέ τισιν ὁ σοφώτατος Παῦλος· «Τεκνία, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Καὶ πάλιν· «Οὓς γὰρ προέγνω, καὶ προώρισε (δῆλον δὲ δή που πάλιν ὅτι ὁ Θεός) συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν». Ἀναμορφοῖ γὰρ ἡμᾶς διὰ τοῦ Πνεύματος εἰς ἰδίαν εἰκόνα Χριστὸς καὶ τῆς ἑαυτοῦ φύσεως ταῖς τῶν εὐσεβούντων ψυχαῖς νοητῶς τε καὶ ἀπορρήτως τὸ κάλλος ἐνσημαίνεται. Μεμορφώμεθα δὴ οὖν, οἶμαί που, πρὸς Θεὸν μὲν οὐκέτι τὸν ἀληθινόν, εἶδος δὲ ἡμῖν ἐμπρέπει τὸ κτίσματος. Τόδε δὴ καὶ πάλαι διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς ὑμνούμενον· «Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου», οἴχοιτο ἂν ἤδη πρὸς τὸ μηδέν, εἰκαῖον ὡς ἔοικεν ἀναδεδειγμένον. Ἀνακαινισμὸς γὰρ οὔ τί που, κατὰ τὰς Γραφάς, καινουργία δὲ*

---

23. Γαλ. 4, 19. 24. Ρωμ. 8, 29. 25. Ψαλμ. 102, 5.

αὐτὸς ἀποσπασθεῖ ἀπὸ τὴ βάση του μὲ μοχλὸ ἀπὸ κάποιον ποὺ ζήλεψε, καὶ πέφτοντας κάτω μὲ γδοῦπο ἀκρωτηριασθεῖ σὲ τέτοιο βαθμό, ὥστε νὰ χάσει τὴν ὀμορφιά του, καὶ ὁ τεχνίτης τοῦ ἀνδριάντα αὐτοῦ, μὴ ἀνεχόμενος τὸ θέαμα καὶ θέλοντας νὰ καταπνύξει τὸν φθόνο ἐκείνου ποὺ τὸν κατέστρεψε, ξαναπλάσει πάλι μὲ δυνατότερη φωτιὰ τὸ ἔργο ὅπως ἦταν ἀρχικά, ἀφαιρώντάς του τὶς βλάβες τοῦ ἀκρωτη-ριασμοῦ, ἄραγε θὰ σοῦ φαινόταν ὅτι σκέφτεται σωστά, ἐάν, ἀφήνοντας τὴ δική του μορφή, ἀπὸ ἀδεξιότητα τὸ μεταβάλει δίνοντάς του τὴ μορφὴ κάποιου ἄλλου;

Β. Ὄχι βέβαια.

Α. Δίνοντάς του δηλαδὴ τὴν ἀρχική του μορφή, τὸ ἀναμόρφωσε πραγματικά καί χάραξε πάλι σ' αὐτὸ τὴ δική του εἰκόνα;

Β. Καὶ βέβαια.

Α. Ἀφοῦ λοιπὸν ἔτσι ἔχει ὁ λόγος μας αὐτός, τί θὰ δεχθοῦμε ὅτι ἔκανε ὁ Πατέρας καὶ Θεός, ἐὰν ὁ ἄνθρωπος πλάσθηκε «κατ' εἰκόνα καὶ ὁμοίωση» μόνον αὐτοῦ, γιατὶ αὐτὸ περίπου λὲς ὅτι ἐννοοῦν οἱ ἀντίθετοι· ὅταν δηλαδὴ θέλησε νά ἀναπλάσει τὸν ἄνθρωπο ποὺ εἶχε γλιστρήσει καὶ ἀκρωτηριασθεῖ, δὲν τοῦ ξαναέδωσε τὴ μορφὴ ποὺ εἶχε στὴν ἀρχή, δηλαδὴ δὲν τὸν ἔκανε ὅμοιο μὲ τὸν ἑαυτό του, καὶ τοῦ ἔδωσε μορφὴ καὶ σχῆμα ἄλλο; ἐὰν βεβαίως εἶναι διαφορετικὸς κατὰ φύση πρὸς αὐτὸν ὁ Υἱός, πρὸς τὸν ὁποῖο μεταμορφωνόμαστε. Γιατὶ γράφει τὰ ἑξῆς σὲ κάποιους ὁ σοφώτατος Παῦλος· «Παιδιά μου, γιὰ τά ὁποῖα πάλι δοκιμάζω πόνους τοκετοῦ, μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[23]. Καὶ ἀλλοῦ πάλι· «Ἐκείνους ποὺ προγνώρισε, αὐτοὺς καὶ προόρισε (εἶναι φανερὸ πάλι ὅτι ὁ Θεὸς) νὰ γίνουν ὁμοιόμορφοι πρὸς τὴν εἰκόνα τοῦ Υἱοῦ του, αὐτοὺς καὶ κάλεσε»[24]. Γιατὶ μᾶς μεταμορφώνει διὰ τοῦ Πνεύματος στὴ δική του εἰκόνα ὁ Χριστός, χαράζοντας τὴν ὀμορφιὰ τῆς δικῆς του φύσεως κατὰ τρόπο νοητὸ καὶ ἀπερίγραπτο στὶς ψυχὲς τῶν εὐσεβῶν. Δηλαδή, πιστεύω ὅτι μεταμορφωνόμαστε ὄχι πρὸς τὸν ἀληθινὸ Θεό, ἀλλὰ παίρνοντας μιὰ μορφὴ ποὺ ταιριάζει σὲ κτίσμα. Ἀλλιῶς αὐτὸ ποὺ ὑμνεῖται ἀπὸ παλιὰ μὲ τὴ φωνὴ τοῦ Ψαλμωδοῦ, «Θὰ ἀνανεωθεῖ καὶ θὰ γίνει πάλι καινούργια ἡ νεότητά σου, ὅπως ἀνανεώνεται ὁ ἀετός»[25], θὰ πήγαινε στὸ μηδέν, ἀποδεικνυόμενο, ὅπως εἶναι εὔλογο, ἀπερίσκεπτο. Γιατὶ ἀνακαινισμός, σύμφωνα μὲ τὶς Γραφές, δὲν εἶναι τίποτε ἄλλο, παρὰ

*μᾶλλον τὰ καθ' ἡμᾶς, ἀναφοίτησιν μὲν οὐδαμῶς τὴν εἰς τὸ ἄνω λαχόντα καὶ ἀναδρομὴν οὐκ ἔχοντα τὴν εἰς ὅπερ ἦν ἐν ἀρχαῖς, ἐκβεβιασμένα δέ πως ἐπὶ τὸ μεῖον ἢ πρὶν καὶ πολὺ νοσοῦντα τὸ ἀκαλλές. Εἴη δ' ἂν ἔτι καὶ ἀσυγκρίτως ὑπερκειμένη τὸν διὰ Χριστὸν καινισμὸν ἡ πρεσβυτέρα ποίησις, εἴπερ ἡμῖν ἐνετίθει μὲν ἐκείνη τὸ ἐν μορφῇ διαπρέπειν τῇ τοῦ μόνου τε καὶ ἀληθῶς Θεοῦ, ἡ δὲ πρὸς εἶδος ἡμᾶς ἀναζωγραφεῖ τὸ μὴ οὕτως ἔχον, μεταστοιχειοῦσα πρὸς τὸν Υἱόν. Τί δὴ οὖν ἄρα διὰ Χριστοῦ πεπλουτήκαμεν, καὶ αὐτήν, ὡς ἔοικεν, ἐκλεληστευμένοι τὴν πρὸς Θεὸν ὁμοίωσιν καὶ εἰσάπαν ἤδη τὸ περιφανὲς τῆς φύσεως ἀποδυσάμενοι καύχημα, εἴπερ ἐστὶν ἡμῖν ἡ πᾶσα μακαριότης ἔν γε τῷ καθ' ὁμοίωσιν γενέσθαι Θεοῦ; Ἀλλ' ὕθλος, οἶμαι, καὶ γέλως ἤδη ταυτί, καὶ γραώδη μυθάρια. Ἀναστοιχειούμεθα γὰρ εἰς εἰκόνα τὴν πρώτην, ἀκριβεῖ σημάντρῳ κατασφραγιζόμενοι τῷ Υἱῷ πρὸς τὸ τῇδε ἔχειν, ὅς ἐστι καὶ χαρακτὴρ καὶ ὁμοίωσις τοῦ Πατρὸς καὶ οὐχ ἕτερος παρ' αὐτόν, κατά γε τὸ ἐν οὐσίᾳ ταὐτόν.*

*Β. Ἀκριβέστατα ἔφης.*

*Α. Θέα γὰρ δὴ πρὸς ὅσην αὐτοῖς ἀτοπίαν ἐξολισθήσειεν ἂν ὁ λόγος, ἐπιτιμᾶν ἐγνωκόσι τοῖς τῇδε δοξάζουσι καὶ φρονεῖν ἑλομένοις. Θεὸς γὰρ εἴπερ ἐστὶ μόνος τε καὶ ἀληθινὸς ὁ Πατήρ, ὧδέ τε ἔχειν ἐξ ἀποπληξίας ἐροῦσιν, ἐξωσθείη ἄν, οἶμαί που, καθάπερ ἐξ ἀναγκαίου λόγου τοῦ κατὰ ἀλήθειαν εἶναι Θεὸς ὁ Υἱός.*

*Β. Ἀνάγκη.*

*Α. Ἀλλ' ἔσται που πάντως ἐν μείοσιν ἢ ἐν οἷς ὁ Πατήρ, ἐπεί τοι τὸ πάντων ἐπέκεινα Θεὸς ὁ φύσει καὶ ἀληθῶς.*

*Β. Ἔσται γὰρ οὖν· ἀποφέρει γάρ πως εἰς τοῦτο λοιπὸν ὁ λόγος.*

*Α. Ἄθρει δὴ οὖν ὅτι κινδυνεύομεν, ὦ Ἑρμεία, κατά γε τὸ ἐκείνοις ἀσυνέτως δοκοῦν, καίτοι μειονεκτούμενον τὸν Υἱόν, ἀμείνω πως ἤδη καὶ προὔχοντα καὶ αὐτοῦ καταλογίζεσθαι τοῦ Θεοῦ καὶ Πατρός, εἰ ταῖς τῶν ἁγίων φωναῖς ἀμελλητὶ καταπείθεσθαι διαλογιζόμεθα δεῖν.*

*Β. Καὶ μὴν τὸ χρῆμά ἐστιν οὐκ ἀμφίλογον.*

*Α. Πεύσῃ δὴ οὖν ἀνακεκραγότος ὡδὶ τοῦ θεσπεσίου Παύλου*

ἀνακαίνιση τοῦ ἑαυτοῦ μας ποὺ δὲν ἀνέβηκε ποτὲ πρὸς τὰ ἄνω, καὶ δὲν ἔχει ἐπιστρέψει σ' αὐτὸ ποὺ ἀρχικὰ ἦταν, ἀλλ' εἶναι ἀναγκασμένος νὰ παραμένει στὸ κατώτερο ἀπὸ ὅ,τι ἦταν πρίν, καὶ πάσχει ἀπὸ πολὺ ἀσχήμια. Θὰ μποροῦσε ὅμως νὰ ἦταν ἀσύγκριτα ἀνώτερη ἀπὸ τὴν διὰ τοῦ Χριστοῦ ἀνακαίνιση ἡ ἀρχικὴ δημιουργία, ἀφοῦ ἐκείνη εἶχε βάλει μέσα μας τὴ δυνατότητα νὰ ἀποκτήσουμε τὴ μορφὴ τοῦ μόνου ἀληθινοῦ Θεοῦ, ἐνῶ ἡ ἀνακαίνιση διὰ τοῦ Χριστοῦ μᾶς ἀνακαινίζει σὲ μορφὴ ποὺ δὲν εἶναι τέτοια, μεταμορφώνοντάς μας πρὸς τὸν Υἱό. Ἄρα λοιπὸν τί ἀποκτήσαμε διὰ τοῦ Χριστοῦ, ἀφοῦ, ὅπως φαίνεται, χάσαμε καὶ τὴν ὁμοίωσή μας πρὸς τὸν Θεό, καὶ γενικὰ ἀποβάλαμε τὴν δόξα τῆς φύσεώς μας, ἀφοῦ ὅλη ἡ μακαριότητά μας ἔγκειται στὸ νὰ γίνουμε ὅμοιοι μὲ τὸν Θεό; Ἀλλὰ νομίζω ὅτι αὐτὰ εἶναι μῦθος, ἄξια γιὰ γέλια καὶ γραϊδίστικα παραμυθάκια. Γιατὶ μεταμορφωνόμαστε στὴν ἀρχικὴ εἰκόνα, σφραγιζόμενοι μὲ ἀκριβὲς σήμαντρο τὸν Υἱό, γιὰ νὰ γίνουμε σὰν αὐτόν, ὁ ὁποῖος εἶναι σφραγίδα καὶ ὁμοίωμα τοῦ Πατέρα, καὶ ὄχι διαφορετικὸς δίπλα σ' αὐτόν, σύμφωνα μὲ τὴν ταυτότητα τῆς οὐσίας τους.

Β. Μίλησες μὲ πολλὴ ἀκρίβεια.

Α. Κοίταξε λοιπὸν σὲ πόσο μεγάλη ἀνοησία μπορεῖ νὰ διολισθήσει ὁ λόγος τους, μὲ τὸ νὰ ἐπικρίνουν αὐτοὺς ποὺ προτιμοῦν νὰ πιστεύουν ἔτσι. Γιατί, ἐὰν Θεὸς μόνος καὶ ἀληθινὸς εἶναι ὁ Πατέρας, καὶ ἀπὸ παραφροσύνη λένε ὅτι ἔτσι εἶναι, νομίζω πὼς κατ' ἀνάγκη ὁ Υἱὸς παύει νὰ εἶναι ἀληθινὸς Θεός.

Β. Κατ' ἀνάγκη αὐτὸ θὰ συμβεῖ.

Α. Ἀλλὰ θὰ εἶναι ὁπωσδήποτε σὲ μειονεκτικὴ θέση σὲ σχέση μὲ αὐτὴν τοῦ Πατέρα, γιατὶ τὸ πέρα καὶ πάνω ἀπὸ ὅλα εἶναι ὁ κατὰ φύση καὶ ἀληθινὸς Θεός.

Β. Θὰ εἶναι πράγματι· γιατὶ σ' αὐτὸ ὁδηγεῖ ὁ λόγος.

Α. Πρόσεχε λοιπόν, Ἑρμεία, ὅτι κινδυνεύουμε, ὅπως ἀπερίσκεπτα νομίζουν ἐκεῖνοι, ἂν καὶ ὁ Υἱὸς μειονεκτεῖ, νὰ τὸν θεωροῦμε ἀνώτερο καὶ προϋπάρχοντα καὶ ἀπὸ τὸν ἴδιο τὸν Θεὸ καὶ Πατέρα, ἐὰν σκεφθοῦμε ὅτι πρέπει χωρὶς ἀναβολὴ νὰ πιστεύουμε στὰ λόγια τῶν ἁγίων.

Β. Φυσικὰ αὐτὸ δὲν ἀμφισβητεῖται.

Α. Ἄκουσε λοιπὸν ἐδῶ τὸν θεόπνευστο Παῦλο ποὺ κραυγάζει,

ὡς γένοιτο μὲν «κατὰ νόμον Φαρισαῖος, κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ Χριστὸν ζημίαν. Ἀλλὰ μὲν οὖν γε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν».

Β. Ἔφη γὰρ οὖν, ἀλλὰ τί ἂν βούλοιτο τουτί;

Α. Οὐ γὰρ ὅτι Θεὸς καὶ Κύριος εἷς διακεχρησμῴδηκε τοῖς ἀρχαιοτέροις ὁ νόμος;

Β. Ναί.

Α. Τοῦτον δὲ εἶναί φασι τὸν Πατέρα που τάχα.

Β. Φασίν.

Α. Ὁ δὲ δὴ τῶν ἀπορρήτων Χριστοῦ ταμίαν ἑαυτὸν ἡμῖν ἀναδεδεῖχθαι λέγων, ὁ τῆς οἰκουμένης μυσταγωγός, τί ἄρα μαθὼν ἢ διενθυμούμενος τῆς πρεσβυτέρας καὶ νομικῆς παιδεύσεως ἀσυγκρίτως ἐν ἀμείνοσι τὴν Χριστοῦ γνῶσιν ἐτίθει, καὶ ὑπερέχουσαν ὀνομάζει, καὶ σκύβαλα μὲν ἡγεῖται τὰ ἐν νόμῳ, κατατέθηπε δὲ καὶ ὑπερηγάσθη λίαν τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα; Ἢ οὐκ ἀναγκαῖον ἡμᾶς ὑπολογίζεσθαι καὶ φρονεῖν ὡς ὧνπερ ἂν εἴη μείζων ἡ γνῶσις, τούτοις ἕποιτο ἂν εὐθὺς καὶ τὸ ὑπερκεῖσθαι πρέπειν τῶν συγκρινομένων;

Β. Οἶμαί γε.

Α. Εἶτα ὅπως εἰς τοῦτο καθίκοιτο ἂν ἡμῖν ἠλιθιότητός τε καὶ ἀμαθίας ὁ νοῦς ὡς ἀμείνω λέγειν ἢ γοῦν οἴεσθαί ποτε τοῦ Πατρὸς τὸν Υἱόν, τὸν οἱονεὶ ῥίζαν ἔχοντα καὶ πηγὴν τὸν γεννήτορα; Συνυβριοῦμεν γὰρ πάντως τῷ φυτῷ τὸν καρπὸν καὶ ὁμοῦ τῇ ῥίζῃ τὸ βλάστημα, τῇ πηγῇ τὸ ἐξ αὐτῆς προχεόμενον νᾶμα καὶ οὐκ ἀλλότριον αὐτῆς, τῷ φωτὶ τὸ ἐξ αὐτοῦ διαλάμπον καὶ ἀπαστράπτον ἀπαύγασμα.

Β. Συνυβριοῦμεν· πῶς γὰρ οὔ;

Α. Ἀναγκαίως οὖν ἄρα παραληψόμεθα τὸν εἰς ἑνότητα φυσικὴν συνεισδέοντα λόγον τῷ Πατρὶ τὸν Υἱὸν καὶ ἐν τῇ κατὰ φύσιν καὶ ἀληθινῇ θεότητι συνεισφέροντα;

Β. Ἀναγκαῖον μὲν οὖν· ἔχει γὰρ ὧδε ταυτί. Πλὴν ἐκεῖνο λέγε

---

26. Φιλιπ. 2, 5-8.

ὅτι ἦταν σύμφωνα μὲ τὸν νόμο Φαρισαῖος, ποὺ μὲ ζῆλο δίωκε τὴν Ἐκκλησία, καὶ ὡς πρὸς τὴ δικαιοσύνη τοῦ νόμου ζοῦσε ἄμεμπτα. «Ὅμως αὐτὰ ποὺ ἦταν γιὰ μένα κέρδη, αὐτὰ τὰ ἔχω θεωρήσει ὅτι εἶναι ζημία γιὰ τὸν Χριστό. Καὶ τὰ θεωρῶ ὅλα ὅτι εἶναι ζημία, ἐξαιτίας τῆς ὑπεροχῆς τῆς γνώσεως τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας»[26].

Β. Τὰ εἶπε βέβαια, ἀλλὰ τί θέλει νὰ πεῖ μ' αὐτά;

Α. Δὲν χρησμωδότησε ὁ νόμος στοὺς ἀρχαίους ὅτι ὁ Θεὸς καὶ Κύριος εἶναι ἕνας;

Β. Ναί.

Α. Καὶ αὐτός ἀσφαλῶς λένε ὅτι εἶναι ὁ Πατέρας.

Β. Λένε.

Α. Τότε λοιπὸν αὐτὸς ποὺ λέγει ὅτι ὁρίσθηκε ταμίας τῶν μυστηρίων τοῦ Χριστοῦ γιὰ μᾶς, ὁ δάσκαλος τῆς οἰκουμένης, τί ἔμαθε ἢ σκέφτηκε ἄραγε καὶ θεωρεῖ τὴ γνώση τοῦ Χριστοῦ ἀσυγκρίτως ἀνώτερη ἀπὸ τὴν ἀρχαιότερη διδασκαλία τοῦ νόμου, καὶ τὴν ὀνομάζει ὑπερέχουσα, καὶ θεωρεῖ ὅτι εἶναι σκύβαλα ὅλα ὅσα λέγει ὁ νόμος, ἐνῶ θαυμάζει καὶ ἐκπλήσσεται μπροστὰ στὸ σωτήριο εὐαγγελικὸ κήρυγμα; Ἢ μήπως δὲν εἶναι ἀναγκαῖο νὰ ὑπολογίζουμε καὶ νὰ πιστεύουμε, ὅτι αὐτὰ τῶν ὁποίων ἡ γνώση εἶναι ἀνώτερη, σ' αὐτὰ ἀκολουθεῖ ἀμέσως καὶ τὸ ὅτι πρέπει νὰ εἶναι καὶ ἀνώτερα ἀπὸ ἐκεῖνα μὲ τὰ ὁποῖα συγκρίνονται;

Β. Τὸ πιστεύω.

Α. Καὶ τότε πῶς ὁ νοῦς μας ἔφτασε σὲ τέτοιο σημεῖο ἠλιθιότητας καὶ ἀμάθειας, ὥστε νὰ λέγει ὅτι εἶναι ἢ θεωρεῖται ἀνώτερος ἀπὸ τὸν Πατέρα ὁ Υἱός, ὁ ὁποῖος ἔχει σὰν ρίζα καὶ πηγὴ αὐτὸν ποὺ τὸν γέννησε; Γιατὶ ὁπωσδήποτε βρίζουμε μαζὶ μὲ τὸ φυτὸ καὶ τὸν καρπό, καὶ μαζὶ μὲ τὴν ρίζα καὶ τὸν βλαστό, μαζὶ μὲ τὴν πηγὴ καὶ τὸ νερὸ ποὺ πηγάζει ἀπὸ αὐτὴν καὶ δὲν εἶναι ξένο ἀπὸ αὐτήν, μαζὶ μὲ τὸ φῶς καὶ τὴν ἀκτινοβολία ποὺ λάμπει καὶ ἀστράφτει ἀπὸ αὐτό.

Β. Ἀσφαλῶς τὰ βρίζουμε· πῶς δηλαδὴ ὄχι;

Α. Πρέπει ἐπομένως κατ' ἀνάγκη νὰ ἐγκαταλείψουμε τὸν λόγο ποὺ συνδέει σὲ φυσικὴ ἑνότητα τὸν Υἱὸ μὲ τὸν Πατέρα καὶ τὸν εἰσάγει μέσα στὴν κατὰ φύση καὶ ἀληθινὴ θεότητα;

Β. Εἶναι ἀναγκαῖο βέβαια, γιατὶ ἔτσι εἶναι. Ὅμως πές μου τὸ

τὸ ὅπως ἂν προὔχοι τε καὶ ὑπερκείσεται τῆς ἀρχαίας καὶ νομικῆς παιδεύσεως ἡ γνῶσις Χριστοῦ, καίτοι συμπαραληφθέντος εἰς ταὐτότητα φυσικὴν τῷ Πατρὶ καὶ Θεῷ τῷ ἀληθινῷ συγκεκηρυγμένου διὰ τῶν ἀρχαίων Γραμμάτων;

Α. Ἀμείνων ἔσται παρὰ πολὺ καὶ ὑπεραλεῖται τὴν πρώτην. Φανερωτέραν γὰρ ἔχει τὴν ἀνάρρησιν καὶ εἰς γνῶσιν εὐρύνεται τὴν ἀσυνήθη τῷ νόμῳ. Τοιγάρτοι καὶ αὐτὸς ἡμῖν ὁ ἱεροφάντης Μωσῆς ἐλιπάρει μέν, καὶ μάλα συχνῶς, ἀκριβῆ τε καὶ ἀκατάσκιον τὴν περὶ τοῦ Ὄντος γνῶσιν ἑλεῖν, καὶ δὴ καὶ ἔφασκε πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· «Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε». Προσετάττετό γε μὴν ὀρύττειν ἐν πέτρᾳ καὶ διὰ στενοτάτης ὀπῆς, εἰ βούλοιτο, καταθρεῖν, αἰνιγματωδῶς ἡμῖν ὑποσημαίνοντος, οἶμαί που, κἀν τούτῳ Θεοῦ ὅτι βραχεῖαν ὁ νόμος τὴν περὶ Θεοῦ γνῶσιν ἐναστράπτει τοῖς παιδευομένοις καὶ μονονουχὶ δι᾽ ὀπῆς τὸν ἐπὶ τῷδε μόλις ἐνίησι φωτισμόν. Ὅτι γὰρ μόνον εἷς ἐστι Θεὸς πιστεύειν ἤθελε τῶν ἐν ὑπολήψει θεότητος ἀφιστὰς τοὺς πεπλανημένους· τὸ δὲ ὅπως ἐν τοῖς καθ᾽ ἑαυτὴν ἡ θεία τε καὶ ἄρρητος ἔχει φύσις οὐ παρέδειξε σαφῶς, καθάπερ ἀμέλει τὸ σωτήριον κήρυγμα, φημὶ δὴ τὸ διὰ Χριστοῦ. Ἐπειδὴ γὰρ ἐγνώκαμεν τὸν Υἱόν, πιστεύομεν ὅτι πέφηνέ τε καὶ ἀνέφυ καθάπερ ἐκ ῥίζης τοῦ Πατρός, καὶ ἡ τοῦ γεννήματος δόξα τὴν τοῦ γεννήτορος φύσιν καθάπερ ἐν πίνακι καταγράφουσα τῶν ὑπὲρ νοῦν καὶ λόγον ἐφικνεῖσθαι παρεσκεύασε τῆς διανοίας τὸν ὀφθαλμόν. Τοιγάρτοι καὶ ἔφασκε πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν· «Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις», πρὸς δέ γε τοὺς Ἰουδαίους· «Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε». Τὸ δὲ εἰδέναι μέν τι τῶν ὄντων ὅτι ἔστι, μὴ μὴν ἔτι καὶ ὅπως ἔχει, μεῖον, οἶμαί που, παρὰ πολὺ πᾶς ὁστισοῦν εἶναι φήσειεν ἂν τοῦ εἰδέναι δεῖν μετὰ τοῦ ὅτι ἔστι καὶ ὅπως ἔστιν. Οἴχεται δὴ οὖν κατόπιν ἡμῖν τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ διὰ νόμου παίδευσις, εἷς μὲν ὅτι δὴ μόνον ἐστὶ Θεὸς τοῖς ἀρχαιοτέροις διακηρύττουσα, ἀνευρύνουσα δὲ οὐδαμῶς τὴν τῆς θεότητος φύσιν εἰς τὸ τριπλοῦν καθ᾽ ὑπόστασιν καὶ αὖ συλλέγουσα πρὸς ἑνότητα φυσικήν. Ταυτὶ γὰρ ἡμᾶς τὸ

---

27. Ἡ γνώση τοῦ Χριστοῦ, ἀπὸ ἐκείνην τῆς περὶ Θεοῦ γνώσεως τῆς Π. Διαθήκης. 28. Ἔξ. 3, 14. «Καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωυσῆν λέγων· Ἐγώ εἰμι ὁ Ὤν».

ἑξῆς· πῶς εἶναι δυνατὸν νὰ ὑπερέχει καὶ νὰ εἶναι ἀνώτερη ἀπὸ τὴν ἀρχαία διδασκαλία τοῦ νόμου ἡ γνώση τοῦ Χριστοῦ, ἂν καὶ βέβαια (ὁ Χριστὸς) ταυτίσθηκε κατὰ φύση μὲ τὸν Πατέρα καὶ ἀληθινὸ Θεό, καὶ ἔχει κηρυχθεῖ μαζί του στὴν Παλαιὰ Διαθήκη;

Α. Εἶναι πάρα πολὺ ἀνώτερη καὶ ξεπερνάει τὴν πρώτη[27], γιατὶ εἶναι φανερὴ ἡ ὑπεροχή της, καὶ ἔχει γνώση εὐρύτερη καὶ ἀσυνήθιστη στὸν νόμο. Ἄλλωστε καὶ ὁ ἴδιος ὁ ἱεροφάντης Μωυσῆς ἐκ-λιπαροῦσε πολὺ συχνὰ ζητώντας ἀκριβῆ καὶ ὄχι κεκαλυμμένη γνώση γιὰ τὸν Ὄντα[28], καὶ ἔλεγε στὸν Σωτῆρα τῶν ὅλων Θεό· «Φανέρωσέ μου τὸν ἑαυτό σου μὲ τρόπο αἰσθητό, γιὰ νὰ σὲ δῶ»[29]. Τὸν διέταξε ὅμως νὰ σκάψει σὲ βράχο καὶ μέσα ἀπὸ πολὺ στενὴ τρύπα, ἂν θέλει, νὰ τὸν δεῖ[30], δηλώνοντας μὲ αὐτὸ ὁ Θεός, κατὰ τρόπον αἰνιγματικό, νομίζω, ὅτι ὁ νόμος ἀποκαλύπτει μικρὴ μόνο γνώση γιὰ τὸν Θεὸ σ' αὐτοὺς ποὺ θέλουν νὰ μάθουν, καὶ σὰν μέσα ἀπὸ μιὰ τρύπα ἐξαποστέλλει τὸν πρὸς τοῦτο φωτισμόν, ἐπειδὴ ἤθελε νὰ πιστεύουν μόνο, ὅτι ἕνας Θεὸς ὑπάρχει, ἀπομακρύνοντας ἀπὸ τὶς προκαταλήψεις γιὰ τὴν θεότητα ἐκείνους ποὺ εἶχαν πλανηθεῖ, ἐνῶ τὸ πῶς εἶναι καθεαυτὴν ἡ θεία καὶ ἀπερίγραπτη φύση δὲν τὸ ἔδειξε καθαρά, ὅπως ἔκανε τὸ κήρυγμα τοῦ Σωτῆρα, ἐννοῶ τὸ κήρυγμα τοῦ Χριστοῦ. Ἐπειδὴ δηλαδὴ γνωρίσαμε τὸν Υἱό, πιστεύουμε ὅτι φύτρωσε καὶ βλάστησε κατὰ κάποιο τρόπο ἀπὸ τὴ ρίζα τοῦ Πατέρα, καὶ ἡ δόξα τοῦ Υἱοῦ δείχνοντας σὰν σὲ ζωγραφικὸ πίνακα τὴ φύση τοῦ Πατέρα, προετοίμασε τὰ μάτια τῆς διάνοιας νὰ φτάσουν αὐτὰ ποὺ εἶναι πάνω ἀπὸ τὸν νοῦ καὶ τὸν λόγο. Γι' αὐτὸ καὶ ἔλεγε στὸν οὐράνιο Πατέρα του καὶ Θεό· «Φανέρωσα τὸ ὄνομά σου στοὺς ἀνθρώπους»[31], καὶ στοὺς Ἰουδαίους· «Οὔτε ἐμένα γνωρίζετε, οὔτε τὸν Πατέρα μου· ἐὰν γνωρίζατε ἐμένα, θὰ γνωρίζατε καὶ τὸν Πατέρα μου»[32]. Τὸ νὰ γνωρίζουμε ὅτι κάποιο ἀπὸ τὰ ὄντα ὑπάρχει ὄχι ὅμως καὶ τί εἶναι, νομίζω πὼς ὁ καθένας θὰ ἔλεγε, ὅτι εἶναι κατώτερο ἀπὸ τὸ νὰ γνωρίζουμε μαζὶ μὲ τὸ ὅτι ὑπάρχει καὶ τί εἶναι. Γι' αὐτὸ λοιπὸν μετὰ ἀπὸ τὰ εὐαγγελικὰ κηρύγματα ἔπαυσε νὰ ἰσχύει ἡ διδασκαλία τοῦ νόμου, ἡ ὁποία διακήρυττε στοὺς παλαιότερους μόνο ὅτι ὁ Θεὸς εἶναι ἕνας, δὲν διηύρυνε ὅμως τὴ φύση τῆς θεότητας σὲ τρεῖς ὑποστάσεις, οὔτε καὶ τὶς συνέδεε πάλι σὲ ἑνότητα φυσική. Γιατὶ αὐτὰ μᾶς τὰ δίδαξε ἡ νέα Γραφή.

29. Ἔξ. 33, 13. 30. Ἔξ. 33, 19 ἑ. 31. Ἰω. 17, 6. 32. Ἔξ. 8, 19.

*νέον ἐδίδαξε Γράμμα. Ἑνώσεως τοίνυν καὶ ταὐτότητος φυσικῆς οὐκ εἰσδεδεγμένης ἐπί τε τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ Υἱοῦ (εἶμι γὰρ δὴ κατευθὺ τῶν ἐν ἀρχαῖς προκειμένων), σύγχυσις ἔσται καὶ διαστροφή, καὶ τῶν ἱερῶν Γραμμάτων ἡ πίστις οὐδαμόθεν ἔτι, καθάπερ ἐγῷμαι, τὸ βέβαιον ἕξει καὶ ἐρηρεισμένον.*

*Β. Πῶς ἢ τίνα τρόπον;*

*Α. Ἕνα γὰρ εἶναι Θεὸν τὸν φύσει τε καὶ ἀληθῶς τῆς θείας ἡμῖν ἀναβοώσης Γραφῆς, τῆς ἐπὶ τούτῳ τιμῆς τε καὶ δόξης τὸν Υἱὸν ἐκπέμψομεν, εἰ μὴ τὸ τῆς οὐσίας ταὐτὸν καὶ ἀπαραλλάκτως ἔχον συνεισφρήσαι τρόπον τινὰ τῷ Θεῷ καὶ Πατρί. Ἢ οὐ διεπύθου τῶν ἁγίων ἡμῖν ἀνακεκραγότων περὶ Θεοῦ, πῇ μέν, ὅτι «Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής», πῇ δὲ αὖ, «Ὁ μόνος ἔχων ἀθανασίαν»; Τίνα δὴ οὖν ὑποτοπητέον μόνον εἶναι νομοθέτην καὶ κριτὴν καὶ μόνον ἔχοντα τὴν ἀθανασίαν;*

*Β. Τὸν Πατέρα που πάντως· οἶμαι γὰρ αὐτοὺς οὐχ ἕτερόν τι παρὰ τοῦτο ἐρεῖν.*

*Α. Ἐροῦσι γὰρ οὖν καὶ αὐτὸς οἶδ' ὅτι· ἥκει γὰρ δὴ πρὸς τοῦτο αὐτοῖς δυσβουλίας ὁ σκοπός. Οἰησόμεθα δὴ οὖν ἥκιστα μὲν εἶναι νομοθέτην καὶ κριτὴν τὸν Υἱόν, ἡττᾶσθαι δὲ καὶ ἀθανασίας καὶ θύραθεν εἰσπεπορισμένην ἔχειν ἐν ἑαυτῷ τὴν ζωήν; Καὶ τί τὸ ἐντεῦθεν; Ὑπὸ νόμον ἤδη πως καὶ κρίσιν ἔσται καὶ οὐχ ἑκὼν καὶ τοῖς ἀποθνήσκουσι συντετάξεται κατά γε τὸ τῆς ἰδίας φύσεως μέτρον. Εἶτα πῶς οὐκ ἀπάτη καὶ φενακισμὸς καὶ ἐν τοῖς ἔτι τούτων αἰσχίοσι τὸ θεῖον ἡμῖν ἔσται κήρυγμα, φημὶ δὴ τὸ εὐαγγελικόν, τοῖς τοῦ Υἱοῦ λόγοις ἐπιψηφίζεσθαι δεῖν ἀναπεῖθον ἡμᾶς τὴν ἀλήθειαν; Ἔφη γὰρ ὅτι «Ἐγώ εἰμι ἡ ζωή», καίτοι κατ' ἐκείνους ἀθανασίαν οὐκ ἔχων, εἴπερ ἐστὶ μόνος ἀθάνατος ὁ Πατήρ. Καὶ μὴν ὡς ἔσται κριτὴς καὶ πέφηνε νομοθέτης, οὐδενός, οἶμαί που, δεηθείης ἂν εἴς γε τὸ συνιέναι πόνου. Ἢ γὰρ οὐκ ἐπύθου λέγοντος πῇ μὲν ὅτι, «Ἐρρέθη· Οὐ μοιχεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμεῖσθαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», πῇ δὲ αὖ, «Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ»;*

*Β. Ἐπυθόμην. Φράζε δὲ ὅμως ἐκεῖνο, βούλει ταῖς εἰς ἀντιλογί-*

Ἐὰν ὅμως δὲν δεχθοῦμε ἕνωση καὶ ταυτότητα φυσικὴ τοῦ Θεοῦ καὶ Πατέρα καὶ τοῦ Υἱοῦ (πηγαίνω κατευθεῖαν στὰ ἀρχικὰ δεδομένα) θὰ ὑπάρχει σύγχυση καὶ διαστροφή, καὶ ἡ πίστη τῶν ἁγίων Γραφῶν δὲν θὰ ἔχει, ὅπως ἐγὼ νομίζω, ἀπὸ πουθενὰ βεβαιότητα καὶ στήριγμα.

Β. Πῶς, ἢ μὲ ποιὸν τρόπο;

Γ. Ἐπειδὴ ἡ ἁγία Γραφὴ φωνάζει, ὅτι ἕνας εἶναι κατὰ φύση καὶ ἀληθινὰ Θεός, θὰ ἀποκλεισθεῖ ὁ Υἱὸς ἀπὸ τὴν θεϊκὴ τιμὴ καὶ δόξα, ἐὰν ἡ ταυτότητα καὶ τὸ ἀπαράλλακτο τῆς οὐσίας του δὲν εἰσχωρήσει κατὰ κάποιο τρόπο μέσα στὸν Θεὸ καὶ Πατέρα. Ἢ μήπως δὲν ἄκουσες τοὺς ἁγίους μας ποὺ ἀνακράζουν γιὰ τὸν Θεό, ἄλλοτε ὅτι «ἕνας εἶναι ὁ νομοθέτης καὶ κριτής»[33], καὶ ἄλλοτε πάλι, «ὁ μόνος ποὺ εἶναι ἀθάνατος»[34]; Ποιὸς λοιπὸν πρέπει νὰ ὑποψιασθοῦμε ὅτι εἶναι ὁ μόνος νομοθέτης καὶ κριτής, καὶ ὁ μόνος ἀθάνατος;

Β. Ὁ Πατέρας ὁπωσδήποτε· γιατὶ νομίζω ὅτι δὲν ἐννοοῦν κάποιον ἄλλον, παρὰ αὐτόν.

Α. Γνωρίζω καὶ ἐγὼ ὅτι μιλοῦν γι' αὐτόν· γιατὶ ὁ σκοπός τους εἶναι κακόβουλος. Πρέπει λοιπὸν νὰ πιστέψουμε ὅτι εἶναι λιγότερο νομοθέτης καὶ κριτὴς ὁ Υἱός, δὲν εἶναι ἀθάνατος, καὶ ἡ ζωὴ μέσα του τοῦ ἦρθε ἀπ' ἔξω; Καὶ τί βγαίνει ἀπὸ αὐτό; Ὑπόκειται καὶ αὐτὸς στὸν νόμο καὶ στὴν κρίση καὶ παρὰ τὴ θέλησή του, καὶ κατατάσσεται μαζὶ μὲ τοὺς θνητούς, σύμφωνα μὲ τὸ μέτρο τῆς φύσεώς του. Ἔπειτα πῶς νὰ μὴ θεωρεῖται ἀπάτη καὶ ψέμα καὶ πιὸ αἰσχρὸ ἀπὸ αὐτὰ τὸ θεϊκό μας κήρυγμα, ἐννοῶ τὸ εὐαγγελικό, ποὺ χρειάζεται τὴν ἐπιβεβαίωση τῶν λόγων τοῦ Υἱοῦ γιὰ νὰ μᾶς πείσει γιὰ τὴν ἀλήθεια; Γιατὶ εἶπε, «Ἐγὼ εἶμαι ἡ ζωή»[35], μολονότι, σύμφωνα μ' ἐκείνους, δὲν εἶναι ἀθάνατος, ἀφοῦ μόνος ἀθάνατος εἶναι ὁ Πατέρας. Ὅτι ὅμως θὰ εἶναι κριτὴς καὶ ὑπῆρξε νομοθέτης, δὲν νομίζω πὼς θὰ χρειασθεῖς πολὺ κόπο γιὰ νὰ τὸ καταλάβεις. Ἢ μήπως δὲν ἄκουσες νὰ λέγει, ἀλλοῦ, «Εἰπώθηκε· Δὲν θὰ μοιχεύσεις· ἐγὼ ὅμως σᾶς λέω, ὅτι κάθε ἄνθρωπος ποὺ βλέπει μιὰ γυναίκα καὶ τὴν ἐπιθυμεῖ, ἤδη διέπραξε μὲ αὐτὴν μοιχεία μέσα στὴν καρδιά του»[36], καὶ ἀλλοῦ πάλι, «Οὔτε δικάζει ὁ Πατέρας κανένα, ἀλλὰ ὅλη τὴν κρίση τὴν ἔδωσε στὸν Υἱό»[37];

Β. Τὸ ἄκουσα. Πές μου ὅμως ἐκεῖνο· θέλεις νὰ συνεχίσουμε τὸν

33. Ἰακ. 4,12. 34. Α' Τιμ. 6,16. 35. Ἰω.11,25. 36. Ματθ. 5,27. 37. Ἰω. 5,22.

*αν ἐνστάσεσι τὸν λόγον διαγυμνάζωμεν, ἢ καταθεῖν ὥσπερ ἐρήμην ἐῶμεν τῶν δι᾽ ἐναντίας παραποδίσματος δίχα;*

*Α. Καὶ μὴν ἴθι τοι πρός γε τοῦτο γεννικῶς. Καταθήξαι γὰρ ἂν τὸ χρῆμα τὸν νοῦν, εἰς τὸ θερμότερον μὲν ἢ πάλαι τοῖς ἀντεξάγουσιν ἀντιφέρεσθαι, νεανικώτερον δὲ τοὺς τῶν ἄνθεστάναι δοκούντων ἀποκρούεσθαι λογισμούς.*

*Β. Οὐκοῦν ἀναμέρος ἕκαστά τε καὶ σαφῶς ἤδη λέγωμεν.*

*Α. Φράζε τὸ δοκοῦν. Καταλογιοῦμαι γὰρ ἥκιστα μὲν εἶναι σήν, δόξαν δὲ μᾶλλον αὐτὸ τῶν δι᾽ ἐναντίας.*

*Β. Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς ὁ Θεὸς καὶ Πατήρ. Πρέποι γὰρ ἂν καὶ μόνῃ τῇ τῶν ὅλων βασιλίδι φύσει τὸ θεσμοθετεῖν καὶ τὸ κρίνειν. Ἀφῖκταί γε μὴν καὶ ὁ Υἱὸς εἰς τοῦτο δόξης, κατανεύσαντος αὐτῷ τὸ ἑλεῖν τοῦ Θεοῦ καὶ Πατρός.*

*Α. Καὶ τίνι τῶν εὖ φρονούντων ἀσυμφανὲς ὡς εἰκαίους ἡμῖν, ὦ φιλότης, ἐπαντλήσεις λόγους, ψυχρὰν δὲ καὶ ἄχρηστον ἐννοιῶν ἐπισωρεύσεις πληθύν, εἰ μὴ συνηχούσας οἷς ἔφης τὰς τῶν ἁγίων ἡμῖν ἐπιδείξαις συγγραφάς; Ἑψόμεθα γὰρ οὐχὶ τοῖς ἐθέλουσί τε καὶ εἰωθόσι τὰ ἀπὸ μόνης τῆς σφῶν αὐτῶν ἐρεύγεσθαι διανοίας, ἀλλὰ τοῖς λαλοῦσιν «ἀπὸ στόματος Κυρίου», κατὰ τὸ γεγραμμένον.*

*Β. Εὖ λέγεις. Οὐκοῦν ὁ μὲν θεῖος, φησίν, ὕμνησέ που Δαβὶδ (ἐποιεῖτο δὲ τοὺς λόγους ὡς πρὸς τὸν Πατέρα Θεὸν περὶ τῆς κλήσεως τῶν ἐθνῶν)· «Κατάστησον, Κύριε, νομοθέτην ἐπ᾽ αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν». Ἐκπεπεράνθαι δὲ τοῦτο καὶ μάλα σαφῶς ἐφ᾽ ἑαυτῷ καὶ αὐτὸς ἡμῖν ἀφικνεῖται λέγων ὁ Υἱός· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου». Ὁ δὲ τῆς ἑτέρου θελήσεως δῶρον ἔχων τὸ βασιλεύειν καὶ νομοθετεῖν, πῶς ἂν οὐκ εἰσποίητον ἔχοι καὶ φυσικὴν μὲν οὐδαμῶς, εἰσκεκριμένην δὲ μᾶλλον τὴν ἐπ᾽ ἀμφοῖν ἐξουσίαν;*

*Α. «Ἐκνήψατε, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν», ἐπιφωνείτω τις καὶ μάλα εἰκότως τοῖς διεστραμμένοις. Ὑπάρχων μὲν γὰρ ἐν μορφῇ καὶ ἰσότητι τῇ κατὰ πᾶν ὁ Υἱὸς τῷ Πατρί, κένωσιν μὲν ὑπέστη τὴν ἐθελούσιον, καθεὶς ἑαυτὸν εἰς εἶδος τὸ καθ᾽ ἡμᾶς, γέγονε δὲ ἄν-*

---

38. Ἱερ. 23,16. 39. Ψαλμ. 9,21. 40. Ψαλμ. 2,6. 41. Ἰωὴλ 1,5.

λόγο μὲ ἀντιλογία στὶς ἐνστάσεις, ἢ θὰ ἀφήσουμε τοὺς ἀντίθετους νὰ ἐπιτίθενται χωρὶς παραδείγματα;

Α. Προχώρα λοιπὸν καὶ σ' αὐτὸ γενναῖα. Γιατὶ τὸ θέμα θὰ ἐνθαρρύνει τὸν νοῦ νὰ ἀντιμετωπίσει πιὸ θερμὰ ἀπὸ ὅ,τι παλαιότερα τοὺς ἀντιπάλους, καὶ νὰ ἀποκρούει μὲ θάρρος τοὺς συλλογισμοὺς ἐκείνων ποὺ ἀντιτίθενται.

Β. Ἂς μιλήσουμε λοιπὸν γιὰ τὸ καθένα χωριστὰ καὶ μὲ σαφήνεια.

Α. Πὲς λοιπὸν ὅ,τι θέλεις· δὲν θὰ τὸ θεωρήσω ὅτι εἶναι δική σου ἄποψη, ἀλλὰ τῶν ἀντιθέτων.

Β. Ἕνας εἶναι ὁ νομοθέτης καὶ κριτής, ὁ Θεὸς καὶ Πατέρας. Γιατὶ μόνο στὴ βασιλικὴ φύση τῶν ὅλων ταιριάζει νὰ νομοθετεῖ καὶ νὰ κρίνει. Ἔφτασε βέβαια καὶ ὁ Υἱὸς σ' αὐτὸ τὸ βαθμὸ δόξας, μὲ τὴν συγκατάνευση ὅμως τοῦ Θεοῦ καὶ Πατέρα.

Α. Καὶ σὲ ποιὸν ἀπὸ αὐτοὺς ποὺ σκέφτονται σωστὰ δὲν εἶναι φανερό, ὅτι θὰ ἀντλήσεις, φίλε, ἄσκοπους λόγους καὶ θὰ ἐπισωρεύσεις ψυχρὸ καὶ ἄχρηστο πλῆθος ἐννοιῶν, ἐὰν δὲν ἀποδείξεις ὅτι συμφωνοῦν μὲ ὅσα εἶπες τὰ συγγράμματα τῶν ἁγίων; Γιατί δὲν θὰ ἀκολουθήσουμε αὐτοὺς ποὺ θέλουν καὶ συνηθίζουν νὰ βγάζουν μό-νον αὐτὰ ποὺ ὑπάρχουν στὸν νοῦ τους, ἀλλὰ ἐκείνους πού, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, μιλοῦν μὲ τὸ στόμα τοῦ Κυρίου[38].

Β. Καλὰ τὰ λές. Λοιπὸν ὁ θεῖος Δαβὶδ (κάνοντας λόγο πρὸς τὸν Πατέρα Θεὸ γιὰ τὴν κλήση τῶν ἐθνῶν) ἔψαλε κάπου· «Ἐγκατάστησε, Κύριε, νομοθέτη σ' αὐτούς, καὶ ἂς μάθουν τὰ ἔθνη, ὅτι εἶναι ἄνθρωποι»[39]. Ἐνῶ ὁ ἴδιος ὁ Υἱὸς ἀναφέρει ὅτι αὐτὸ πραγματοποιήθηκε πολὺ καθαρὰ σ' αὐτόν, λέγοντας· «Ἐγὼ ὅμως τοποθετήθηκα ἀπὸ αὐτὸν βασιλιὰς στὸ ἅγιο ὄρος Σιών, γιὰ νὰ ἐξαγγείλω τὸ πρόταγμα τοῦ Κυρίου»[40]. Αὐτὸς ὅμως ποὺ ἔχει τὴν ἐξουσία νὰ βασιλεύει καὶ νὰ νομοθετεῖ ὡς δῶρο τῆς θελήσεως ἄλλου, πῶς δὲν ἔχει τὴ διπλῆ αὐτὴ ἐξουσία μὲ υἱοθεσία καὶ εἰσαγόμενη, καὶ ὄχι φυσική;

Α. «Ἀνανήψετε, σεῖς οἱ μεθυσμένοι, ἀπὸ τὸ κρασί σας»[41], φωνάζει κάποιος, καὶ πολὺ δικαιολογημένα, στοὺς διεστραμμένους. Γιατὶ ὁ Υἱός, ἔχοντας μορφὴ καὶ ὄντας ἴσος σὲ ὅλα πρὸς τὸν Πατέρα, ὑπέστη βέβαια ταπείνωση θεληματική, κατεβάζοντας τὸν ἑαυτό του στὴ δική μας μορφή, καὶ ἔγινε ἄνθρωπος, στὸν ὁποῖον ἡ ἐξουσία νὰ

θρωπος, ᾧ τὸ βασιλεύειν καὶ νομοθετεῖν οὐχ ἑτέρως ἢ δοτόν. Ἐπειδὴ δὲ συνεπτώχευσέ τε ἡμῖν καὶ δουλοπρεπὲς ὑπέδυ μέτρον οἰκονομικῶς, εἰσποιητὸν ἔχειν ὁμολογεῖ τὸ φύσει προσόν, καὶ τοῖς τῆς κενώσεως ἔργοις τε καὶ λόγοις εὖ μάλα συμπλάττεται, καὶ οὐδὲν ἄν, οἶμαι, τὸ βλάβος ἔκ γε τουτουῒ τοῖς εἰς αὐτὸν πιστεύουσιν, εἰ τὸν τοῖς λόγοις πρέποντα περιαθροῖεν καιρόν. Πότε γὰρ νενομοθέτηκε μὲν τοῖς ἔθνεσιν ὁ Χριστός, πότε δὲ ἀφῖκται διαγγέλλων ἐν Σιὼν τὸ πρόσταγμα Κυρίου; Ἢ ὅτε γέγονεν ἄνθρωπος; Καίτοι καὶ μάλα σαφῶς κατίδοι τις ἂν ἐν μωσαϊκοῖς συγγράμμασιν ὡς οὐ καθ' ἕτερόν τινα χρόνον ἐστάλη διαγγελῶν τὸ πρόσταγμα Κυρίου τοῖς ἐξ Ἰσραὴλ ὁ Υἱός, ἢ ὅτε τὴν καθ' ἡμᾶς εἰσέδυ πτωχείαν, καὶ ὁ προφητῶν δεσπότης προφήτης ὠνόμασται, καὶ τοῖς ἐκ τῆς γῆς ἐναρίθμιος ὁ ἐν κόλποις ὢν τοῦ Πατρὸς ἀπεφάνθη Λόγος. Ἔφη γάρ που Θεός, Μωσέα τὸν ἱερώτατον ἐπ' αὐτῷ δὴ τούτῳ πληροφορῶν· «Προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σέ. Καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ καὶ λαλήσει αὐτοῖς καθὰ ἂν ἐντείλωμαι αὐτῷ». Ἆρ' οὖν, ὦ φιλότης, οὔπω τὴν πρὸς σάρκα σύνοδον ἔχων ὁ Λόγος καὶ ὑπὲρ νοῦν τε καὶ ἀπορρήτως τῇ ἀνθρωπείᾳ φύσει συνηνωμένος, ἀδελφὸς ἂν νοοῖτο τῶν ἐξ Ἰσραὴλ καὶ ἐξ αὐτῶν ἀνέφυ τῶν γηγενῶν; Ἢ γοῦν ἐκεῖνό που φῄς ἄμεινόν τε καὶ ἀληθές, ὅτι κεχρημάτικεν ἀδελφὸς καὶ ἐν τάξει γέγονε τῇ Μωσέως, παιδαγωγὸς δηλονότι, καὶ εἰς τὸ χρῆναι νομοθετεῖν ἱγμένος καὶ ὑπουργικὴν ὥσπερ τινὰ τὴν διακονίαν ἀποπληρῶν, ὅτε τῆς ἐμφύτου δόξης τὸ ὑπερφερὲς εὖ μάλα παρωθούμενος, ὡς ἐν καιρῷ τε καὶ χρείᾳ καθῆκεν ἑαυτὸν εἰς ἑκούσιον κένωσιν;

Β. Καὶ μὴν ὡς ἄριστα ἔφης, ἴσθι τοι νοοῦντα κἀμέ.

Α. Οὐκοῦν εἴπερ ἕλοιντο τὸ ἑκάστῳ πρέπον καιρῷ διανέμειν ὀρθῶς, οὐκ ἄν, οἶμαι, διολισθήσειαν εἰς ἐξεστηκότα νοῦν καὶ καρδίαν διεστραμμένην· περιέσται δὲ σφίσιν ἤδη πως καὶ τὸ νοεῖν ὀρθῶς δύνασθαι τῆς ἀληθείας τὸν λόγον. Προσθεὶς δ' ἂν οἷς ἔφην εἴποιμ' ἂν ἔτι καὶ τόδε ὡς εἴ γέ τῳ σμικρὸν εἶναί τε δοκεῖ καὶ λελόγισται παρ' οὐδὲν τὸ ἑκάστῳ χρῆναι τῶν γεγραμμένων παρά γε τῇ

42. Δευτ. 18, 18.    43. Γαλ. 3, 24.

βασιλεύει καὶ νὰ νομοθετεῖ δὲν ἀποκτᾶται μὲ ἄλλο τρόπο, ἀλλὰ εἶναι δοτή. Καὶ ἐπειδὴ ἔγινε φτωχὸς μαζὶ μὲ μᾶς καὶ ὑποδύθηκε τὸ δουλικὸ σχῆμα κατ' οἰκονομίαν, γι' αὐτὸ ὁμολογεῖ ὅτι ἔχει μὲ υἱοθεσία τὸ φυσικό του προσὸν καὶ πολὺ σωστὰ συμπλάθεται μὲ τὰ ἔργα καὶ τὰ λόγια τῆς κενώσεως, καὶ καμμιὰ βλάβη, νομίζω, δὲν προκύπτει ἀπὸ αὐτὸ σὲ ὅσους πιστεύουν σ' αὐτόν, ἐὰν ἐξετάσουν τὰ λόγια στὸν καιρὸ ποὺ ταιριάζει σ' αὐτά. Πότε δηλαδὴ νομοθέτησε στὰ ἔθνη ὁ Χριστός, καὶ πότε ἦρθε στὴ Σιὼν ἐξαγγέλοντας τὸ πρόσταγμα τοῦ Κυρίου; Μήπως ὄχι ὅταν ἔγινε ἄνθρωπος; Ἂν καὶ πολὺ καθαρὰ μπορεῖ κανεὶς νὰ δεῖ στὰ μωσαϊκὰ συγγράμματα, ὅτι ὁ Υἱὸς δὲν στάλθηκε σὲ κανένα ἄλλο χρόνον νὰ ἐξαγγείλει τὸ πρόσταγμα τοῦ Κυρίου στοὺς Ἰσραηλῖτες, παρὰ ὅταν φόρεσε τὴ δική μας φτώχεια, καὶ ὁ Κύριος τῶν προφητῶν ὀνομάσθηκε προφήτης καὶ συγκαταλέχθηκε μαζὶ μὲ τοὺς γήινους ὁ Λόγος ποὺ βρίσκεται στοὺς κόλπους τοῦ Πατέρα. Γιατὶ εἶπε κάπου ὁ Θεός, πληροφορώντας γιὰ τὸ θέμα αὐτὸ τὸν ἱερώτατο Μωυσῆ· «Θὰ ἀναδείξω σ' αὐτοὺς προφήτη ἀπὸ τοὺς Ἰσραηλῖτες, ὅμοιο μὲ σένα, καὶ θὰ βάλω τὰ λόγια μου στὸ στόμα του καὶ θὰ μιλήσει σ' αὐτοὺς σύμφωνα μὲ τὶς ἐντολὲς ποὺ θὰ τοῦ δώσω»[42]. Ἄρα λοιπόν, φίλε μου, θὰ μποροῦσε ὁ Λόγος νὰ νοεῖται ἀδελφὸς τῶν Ἰσραηλιτῶν καὶ νὰ ἀναδειχθεῖ ἀπὸ τοὺς γηΐνους, πρὶν ἀκόμα συνδεθεῖ μὲ τὴν σάρκα καὶ ἑνωθεῖ μὲ τὴν ἀνθρώπινη φύση κατὰ τρόπο ποὺ ὑπερβαίνει τὸν νοῦ καὶ εἶναι ἀπερίγραπτο; Ἢ λὲς ὅτι εἶναι καλύτερο καὶ ἀληθινὸ ἐκεῖνο, ὅτι χρημάτισε ἀδελφὸς καὶ ἔλαβε τὴ θέση τοῦ Μωυσῆ, δηλαδὴ ἔγινε παιδαγωγός[43], καὶ ἔφτασε στὴν ἀνάγκη νὰ νομοθετεῖ καὶ νὰ ἐκτελεῖ κάποια ὑπουργικὴ κατὰ κάποιο τρόπο ὑπηρεσία, τότε πού, ἀφήνοντας τὴν ὑπεροχὴ τῆς φυσικῆς του δόξας, στὸν κατάλληλο καιρὸ καὶ τὴν ἀνάγκη ὑποβίβασε τὸν ἑαυτό του σὲ ἑκούσια ταπείνωση;

Β. Γνώριζε, ὅτι καὶ ἐγὼ τὰ ἐννοῶ ἔτσι ὅπως τόσο καλὰ τὰ εἶπες.

Α. Ἑπομένως, ἐὰν ἤθελαν νὰ ἐξετάσουν τὸ καθένα σωστὰ στὸν ἀντίστοιχο καιρό, νομίζω πὼς δὲν θὰ γλιστροῦσαν σὲ παραφροσύνη καὶ σὲ διεστραμμένη καρδιά, καὶ θὰ εἶχαν σὰν ἀποτέλεσμα τὸ νὰ μποροῦν νὰ κατανοοῦν σωστὰ τὸν λόγο τῆς ἀλήθειας. Προσθέτοντας ὅμως σ' αὐτὰ ποὺ εἶπα, θὰ ἔλεγα ἐπίσης καὶ τὸ ἑξῆς· ἐὰν σὲ κάποιον φαίνεται ὅτι εἶναι μικρὸ καὶ δὲν ἔχει καμμιὰ σημασία τὸ ὅτι πρέπει σὲ

*θεοπνεύστῳ Γραφῇ τὸν αὐτῷ πρέποντά τε καὶ οἰκειότατον ἐφαρμόσαι καιρόν, τί τὸ ἐμποδών, κἂν εἰ νοοῖτο τυχὸν οὔπω καθ' ἡμᾶς γεγονὼς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, τεθνάναι λέγειν αὐτόν, σταυρὸν ὑπομείναντα, καὶ τὰ ἐν αὐτῷ, καὶ πρὸ συνδρομῆς καὶ συνόδου τῆς εἰς τήνδε τὴν ἀπὸ γῆς σάρκα ἐμπαροινῆσαι μὲν ἀνοσίως τοὺς Ἰουδαίους αὐτῷ, δρᾶσαι δὲ καὶ εἰπεῖν ἃ τάχα που μόναις ταῖς ἐκείνων ἀπονοίαις πρέπει· ἐπεί τοι καὶ ὡς ἤδη πεπονθὼς ἔφη που Χριστός· «Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων». Ἆρ' οὖν οὐκ ἀποπληξία καὶ γέλως εἴη ἂν εἰκότως τὸ οἴεσθαι ταυτὶ μὴ ἐν καιρῷ τῷ καθήκοντι, δῆλον δὲ ὅτι τῷ μετὰ σαρκός, ἀνατλῆναι τὸν Υἱόν;*

*Β. Ἀληθές.*

*Α. Ἀλλὰ γὰρ ἀνέντες τὸν ἐπὶ τῷδε λόγον, εἴς γε τὸ παρὸν ἴωμεν εἴ τοι φίλον δοκεῖ.*

*Β. Τὸ ποῖον;*

*Α. Τὸ καθικέσθαι φημὶ πρὸς βάσανον καὶ ἀναμαθεῖν ἀκριβῶς, ἔρεσθαί τε τοὺς δι' ἐναντίας εἰ ἐν τῷ καθίστασθαι βασιλέα καὶ νομοθέτην τὸ τοιῶσδε εἶναι κατ' οὐσίαν ἢ γοῦν τοιῶσδε τυχόν ἐστι τοῦ Υἱοῦ.*

*Β. Οὐκ ἐν τῷ καθίστασθαι, καθάπερ ἐγῷμαι, τὸ εἶναι τοιῶσδε τυχὸν ἢ μὴ φαῖεν ἂν εἶναι τοῦ Υἱοῦ· οὐ γάρ, οἶμαί που, καθίκοιντο ἂν εὐηθείας εἰς τοῦτο, καίτοι ληροῦντες ἀμέτρως, ὡς καὶ οὐσίας ὅρον τὸ καθίστασθαι λέγειν ἀποτολμᾶν· ἐκεῖνο δὲ ἴσως ἐροῦσιν, ὅτι τεκμηριοῖ τοῦ καθισταμένου τὴν φύσιν αὐτὸ τὸ καθίστασθαι. Οὐ γὰρ ἂν ἐδέξατο παρ' ἑτέρου, φασί, τὸ φύσει προσὸν αὐτῷ.*

*Α. Οὐκοῦν, ὦ γενναῖοι, πρὸς ἡμῶν εἰρήσεται πάλιν, ὡς ἥκιστα μὲν ἀρτίφρονες καὶ δογματικῆς ὀρθότητος ἐρασταί, κομιδῇ δὲ μᾶλλον εὔκολοι πρὸς παραφορὰν καὶ ἀπάτην ὄντες ἁλώσεσθε. Ἐκλέλησθε γὰρ ὀξέως τοῦ χρῆναι καιροῖς τοῖς καθήκουσιν ἀπονέμειν τὰ γεγραμμένα, καὶ τοῖς τῆς ἐνανθρωπήσεως χαρίζεσθαι χρόνοις τὰ μὴ σφόδρα θεοπρεπῆ, κἂν εἰ λέγοιτο τυχὸν περὶ τοῦ Μονογενοῦς. Ἐπειδὴ δὲ οὐκ εἰσάπαν τῶν εἰς ὀρθότητα διεκνεύοντες λο-*

---

44. Ἡσ. 50, 6.

κάθε τι πού εἶναι γραμμένο στὴν θεόπνευστη Γραφή, νὰ ἐφαρμόζουμε τὸν ἀνάλογο καὶ δικό του καιρό, τί θὰ ἐμπόδιζε, καὶ πρὶν ἀκόμα ἔρθει σὲ μᾶς ὁ μονογενὴς Λόγος τοῦ Θεοῦ, νὰ λέμε ὅτι πέθανε, ὑπέμεινε σταυρὸ καὶ ὅλα τὰ ἄλλα, καὶ ὅτι πρὶν νὰ ἔρθει καὶ νὰ συνδεθεῖ μὲ τὴ γήινη σάρκα φέρθηκαν σ' αὐτὸν οἱ Ἰουδαῖοι σὰν μεθυσμένοι, καὶ ἔκαναν καὶ εἶπαν αὐτὰ πού μόνο στὶς παραφροσύνες ἐκείνων ταιριάζουν· ἐπειδὴ ὁ Χριστὸς εἶπε κάπου σὰν νὰ τὰ εἶχε ἤδη πάθει, «Ἔδωσα τὰ νῶτα μου σὲ μαστίγια καὶ τὶς σιαγόνες μου σὲ ραπίσματα, καὶ δὲν γύρισα ἀλλοῦ τὸ πρόσωπό μου ἀπὸ τὴ ντροπὴ τῶν ἐμπτυσμάτων»[44]. Ἄρα λοιπὸν δὲν θὰ ἦταν, εὔλογα, παραφροσύνη καὶ ἄξιο γιὰ γέλια, τὸ νὰ νομίζουμε ὅτι αὐτὰ δὲν τὰ ὑπέστη ὁ Υἱός τὸν ἀντίστοιχο καιρό, δηλαδὴ ὅταν εἶχε τὴ σάρκα;

Β. Σωστά.

Α. Ἀλλά, ἀφήνοντας τὸν λόγο γιὰ τὸ θέμα αὐτό, ἂς ἔρθουμε στὸ παρόν, ἐὰν σοῦ ἀρέσει.

Β. Σὲ ποιό;

Α. Νὰ προχωρήσουμε, λέγω, σὲ ἔλεγχο τῆς ἀλήθειας καὶ νὰ μάθουμε ἀκριβῶς, καὶ νὰ ρωτήσουμε τοὺς ἀντίθετους, ἂν ἡ ἐγκατάστασή του ὡς βασιλιὰ καὶ νομοθέτη εἶναι γνώρισμα τῆς οὐσίας του, ἢ εἶναι ἁπλῶς ἕνα ἰδίωμα τοῦ Υἱοῦ.

Β. Δὲν νομίζω ἐγὼ πὼς θὰ ποῦν ὅτι ἡ ἐγκατάστασή του εἶναι ἢ ὄχι γνώρισμα τῆς οὐσίας τοῦ Υἱοῦ (γιατὶ δὲν νομίζω, ὅτι θὰ φτάσουν σὲ τέτοιο βαθμὸ μωρίας, ἂν καὶ φλυαροῦν ἀκατάσχετα, ὥστε νὰ τολμήσουν νὰ ποῦν ὅτι ἡ ἐγκατάστασή του εἶναι ὁρισμὸς τῆς οὐσίας του)· ἴσως ὅμως νὰ ποῦν τὸ ἑξῆς· ὅτι ἡ ἐγκατάσταση ἡ ἴδια βεβαιώνει τὴ φύση αὐτοῦ πού ἐγκαθίσταται. Γιατὶ δὲν θὰ δεχόταν ἀπὸ ἄλλον, λένε, αὐτὸ πού εἶχε ἀπὸ τὴ φύση του.

Α. Λοιπόν, γενναῖοι, σὲ σᾶς θὰ ποῦμε πάλι, ὅτι εἶστε πολὺ λίγο λογικοὶ καὶ ἐραστὲς τῆς δογματικῆς ὀρθότητας, ἀλλὰ συλλαμβάνεσθε νὰ εἴσατε πολὺ εὔκολοι σὲ παραφροσύνη καὶ ἀπάτη. Γιατὶ ἔχετε λησμονήσει ὑπερβολικὰ ὅτι πρέπει νὰ ἐξετάζετε ὅσα εἶναι γραμμένα στὸν καιρὸ πού τοὺς ταιριάζει, καὶ νὰ ἀποδίδετε στὰ χρόνια τῆς ἐνανθρωπήσεως ὅσα δὲν ταιριάζουν πάρα πολὺ στὸν Θεό, ἔστω καὶ ἂν ἀναφέρονται στὸν Μονογενῆ. Καὶ ἐπειδὴ δὲν εἶναι πρώτη φορὰ πού ξεφύγατε ἀπὸ τοὺς ὀρθοὺς συλλογισμούς, λέτε ὅτι δὲν εἶναι

*γισμῶν, οὐκ οὐσίαν εἶναί φατε τὸ καθίστασθαι, κατηγορούμενον τοῦ Υἱοῦ, πράγματος δὲ εἶναι σημαντικόν, τί τὸ ἐμποδὼν οἴεσθαί τε καὶ λέγειν ὅτι βασιλέα καὶ νομοθέτην οὐσιωδῶς ὄντα τὸν Υἱὸν ἠθέλησεν ὁ Θεὸς καὶ Πατὴρ τοῦθ' ὅπερ ἐστὶν ἀναφαίνεσθαι τοῖς ἐπὶ τῆς γῆς; Καὶ οὔ τί πού φημι τοῦ βασιλεύειν ἀρξάμενον, ἀλλὰ διανεύσοντά πως ἐπὶ τὸ χρῆναι λοιπὸν θεσμοθετεῖν αὐτοῖς καὶ εἰς τὸ ἐθέλειν ἤδη τοῖς ἰδίοις ἐγκαταζεῦξαι σκήπτροις τοὺς ἀρχῆς τε καὶ ἐξουσίας τῆς ὑπ' αὐτῷ διὰ τῆς πολυθέου πλάνης ἀπολισθήσαντας. Ἄτοπον δὲ οἶμαι παντελῶς τὸν τοῦ Πατρὸς Λόγον, εἰ κατασοφοῦν ἕλοιτό τινας, εὐδοκίᾳ τοῦ γεγεννηκότος εἰς ἀρχὰς κεκλῆσθαι λέγειν τοῦ νομοθετεῖν, μὴ μὴν ἔτι νομοθέτην οἴεσθαι κατὰ φύσιν ὑπάρχειν ὡς Θεόν. Ἆρα γὰρ εἰ ἐν οἰκίσκῳ ζοφώδει καὶ ἀχλύος ἔμπλεῳ, κατὰ χρόνους μέν τινας τῆς ἡλιακῆς ἀκτῖνος οὐκ εἰσέδυ τὸ φῶς, οὐδενὸς ἀνέντος τὴν εἰσβολήν, εἶτα τοῦδε γεγονότος, εἰσέφρησέ τε εὐθὺς καὶ ἀπελήλατο μὲν ὁ σκότος, τὸ δὲ ἀσύνηθες τοῖς τόποις ἐνεγέλασε φῶς, ὃ καί, εἴπερ ἕλοι φωνήν, ἐκδιηγοῖτο τυχὸν τοῖς τὸ χρῆμα κατατεθηπόσιν ὡς εἴη τεθὲν παρὰ τοῦ τεκόντος ἡλίου πρὸς τὸ ἐγχεῖσθαι δεῖν καὶ ἐκείνῳ τῷ χώρῳ καὶ καταφαιδρύνειν ἀεὶ τὰ σκότῳ κεκρατημένα· ἆρα δοίη τις ἂν τότε δὴ πρῶτον αὐτὸ καὶ εἰς φωτὸς παρῆχθαι φύσιν, ὅτε καὶ πρῶτον εἰσέδυ;*

*Β. Οὔ τί που, κατὰ τὸ εἰκός· ἦν γὰρ ἀεὶ φῶς.*

*Α. Τί δὴ οὖν ἡμῖν ὡς δυσάλωτον ἐπιτείχισμα κατεξανιστᾶσιν ἐκεῖνοι τὸ λέγεσθαι τὸν Υἱὸν καθίστασθαι νομοθέτην ἤτοι βασιλέα παρὰ τοῦ Θεοῦ καὶ Πατρός, καίτοι τοῦ νομοθετεῖν ἥκιστα μὲν εἰς ἀρχὰς ἰόντα τότε τῆς κατὰ φύσιν εὐκλείας ἀποδεικνύοντος, τὸ δέ γε χρῆναι λοιπὸν θεσμοῖς ἰδίοις καὶ τὰς τῶν ἐθνῶν ἀγέλας ὑπενεγκεῖν σημαίνοντος, συνευδοκοῦντός τε καὶ συγκατανεύοντος τοῦ Θεοῦ καὶ Πατρός, καίτοι μόνον κατὰ τοὺς ἄνωθεν ἔτι καιρούς τε καὶ χρόνους κατεζευγμένου τοῦ Ἰσραὴλ καὶ τοῖς θείοις νόμοις ὑπέχοντος τὸν αὐχένα;*

*Β. Ἀλλ' εἴπερ ἕλοιντο νομοθέτην ὄντα σαφῶς ἐπιδείκνυσθαι τὸν Υἱόν, πῶς ἂν ἢ πόθεν τοῦτο γένοιτο πρὸς ἡμῶν;*

*Α. Καὶ μὴν ἀποχρήσειν ἔν γε τουτωῒ τοῖς εὐμαθεστέροις οἰή-*

οὐσιῶδες ἰδίωμα τοῦ Υἱοῦ ἡ ἐγκατάστασή του, ἀλλὰ σημαίνει μιὰ πραγματικότητα, τί μᾶς ἐμποδίζει νὰ πιστεύουμε καὶ νὰ λέμε, ὅτι, ἐνῶ ὁ Υἱὸς ἦταν κατ' οὐσίαν βασιλιὰς καὶ νομοθέτης, θέλησε ὁ Θεὸς καὶ Πατέρας νὰ ἐμφανισθεῖ στοὺς ἀνθρώπους αὐτὸ ποὺ εἶναι; Καὶ βέβαια δὲν ἐννοῶ ὅτι ἄρχισε νὰ βασιλεύει, ἀλλὰ ὅτι συγκατένευσε κατὰ κάποιο τρόπο στὸ ὅτι πρέπει νὰ νομοθετεῖ γι' αὐτοὺς καὶ στὸ νὰ θέλει νὰ ἐπανασυνδέσει στὴ δική του βασιλικὴ ἐξουσία, ἐκείνους ποὺ ξέφυγαν ἀπὸ τὴ δική του ἀρχὴ καὶ ἐξουσία μέσω τῆς πολυθεϊστικῆς πλάνης. Καὶ νομίζω ὅτι εἶναι ἐντελῶς ἄτοπο, ἂν μερικοὶ θέλουν νὰ κάνουν τοὺς σοφούς, νὰ λένε ὅτι ὁ Λόγος τοῦ Πατέρα ἀπὸ τὴν ἀρχή, μὲ τὴν συγκατάθεση ἐκείνου ποὺ τὸν γέννησε, κλήθηκε νὰ νομοθετεῖ, ἀλλὰ νὰ μὴ πιστεύουν ὅτι εἶναι κατὰ φύση νομοθέτης ὡς Θεός. Ἂν δηλαδὴ σὲ κάποιο οἰκίσκο σκοτεινὸ καὶ γεμᾶτο πυκνὴ ὁμίχλη δὲν μπῆκε γιὰ κάποια χρόνια τὸ φῶς τῶν ἡλιακῶν ἀκτίνων, ἐπειδὴ κανεὶς δὲν ἐπέτρεπε τὴν εἴσοδό του, καὶ ἔπειτα, ἀφοῦ πέρασε τὸ διάστημα αὐτό, μπῆκε ἀμέσως μέσα καὶ ἀφοῦ διώχθηκε τὸ σκοτάδι καὶ ἔφεξε τὸ ἀσυνήθιστο στοὺς χώρους ἐκείνους φῶς, τὸ ὁποῖο, ἂν εἶχε φωνὴ θὰ διηγόταν σ' αὐτοὺς ποὺ θὰ θαύμαζαν τὸ γεγονός, ὅτι εἶχε τοποθετηθεῖ ἀπὸ τὸν ἥλιο ποὺ τὸ γέννησε γιὰ νὰ εἰσχωρεῖ καὶ σ' ἐκεῖνον τὸν χῶρο καὶ νὰ κάνει πάντοτε χαρούμενα ὅλα ὅσα κυριαρχοῦνταν ἀπὸ τὸ σκοτάδι, θὰ δεχόταν κανεὶς ὅτι αὐτὸ ἔλαβε τὴ φύση τοῦ φωτὸς γιὰ πρώτη φορά, ὅταν μπῆκε γιὰ πρώτη φορὰ στὸν οἰκίσκο;

Β. Ὄχι φυσικά· γιατὶ ἦταν πάντοτε φῶς.

Α. Τότε γιατί ἐκεῖνοι ὑψώνουν σὰν δυσκολοπόρθητο φρούριο σὲ μᾶς αὐτὸ ποὺ λένε, ὅτι ὁ Υἱὸς ἐγκαταστάθηκε νομοθέτης, δηλαδὴ βασιλιὰς ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, ἂν καὶ στὶς ἀρχὲς ἐλάχιστες φορὲς νομοθετοῦσε ἀποδεικνύοντας τὴ δόξα τῆς φύσεώς του, καὶ φανερώνοντας ὅτι πρέπει νὰ ὑπαγάγει καὶ τὰ πλήθη τῶν ἐθνικῶν κάτω ἀπὸ δικούς του νόμους μὲ τὴν ἔγκριση καὶ συγκατάνευση τοῦ Θεοῦ καὶ Πατέρα, ἂν καὶ κατὰ τοὺς ἀρχαίους χρόνους καὶ καιροὺς μόνο ὁ Ἰσραηλιτικὸς λαὸς ἦταν ὑποταγμένος κάτω ἀπὸ τοὺς θείους νόμους;

Β. Ἐὰν ὅμως ἤθελαν νὰ δείξουν φανερὰ ὅτι ὁ Υἱὸς ἦταν νομοθέτης, τότε αὐτὸ μὲ ποιὸ τρόπο καὶ ἀπὸ πότε θὰ γινόταν σὲ μᾶς;

Α. Ἀλλ' ὅμως νομίζω ὅτι πρέπει νὰ εἶναι ἀρκετὰ γιὰ τὸ θέμα

σομαι δεῖν ὅπερ ἔφαμεν ἀρτίως. Νόμου γὰρ πέρι καὶ τῶν τοῖς ἀρχαιοτέροις τεθεσπισμένων Θεοῦ λέγοντος ἐναργῶς, ἐπ' αὐτῶν οὐκ ἔστι προσθεῖναι καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν (πρέποι γὰρ ἂν καὶ μόνῃ τὸ χρῆναι θεσμοθετεῖν τῇ τῶν ὅλων βασιλίδι φύσει, προσθεῖναί τε καὶ ὑφελεῖν τὰ ἅπερ ἂν βούλοιτο)· τεθεσμοθέτηκεν ὁ Υἱός, καὶ τὴν μὲν ἀρχαίαν ὑφεῖλεν ὡς ἀνόνητον ἐντολήν, ἐπεισέφρησε δὲ τὴν νέαν, τουτέστι τὴν εὐαγγελικήν, καὶ τοῦτο ὡς νομοθέτης, οὐχ ὑπεσταλμένως, ἀλλ' ἐν ἐξουσίᾳ τῇ θεοπρεπεῖ. Κατασφραγιεῖ δὲ τὸν λόγον καὶ ὁ σοφὸς ἐπιστέλλων Παῦλος· «Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδήσω τοὺς ἀνόμους». Ἄθρει γὰρ ὅπως τὸ ἄνομος εἶναι Θεῷ παρωθούμενος, ἔννομος εἶναί φησι τῷ Χριστῷ, τὸ ἐπ' ἀμφοῖν εὐκλεὲς ἀπονέμων αὐτῷ καὶ ὡς Θεῷ κατὰ φύσιν τὸ χρῆναι θεσμοθετεῖν ἀνατιθεὶς ὡς ἐξαίρετον. Ὅτε τοίνυν, κατὰ τὴν τοῦ ἁγίου φωνήν, οὐκ ἄνομος ἂν εἴη Θεῷ Χριστῷ τις ἔννομος ὤν, ποῖος ἔτι λόγος ἐξώσειεν ἂν τοῦ καὶ νομοθέτην εἶναι καὶ Θεὸν τὸν Υἱόν;

Β. Οὐδείς, καθάπερ ἐγῷμαι.

Α. Ἐποίσειε δ' ἄν τις τοῖς εἰρημένοις εὖ μάλα καὶ τόδε.

Β. Τὸ ποῖον;

Α. Ὡς νομοθετοῦντα μὲν ἰδικῶς τε καὶ μόνον τοῖς ἀρχαιοτέροις, ἢ τοῖς μετ' ἐκείνους ἔτι, τὸν Πατέρα καὶ Θεὸν ἥκιστα μὲν δὴ καταδείξειεν ἄν, οἶμαι, τίς, καταθρήσαι δ' ἂν καὶ λίαν ἀμογητὶ σὺν Υἱῷ τε καὶ δι' Υἱοῦ. Ποῦ γὰρ ἢ τίσι τεθεσμοδότηκεν ὁ Πατήρ, σεσιγημένου τε καὶ ἀπόντος τοῦ Υἱοῦ;

Β. Καὶ μὴν ὁ σοφὸς ἡμῖν ἐπιστέλλει Παῦλος ὅτι, «Πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις». Μωσῆς δὲ τοῖς ἐξ

45. Α' Κορ. 9, 20-21.
46. Ἑβρ. 1, 1.

αὐτὸ γι' αὐτοὺς ποὺ διψοῦν γιὰ μάθηση, αὐτὰ ποὺ εἴπαμε τελευταῖα. Ἀφοῦ δηλαδὴ γιὰ τὸν νόμο καὶ γι' αὐτὰ ποὺ νομοθετήθηκαν γιὰ τοὺς παλαιοτέρους ὁ Θεὸς λέγει καθαρά, ὅτι δὲν ἐπιτρέπεται νὰ προσθέσουν ἢ νὰ ἀφαιρέσουν κάτι ἀπὸ αὐτὰ (γιατὶ μόνο ἡ βασιλικὴ φύση, ποὺ ἔχει τὸ δικαίωμα νὰ νομοθετεῖ, μπορεῖ νὰ προσθέσει καὶ νὰ ἀφαιρέσει αὐτὰ ποὺ θέλει), ὁ Υἱὸς ὅμως νομοθέτησε, καὶ τὴν παλαιὰ ἐντολὴ τὴν ἀφαίρεσε ὡς ἄχρηστη, καὶ εἰσήγαγε τὴ νέα, δηλαδὴ τὴν εὐαγγελική, καὶ τὸ ἔκανε αὐτὸ ὡς νομοθέτης, ὄχι σταλμένος ἀπὸ τὸν οὐρανό, ἀλλὰ μὲ ἐξουσία τέτοια ποὺ ταιριάζει στὸν Θεό. Ἐπικυρώνει τὰ λόγια αὐτὰ καὶ ὁ σοφὸς Παῦλος γράφοντας σὲ ἐπιστολή του· «Ἔγινα στοὺς Ἰουδαίους σὰν Ἰουδαῖος, γιὰ νὰ κερδίσω τοὺς Ἰουδαίους, σ' ἐκείνους ποὺ ἦταν κάτω ἀπὸ τὸν νόμο, ἔγινα σὰν νὰ ἤμουν κάτω ἀπὸ τὸν νόμο, ἂν καὶ δὲν ἤμουν κάτω ἀπὸ τὸν νόμο, γιὰ νὰ κερδίσω ἐκείνους· ποὺ ἦταν κάτω ἀπὸ τὸν νόμο· σ' ἐκείνους ποὺ ἦταν ἔξω ἀπὸ τὸν νόμο, σὰν νὰ ἤμουν ἔξω ἀπὸ τὸν νόμο, ἂν καὶ δὲν ἤμουν ἔξω ἀπὸ τὸν νόμο γιὰ τὸν Θεό, ἀλλὰ μέσα στὸν νόμο τοῦ Χριστοῦ, γιὰ νὰ κερδίσω τοὺς ἔξω ἀπὸ τὸν νόμο»[45]. Πρόσεχε λοιπὸν ὅτι, ἐνῶ ἀρνεῖται ὅτι εἶναι ἄνομος γιὰ τὸν Θεό, λέγει ὅτι ζεῖ σύμφωνα μὲ τὸν νόμο τοῦ Χριστοῦ, ἀποδίδοντας σ' αὐτὸν τὴ δόξα καὶ τῶν δύο, καὶ ἀναγνωρίζοντάς του τὸ δικαίωμα νὰ νομοθετεῖ ὡς ἐξαίρεταν. Ἀφοῦ λοιπόν, σύμφωνα μὲ τὰ λόγια τοῦ ἁγίου, δὲν εἶναι κανεὶς ἄνομος γιὰ τὸν Θεό, ὅταν αὐτὸς ζεῖ σύμφωνα μὲ τὸν νόμο τοῦ Χριστοῦ, ποιὸς λόγος ἀκόμα μπορεῖ νὰ ἀπομακρύνει τὸν Υἱὸ ἀπὸ τοῦ νὰ εἶναι καὶ νομοθέτης καὶ Υἱός;

Β. Κανένας, ὅπως ἐγὼ νομίζω.

Α. Θὰ μποροῦσε κανεὶς ν' ἀναφέρει στὰ ὅσα εἰπώθηκαν κι αὐτό.

Β. Ποιό;

Α. Νομίζω ὅτι δὲν θὰ μποροῦσε κανεὶς εὔκολα ν' ἀποδείξει ὅτι ὁ Πατέρας καὶ Θεὸς νομοθετεῖ ἰδιαιτέρως καὶ μόνο στοὺς πολὺ παλαιούς, ἢ καὶ στοὺς μετὰ ἀπὸ ἐκείνους, ἐνῶ θὰ μποροῦσε χωρὶς κόπο νὰ διαπιστώσει ὅτι νομοθετεῖ μαζὶ μὲ τὸν Υἱὸ καὶ μέσω τοῦ Υἱοῦ. Ποῦ δηλαδὴ καὶ σὲ ποιοὺς νομοθέτησε ὁ Πατέρας, ἐνῶ σιγοῦσε καὶ ἀπουσίαζε ὁ Υἱός;

Β. Καὶ ὅμως ὁ σοφὸς Παῦλος μᾶς γράφει, ὅτι «Κατὰ τὴν ἀρχαία ἐποχὴ ὁ Θεὸς μίλησε στοὺς Πατέρες μέσω τῶν προφητῶν»[46]. Καὶ ὁ

*Ἰσραὴλ ἔφη που πάλιν· «Κύριος ὁ Θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν Χωρήβ».*

*Α. Εὖγε, ὦ φιλότης. Τετηρηκότων γὰρ τῶν ἁγίων, ὡς φῄς, τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ἀρχαῖον ἐκεῖνο καὶ ἐν σκιαῖς χρησμῴδημα, φέρε σοι δεικνύωμεν ἴδιον ὄντα λόγον ὀνομάσαντος αὐτὸ τοῦ Υἱοῦ. Ἀφῖκται γὰρ δὴ καταλύσων μὲν οὐδαμῶς τὸν νόμον, ἥκιστα δὲ ἀνατρέψων τὰ προφητῶν, ἀποπερανῶν δὲ μᾶλλον καὶ προφήτας καὶ νόμον· «Λέγω γὰρ ὑμῖν», φησίν, «ὅτι ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Συνίῃς οὖν ὅπως ἐκτελευτῆσαι δεῖν πάντῃ τε καὶ πάντως ἅπαντα πρὸς ἀλήθειαν τὸν νόμον εἰπών, ἰδίους ἔφη λόγους αὐτόν; Ἴδοι δ᾽ ἄν τις αὐτὸν καὶ ἑτέρωθί που δι᾽ ἑνὸς τῶν ἁγίων προφητῶν ἀνακεκραγότα σαφῶς· «Αὐτὸς ὁ λαλῶν πάρειμι». Ἐνηνθρώπηκά τε γὰρ καὶ ἐν εἴδει γέγονα τῷ καθ᾽ ὑμᾶς, ὁ πάλαι λαλῶν, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς τὰ διὰ τῶν ἁγίων προφητῶν κεχρησμῳδηκότος Ὅτι δὲ τῷ γε ἅπαξ τὴν τοῦ νομοθέτου δόξαν ἔχοντι, φυσικῶς ἕψεταί που πάντως καὶ τὸ δεῖν εἶναι κριτήν, τοὺς ἀτιμάζοντας τὸ διορισθὲν καὶ εἰς τὸ σφίσι δοκοῦν ἀποκλίνοντας πικραῖς ὑποφέροντα δίκαις, οὐδαμόθεν ἀμφίλογον.*

*Β. Παντάπασι μὲν οὖν.*

*Α. Ὥσπερ οὖν εἰ καὶ λέγοιτο τυχὸν εἷς μὲν νομοθέτης, εἷς δὲ κριτὴς ὁ Πατήρ, κατ᾽ οὐδένα τρόπον διολισθήσειεν ἂν τῆς ἐπ᾽ ἀμφοῖν δόξης τε καὶ ἀληθείας ὁ Υἱός, ἐπείτοι τὸ διατέμνον οὐδὲν τῆς πρὸς Θεὸν Πατέρα ταὐτότητος φυσικῆς· κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον, κἂν εἰ μόνος ἔχειν τὴν ἀθανασίαν ὁ Θεὸς λέγοιτο καὶ Πατήρ, οὐσιῶδες ἔσται καὶ ἐν Υἱῷ τὸ ἀξίωμα, καὶ συγχρηματιεῖ πάντως ἀθάνατος, ἤγουν αὐτὸ κατὰ φύσιν ἀθανασία, καὶ τοῖς τοῦ τεκόντος ὑψώμασι κατηγλαϊσμένος, πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνηθήσεται. Εἰ δὲ δὴ φαῖεν ἂν οὐχ ὧδε ταῦτ᾽ ἔχειν καὶ ψευδομυθίας ἡμῖν ἐπιπλέκουσι γραφήν, καίτοι πρεσβεύουσι τἀληθές, φραζόντων ἐκεῖνο.*

---

47. Δευτ. 1,6. 48. Ματθ. 5,18. 49. Ματθ. 24,35.
50. Ἠσ. 52,6. 51. Ἰακ. 4,12. 52. Α΄ Τιμ. 6,16.

Μωυσῆς ἐπίσης εἶπε στοὺς Ἰσραηλῖτες κάπου· «Ὁ Κύριος καὶ Θεός μας μᾶς μίλησε στὸ ὄρος Χωρήβ»[47].

Α. Εὖγε, φίλε. Ἀφοῦ, ὅπως λές, τήρησαν οἱ ἅγιοι στὸ πρόσωπο τοῦ Θεοῦ καὶ Πατέρα ἐκείνη τὴν παλιὰ καὶ σκιώδη νομοθεσία, ἐμπρὸς νὰ σοῦ δείξω ὅτι ὁ Υἱὸς ὀνομάζει τὴν ἴδια νομοθεσία λόγο δικό του. Γιατὶ δὲν ἦρθε νὰ καταργήσει μὲ κανένα τρόπο, καὶ πολὺ περισσότερο νὰ ἀνατρέψει ὅσα εἶπαν οἱ προφῆτες, ἀλλὰ νὰ συμπληρώσει καὶ τοὺς προφῆτες καὶ τὸν νόμο. Γιατὶ λέγει· «Σᾶς λέγω, ὅτι οὔτε ἕνα γιῶτα ἢ μιὰ μικρὴ στιγμὴ δὲν θὰ καταργηθεῖ ἀπὸ τὸν νόμο, μέχρι ποὺ γίνουν ὅλα»[48]. «Ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παύσουν νὰ ὑπάρχουν, ἐνῶ οἱ λόγοι μου δὲν θὰ καταργηθοῦν»[49]. Κατάλαβες τώρα ὅτι, ἀφοῦ εἶπε ὅτι ὅλα τὰ τοῦ νόμου θὰ τελειώσουν ὁπωσδήποτε, εἶπε ὅτι τὰ λόγια του θὰ εἶναι στὸ ἑξῆς νόμος; Ἀλλὰ μπορεῖ κανεὶς νὰ τὸν δεῖ καὶ ἀλλοῦ νὰ ἀνακράζει καθαρὰ μέσω κάποιου προφήτη· «Ἐγὼ ὁ ἴδιος ποὺ μιλῶ εἶμαι παρών»[50]. Ἐνανθρώπησα καὶ ἔλαβα τὴ μορφὴ τὴ δική σας, ἐγὼ ποὺ μιλοῦσα κάποτε, ἂν καὶ ὁ Θεὸς καὶ Πατέρας νομοθέτησε ἐκεῖνα ποὺ εἶπαν οἱ προφῆτες. Ὅτι ὅμως σ' αὐτὸν ποὺ ἔχει μιὰ γιὰ πάντα τὴ δόξα τοῦ νομοθέτη, ἀκολουθεῖ ὁπωσδήποτε κατὰ τρόπο φυσικὸ τὸ ὅτι πρέπει νὰ εἶναι καὶ κριτής, τιμωρώντας μὲ βαρειὲς τιμωρίες ἐκείνους ποὺ περιφρονοῦν αὐτὸ ποὺ ὁρίσθηκε διὰ νόμου καὶ ἀποκλίνουν σ' αὐτὸ ποὺ τοὺς φαίνεται καλό, δὲν ἀμφισβητεῖται καθόλου.

Β. Ὁπωσδήποτε.

Α. Ὅπως λοιπόν, ἐὰν λέγεται ὅτι ἕνας νομοθέτης ὑπάρχει καὶ ἕνας κριτής, ὁ Πατέρας[51], μὲ κανένα τρόπο δὲν ἀποκλείεται ἀπὸ τὴ δόξα καὶ τὴν ἀλήθεια καὶ τῶν δύο ὁ Υἱός, γιατὶ δὲν ὑπάρχει τίποτε ποὺ νὰ τὸν χωρίζει ἀπὸ τὴ φυσικὴ ταυτότητά του πρὸς τὸν Πατέρα, κατὰ τὸν ἴδιο τρόπο, νομίζω, ἔστω καὶ ἂν λέγεται ὅτι μόνος ὁ Θεὸς καὶ Πατέρας[52] ἔχει τὴν ἀθανασία, ὑπάρχει τὸ ἀξίωμα αὐτὸ καὶ στὸν Υἱὸ κατ' οὐσίαν, καὶ εἶναι ὁπωσδήποτε ἀθάνατος, δηλαδὴ ἡ ἴδια ἡ κατὰ φύση ἀθανασία, καὶ λάμποντας μὲ τὰ ἀξιώματα ἐκείνου ποὺ τὸν γέννησε, θὰ προσκυνηθεῖ καὶ ἀπὸ μᾶς τοὺς ἴδιους καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους. Ἐὰν ὅμως λένε ὅτι αὐτὰ δὲν εἶναι ἔτσι καὶ μᾶς ἐμπλέκουν μὲ ψευδεπίγραφες γραφές, ἂν καὶ πιστεύουμε τὸ σωστό, ἂς μᾶς ποῦν ἐκεῖνο.

*Β. Τὸ ποῖον αὖ;*

*Α. Πρῶτον μὲν εἰ τὸ ζωῆς καὶ ἀθανασίας ἠτιτώμενον, οἴκοθέν τε τοῦτο οὐκ ἔχον, θνητὸν ἔσται πάντως, καὶ εἰσκεκριμένον ἔχει τὸ ζῆν, ὡς παρ' ἑτέρου δοτόν;*

*Β. Θνητὸν γὰρ ἔσται δυνάμει, τὸ μὴ ἀθάνατον φύσει.*

*Α. Καὶ πρός γε δὴ τούτοις, ἀποκρινάσθων ἔτι, τίς ἂν νοοῖτο τυχὸν ἡ ζωῆς ἐνέργεια εἰς τὰ ζωῆς ἐπιδεᾶ;*

*Β. Ἡ ζωοποίησις δηλονότι, καθάπερ ἀμέλει καὶ τὸ φωτίζειν ἔργον ἂν εἴη φωτός.*

*Α. Εὖ λέγεις. Εἰ δὲ δή τις οἴοιτο ζωογονεῖσθαι μὲν πρὸς ἑτέρου τὴν ζωήν, καταφωτίζεσθαι δὲ καὶ τὸ φῶς, ἆρα ἄν σοι δόξειεν εἰκάζειν ὀρθῶς;*

*Β. Οὔ τί που· λογισμοῦ δὲ μᾶλλον ἀπολισθεῖν τοῦ σώφρονος. Ζωὴ γὰρ οὐκ ἔτι τὸ πρὸς ἑτέρου ζωοποιούμενον.*

*Α. Ὅταν οὖν ἡμῖν εἰς μέσον ἥκῃ διακεκραγὼς ὁ Μονογενής· «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή», ἀθανασίας ἐρήμην ὑποτοπητέον εἶναι τὴν εἰρημένην ζωήν, ἢ πῶς;*

*Β. Οὐκ ἐρήμην, πόθεν; Ζωὴν γάρ εἶναί φημι τὴν κατὰ φύσιν ἀθανασίαν.*

*Α. Μόνου δὴ οὖν τοῦ Θεοῦ καὶ Πατρὸς τὴν ἀθανασίαν ἔχοντος (ὧδε γάρ που τὸ θεῖον ἡμῖν ἔφη λόγιον), πῶς ἂν ἔχοι ταύτην καὶ ὁ Υἱός; Ἀλλ' οἶμαί που πάντως ὅτι τὸ τῆς ἑνότητος χρῆμα διαδείξειεν ἂν ἐπ' ἀμφοῖν, καὶ μάλα ῥᾳδίως, οὐσιώδη τὴν ζωὴν καὶ ἔμφυτον τὴν ἀθανασίαν, οὐκ εἰσποίητον ἀγαθόν. Εἰ δὲ δὴ δεῖν οἴοιντο παραφρονοῦντες λέγειν, ὡς ὀθνεῖός τε εἴη τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς καὶ ἑτέραν τινὰ καὶ ἰδίαν ἀπετέμετο φύσιν καὶ τὸ ἀληθῶς εἶναι Θεὸς οὐκ ἔχει, καίτοι κατὰ φύσιν ἀθάνατος ὤν, μᾶλλον δὲ αὐτόχρημα ζωή, ἆρ' οὐχὶ τὰ μόνῃ τῇ θείᾳ καὶ ἀρρήτῳ προσόντα φύσει, καὶ τὰ δι' ὧν εἰκότως τεθαύμασται πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων περιθεῖεν ἄν, καὶ ἐνυπάρχειν ἐροῦσι καὶ τῷ τελοῦντι λοιπὸν ἐν κτίσμασι, κατά γε τὸ αὐτοῖς φληνάφως δοκοῦν;*

*Β. Τίνα τρόπον;*

*Α. Πρέπειν, οἶμαί που, τῷ γε ὄντως φύσει τε καὶ ἀληθείᾳ Θεῷ*

---

53. Ἰω. 11, 25.

Β. Ποιὸ πάλι;

Α. Πρῶτα-πρῶτα, ἐὰν αὐτὸ ποὺ δὲν ἔχει ζωὴ καὶ ἀθανασία, δὲν τὰ ἔχει ἀπὸ τὴ φύση του, τότε ὁπωσδήποτε εἶναι θνητό, καὶ ἔχει τὴ ζωὴ ἀπ᾽ ἔξω, δοτὴ ἀπὸ ἄλλον;

Β. Ναί, γιατὶ αὐτὸ ποὺ δὲν εἶναι ἀθάνατο, εἶναι δυνάμει θνητό.

Α. Καὶ μαζὶ μ᾽ αὐτὰ ἂς μᾶς ποῦν ἀκόμα, ποιὰ εἶναι ἡ ἐνέργεια τῆς ζωῆς σ᾽ αὐτὰ ποὺ ἔχουν ἀνάγκη ζωῆς;

Β. Ἡ ζωοποίηση· φυσικά, ὅπως ἀσφαλῶς ἔργο τοῦ φωτὸς εἶναι νὰ φωτίζει.

Α. Σωστὰ τὰ λές. Ἐὰν λοιπὸν κάποιος πιστεύει ὅτι ἡ ζωὴ ζωογονεῖται ἀπὸ ἄλλον, καὶ τὸ φῶς φωτίζεται ἀπὸ ἄλλον, νομίζεις ὅτι πιστεύει σωστά;

Β. Ὄχι βέβαια, ἀλλ᾽ ὅτι ἔχει ξεφύγει ἀπὸ τὸ ὀρθὸ φρόνημα. Γιατὶ ἡ ζωὴ δὲν ζωοποιεῖται ἀπὸ ἄλλον.

Α. Ὅταν λοιπὸν παρουσιάζεται ὁ Μονογενὴς καὶ μᾶς φωνάζει, «Ἐγὼ εἶμαι ἡ ἀνάσταση καὶ ἡ ζωή»[53], πρέπει νὰ ὑποθέτουμε ὅτι ἡ ζωὴ στερεῖται ἀθανασίας ἢ πῶς ἀλλιῶς;

Β. Δὲν στερεῖται· πῶς δηλαδή; Γιατὶ ζωὴ εἶναι ἡ κατὰ φύση ἀθανασία.

Α. Ἀφοῦ ὅμως, λέγω, μόνο ὁ Θεὸς καὶ Πατέρας ἔχει τὴν ἀθανασία (ἔτσι ἄλλωστε μᾶς εἶπε ἡ ἁγία Γραφή), πῶς εἶναι δυνατὸν νὰ τὴν ἔχει καὶ ὁ Υἱός; Ὅμως πιστεύω ἀπόλυτα, ὅτι τὸ γεγονὸς τῆς ἑνότητας τοὺς ἀποδεικνύει καὶ στοὺς δύο, καὶ πολὺ εὔκολα μάλιστα, ὅτι ἡ ζωὴ εἶναι οὐσιώδης καὶ ἡ ἀθανασία ἔμφυτη, καὶ δὲν εἶναι ἀγαθὸ εἰσαγόμενο ἀπ᾽ ἔξω. Ἐὰν ὅμως οἱ ἀντίθετοι παραφρονώντας νομίζουν ὅτι πρέπει νὰ λένε ὅτι ὁ Υἱὸς εἶναι ξένος πρὸς τὸν Θεὸ καὶ Πατέρα, καὶ ὅτι ἔχει κάποια ἄλλη καὶ ἀποκομμένη φύση, καὶ δὲν εἶναι ἀληθινὸς Θεός, ἂν καὶ βέβαια εἶναι κατὰ φύση ἀθάνατος, ἢ μᾶλλον ἡ ἴδια ἡ ζωή, ἄρα δὲν τοῦ ἀποδίδουν τὰ προσόντα ποὺ ἔχει μόνο ἡ θεία καὶ ἀπερίγραπτη φύση, καὶ γιὰ τὰ ὁποῖα δικαιολογημένα θαυμάζεται καὶ ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους, καὶ δὲν θὰ ποῦν ὅτι τὰ ἴδια προσόντα ὑπάρχουν καὶ σ᾽ αὐτὸν ποὺ κατατάσσεται ἀνάμεσα στὰ κτίσματα, σύμφωνα μὲ τὴ δική τους φλύαρη πίστη;

Β. Μὲ ποιὸ τρόπο;

Α. Νομίζω πὼς καὶ αὐτοὶ θὰ ἔλεγαν, ὅτι ἡ ἐξουσία νὰ ζωογονεῖ

*καὶ αὐτοὶ φαῖεν ἂν οἶδ' ὅτι τὸ ζωογονεῖν δύνασθαι καὶ εἶναι ζωή. Εἴπερ οὖν τοῦτό ἐστιν οὐσιωδῶς ὁ πατήρ, ἐξώλισθε δέ, κατ' ἐκείνους, τῆς πρὸς αὐτὸν φυσικῆς ταὐτότητος ὁ Υἱός, καὶ σμικροπρεπείας εἰς τοῦτο τελῶν, καὶ ζωὴν ἑαυτὸν εἶναί φησι καὶ τῆς τοῦ Πατρὸς οὐσίας τὸ ἐξαίρετον τῇ ἰδίᾳ καταγράφει φύσει, πῶς οὐκ ἀληθὲς ὅπερ ἔφην; Ἐκκεκόμισται γὰρ ἤδη τὸ τῆς ἀρρήτου φύσεως ἴδιον καὶ εἰς τὸ μὴ ὂν ἐξ αὐτῆς, κεκλημένον δὲ ὥσπερ ὁμοῦ τοῖς ἄλλοις εἰς γένεσιν. Νοηθεῖεν γὰρ ἂν ἕν γε τοῖς εἶναι πεπιστευμένοις, Θεὸς μὲν πρὸ πάντων, καὶ μετὰ τοῦτο κτίσις. Ἕτερον δὲ μεταξὺ τὸ σύμπαν οὐδέν. Ἢ οὐκ ἀληθὲς ὅπερ ἔφην;*

*Β. Ἀληθές.*

*Α. Εἴπερ οὖν ἐστιν ἑτεροούσιος ὁ Υἱὸς καὶ οὐκ ἐν οἷς εἶναί φασι τὸν Πατέρα, πῶς ἂν νοοῖτο μία τε καὶ ἀπαράλλακτος ἐνέργεια φυσικὴ τῶν τῇδε διεστηκότων, κατά γε τὸν τοῦ πῶς εἶναι λόγον; «Ὥσπερ», γάρ, φησίν, «ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ».*

*Β. Ἀλλὰ ναί, φασί. Ζωὴ μὲν ἔστιν ὁ Υἱός, ἔφη δ' οὖν ὅμως· «Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατήρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα». Ζωὴ τοιγαροῦν ἐστι διὰ τὸν Πατέρα.*

*Α. Ἆρ' οὖν, ὦ γενναῖοι, καὶ αὐτὸν ζωοποιεῖσθαι τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς ὁμοῦ τοῖς ἄλλοις ὑποληψόμεθα, καὶ τοῖς ἔξωθέν τε καὶ εἰσκεκριμένην ἔχουσι τὴν ζωὴν ἐπαριθμητέον τὴν ζωήν; Συντετάχθω δὴ οὖν καὶ τοῖς ἀποθνήσκουσιν ὁ Υἱός· ἀπόβλητον γὰρ τὸ εἰσκεκριμένον καὶ ὧνπερ ἄν τις ἕλοιτο τὴν κτῆσιν ἀπεμπολήσειεν ἂν αὐτὴν κατά γε τὸ ἐγχωροῦν, ὅτε μὴ φυσικοῖς εἰς τὸ ἀραρότως ἔχειν διακρατοῖτο νόμοις.*

*Β. Πῶς οὖν οἴοιτ' ἄν τις αὐτὸν διὰ τὸν Πατέρα ζῆν, εἴπερ ἐστὶ καὶ αὐτὸς κατὰ φύσιν ζωή;*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστι τῆς ἐκ Θεοῦ καὶ Πατρὸς εὐγενείας ἀπόδειξις καὶ τῆς κατὰ φύσιν ταὐτότητος μήνυσις ἀκριβής.*

*Β. Πῶς λέγεις;*

---

54. Ἰω. 5,21 καὶ 6,58.

καὶ νὰ εἶναι ζωὴ ταιριάζει στὸν ὄντως κατὰ φύση καὶ ἀληθινὸ Θεό. Ἐφόσον λοιπὸν ὁ Πατέρας εἶναι κατ' οὐσία αὐτό, ἐνῶ, σύμφωνα μ' ἐκείνους, ὁ Υἱὸς ξέφυγε ἀπὸ τὴ φυσικὴ ταυτότητα πρὸς τὸν Πατέρα, βρίσκεται σὲ κατώτερη θέση ὡς πρὸς αὐτό, καὶ λέγει ὅτι εἶναι ἡ ζωὴ καὶ ἀποδίδει στὴ δική του φύση τὸ ἐξαίρετο ἰδίωμα τῆς οὐσίας τοῦ Πατέρα, πῶς δὲν εἶναι ἀλήθεια αὐτὸ ποὺ εἶπα; Γιατὶ μεταφέρθηκε ἤδη τὸ γνώρισμα τῆς ἀπερίγραπτης φύσεως καὶ σ' αὐτὸ ποὺ δὲν προέρχεται ἀπὸ αὐτὴν (δηλαδὴ στὸν Υἱό), καὶ ποὺ ἦρθε στὴν ὕπαρξη μαζὶ μὲ τὰ ἄλλα κτίσματα. Γιατὶ νοοῦνται μεταξὺ αὐτῶν ποὺ πιστεύονται ὅτι ὑπάρχουν, πρὶν ἀπὸ ὅλα ὁ Θεός, καὶ μετὰ ἀπὸ αὐτὸν ἡ κτίση. Μεταξὺ αὐτῶν ὅμως δὲν ὑπάρχει ἀπολύτως τίποτε. Ἢ μήπως δὲν εἶναι ἀλήθεια αὐτὸ ποὺ εἶπα;

Β. Εἶναι ἀλήθεια.

Α. Ἐὰν λοιπὸν ὁ Υἱὸς εἶναι ἑτερούσιος καὶ ὄχι αὐτὸ ποὺ εἶναι ὁ Πατέρας, πῶς μπορεῖ νὰ νοεῖται μία καὶ ἀπαράλλακτη ἡ φυσικὴ ἐνέργεια αὐτῶν ποὺ διαφέρουν, ὡς πρὸς τὸν τρόπο ποὺ ὑπάρχουν; Γιατὶ λέγει, «Ὅπως ὁ Πατέρας ζωοποιεῖ αὐτοὺς ποὺ θέλει, ἔτσι καὶ ὁ Υἱὸς ἐπίσης ζωοποιεῖ αὐτοὺς ποὺ θέλει».

Β. Ναί, λένε· Ὁ Υἱὸς βέβαια εἶναι ζωή, ἀλλ' ὅμως εἶπε· «Ὅπως μὲ ἔστειλε ὁ ζωντανὸς Πατέρας, καὶ ἐγὼ ζῶ ἐξαιτίας τοῦ Πατέρα»[54]· συνεπῶς εἶναι ζωὴ ἐξαιτίας τοῦ Πατέρα του.

Α. Ἄρα λοιπόν, γενναῖοι, πρέπει νὰ δεχθοῦμε ὅτι καὶ ὁ ἴδιος ὁ Υἱὸς ζωοποιήθηκε ἀπὸ τὸν Θεὸ καὶ Πατέρα μαζὶ μὲ τὰ ἄλλα κτίσματα καὶ νὰ συναριθμήσουμε τὴ ζωὴ μαζὶ μὲ ἐκεῖνα ποὺ ἔχουν τὴ ζωὴ ἀπ' ἔξω καὶ εἰσαγόμενη; Τότε λοιπὸν πρέπει ὁ Υἱὸς νὰ κατατάσσεται καὶ μεταξὺ αὐτῶν ποὺ πεθαίνουν· γιατὶ αὐτὸ ποὺ ἔρχεται ἀπ' ἔξω εἶναι ἀπόβλητο, καὶ αὐτὰ ποὺ θέλει κανεὶς νὰ ἀποκτήσει, μπορεῖ νὰ τὰ χάσει ὅσο ἐξαρτᾶται ἀπὸ αὐτόν, ἐὰν δὲν δεσμεύεται ἀπὸ φυσικοὺς νόμους νὰ τὰ κρατήσει σταθερά.

Β. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ σκεφθεῖ κανείς, ὅτι ὁ Υἱὸς εἶναι ζωὴ ἐξαιτίας τοῦ Πατέρα, ἀφοῦ καὶ ὁ ἴδιος εἶναι κατὰ φύση ζωή;

Α. Καὶ ἀσφαλῶς αὐτὸ ἀκριβῶς εἶναι ἀπόδειξη τῆς εὐγενικῆς καταγωγῆς του ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, καὶ σαφὴς δήλωση τῆς φυσικῆς του ταυτότητας.

Β. Πῶς τὸ ἐννοεῖς;

*Α. Ἔφη γάρ οὔ τί που σαφῶς ζωογονεῖσθαι παρά τοῦ Πατρός, πλὴν ὅτι «Ζῶ διὰ τὸν Πατέρα».*

*Β. Τί οὖν τοῦτό γε;*

*Α. Ὅτι τῷ μὲν τὴν ἰδίαν ἔχοντι φύσιν ἀθανασίας ἐρήμην καὶ ζωῆς, εἰσποίητον δὲ παρ' ἑτέρου τὸ χρῆμα κερδαίνοντι, ἁρμόσαι ἂν οἶμαι καὶ μάλα ὀρθῶς εἰπεῖν· «Ζωήν μοι δέδωκεν ὁ Πατήρ». Τοῦ γε μὴν εἰδότος ὅτι ζωὴ πέφηνεν ἐκ ζωῆς καὶ καρπὸν οὐσίας ἔχει τὴν ἀθανασίαν, τὸ φάναι θεοπρεπῶς· «Ζῶ διὰ τὸν Πατέρα». Ἆρα γάρ, εἰ τοῦ ἀνθρώπου γέννημα τυχόν, λογικὸν ἐκ λογικοῦ πεφηνὸς τοῦ ἰδίου πατρός, Λογικόν εἰμι, λέγοι, διὰ τὸν πατέρα, ἢ γοῦν καθ' ἕτερον τρόπον ἡ πυρὸς εἰς τὸ ἔξω διεκφοιτῶσα θερμότης, εἰ φωνὴν ἱεῖσα λέγοι· Θερμὴν ἔχω τὴν προσβολὴν διὰ τὸ ἐξ οὗ πέφηνα πῦρ, οὐκ ἄν τῳ δόξειαν, εἴ γε νοῦν ἔχοι, φύσεων ἰδιότητα τὴν ἐξ ὧν εἰσὶ λαχόντα μᾶλλον ἐφ' ἑαυτοῖς, ἢ γοῦν εἰσπεπορισμένην καὶ ἐν τάξει τῶν δεδωρημένων τὴν τοῦ εἶναι τοιῶσδε δόξαν ἑλεῖν;*

*Β. Ἔοικεν.*

*Α. Ζῇ τοιγαροῦν ὁ Υἱὸς διὰ τὸν Πατέρα. Ζωὴ γὰρ ἐκ ζωῆς πέφηνε τοῦ Πατρός, ἀληθινὸς ὢν Θεὸς καθάπερ ἀμέλει καὶ ὁ τεκών. Συλλήπτορα δὲ τοῖς ἐμαυτοῦ ποιήσομαι λόγοις καὶ τὸν σοφώτατον Ἰωάννην, ὡδὶ γεγραφότα περὶ αὐτοῦ· «Καὶ οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν ἀγαθήν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ Ἰησοῦ Χριστῷ, τῷ Υἱῷ αὐτοῦ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ ἡ αἰώνιος». Ἆρα δή σοί τι τοῦδε ἂν γένοιτο φανερώτερον ἔτι, ἤγουν εἰς ἐλέγχους εὐσθενέστερον, τοῦ μὴ ἑτεροίως ἔχειν οἴεσθαι τὸν Υἱόν, ἢ ὥσπερ ἂν ἔχοι κατὰ φύσιν ὁ Πατήρ;*

*Β. Οὐδέν, ὡς ἐγῷμαι, τῆς τοῦ Θεολόγου φωνῆς ἄμαχόν τινα τοῖς δι' ἐναντίας ἐξανιστάσης τὴν μαρτυρίαν. Πλὴν εἰ λέγοιτο Θεὸς ἀληθινὸς ὁ Υἱός, διαγελῶσιν εὐθὺς καί φασιν οὐκ εἶναι Θεὸν μὲν ὄντως ἀληθινόν, κεχαρίσθαι δὲ αὐτῷ τοὔνομα κατὰ θέλησιν τοῦ Πατρός. Ἔφη γάρ που, φασίν, ὁ θεσπέσιος Παῦλος, ὅτι «Ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα».*

---

55. Α'. Ἰω. 5, 20. 56. Φιλιπ. 2, 9.

Α. Δὲν εἶπε δηλαδὴ μὲ σαφήνεια, ὅτι ζωοποιήθηκε ἀπὸ τὸν Πατέρα, ἀλλὰ ὅτι ζεῖ ἐξαιτίας τοῦ Πατέρα του.

Β. Τί σημαίνει λοιπὸν αὐτό;

Α. Ὅτι σ' ἐκεῖνον τοῦ ὁποίου ἡ φύση δὲν ἔχει ζωὴ καὶ ἀθανασία, ἀλλ' ἔχει λάβει τὴ ζωὴ ἀπὸ ἄλλον, νομίζω πὼς θὰ ταίριαζε, καὶ πολὺ σωστά, νὰ πεῖ· «Ὁ Πατέρας μοῦ ἔδωσε τὴ ζωή». Ἐνῶ σ' αὐτὸν ποὺ γνώριζε ὅτι εἶναι ζωὴ ποὺ προῆλθε ἀπὸ τὴ ζωή, καὶ ἔχει ὡς καρπὸ τῆς ζωῆς τὴν ἀθανασία, ταίριαζε νὰ πεῖ μὲ τρόπο ποὺ ἁρμόζει σὲ Θεό· «Ζῶ ἐξαιτίας τοῦ Πατέρα». Ἄραγε, ἐὰν κάποιο λογικὸ γέννημα τοῦ ἀνθρώπου, ποὺ βγῆκε ἀπὸ τὸν λογικὸ πατέρα του, πεῖ, Εἶμαι λογικὸ ἐξαιτίας τοῦ πατέρα μου, ἤ, μὲ ἄλλον τρόπο, ἡ θερμότητα ποὺ ἐκπέμπεται ἀπὸ τὴ φωτιά, ἂν ἔβγαζε φωνὴ καὶ ἔλεγε, Θερμαίνω ἐξαιτίας τῆς φωτιᾶς ἀπὸ τὴν ὁποία ἐκπέμφθηκα, δὲν θὰ νόμιζε ὁ καθένας ποὺ ἔχει νοῦ, ὅτι ἐννοοῦν μᾶλλον ἰδιότητα τῆς φύσεώς τους ἀπὸ τὴν ὁποία εἶναι αὐτὸ ποὺ εἶναι, καὶ ὄχι ἰδιότητα ποὺ τὴν εἰσήγαγαν ἀπ' ἔξω καὶ κάτι ποὺ μὲ τὴ μορφὴ δώρου ἔλαβαν καὶ εἶναι αὐτὸ ποὺ εἶναι;

Β. Καὶ βέβαια θὰ νόμιζε.

Α. Ζεῖ ἑπομένως ὁ Υἱὸς ἐξαιτίας τοῦ Πατέρα· γιατὶ εἶναι ζωὴ ποὺ προῆλθε ἀπὸ τὴ ζωὴ τοῦ Πατέρα, ὄντας ἀληθινὸς Θεός, ὅπως ἀκριβῶς καὶ αὐτὸς ποὺ τὸν γέννησε. Ὑπερασπιστὴ σ' αὐτά μου τὰ λόγια ἔχω καὶ τὸν σοφώτατο Ἰωάννη, ὁ ὁποῖος γράφει γι' αὐτὸν τὰ ἑξῆς· «Καὶ γνωρίζουμε ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἔχει ἔρθει, καὶ μᾶς ἔδωσε νοῦ καθαρό, γιὰ νὰ γνωρίζουμε τὸν ἀληθινὸ Θεό, καὶ νὰ εἴμαστε μέσα στὸν ἀληθινὸ Ἰησοῦ Χριστό, τὸν Υἱό του. Αὐτὸς εἶναι ὁ ἀληθινὸς Θεὸς καὶ ἡ αἰώνια ζωή»[55]. Σοῦ ἔγινε ἄραγε τώρα αὐτὸ πιὸ φανερό, δηλαδὴ πιὸ σταθερὸ σὲ ἐλέγχους, ἀπὸ τὸ νὰ νομίζεις ὅτι ὁ Υἱὸς εἶναι διαφορετικὸς ἀπὸ ὅ,τι εἶναι κατὰ φύση ὁ Πατέρας;

Β. Τίποτε, ὅπως ἐγὼ πιστεύω, δὲν μπορεῖ νὰ ἀνατρέψει τὰ λόγια τοῦ θεολόγου, γιατὶ προβάλλουν ἀκαταμάχητη μαρτυρία στοὺς ἀντίθετους. Ὅμως, ὅταν ὁ Υἱὸς ὀνομάζεται Θεὸς ἀληθινός, ἀμέσως μειδιοῦν, καὶ λένε ὅτι δὲν εἶναι πραγματικὰ Θεὸς ἀληθινός, ἀλλὰ τὸ ὄνομα αὐτὸ τοῦ χαρίσθηκε μὲ τὴ θέληση τοῦ Πατέρα. Γιατὶ λένε ὅτι ὁ θεσπέσιος Παῦλος εἶπε κάπου· «Ὁ Θεὸς τὸν ὑπερύψωσε καὶ τοῦ χάρισε ὄνομα ποὺ εἶναι ἀνώτερο ἀπὸ κάθε ὄνομα»[56].

*Α. Κεχαρίσθαι μὲν αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα φαίην ἄν, ἴσθι τοι, καὶ αὐτὸς ἐγώ. Τὸ γάρτοι φληνάφως ἀντιφέρεσθαι δοκεῖν ταῖς τῶν θεολόγων φωναῖς οἰηθείην ἂν οὔ τί που φρενὸς ἀγαθῆς, λογισμοῦ δὲ μᾶλλον παραπαίοντος ἤδη πως καὶ ἐξεστηκότος ἀδρανὲς ἐγχείρημα. Καταπέπληγμαί γε μὴν τὸ εἰς ἀπάτην εὐμήχανον τῶν δι᾽ ἐναντίας, οἵ γε τὴν μὲν τοῦ κεχαρίσθαι πρόφασιν οὐδ᾽ ὅσον εἰς νοῦν ποιεῖσθαι σπουδάζουσι, λεξιθηροῦσι δὲ οὕτω καὶ τριποθήτως ἁρπάζουσι πᾶν ὅπερ ἂν φαίνοιτο τῇ τοῦ Υἱοῦ τιμῇ τε καὶ δόξῃ καθεστηκὸς ἐναντίον, ὡς οὐδὲν ἡγεῖσθαι τὸ ἄμεινον, καίτοι τὸν τοῦ δεδωρῆσθαι καιρὸν οὐχ ἕτερον ἡμῖν τῆς θεοπνεύστου διοριζούσης Γραφῆς ἢ ἐκεῖνον αὐτὸν καθ᾽ ὅν «Ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων ὁ Μονογενής, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ», καθὰ γέγραπται «ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, τεταπείνωκεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Τότε γὰρ δὴ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός».*

*Β. Τί οὖν τοῦτό γε;*

*Α. Οἶμος ἂν εἴη ψιλή τε καὶ ὁμαλὴ τοῖς ὀρθῶς ἐθέλουσι νοεῖν, ἀναφέρουσα πρὸς τὸ ἀληθές. Σύνες οὖν, ὦ τᾶν, τὸ ὡς ἐν χάριτος τάξει λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τουτέστιν ἡ λαλουμένη κένωσις καὶ ἡ πρὸς ἡμᾶς οἰκονομικὴ τοῦ Λόγου ταπείνωσις. Εἰ δὲ ἐν τοῖς τῆς κενώσεως μέτροις εὑρίσκεται τὸ λαβεῖν, ἐξεστηκότα που πάντως τοῦ χρῆναι λαβεῖν τὰ πρὸ τῆς κενώσεως ὁρᾶται λοιπόν, διά γέ τοι τὸ κεκτῆσθαι φυσικῶς ὅπερ ἦν, τουτέστι τὸ ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρός. Καὶ εἰ τεταπείνωκεν ἑαυτόν, ἐξ ἀνῳκισμένου τινὸς καὶ ὑπερανέχοντος πράγματος ἐπὶ τὸ μεῖον ἐλθών, ὑπονοστήσει που πάντως εἰς ὅπερ ἦν ὑψούμενος, οὐκ εἰς ἀλλοτρί-*

57. Φιλ. 2, 6-11.

Α. Ὅτι βέβαια τοῦ χάρισε ὄνομα ἀνώτερο ἀπὸ κάθε ὄνομα, γνώριζε ὅτι τὸ δέχομαι καὶ ἐγώ. Γιατὶ τὸ νὰ νομίζει κάποιος φλυαρώντας, ὅτι διαφωνεῖ πρὸς τὰ λόγια τῶν θεολόγων, πιστεύω πὼς δὲν εἶναι γνώρισμα ὑγιοῦς νοῦ, ἀλλὰ μᾶλλον μυαλοῦ ποὺ παραπαίει κατὰ κάποιο τρόπο, καὶ ἄσκοπη προσπάθεια ἀνθρώπου ποὺ ἔχει παραφρονήσει. Μένω ὅμως κατάπληκτος ἀπὸ τὴν ἐπινοητικότητα τῶν ἀντιθέτων πρὸς ἀπάτη, οἱ ὁποῖοι τὴν αἰτία γιὰ τὴν ὁποία τοῦ δόθηκε τὸ ὄνομα οὔτε κἂν προσπαθοῦν νὰ τὴ σκεφθοῦν, ἀλλὰ ἀναζητοῦν λέξεις μὲ τέτοιο τρόπο καὶ ἁρπάζουν μὲ μεγάλο πόθο κάθε τι ποὺ φαίνεται νὰ εἶναι ἀντίθετο πρὸς τὴν τιμὴ καί δόξα τοῦ Υἱοῦ, ὥστε νὰ νομίζουν ὅτι δὲν ὑπάρχει τίποτε ἀνώτερο, μολονότι ὁ χρόνος τῆς δωρεᾶς τοῦ ὀνόματος γιὰ μᾶς, ὅπως μᾶς λέγει ἡ θεόπνευστη Γραφή, δὲν εἶναι ἄλλος ἀπὸ ἐκεῖνον, κατά τὸν ὁποῖο, «ἂν καὶ ὁ Μονογενὴς εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε κάτι σάν ἁρπαγὴ τὸ νὰ εἶναι ἴσος πρὸς τὸν Θεό», ὅπως ἔχει γραφεῖ, «ἀλλὰ ταπείνωσε τὸν ἑαυτό του, παίρνοντας μορφὴ δούλου καὶ γινόμενος ὅμοιος μὲ τοὺς ἀνθρώπους, καὶ ἀφοῦ βρέθηκε ὡς πρὸς τὸ σχῆμα ἄνθρωπος, ταπείνωσε τὸν ἑαυτό του καὶ ἔγινε ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ. Τότε ἀκριβῶς καί ὁ Θεὸς τὸν ὑπερύψωσε καὶ τοῦ χάρισε ὄνομα, τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε στὸ ὄνομα τοῦ Ἰησοῦ νὰ κάμψει κάθε γόνατο ἐπουρανίων, ἐπιγείων καὶ καταχθονίων, καὶ κάθε γλώσσα νὰ ὁμολογήσει ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι Κύριος πρὸς δόξα τοῦ Θεοῦ Πατέρα»[57].

Β. Καὶ τί σημαίνει αὐτό;

Α. Θὰ μποροῦσε νὰ εἶναι δρόμος ἄσφαλτος καὶ ὁμαλὸς γ' αὐτοὺς ποὺ θέλουν νὰ κατανοοῦν σωστά, ὁδηγώντας τους στὴν ἀλήθεια. Κατάλαβε λοιπόν, φίλε μου, τὸ ὅτι ἔλαβε μὲ τὴ μορφὴ χαρίσματος τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, εἶναι αὐτὸ ποὺ λέγεται "κένωση", καὶ ἡ ταπείνωση τοῦ Λόγου ποὺ ἔγινε κατ' οἰκονομία πρὸς ἐμᾶς. Καὶ ἐφόσον ἔλαβε τὸ ὄνομα μέσα στὰ πλαίσια τῆς ταπεινώσεως, παρουσιάζεται νὰ ἔχει κατά κάποιο τρόπο μετακινηθεῖ, γιὰ νὰ χρειάζεται νὰ λάβει αὐτὸ ποὺ εἶχε πρὶν ἀπὸ τὴν κένωση, γιατὶ εἶχε κατὰ φύση αὐτὸ ποὺ ἦταν, δηλαδὴ τὸ νὰ ἔχει τὴ μορφὴ τοῦ Θεοῦ καὶ Πατέρα. Καὶ ἐφόσον ταπείνωσε τὸν ἑαυτό του, κατεβαίνοντας ἀπὸ κάτι ἀνώτερο ποὺ ὑπερεῖχε, σὲ κάτι κατώτερο, ἀνυψούμενος ἐπανῆλθε ὁπωσ-

*αν ἀναθρώσκων τιμήν τε καὶ δόξαν, ἀλλ' ὡς εἰς ἰδίαν τὴν ἐν ἀρχαῖς. Εἰ δὲ δὴ ποιοῖντο περὶ πολλοῦ τὸ ἰσχυρίζεσθαι δεῖν ὡς εἰς ἀσυνήθη τιμήν τε καὶ δόξαν ἀναπεφοίτηκεν ὁ Υἱός, τὸ ὑπὲρ πᾶν ὄνομα λαβὼν ὡς δοτὸν παρὰ τοῦ Πατρός, οὐδὲν ἔτι τὸ ἀντιστοιχοῦν, κατά γε τὸν ἐν εἰκότι λόγον, ἀντίστροφον ἤδη πειρᾶσθαι νοεῖν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, καὶ μετατετράφθαι τὸ χρῆμα πρὸς πᾶν τοὐναντίον. Ἐρῶ δὲ καὶ ὅπως. Εἰ γάρ μή ἐστι κένωσις τῷ Υἱῷ τὸ λαβεῖν, εὕρημα δὲ μᾶλλον αὐτῷ τῶν οὐδαμῶς προσπεφυκότων οὐσιωδῶς κενωθέντι συμβέβηκε, κένωσις μὲν εἴη ἂν κατά γε τὸ ἀληθέστερον ὁ πρὸ τῆς κενώσεως καιρός, ὑπεροχῆς δὲ καὶ δόξης ὁ καθ' ὃν οὐκ οἶδ' ὅπως κεκενῶσθαι λέγεται, καίτοι κατακτώμενος τὰ ὑπὲρ φύσιν τε καὶ μέτρον τὸ ἐνὸν αὐτῷ, καὶ τοῖς ἀσυγκρίτως ὑπερκειμένοις ἢ πρότερον ἦν, ἀδοκήτως ἐπιπηδῶν. Ἄραρεν οὖν ὅτι κατά γε τὸ ὀρθῶς ἔχειν καὶ αὐτῷ σοι δοκοῦν, πρέποι ἂν δὴ τότε δεδόσθαι νομίζειν τὸ ὄνομα τῷ Υἱῷ τὸ ὑπὲρ πᾶν ὄνομα, ὅτε καὶ σχῆμα τὸ καθ' ἡμᾶς ὑποδύς, ὡς εἷς ἐξ ἡμῶν εἰς υἱὸν ἐγράφετο Θεοῦ, θετὸς μεθ' ἡμῶν καὶ δι' ἡμᾶς, ὁ γνήσιος, ἵνα καὶ ἡμεῖς δι' αὐτόν, υἱοὶ τῆς ὑπὲρ φύσιν εὐκλείας ἐπιδραττόμενοι καὶ τῆς θείας αὐτοῦ φύσεως διαδεικνύμενοι κοινωνοί. Ἦ οὐκ οἴει κατευθὺ τοῦ πρέποντος διαστείχειν ἡμῖν τὸν ἐπὶ τῷδε λόγον;*

*Β. Εἶσι γὰρ οὖν.*

*Α. Καίτοι τῆς ἐκείνων δυσβουλίας τὰ ἀμείνω φρονεῖν εὖ μάλα διεσκεμμένοι, ἀλώβητον μὲν τὴν τοῦ Μονογενοῦς τηρήσομεν δόξαν, λογισμοὺς δὲ καθαιρήσομεν, καὶ «πᾶν ὕψωμα ἐπαιρόμενον», καθὰ γέγραπται, καὶ «πᾶν αἰχμαλωτιοῦμεν νόημα εἰς τὴν ὑπακοὴν αὐτοῦ». Εἰ δὲ δὴ τοῦτο δρᾶν οὐκ ἀνεξόμεθα, παραχωρήσομεν δὲ τὸ χρῆναι νικᾶν ταῖς ἐκείνων συκοφαντίαις, καὶ τοῦ εἶναι Θεὸν ἀληθῶς ἐκπέμψομεν τὸν Μονογενῆ, ἐροῦμέν τε οὕτω παρ' ἡμᾶς οὐδὲν διακεκτῆσθαι τὸ πλεῖον.*

*Β. Φράσαις ἂν ὅπως, ἢ κατοκνήσεις εἰπεῖν;*

*Α. Καὶ μὴν ἔγωγε προθύμως ἐρῶ, κατοκνήσαιμι γὰρ ἂν ἔν γε*

---

58. Β' Κορ. 10,5.

δήποτε σ' αὐτὸ ποὺ ἦταν καὶ δὲν ἀνέβηκε σὲ τιμὴ καὶ δόξα ἄλλου, ἀλλὰ σὰν νὰ ἦταν δική του ἀπὸ τὴν ἀρχή. Ἐὰν λοιπὸν θεωροῦν σπουδαῖο τὸ νὰ πρέπει νὰ ἰσχυρίζονται ὅτι ὁ Υἱὸς ἐπανῆλθε σὲ ἀσυνήθιστη τιμὴ καὶ δόξα, παίρνοντας τὸ ἀνώτερο ὄνομα ὡς δῶρο ἀπὸ τὸν Πατέρα, τότε δὲν ὑπάρχει τίποτε ποὺ μᾶς ἐμποδίζει, ὅπως εἶναι λογικό, νὰ ἐπιχειρήσουμε νὰ κατανοήσουμε ἀντίστροφα τὸ μυστήριο τῆς ἐνανθρωπήσεως, καὶ νὰ μεταστρέψουμε τὴν σάρκωση στὸ ἐντελῶς ἀντίθετο. Καὶ θὰ πῶ μὲ ποιὸν τρόπο. Ἐὰν δηλαδὴ τὸ ὅτι ὁ Υἱὸς ἔλαβε τὸ ὄνομα δὲν εἶναι ταπείνωση γι' αὐτόν, ἀλλὰ μᾶλλον ἀπόκτημα πράγματος ἀπὸ αὐτὰ ποὺ δὲν ὑπῆρχαν στὴ φύση του, τότε συνέβη οὐσιώδης ταπείνωση, ἢ μᾶλλον στὴν πραγματικότητα ταπείνωση ἦταν ὁ χρόνος πρὶν ἀπὸ τὴν ταπείνωση, ἐνῶ ὁ χρόνος κατὰ τὸν ὁποῖο, δὲν ξέρω πῶς, λέγεται ὅτι ταπεινώθηκε, ἦταν χρόνος ὑπεροχῆς καὶ δόξας, ἀφοῦ ἀποκτοῦσε αὐτὰ ποὺ εἶναι πάνω ἀπὸ τὴ φύση του καὶ τὰ μέτρα του, καὶ μεταπηδοῦσε ἀπροσδόκητα σ' αὐτὰ ποὺ εἶναι ἀσυγκρίτως ἀνώτερα ἀπὸ αὐτὸ ποὺ ἦταν προηγουμένως. Ἄρα λοιπόν, ὅπως καὶ σὺ νομίζεις ὀρθό, πρέπει νὰ πιστεύουμε ὅτι τὸ ὄνομα, τὸ ἀνώτερο ἀπὸ ὅλα τὰ ὀνόματα, δόθηκε στὸν Υἱὸ τότε πού, φορώντας τὴ δική μας μορφή, σὰν ἕνας ἀπὸ μᾶς, καταγραφόταν ὡς Υἱὸς τοῦ Θεοῦ, θετὸς μαζὶ μὲ μᾶς καὶ γιὰ μᾶς, ὁ γνήσιος, ὥστε καὶ ἐμεῖς ἐξαιτίας αὐτοῦ νὰ γίνουμε υἱοὶ συμμετέχοντας στὴν ὑπερφυσικὴ δόξα. Ἢ μήπως νομίζεις ὅτι ὁ λόγος γιὰ τὸ θέμα αὐτὸ δὲν κατευθύνεται ἐκεῖ ποὺ πρέπει;

Β. Καὶ βέβαια κατευθύνεται.

Α. Ἀποφασίσαμε λοιπόν, ἀντὶ τῆς κακοκεφαλιᾶς ἐκείνων, ὅτι πρέπει νὰ πιστεύουμε αὐτὰ ποὺ εἶναι ἀνώτερα, νὰ κρατήσουμε τὴν πίστη τοῦ Μονογενοῦς ἀβλαβῆ, νὰ ἀποβάλουμε τοὺς λογισμοὺς καὶ κάθε φρόνημα ὑπερήφανο, ὅπως ἔχει γραφεῖ[58], καὶ νὰ ὑποτάξουμε κάθε μας σκέψη στὴν ὑπακοὴ αὐτοῦ. Ἐὰν ὅμως αὐτὸ δὲν ἀνεχθοῦμε νὰ τὸ κάνουμε, θὰ παραδεχθοῦμε ὅτι πρέπει νὰ ἐπικρατήσουν οἱ συκοφαντίες ἐκείνων, θὰ ἀπομακρύνουμε τὸν Μονογενῆ ἀπὸ τὸ νὰ εἶναι Θεὸς ἀληθινός, καὶ θὰ ποῦμε ἔτσι ὅτι ἐμεῖς δὲν ἔχουμε τίποτε τὸ ἐπὶ πλέον.

Β. Θὰ πεῖς πῶς, ἢ θὰ ἀποφύγεις νὰ μιλήσεις;

Α. Καὶ βέβαια θὰ τὸ πῶ πρόθυμα καὶ δὲν θὰ ἀποφύγω νὰ μιλή-

*τούτοις οὐδαμῶς. Ἦ γὰρ οὐκ ἀληθὲς εἰπεῖν ὡς εἴπερ αὐτῷ κεχάρισται τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ δοτὸν ἤδη πως τὸ διακεκλῆσθαι Θεός, ἀπολισθήσειεν ἂν αὐτοῦ κατά γε τὸ ἐγχωροῦν; Τὸ γάρτοι δοτὸν οὐκ εἰσάπαν ἐρηρεισμένον. Κατακινδυνεύσειε δ' ἂν καὶ αὐτὸς ὁ Πατήρ, ὅσον ἧκεν εἰς λογισμούς, εἰς ἃ μὴ θέμις εἰπεῖν. Ἔσται γὰρ μείων ἢ καθ' Υἱόν, καὶ τὴν τοῦ γεγεννηκότος ὑπερκείσεται φύσιν ὁ κατ' αὐτοὺς ἐν ἐλάττοσι, μᾶλλον δὲ ὁ τὴν τῆς θεότητος δόξαν παράσημον ἔχων, καὶ νενοθευμένοις ἀξιώμασιν ἐπαυχήσας μόλις, εἴπερ ἐστὶν ἀληθῶς ἐν ψιλῷ καὶ μόνῳ τῷ κεκλῆσθαι Θεός.*

*Β. Ὡς δεινά γε ὁ λόγος ἡμῖν εἰσφέρει τὰ ἄτοπα.*

*Α. Δεινὰ γάρ, ὡς ἀληθῶς, πλὴν ἀναγκαίαν ἔχοντα τὴν παράθεσιν. Μετασοβεῖ γὰρ ἔσθ' ὅτε τὸ μὴ ὀρθῶς ἔχειν ὑπειλημμένον ἐπὶ τὸ χρῆναι φιλοθηρεῖν τὸ νενευκὸς εἰς ἀλήθειαν. Εἴπερ οὖν, ὡς οἴονται, μεμισθοφόρηκεν ὁ Υἱὸς καὶ ἀντέκτισιν ὥσπερ τινὰ τῆς κενώσεως ἐκομίσατο παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, πρὸ τῶν τῆς κενώσεως χρόνων καὶ αὐτοῦ δὲ τούτου τητώμενος νοοῖτ' ἂν εἰκότως, εἴπερ ὁρᾶται πεπλουτηκὼς ἐν χρόνῳ τῷ κατ' αὐτὴν τὴν εἰσποίητον ταυτηνὶ καὶ εὐαπόβλητον χάριν Εἶτα, πῶς ἦν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρός, κένωσιν μὲν οὔπω τὴν ἑκούσιον ὑποστάς, μορφὴν δὲ καὶ μέτρον τὸ δουλοπρεπὲς οὐκ ἀξιώσας ἑλεῖν; Οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, καίτοι τοῦτο ἔχειν ἐξόν. Εἴπερ οὖν εἶναί φαμεν καὶ πρὸ τῶν τῆς κενώσεως χρόνων ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς τὸν Υἱόν, ἐκτετίμηται δὲ κενωθεὶς καὶ ἀναπεφοίτηκεν εἰς μέτρον τῆς ἐνούσης αὐτῷ δόξης τὸ ὑπερτεροῦν, ὑπερήλατό που τάχα καὶ αὐτὸν τὸν Πατέρα.*

*Β. Ὡς δριμὺς ὁ λόγος!*

*Α. Ἀληθὴς δ' οὖν ὅμως, τό γε ἧκον εἰς λογισμούς Καὶ εἰ μὲν δή τι τὸ ἄμεινον ἀποκεκέρδακεν ὁ Υἱὸς τὸ ὑπὲρ πᾶν ὄνομα λαβών, ὑπερανεστήξει που πάντως ἔν γε τοῖς καθ' ἑαυτὸν καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς πλεονεκτήσει φύσιν. Τουτὶ γὰρ ἡμῖν ὁ δριμὺς ἀρτίως κατέδειξε λόγος. Εἰ δὲ ἥκιστα μὲν ἐν ἀμείνοσιν ἤπερ ἦν, κἂν εἰ νοοῖτο λαβών, κατίδοι τις ἂν αὐτόν, προσετίθει δὲ τὸ*

σω γι' αὐτά. Ἢ μήπως δὲν εἶναι σωστὸ νὰ ποῦμε, ἐφόσον τὸ ὄνομα, τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, τοῦ χαρίσθηκε καὶ κατὰ κάποιο τρόπο ἔχει δοτὸ τὸ νὰ ὀνομάζεται Θεός, ὅτι μπορεῖ καὶ νὰ ἀπομακρυνθεῖ ἀπὸ αὐτὸν ὅσο βέβαια εἶναι δυνατό; Γιατὶ αὐτὸ ποὺ εἶναι δοτό, δὲν εἶστε σταθερὸ γιὰ πάντα. Ἀλλὰ θὰ κινδυνεύσει καὶ ὁ ἴδιος ὁ Πατέρας, ὅσο μποροῦμε νὰ σκεφθοῦμε, νὰ ὑποστεῖ αὐτὰ ποὺ δὲν ἐπιτρέπεται νὰ ποῦμε. Γιατὶ θὰ γίνει κατώτερος ἀπὸ τὸν Υἱὸ καὶ θὰ ξεπεράσει τὴ φύση ἐκείνου ποὺ τὸν γέννησε αὐτός, ποὺ σύμφωνα μὲ ἐκείνους, εἶναι κατώτερος, ἢ μᾶλλον αὐτὸς ποὺ ἔχει κίβδηλη τὴ δόξα τῆς θεότητας, καὶ μόλις πρόσφατα τιμήθηκε μὲ νόθα ἀξιώματα, ἐὰν πραγματικὰ ἔχει ἁπλῶς καὶ μόνο τὸ δικαίωμα νὰ ὀνομάζεται Θεός.

Β. Πολὺ φοβερὰ παρουσιάζει ὁ λόγος σου τὰ ἄτοπα!

Α. Εἶναι πραγματικὰ φοβερά, ἀλλ' εἶναι ἀναγκαῖο νὰ τὰ παραθέσει κανείς. Γιατὶ διώχνουν πολλὲς φορὲς ἐκεῖνο ποὺ δὲν εἶναι σωστό, ἐπιδιώκοντας ἐκεῖνο ποὺ κλίνει πρὸς τὴν ἀλήθεια. Ἐφόσον λοιπόν, ὅπως νομίζουν, ὁ Υἱὸς ἔλαβε τὸ ὄνομα ἀπὸ τὸν Θεὸ καὶ Πατέρα σὰν μισθὸ καὶ ἀνταπόδοση γιὰ τὴν ταπείνωσή του, πρὶν ἀπὸ τὸν χρόνο τῆς ταπεινώσεως, εὔλογα θὰ μποροῦσε νὰ νοηθεῖ ὅτι στεροῦνταν τὸ ὄνομα, ἀφοῦ ἐμφανίζεται νὰ τὸ ἀποκτᾶ ὅταν γίνεται αὐτὴ ἡ υἱοθετημένη καὶ εὔκολα ἀποβαλλόμενη χάρη. Ἔπειτα, πῶς εἶχε τὴ μορφὴ καὶ ἦταν ἴσος πρὸς τὸν Θεὸ καὶ Πατέρα, ἀφοῦ δὲν εἶχε ἀκόμα ὑποστεῖ τὴν θεληματικὴ ταπείνωση καὶ δὲν εἶχε ἀκόμα λάβει τὴ μορφὴ τοῦ δούλου; Γιατὶ δὲν ἐθεώρησε ὡς ἀποτέλεσμα ἁρπαγῆς τὸ ὅτι ἦταν ἴσος πρὸς τὸν Θεό, ἂν καὶ αὐτὸ μποροῦσε νὰ τὸ ἔχει. Ἐὰν λοιπὸν λέμε, ὅτι καὶ πρὶν ἀπὸ τὸν χρόνο τῆς κενώσεως ὁ Υἱὸς εἶχε τὴ μορφὴ καὶ ἰσότητα πρὸς τὸν Πατέρα, ὅταν ὅμως ταπεινώθηκε τιμήθηκε ὅλως ἰδιαίτερα, καὶ προστέθηκε στὴ δόξα ποὺ εἶχε τὸ ἐπὶ πλέον, ξεπέρασε προφανῶς καὶ τὸν ἴδιο τὸν Πατέρα του.

Β. Πολὺ σκληρὸς ὁ λόγος!

Α. Ἀλλὰ καὶ ἀληθινός, ὅσον ἀφορᾶ τοὺς συλλογισμούς. Καὶ ἐὰν ὁ Υἱός, παίρνοντας τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, κέρδισε κάτι τὸ ἀνώτερο, βελτίωσε ὁπωσδήποτε τὸν ἑαυτό του καὶ ξεπέρασε τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα. Γιατὶ αὐτὸ μᾶς ἀπέδειξε πρὶν ἀπὸ λίγο ὁ σκληρὸς λόγος. Ἐὰν πάλι κανεὶς τὸν δεῖ κατώτερον μεταξὺ ἀνωτέρων ποὺ ἦταν, ἔστω καὶ ἂν νοεῖται ὅτι ἔλαβε, καὶ δὲν τοῦ πρόσθεσε

*σύμπαν ἡ χάρις οὐδέν, οὐκ ἀσύφηλοι καὶ ψευδοεπεῖς ἁλοῖεν ἂν οἱ θράσους εἰς τοῦτο προήκειν οὐ παραιτούμενοι, ὡς ἤδη φάναι τολμᾶν, ὅτι μικρὰ τὴν κτίσιν, ἵνα μὴ λέγοιμι παντελῶς οὐδέν, ἡ τῆς ἀρρήτου θεότητος πλεονεκτήσει φύσις; Ὀνήσειε δ᾽ ἂν ἥκιστά γε πρὸς τὸ λαμπρότερον ἀναφέρουσα καὶ εἴ τῳ τυχὸν τῶν ὄντων περιθείη τὰ ἑαυτῆς. Ἀλλ᾽ ὧδε νοεῖν ἀπόπληκτον· ἀξιόληπτα δὲ τὰ Θεοῦ, καὶ εἰς λῆξιν ἀναφέρει τὴν ἀνωτάτω· ἑαυτοῦ πως ἤδη καὶ ἀμείνων ὁ Θεὸς καὶ Πατὴρ ὀφθήσεται, καὶ τῶν ἀμεινόνων ἢ ἐν οἷς ἐστι δοτήρ.*

*B. Τίνα τρόπον;*

*A. Ἐν μορφῇ γὰρ ὄντα καὶ ἐν ἰσότητι τῇ πρὸς ἑαυτὸν τὸν Υἱὸν καὶ πρό γε τῶν τῆς κενώσεως χρόνων, καὶ κατ᾽ οὐδένα τρόπον τῆς ἐνούσης αὐτῷ δόξης μειονεκτούμενον, ἄνω που καὶ ὑψηλὸν ἐτίθει, τὸ ὄνομα δοὺς τὸ ὑπὲρ πᾶν ὄνομα αὐτῷ. Ἆρ᾽ οὖν οὐχὶ συρφετός τε ἤδη ταυτὶ καὶ δυσφημιῶν ἀγριότης καὶ λογισμῶν ἀτοπία, τῆς ἁπασῶν ἐσχάτης ἀμαθίας ἐξόζουσα;*

*B. Πάνυ μὲν οὖν.*

*A. Καὶ ἑτέρως δ᾽ ἄν τις τῆς ἐκείνων ἀτοπίας δικαιοτάτην ἄν, οἶμαι, ποιήσαιτο τὴν κατάρρησιν, κἀκεῖνο διεσκεμμένος. Εἰ γὰρ οἶδεν ἑαυτὸν ψιλῷ διακεχρημένον ὀνόματι τῷ τῆς θεότητος ὁ Υἱὸς καὶ οὐ φύσεως ἔχοντα τὸ χρῆμα καρπόν, τί τὸ ἀναπεῖθον ἀναφανδὸν ἤδη βοᾶν, «Ἐγώ εἰμι ἡ ἀλήθεια»; Τὸ γάρ τοι νόθον οὐκ ἀληθές, καὶ τὸ τοῖς ἔξωθεν καὶ εἰσκεκριμένοις ὡραϊσμοῖς οὐχ ὅπερ ἐστὶ κατὰ φύσιν ὁρώμενον εἰσβιάζεται μὲν καὶ εἰσδύνειν ἀποτολμᾷ τῆς ἀληθείας τὴν δόξαν, ἔχοι δ᾽ ἂν οὐχ ὧδε κατὰ ἀλήθειαν, καὶ βασάνοις τοῖς ἐκ λογισμῶν ἀκαλλὲς ἐξελέγχεται. Τί δὲ οὐχὶ τοῖς κατὰ θέσιν θεοῖς ἑαυτὸν ἐπαριθμεῖν ὁ μὴ φύσει Θεὸς ᾤετο δεῖν, τῆς δὲ τῶν ἁγίων ἀπαλλάξας πληθύος, καὶ εἰς τόπον ἴδιον ὥσπερ τινὰ καὶ οὐδενὶ τῶν ἄλλων βατὸν ἀνεφοίτα, λέγων, «Εἰ ἐκείνους εἶπε θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο καὶ*

59. Ἰω. 14 6.

τίποτε ἀπολύτως τὸ χάρισμα, δὲν θὰ συλληφθοῦν χυδαῖοι καὶ ψευδολόγοι αὐτοὶ ποὺ δὲν παύουν νὰ φθάνουν σὲ τόσο μεγάλο θράσος, ὥστε νὰ τολμοῦν νὰ λένε, ὅτι ἡ ἀπερίγραπτη φύση τῆς θεότητας ὑπερέχει πολὺ λίγο, γιὰ νὰ μὴ πῶ ἐντελῶς καθόλου ἀπὸ τὴν κτίση; Καὶ ὅτι, ἐὰν σὲ κάποιο ἀπὸ τὰ κτίσματα χορηγήσει τὰ δικά της ἰδιώματα ἀνεβάζοντάς το πρὸς τὴν ἄνω λαμπρότητα, ἐλάχιστα θὰ μποροῦσε νὰ τὸ ὠφελήσει. Ἀλλὰ τὸ νὰ σκεφτόμαστε ἔτσι εἶναι τρέλλα· γιατὶ τὰ πράγματα τοῦ Θεοῦ εἶναι ἀξιόπιστα καὶ ὁδηγοῦν στὸ πιὸ ψηλὸ τέρμα· κατὰ κάποιο τρόπο μάλιστα ὁ Θεὸς καὶ Πατέρας ἐμφανίζεται ἀνώτερος καὶ τοῦ ἑαυτοῦ του, καὶ χορηγὸς τῶν ἀγαθῶν μέσα στὰ ὁποῖα ὑπάρχει.

Β. Μὲ ποιὸν τρόπο;

Α. Τὸν Υἱό, ποὺ καὶ πρὶν ἀπὸ τὸν χρόνο τῆς ταπεινώσεώς του εἶχε τὴ μορφὴ καὶ ἦταν ἴσος πρὸς αὐτὸν καὶ δὲν μειονεκτοῦσε καθόλου ὡς πρὸς τὴ δόξα ποὺ εἶχε, δίνοντάς του τὸ ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, τὸν τοποθετοῦσε κάπου ἐπάνω καὶ ψηλά. Ἆρα λοιπὸν αὐτὸ (ποὺ ὑποστηρίζουν οἱ ἀντίθετοι) δὲν εἶναι σωρὸς σκουπιδιῶν καὶ βλάσφημη ἀγριότητα καὶ παραλογισμούς, ποὺ ἀναδίδει ὀσμὴ τῆς πιὸ χειρότερης ἀμάθειας;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ἀλλὰ καὶ μὲ ἄλλο τρόπο θὰ μποροῦσε κάποιος, νομίζω, νὰ ἀποδείξει τὸν παραλογισμὸ τῆς κατηγορίας, σκεπτόμενος καὶ τὸ ἑξῆς· Ἐὰν δηλαδὴ ὁ Υἱὸς γνώριζε ὅτι χρησιμοποιοῦσε ἁπλῶς τὸ ὄνομα τῆς θεότητας καὶ δὲν τὸ εἶχε ὡς καρπὸ τῆς φύσεώς του, τί ἦταν ἐκεῖνο ποὺ τὸν ἔκανε νὰ φωνάζει φανερά, «Ἐγὼ εἶμαι ἡ ἀλήθεια»[59]; Γιατὶ τὸ νόθο δὲν εἶναι ἀληθινό, καὶ ἐκεῖνο ποὺ μὲ ἐξωτερικοὺς καὶ εἰσαγόμενους ἐξωραϊσμοὺς ἐμφανίζεται ὄχι αὐτὸ ποὺ εἶναι κατὰ φύση, εἰσάγει μὲ τὴ βία καὶ ἀποτολμᾶ νὰ τρυπώνει στὴν ἀλήθεια τῆς δόξας, δὲν μπορεῖ νὰ εἶναι ἔτσι στὴν πραγματικότητα, καὶ μὲ τὶς δοκιμασίες τῶν συλλογισμῶν ἀποδεικνύεται κακόγουστο. Καὶ γιατί, αὐτὸς ποὺ δὲν ἦταν κατὰ φύση Θεός, ἔκρινε ὅτι δὲν πρέπει νὰ κατατάξει τὸν ἑαυτό του στοὺς κατὰ υἱοθεσίαν θεούς, ἀλλὰ ξεχωρίζοντας τὸν ἑαυτό του ἀπὸ τὸ πλῆθος τῶν ἁγίων καὶ συχνάζοντας κατὰ κάποιο τρόπο σ᾽ ἕνα ἰδιαίτερο τόπο ποὺ δὲν εἶναι βατὸς σὲ κανένα ἀπὸ τοὺς ἄλλους, ἔλεγε, «Ἐὰν ἐκείνους στοὺς ὁποίους ἦρθε ὁ λόγος

*οὐ δύναται ἡ Γραφὴ λυθῆναι, ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον· Υἱὸς Θεοῦ εἰμι»; Εἰ γὰρ ἐκεῖνοι, φησί, διακέκληνται θεοί, τὸν τοῦ Θεοῦ λόγον εἰσοικισάμενοι καὶ εἰσδεδεγμένοι κατὰ ψυχήν, πῶς οὐκ ἂν εἴη Θεὸς ὁ δι' ὃν ἐκεῖνοι θεοί; «Θεὸς γὰρ ὁ Λόγος ἦν», κατὰ τὴν Ἰωάννου φωνήν. Τὸ δὲ ἦν, οὐ νεωτέραν αὐτῷ τὴν δόξαν, ἀλλὰ παντὸς δὴ χρόνου πρεσβυτέραν ἀνάπτει. Διαπέσοι γὰρ ἂν ὅποι ποτὲ ἄρα τὸ ἦν, ἢ πρὸς ποῖον ἡμῖν ἀφίξεται τέλος, ἀεὶ προσωτέρω χωροῦν καὶ ἀσχέτῳ δρόμῳ πεμπόμενον, καὶ χρόνῳ χαρίζεσθαι τὸ πρεσβύτερον οὐκ εἰδός, προαναθρώσκειν δὲ ὥσπερ ἐννοίας ἁπάσης τῆς ἐπέκεινα καιροῦ μεμελετηκός;*

*Β. Εὖ λέγεις· χρόνου γὰρ ἄμεινον ἀεί πως ἐστι τὸ ἦν.*

*Α. Ὁ δὲ δὴ θεσπέσιος Παῦλος νόθοις μὲν οὐχὶ κατηγλαϊσμένον ἀξιώμασι τὸν Υἱόν, φύσει δὲ μᾶλλον οἶδεν ὄντα Θεόν, ἑνώσει συνδέων τῇ πρὸς τὸν Πατέρα καὶ Θεὸν οὐσιώδει καὶ φυσικῇ.*

*Β. Τίνα τρόπον;*

*Α. Γράφει γὰρ ὧδε· «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα». Εἴπερ οὖν ἠπίστατο τοῖς κατὰ χάριν θεοῖς ἐναριθμεῖσθαι πρέπειν αὐτόν, τί μὴ τοῖς ἄλλοις ἐφιεὶς ἀναμίξ, ἕνα καὶ μόνον ἡμῖν κατεδείκνυ Θεὸν καὶ Κύριον τὸν Πατέρα, ἀναμέρος δὲ ὥσπερ τὸ ἑκάτερον τιθείς, τὸ μὲν τῆς θεότητος ὄνομα τῷ Πατρί, τὸ δὲ τῆς κυριότητος ἀπονέμεσθαι δεῖν ἐδοκίμαζε τῷ Υἱῷ; Ἀλλ', οἶμαί που, σοφὸν ἂν νοοῖτο καὶ ἀναγκαῖον οὔτε τῆς κατὰ φύσιν καὶ ἀληθοῦς θεότητος τὴν τοῦ δύνασθαι κρατεῖν καὶ κυριεύειν τῶν ὅλων ἐκμοχλεύεσθαι δόξαν, οὔτε μὴν τῆς ἀληθοῦς κυριότητος ἔξω πέτεσθαι φιλεῖν τὴν τῆς θεότητος φύσιν· προσείη δ' ἂν μᾶλλον ἀμφοῖν τὸ ἑκάτερον, καὶ ἀναμέρος εἶναι δοκοῦν. Φύσεως δὲ μιᾶς ἀπόδειξις ἐναργὴς τὸ οἱονεὶ κατεστέφθαι τελείως*

---

60. Ἰω. 10, 35-36. 61. Στὶς πρῶτες ἀρχὲς τοῦ χρόνου, δηλαδὴ στὸ παρελθόν, ἀφοῦ ἄλλωστε πρόκειται γιὰ χρόνο παρατατικό.

τοῦ Θεοῦ τοὺς ὀνομάζει θεούς, καὶ δὲν μπορεῖ ἡ Γραφὴ νὰ καταργηθεῖ, σ' αὐτὸν ποὺ ὁ Πατέρας τὸν ἁγίασε καὶ τὸν ἔστειλε στὸν κόσμο, ἐσεῖς λέτε· βλασφημεῖς, ἐπειδὴ εἶπα· Εἶμαι Υἱὸς τοῦ Θεοῦ»[60]; Ἐφόσον δηλαδή, λέγει, ὀνομάζονται θεοὶ ἐκεῖνοι ποὺ δέχθηκαν τὸν λόγο τοῦ Θεοῦ καὶ τὸν ἔβαλαν μέσα στὴν ψυχή τους, πῶς δὲν εἶναι Θεὸς αὐτὸς μέσω τοῦ ὁποίου εἶναι θεοί; Γιατὶ ὁ Λόγος ἦταν Θεός, σύμφωνα μὲ τὰ λόγια τοῦ Ἰωάννη. Καὶ τὸ «ἦταν» δὲν τοῦ προσάπτει τὴ δόξα μεταγενέστερη, ἀλλὰ προγενέστερη ἀπὸ κάθε χρόνο. Ἄραγε τὸ «ἦταν» σημαίνει ὁποτεδήποτε, ἢ μέχρι ποιὸ σημεῖο φτάνει προχωρώντας ὁλοένα πιὸ μπροστά[61], ἐξακοντιζόμενο μὲ ἀνεξάρτητη διαδρομή, καὶ ξεπερνώντας τὸν χρόνο, καὶ ἔχοντας φροντίσει νὰ ξεπηδήσει πέρα ἀπὸ κάθε ἔννοια χρόνου;

Β. Σωστὰ τὰ λές· γιατὶ τὸ «ἦταν» εἶναι ὁπωσδήποτε μεγαλύτερο τοῦ χρόνου.

Α. Καὶ ὁ θεσπέσιος Παῦλος γνωρίζει τὸν Υἱὸ ὄχι στολισμένον μὲ νόθα ἀξιώματα, ἀλλὰ Θεὸ κατὰ φύση, συνδέοντάς τον πρὸς τὸν Πατέρα καὶ Θεὸ μὲ ἑνότητα οὐσιώδη καὶ φυσική.

Β. Μὲ ποιὸν τρόπο;

Α. Γράφοντας τὰ ἑξῆς· «Καὶ ἂν ἀκόμα ὑπάρχουν πολλοὶ ποὺ λέγονται θεοὶ καὶ πολλοὶ κύριοι, στὸν οὐρανὸ καὶ στὴ γῆ, γιὰ μᾶς πάνως ἕνας Θεὸς ὑπάρχει, ὁ Πατέρας, ἀπὸ τὸν ὁποῖο προέρχονται τὰ πάντα, καὶ ἕνας Κύριος Ἰησοῦς Χριστός, διὰ τοῦ ὁποίου ἔγιναν τὰ πάντα»[62]. Ἐὰν λοιπὸν γνώριζε ὅτι ἔπρεπε αὐτὸς νὰ κατατάσσεται μεταξὺ τῶν κατὰ χάρη θεῶν, γιατί δὲν τὸν ἄφησε ἀναμιγμένον μαζὶ μὲ τοὺς ἄλλους καὶ νὰ μᾶς δείξει ἕνα καὶ μοναδικὸ Θεὸ καὶ Κύριο τὸν Πατέρα, ἀλλὰ τοποθετώντας τὸν καθένα τους χωριστά, λέγει ὅτι πρέπει τὸ ὄνομα τῆς θεότητας νὰ ἀποδίδεται στὸν Πατέρα, καὶ τὸ ὄνομα τῆς κυριότητας στὸν Υἱό; Νομίζω ὅμως πὼς θὰ ἦταν σοφὸ καὶ ἀναγκαῖο, οὔτε τὴ δόξα τῆς κατὰ φύση καὶ ἀληθινῆς θεότητας, ποὺ μπορεῖ νὰ ἄρχει καὶ νὰ ἐξουσιάζει σὲ ὅλα, νὰ τὴν ἀποσποῦμε, οὔτε ὅμως νὰ θέλουμε νὰ βγάλουμε ἔξω ἀπὸ τὴν ἀληθινὴ κυριότητα τὴ θεία φύση. Φαίνεται μᾶλλον ὅτι τὸ καθένα ταιριάζει καὶ στὶς δύο μαζὶ καὶ χωριστά. Σαφὴς βέβαια ἀπόδειξη τῆς μιᾶς φύσεως εἶναι τὸ ὅτι κατὰ κάποιο τρόπο κοσμοῦνται ἀπόλυτα μὲ τὰ φυσικὰ ἰδιώματα

62. Α΄ Κορ. 8, 5-6.

οἷς ἂν ἑκάτερον ἔχοι φυσικοῖς ἰδιώμασι, καὶ τὸ δι' ἀμφοῖν ἐν ἅπασιν ἰσοφυὲς καὶ ἀδιαβλήτῳ ταυτότητι μαρτυρούμενον τὸ κατά τι γοῦν ὅλως ὀθνεῖον οὐκ εἰσδέξεται.

Β. Πῶς γὰρ ἄν;

Α. Ἐρομένῳ δέ τῳ πότερα τὴν οὐσιώδη καὶ φυσικὴν περιθείης ἂν υἱότητα τῷ Υἱῷ, ἤγουν τὴν ἐν μόνῃ θελήσει τοῦ Πατρός, καθάπερ ἀμέλει δοίη τις ἂν καὶ ἐφ' ἡμῶν αὐτῶν, τί ἂν ἔφης αὐτός, ὦ Ἑρμεία;

Β. Οὐσιώδη μὲν ἔγωγε φαίην ἄν, δόξαιμι δ' ἂν ἥκιστά γε τοῖς δι' ἐναντίας ἀληθὴς εἶναί τις

Α. Δόξειας γὰρ ἄν. Προσθεῖεν δ' ἂν ὅτι καὶ φρενὸς ἐκκεκρούσμεθα καὶ παρατετράμμεθα λογισμοῦ τοῦ βλέποντος εἰς εὐθύ. Τίνα γάρ, εἰπέ μοι, τῶν οὐ συμφρονεῖν ἑλομένων αὐτοῖς οὐκ ἂν κατασκώψειαν, οἵ γε τοσοῦτον διαλελυττήκασι καὶ μανίας ἀκράτου πρὸς τοῦτο ἥκουσι μέτρον ὡς εἰσποίητον εἶναι δεῖν οἴεσθαι τὸν Υἱὸν καὶ συντετάχθαι τοῖς ἄλλοις, εἰ καὶ τοῖς ἰδίοις εὑρήμασιν ἐπερυθριῶντες, καὶ λελυπημένην ὥσπερ καταγοητεύοντες τὴν ἀλήθειαν, δόξαν αὐτῷ περιπλάττουσι τὴν ἐξαίρετον καὶ τοῖς ἄλλοις ἀστιβῆ, καὶ τοσαύτην αὐτοὶ καθ' ἑαυτοὺς ἐπινοοῦσι τὴν εὔκλειαν ὅσηνπερ ἂν βούλοιντο κατ' ἐξουσίαν ἐπιμετρεῖν; Ἀλλ' ὡς ἥδιστα ἂν ἠρόμην αὐτοὺς τῆς ἐπ' ἀμφοῖν νοουμένης υἱοθεσίας τὸν τρόπον, τίνα δὴ ἄρα πεπρᾶχθαί φασι. Κεκλήμεθα μὲν γὰρ εἰς υἱοὺς ἡμεῖς, τὸ δὲ ὅπως οὐχ ἡμεῖς ἐροῦμεν, μυσταγωγήσει δὲ γράφων ὁ Παῦλος· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ». Οὐκοῦν, ἐπειδήπερ ἡμῖν ἀρρήτως ἐνῴκισται διὰ τοῦ ἰδίου Πνεύματος ὁ Υἱός, πρὸς υἱότητα τὴν πνευματικὴν ἑαυτοὺς εἰσκεκλῆσθαί φαμεν. Ἢ οὐχ ὧδε πεπρᾶχθαι τοῦτο ἐρεῖς;

Β. Καὶ μάλα. Μεμνήσομαι γὰρ καὶ τοῦ σοφωτάτου διακεκραγότος ἡμῖν Ἰωάννου περὶ τοῦ Υἱοῦ· «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι».

Α. Ἄθρει δὴ οὖν, ὦ φιλότης, ὅποι ποτὲ ἡμῖν ὁ περὶ τοῦ Μονογενοῦς ἐκτελευτήσει λόγος, εἰ τοῖς εἰς υἱότητα κατακεκλημένοις ἰσοτρόπως συντετάξεται. Εἴη γὰρ ἂν οὐχ ἑτέρως ἐν υἱοῦ τά-

63. Γαλ. 4, 6. 64. Ἰω. 1, 12.

πού ἔχει τὸ καθένα, καὶ τὸ ὅτι καὶ τὰ δύο εἶναι σὲ ὅλα τῆς αὐτῆς φύσεως, καὶ βεβαιώνεται ὅτι ταυτίζονται ἀπόλυτα, καὶ τὸ ὅτι δὲν δέχονται τίποτε τὸ ξένο.

Β. Πῶς ὅμως;

Α. Ἂν σὲ ρωτοῦσε κάποιος ποιὸ ἀπὸ τὰ δύο· ἀποδίδεις στὸν Υἱὸ τὴν οὐσιώδη καὶ φυσικὴ υἱότητα, ἢ μόνο αὐτὴν ποὺ ὀφείλεται στὴ θέληση τοῦ Πατέρα, ὅπως θὰ μποροῦσε νὰ δώσει κανεὶς καὶ σὲ μᾶς τοὺς ἴδιους, τί θὰ ἔλεγες ἐσύ, Ἑρμεία;

Β. Ἐγὼ βέβαια θὰ ἔλεγα τὴν οὐσιώδη, νομίζω ὅμως ὅτι δὲν θὰ ἔλεγε τὴν ἀλήθεια κάποιος ἀπὸ τοὺς ἀντίθετους.

Α. Θὰ νόμιζες. Αὐτοὶ ὅμως προσθέτουν ὅτι εἴμαστε ἄμυαλοι καὶ ὅτι ἔχουμε ξεστρατίσει ἀπὸ τὸν νοῦ ποὺ βλέπει μπροστά. Γιατὶ πές μου· ποιὸν ἀπὸ ἐκείνους ποὺ δὲν συμφωνεῖ μ' αὐτοὺς δὲν τὸν κατηγοροῦν αὐτοὶ οἱ ὁποῖοι τόσο πολὺ ἔχουν λυσσάξει καὶ ἔφτασαν σὲ τέτοιο βαθμὸ ἀσυγκράτητης μανίας γιὰ τὸ θέμα αὐτό, ὥστε νὰ πιστεύουν ὅτι πρέπει ὁ Υἱὸς νὰ εἶναι υἱοθετημένος, καὶ ὅτι συγκαταλέγεται μαζὶ μὲ τοὺς ἄλλους, ἂν καὶ κοκκινίζοντας γιὰ τὰ δικά τους εὑρήματα καὶ δελεάζοντας κατὰ κάποιο τρόπο τὴ λυπημένη ἀλήθεια, τὸν περιβάλλουν μὲ δόξα ξεχωριστή, ἀπλησίαστη στοὺς ἄλλους, καὶ ἐπινοοῦν αὐτοὶ μόνοι τους τόσο μεγάλη τὴ δόξα, ὅση θέλουν σύμφωνα μὲ τὴ δύναμή τους νὰ ὑπολογίσουν. Θὰ τοὺς ρωτοῦσα ὅμως μὲ εὐχαρίστηση γιὰ τὸν τρόπο τῆς υἱοθεσίας καὶ τῶν δυό· πῶς λένε ἄραγε ὅτι ἔγινε. Γιατὶ κληθήκαμε ἐμεῖς νὰ γίνουμε υἱοί, ὅμως τὸ πῶς δὲν τὸ λέμε ἐμεῖς, ἀλλὰ μᾶς τὸ διδάσκει ὁ Παῦλος ὁ ὁποῖος γράφει· «Καὶ ἐπειδὴ εἴσαστε υἱοί, ἔστειλε ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ του στὶς καρδιές σας, τὸ ὁποῖο φωνάζει, Ἀββᾶ, Πατέρα»[63]. Ἐπειδὴ δηλαδὴ διὰ τοῦ ἁγίου Πνεύματος κατοίκησε μέσα μας μὲ τρόπο ἀπερίγραπτο ὁ Υἱός, γι' αὐτὸ λέμε ὅτι κληθήκαμε σὲ υἱοθεσία πνευματική. Ἢ μήπως λὲς ὅτι δὲν ἔγινε ἔτσι;

Β. Καὶ βέβαια. Γιατὶ θυμᾶμαι καὶ τὸν σοφώτατο Ἰωάννη, ὁ ὁποῖος κραυγάζει πρὸς ἐμᾶς γιὰ τὸν Θεό· «Καὶ ὅσοι τὸν δέχθηκαν, τοὺς ἔδωσε τὴν ἐξουσία νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ»[64].

Α. Πρόσεχε λοιπόν, φίλε μου, ποῦ μπορεῖ νὰ καταλήξει ὁ λόγος γιὰ τὸν Μονογενῆ, ἐὰν καταταγεῖ ἰσότιμα μὲ ἐμᾶς ποὺ κληθήκαμε νὰ γίνουμε υἱοί. Γιατὶ δὲν μπορεῖ νὰ ἐνταχθεῖ μὲ ἄλλο τρόπο στὴν τάξη

*ξει τὸ ποιηθὲν εἰ μὴ δι᾿ Υἱοῦ ἐν Πνεύματι. Καὶ μαρτυρήσει λέγων ὁ Παῦλος· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ». Ἐν τίνι δὴ οὖν εἰς Υἱὸν ἔσται καὶ αὐτός; Οὐ γάρ, οἶμαι, φαῖεν ἂν ὡς ἐν ἑαυτῷ τε καὶ δι᾿ ἑαυτοῦ, καίτοι τοῖς κατὰ θέσιν ἐναρίθμιος ὤν, εἴπερ ἐξοίχοιτο κατ᾿ αὐτοὺς τοῦ κατὰ φύσιν καὶ ἀληθῶς.*

*Β. Ἀλλ᾿ εἰ φαῖεν ὅτι τὸν μὲν Υἱὸν ἡμεῖς, αὐτός γε μὴν εἰσοικίζεται τὸν Πατέρα, τί ἂν ἔχοις πρὸς τοῦτο εἰπεῖν;*

*Α. Φαίην ἂν ὅτι, εἰ μὲν αὐτοὶ κατὰ σφᾶς αὐτοὺς τὴν θείαν ἡμῖν ὅπως ἔχει διορίζουσι φύσιν καὶ νόμους ἐπ᾿ αὐτῇ κατὰ τὸ ἀβασανίστως δοκοῦν ἐκφέρουσι, βραχὺς κομιδῇ, μᾶλλον δὲ ὅλως οὐδεῖς γένοιτ᾿ ἂν εἰκότως τῶν γε ἅπαξ εἰς τοῦτο ἡκόντων ὁ λόγος, ἐπείπερ ἐρεύγονται μὲν τὰ ἀπὸ καρδίας αὐτῶν, τῶν δὲ ἀπὸ στόματος Κυρίου λαλοῦσιν οὐδέν. Εἰ δὲ δεῖν οἴονται τὴν τῆς ἀκραιφνοῦς θεογνωσίας διαστείχειν ὁδόν, ὃ φρονεῖν ἐγνώκασι ταῖς ἀπὸ τῆς θείας Γραφῆς κατασφραγιζόντων φωναῖς.*

*Β. Ναί, φησίν. Ἔφη γὰρ ὁ Υἱὸς πρὸς Φίλιππον· «Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;».*

*Α. Ἆρ᾿ οὖν ἁγιάζει τὸν Υἱὸν ὁ Πατὴρ ἐν αὐτῷ γεγονώς;*

*Β. Ἐροῦσί που πάντως.*

*Α. Ἅγιος ὢν κατὰ φύσιν καὶ οἴκοθεν ἔχων τὸν ἁγιασμὸν καὶ τὸ ἁγιάζειν δύνασθαι τοὺς ἐν οἷς ἂν γένοιτο τυχόν, ἢ γοῦν παρ᾿ ἑτέρου τοῦτο τὸ χρῆμα πεπλουτηκώς;*

*Β. Ἅγιος δηλονότι κατὰ φύσιν αὐτὸς ὤν.*

*Α. Οὐκοῦν, ὦ γεννάδαι καὶ πρὸς πᾶν ὁτιοῦν εὔκολοι τῶν ἀπηχεστάτων, ἁγιότητος μὲν φυσικῆς ὁ Υἱὸς ἐστέρηται, καὶ τοῦ πλημμελεῖν οὐκ ἐλευθέραν, ἤγουν εἰσάπαν ἀπηλλαγμένην τὴν φύσιν διεκληρώσατο, τό γε ἧκον εἰς αὐτήν. Εἴπερ οὖν ἀπόνασθαί τι δοῖεν ἂν αὐτήν, ἔκ γε τοῦ ἡγιάσθαι παρὰ τοῦ Πατρὸς καὶ τὴν ἐφ᾿ οἷς τεθαύμασται πρὸς ἡμῶν ἵδρυσίν τε καὶ δόξαν ἑλεῖν, προστιθέντος δὲ τῷ Υἱῷ τοῦ ἡγιάσθαι μηδέν, εἰκαῖον, οἶμαί που, τὸ φάναι λοιπὸν ἐνηυλίσθαι τε καὶ ἐνοικεῖν αὐτῷ τὸν Θεὸν καὶ Πα-*

65. Ἰω. 14, 10.

τοῦ υἱοῦ τὸ δημιούργημα, παρὰ μόνο μέσω τοῦ Υἱοῦ μὲ τὴ χάρη τοῦ Πνεύματος, καὶ τὸ βεβαιώνει ὁ Παῦλος λέγοντας· «Καὶ ἐπειδὴ εἴσαστε υἱοί, ἔστειλε ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ του στὶς καρδιές σας, τὸ ὁποῖο φωνάζει· Ἀββᾶ, Πατέρα». Μέσου τίνος λοιπὸν θὰ γίνει Υἱὸς καὶ αὐτός; Γιατὶ δὲν νομίζω νὰ ποῦν, ὅτι ἔγινε μὲ τὸν ἑαυτό του καὶ διὰ τοῦ ἑαυτοῦ του, ἂν καὶ συγκαταλέγεται μεταξὺ τῶν υἱοθετημένων, ἐάν, σύμφωνα μ' αὐτούς, ἔφυγε ἀπὸ τὸν κατὰ φύση καὶ ἀληθινὸ Υἱό.

Β. Ἂν ὅμως ποῦν, ὅτι ἐμεῖς βέβαια δεχόμαστε μέσα μας τὸν Υἱό, ἐνῶ αὐτὸς τὸν Πατέρα, τί θὰ εἶχες νὰ ἀπαντήσεις σ' αὐτό;

Α. Θὰ ἔλεγα, ὅτι ἐὰν αὐτοὶ ὁρίζουν ὅπως θέλουν τὴν οὐσία τῆς θείας φύσεως καὶ ἀποδίδουν σ' αὐτὴν νόμους, ὅπως αὐτοὶ ἀβασάνιστα νομίζουν σωστό, πολὺ λίγος, ἢ μᾶλλον κανένας λόγος δὲν μπορεῖ νὰ γίνει μ' αὐτοὺς γιὰ τὸ θέμα αὐτό, γιατὶ βγάζουν βέβαια αὐτὰ ποὺ ἔχουν στὴν καρδιά τους, ἀλλὰ δὲν λένε τίποτε ἀπὸ αὐτὰ ποὺ βγῆκαν ἀπὸ τὸ στόμα τοῦ Κυρίου. Ἐὰν ὅμως πιστεύουν ὅτι πρέπει νὰ βαδίζουν τὸν δρόμο τῆς ἀληθινῆς θεογνωσίας, τότε αὐτὸ ποὺ πιστεύουν τὸ γνωρίζουν ἐπιβεβαιώνοντάς το ἀπὸ τὰ λόγια τῆς ἁγίας Γραφῆς.

Β. Ναί, τὸ λένε· γιατὶ εἶπε ὁ Υἱὸς πρὸς τὸν Φίλιππο· «Δὲν πιστεύεις ὅτι ἐγὼ εἶμαι μέσα στὸν Πατέρα, καὶ ὁ Πατέρας μέσα σὲ μένα;»[65].

Α. Ἄρα λοιπὸν ὁ Πατέρας ἁγιάζει τὸν Υἱὸ πηγαίνοντας μέσα του;

Β. Θὰ ποῦν ὁπωσδήποτε ναί.

Α. Τὸν ἁγιάζει ἐπειδὴ εἶναι ἅγιος κατὰ φύση καὶ ἔχοντας ἀπὸ τὸν ἑαυτό του ἁγιασμὸ καὶ τὴν ἐξουσία νὰ ἁγιάζει αὐτοὺς στοὺς ὁποίους πηγαίνει· ἢ μήπως ἔχει λάβει αὐτὸν τὸν ἁγιασμὸ ἀπὸ ἄλλον;

Β. Ἐπειδὴ εἶναι ὁ ἴδιος ἅγιος κατὰ φύση.

Α. Ἄρα, σεῖς οἱ θρασεῖς καὶ ἐπιρρεπεῖς σὲ κάθε τι τὸ ἀνάρμοστο, ὁ Υἱὸς δὲν εἶχε βέβαια ἁγιότητα φυσική, ἀλλὰ ἔλαβε μὲ κλῆρο φύση ποὺ δὲν ἦταν ἐλεύθερη νὰ ἁμαρτήσει, ἤτοι ἦταν ἀπαλλαγμένη διαπαντὸς ἀπὸ τὴν ἁμαρτία, ὅσον ἐξαρτῶταν ἀπὸ αὐτήν. Ἐὰν λοιπὸν δέχονται ὅτι ὠφελήθηκε κατά τι αὐτὴ ἀπὸ τὸν ἁγιασμὸ τοῦ Πατέρα, καὶ ἀπὸ τὴν ἐγκατάσταση καὶ τὴ δόξα γιὰ τὰ ὁποῖα θαυμάζεται ἀπὸ μᾶς, χωρὶς ὅμως νὰ προστεθεῖ στὸν Υἱὸ τίποτε ἀπὸ τὸν ἁγιασμό, νομίζω πὼς εἶναι ἄσκοπο νὰ λέγεται, ὅτι ἦρθε καὶ κατοίκησε μέσα

τέρα. Ἀλλὰ μὴν αὐτός τέ ἐστιν ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν αὐτῷ. Καὶ τίς ἂν γένοιτο τυχὸν ὁ τοῦδε τρόπος ἢ ὅπως ἂν ἔχοι τὸ χρῆμα ἄριστα ἂν ὧδε διασκεψαίμεθα. Ὁ μὲν γὰρ Υἱός, κατά γε τὸ αὐτοῖς τάχα που καὶ μόνοις ἀνοσιώτατα δοκοῦν, εἰσοικίζεται τὸν Πατέρα δεδεημένος ἁγιασμοῦ. Τί δ' ἂν νοοῖτο πεπλουτηκὼς καὶ αὐτὸς ὁ Πατήρ, τὸν Υἱὸν ἔχων ἐν ἑαυτῷ; Εἰ μὲν οὖν ὡς ἔστιν ἐροῦσι τρόπος οὑτοσὶ τοῦ τελείως ἁγιάζεσθαι δεῖν τὸ ἁγιάζεσθαι πεφυκός, τί μὴ καὶ ἡμεῖς τὸ Πνεῦμα δεχόμενοι μετακεχωρήκαμεν εἰς αὐτό, ὡς ἐκεῖνο μὲν ἐν ἡμῖν, ἡμᾶς δὲ αὖ κατοικεῖν ἐν αὐτῷ; Εἰ δὲ θορυβεῖ <μέντοι> ἐν τούτοις τὸ λίαν ἀπρεπὲς (τὸ γὰρ Πνεῦμα ἐν ἡμῖν, καὶ οὐχ ἡμεῖς ἐν αὐτῷ κατὰ φύσιν), πῶς οὐχ ἑώλοις ἐπινήχονται λογισμοῖς, οὐχὶ τῇ ταὐτότητι τῆς οὐσίας ἀπονέμεσθαι δεῖν οἰόμενοι τὸ ἐν Πατρὶ μὲν Υἱόν, Πατέρα δὲ αὖ καταγράφειν ἐν Υἱῷ, ἀλλ' ἐν μοίρᾳ τῶν θύραθεν καὶ συμβεβηκότων ἀγαθῶν ἐνοικίζεσθαι τῷ Υἱῷ τὸν γεγεννηκότα διατείνεσθαί τε καὶ φρονεῖν ᾑρημένοι; Ἄλλως τε κἀκεῖνο γάρ, οἶμαι, δεήσει λέγειν· οὐχὶ τῇ πρὸς Υἱὸν ἑνότητι τῇ διὰ τοῦ Πνεύματος ἐν τοῖς ἑλοῦσιν ἐνεργουμένῃ, πρὸς υἱότητα διαμορφούμεθα, πρὸς δόξαν ὥσπερ ἰδίαν ἀναπλάττοντος ἡμᾶς τοῦ Υἱοῦ, καὶ τοὺς τῆς ἰδίας μορφῆς χαρακτῆρας ἐνσημαινομένου καὶ οἱονεί πως ἐγγράφοντος ταῖς τῶν δεχομένων ψυχαῖς;

Β. Καὶ πάνυ.

Α. Ἀνακείσεται δὴ οὖν ὡς ἐνέργεια φυσικὴ τὸ υἱοποιεῖν δύνασθαι τῷ Υἱῷ, καὶ οὐχ ἑτέρου του χάριν, καθάπερ ἐγῷμαι, καλῶς τε καὶ ἀμωμήτως ἔχειν, ἢ ἐπείπερ ἐστὶν Υἱός;

Β. Ἔστω. Τί δὴ οὖν ἐντεῦθεν;

Α. Ὅτι τὴν Πατρὸς ἐνοίκησιν κατά γε τὸν εἰκότα καὶ ἀκριβῆ λογισμὸν οὐχ ἑτερουργὸν εἶναι δώσομεν, ἐπιτελεῖσθαι δὲ οὕτως ὡς ἂν νοοῖτο καὶ ἐφ' Υἱοῦ τὸ δι' αὐτοῦ πληρούμενον. Πατέρα γὰρ πάντως καὶ οὐχ Υἱὸν διαδείξειεν ἂν ὁ Πατὴρ τὸν ἐν ᾧπερ ἂν ἕλοιτο κατοικεῖν καὶ εἰς ἰδίαν αὐτὸν εἰκόνα διαμορφοῦν.

Β. Ἆρ' οὖν, εἰπέ μοι, τὸν θεῖον ἐν ἡμῖν ἐξεικονισμόν, ὃν ἡ τοῦ ἀνθρώπου φύσις καταπλουτῆσαι λέγεται (πεποίηται γὰρ κατ' εἰ-

του ὁ Θεὸς καὶ Πατέρας. Καὶ ποιὸς θὰ μποροῦσε νὰ εἶναι ὁ λόγος αὐτοῦ, ἢ πῶς ἀκριβῶς ἔχει τὸ θέμα, ἂς τὸ ἐξετάσουμε ἐδῶ καλύτερα. Ὁ Υἱὸς δηλαδή, ὅπως πιστεύουν μόνο αὐτοὶ κατὰ τρόπον ἀνόσιο, δέχεται μέσα του τὸν Πατέρα ἔχοντας ἀνάγκη ἁγιασμοῦ. Τί ὅμως θὰ μποροῦσε κανεὶς νὰ σκεφθεῖ ὅτι κέρδισε ὁ ἴδιος ὁ Πατέρας, ἔχοντας τὸν Υἱὸ μέσα του; Ἐὰν ποῦν ὅτι αὐτὸς εἶναι ὁ τρόπος κατὰ τὸν ὁποῖο πρέπει νὰ ἁγιάζεται αὐτὸ ποὺ ἀπὸ τὴ φύση του εἶναι προορισμένο νὰ ἁγιασθεῖ, τότε γιατί καὶ ἐμεῖς, δεχόμενοι τὸ Πνεῦμα, δὲν μετακινηθήκαμε σ' αὐτό, ὥστε ἐκεῖνο νὰ κατοικεῖ μέσα μας καὶ ἐμεῖς πάλι μέσα σ' ἐκεῖνο; Ἐὰν ὅμως τοὺς ἐνοχλεῖ ἡ μεγάλη ἀπρέπεια (γιατὶ τὸ Πνεῦμα ἔρχεται μέσα σὲ μᾶς, καί ὄχι ἐμεῖς μέσα σ' αὐτὸ κατὰ φύση), πῶς δὲν κολυμποῦν πάνω σὲ μάταιους συλλογισμούς, πιστεύοντας ὅτι δὲν πρέπει νὰ ἀποδίδεται στὴν ταυτότητα τῆς οὐσίας τὸ ὅτι ὁ Υἱὸς κατοικεῖ μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα στὸν Υἱὸ, ἀλλὰ προτιμοῦν νὰ διατείνονται καὶ νὰ πιστεύουν, ὅτι ὁ Πατέρας κατοικεῖ μέσα στὸν Υἱὸ κατὰ τὸν τρόπο τῶν ἀπ' ἔξω προερχόμενων ἀγαθῶν; Ἐξάλλου, νομίζω πὼς θὰ χρειασθεῖ νὰ ποῦμε καὶ τὸ ἑξῆς· Μὲ τὴν ἕνωσή μας μὲ τὸν Υἱό, διὰ τοῦ ἁγίου Πνεύματος, ἡ ὁποία ἐνεργεῖται σ' αὐτοὺς ποὺ θέλουν, δὲν ματαμορφωνόμαστε σὲ υἱούς, ἀφοῦ ὁ Υἱὸς μᾶς ἐπαναφέρει στὴ δική του δόξα, χαράσσοντας τὰ χαρακτηριστικὰ τῆς δικῆς του μορφῆς καὶ ἐγγράφοντας αὐτὰ κατὰ κάποιο τρόπο στὶς ψυχὲς αὐτῶν ποὺ τὸν δέχονται;

Β. Καὶ βέβαια.

Α. Ὑπάρχει δηλαδὴ ὡς ἐνέργεια φυσικὴ στὸν Υἱὸ ἡ δυνατότητα νὰ κάνει υἱούς, καὶ τὴν ἔχει, ὅπως ἐγὼ πιστεύω, καλῶς καὶ ἄμεμπτα, ὄχι γιὰ κανένα ἄλλο λόγο, παρὰ ἐπειδὴ εἶναι Υἱός;

Β. Ἂς δεχθοῦμε ἔτσι· ἀλλὰ τί βγαίνει ἀπὸ αὐτό;

Α. Ὅτι ἡ ἐγκατοίκηση τοῦ Πατέρα, σύμφωνα μὲ τὸν φυσικὸ καὶ ἀκριβῆ συλλογισμό, δεχόμαστε ὅτι δὲν κάνει κάτι ἄλλο, ἀλλὰ μεταποιεῖ αὐτὸ ποὺ γεμίζει ἀπὸ ἐκεῖνον, ὅπως συμβαίνει καὶ μὲ τὸν Υἱό. Γιατὶ ὁ Πατέρας ἀναδεικνύει ὄχι σὲ Υἱό, ἀλλὰ σὲ Πατέρα αὐτὸν στὸν ὁποῖο θὰ θελήσει νὰ κατοικήσει καὶ τὸν μεταμορφώνει σύμφωνα μὲ τὴ δική του εἰκόνα.

Β. Ἄρα λοιπόν, πές μου, ἡ εἰκόνα τοῦ Θεοῦ μέσα μας, τὴν ὁποία λέγεται ὅτι ἀποκτᾶ ἡ ἀνθρώπινη φύση (γιατὶ δημιουργήθηκε «κατ'

*κόνα καὶ ὁμοίωσιν Θεοῦ), πρὸς μόνην ἐμφέρειαν τὴν εἰς Υἱὸν εἶναι δώσομεν, ἢ καὶ εἰς τοῦτο συνεισδεξόμεθα τῷ Υἱῷ τὸν Πατέρα, καὶ πρὸς ὅλην ἐροῦμεν τὴν θείαν ἡμᾶς μεμορφῶσθαι φύσιν, καίτοι χρηματίζοντας υἱοὺς καὶ τεταγμένους ἐν τέκνοις;*

*Α. Εἶτα, ὦ φιλότης, οὐκ οἴει χρῆναι νοεῖν ὡς ὁ σύμπας ἡμῖν τῆς πίστεως ἔν γε τουτῳῒ λόγος εἰς μίαν μὲν βλέπει θεότητος φύσιν, τὴν ἐν τρισὶν ὑποστάσεσιν ἰδικαῖς, αἳ σύμμορφοι καὶ ταὐτοειδεῖς ἀλλήλαις εἰς ἕν τι τὸ ἀνωτάτω συνθέουσι κάλλος, πρὸς ὃ καὶ ἡμεῖς μεμορφώμεθα, κατὰ τὰς Γραφάς, κατεσφραγίσμεθα δὲ πρὸς υἱότητα δι᾽ Υἱοῦ ἐν Πνεύματι; Εἴη γὰρ ἂν εἰκὼν Υἱοῦ μὲν υἱότης, Πατρὸς δὲ πατρότης· οὐκοῦν υἱοὶ δι᾽ Υἱόν, εἰκὼν δὲ Θεοῦ καὶ ὁμοίωσις ἡμεῖς, πρὸς ὅλην οὕτω τὸ ἐν ἀρχαῖς πεπλαστουργημένοι τὴν φύσιν, δῆλον δὲ ὅτι τὴν ἀνωτάτω.*

*Β. Εὖ λέγεις.*

*Α. Ἀδολεσχία τοιγαροῦν, τὸ τελοῦν εἰς ὄνησιν οὐδὲν ἔχουσα παντελῶς, τὸ ὑπερτείνεσθαι φιλεῖν εἰς τὴν τοῦ πρέποντος ἐπέκεινα ζήτησιν. Χρῆμα δὲ οἶμαι σοφὸν τὸ διασκέπτεσθαι καὶ φρονεῖν τὰ οἷσπερ ἂν ἕποιτο πάντῃ τε καὶ πάντως τὸ λυσιτελές.*

*Β. Κομιδῇ μὲν οὖν.*

*Α. Ὕθλοι δὴ οὖν τὰ ἐκείνων, καὶ διερρίφθω μακρὰν πρὸς αὐτό που τὸ λοῖσθον ἥκοντα τῶν κακῶν. Ἥκιστα δὲ ἡμεῖς οἰηθείημεν ἄν ποτε νόθον μὲν εἶναι Θεὸν καὶ ἀρτιφανῆ τὸν Υἱόν, ἁγιάζεσθαί τε, ἤγουν εἰς υἱότητα διακεκλῆσθαι παρὰ Θεοῦ, καὶ δόξαν ἑλεῖν τὴν εἰσποίητον σὺν ἡμῖν, φύσεως δὲ μᾶλλον διακεκτῆσθαι νόμῳ τοῦθ᾽ ὅπερ ἐστίν. Υἱοποιηθείη δ᾽ ἂν οὔ τί που διὰ τοῦ ἰδίου Πνεύματος. Ὅτι γὰρ ἴδιον τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ τοῦ Πατρός, ἀναμάθοι τις ἄν, καὶ λίαν ἀμογητί, αὐτοῦ μὲν λέγοντος, «Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;»· καὶ πάλιν· «Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πα-*

66. Γέν. 1, 26. 67. Ρωμ. 8, 29. 68. Ματθ. 7, 11.

εἰκόνα καὶ ὁμοίωση»[66] τοῦ Θεοῦ), θὰ δεχθοῦμε ὅτι ἀναφέρεται μόνο στὴν ὁμοιότητα τοῦ Υἱοῦ, ἢ θὰ δεχθοῦμε καὶ σ' αὐτὸ μαζὶ μὲ τὸν Υἱὸ καὶ τὸν Πατέρα, καὶ θὰ ποῦμε ὅτι πλασθήκαμε ὅμοιοι μὲ ὁλόκληρη τὴ θεία φύση, μολονότι εἴμαστε υἱοὶ καὶ καταταγμένοι ἀνάμεσα στὰ τέκνα;

Α. Ἔπειτα, φίλε, δὲν νομίζεις ὅτι πρέπει νὰ σκεφθεῖς, πὼς ὅλος αὐτὸς ἐδῶ ὁ λόγος μας τῆς πίστεως ἀναφέρεται στὴ μία φύση τῆς θεότητας, ἡ ὁποία ὑπάρχει σὲ τρεῖς ἰδιαίτερες ὑποστάσεις, οἱ ὁποῖες, ἐπειδὴ εἶναι ὁμοιόμορφες καὶ ταυτόσημες μεταξύ τους, συνάπτονται σέ ἕνα, τὸ ἀνώτατο κάλλος, πρὸς τὸ ὁποῖο μεταμορφωνόμαστε καὶ ἐμεῖς, σύμφωνα μὲ τὶς Γραφές, ἀλλὰ παίρνουμε τὴ σφραγίδα γιά τὴν υἱότητα μέσω τοῦ Υἱοῦ μὲ τὸ ἅγιο Πνεῦμα[67]; Γιατὶ ἡ υἱότητα εἶναι εἰκόνα τοῦ Υἱοῦ, ἐνῶ τοῦ Πατέρα ἡ πατρότητα· λοιπὸν ἐμεῖς εἴμαστε υἱοὶ ἐξαιτίας τῆς υἱότητας, εἰκόνα ὅμως καὶ ὁμοίωση τοῦ Θεοῦ, πλασμένοι ἔτσι ἀπὸ τὴν ἀρχὴ πρὸς ὅλη τὴ φύση, ἐννοῶ τὴν ἀνώτατη.

Β. Σωστὰ τὰ λές.

Α. Ἑπομένως ἀποτελεῖ φλυαρία, ποὺ δὲν ἔχει ἐντελῶς τίποτε ποὺ νὰ συντελεῖ σὲ ὠφέλεια, τὸ νὰ θέλουν νὰ ἐπεκταθεῖ πέρα ἀπὸ τὸ πρέπον ἡ συζήτηση. Θεωρῶ ὅμως πρᾶγμα σοφὸ τὸ νὰ συζητοῦμε καὶ νὰ πιστεύουμε ἐκεῖνα ποὺ ἔχουν σὲ κάθε περίπτωση καὶ ὁπωσδήποτε ὡς ἐπακόλουθο τὴν ὠφέλεια.

Β. Πολὺ σωστά.

Α. Εἶναι μῦθοι λοιπὸν αὐτὰ ποὺ λένε ἐκεῖνοι, καὶ πρέπει νὰ ρίχνονται μακριά, γιατὶ φθάνουν στὸ ἔσχατο ὅριο τῶν κακῶν. Ἐνῶ ἐμεῖς ποτὲ δὲν θὰ μπορούσαμε νὰ πιστέψουμε, ὅτι ὁ Υἱὸς εἶναι Θεὸς νόθος καὶ καινοφανής, καὶ ὅτι ἁγιάζεται, δηλαδὴ καλεῖται σὲ υἱοθεσία ἀπὸ τὸν Θεό, καὶ παίρνει δόξα υἱοθετημένη μαζὶ μὲ μᾶς, καὶ ἀποκτᾶ μὲ νόμο αὐτὸ ποὺ εἶναι κατὰ φύση. Γιατὶ δὲν θὰ μποροῦσε κάτι νὰ υἱοποιηθεῖ διὰ τοῦ δικοῦ του Πνεύματος. Ὅτι βέβαια τὸ Πνεῦμα εἶναι τοῦ Υἱοῦ, ὅπως ἀκριβῶς καὶ τοῦ Πατέρα, μπορεῖ κανεὶς νὰ τὸ μάθει, καὶ πολὺ ἄκοπα, ἀκούοντας αὐτὸν τὸν ἴδιο νὰ λέγει· «Ἐὰν λοιπὸν ἐσεῖς, ποὺ εἴσαστε κακοί, γνωρίζετε νὰ δίνετε πράγματα ὠφέλιμα στὰ παιδιά σας, πόσο μᾶλλον ὁ Πατέρας σας ὁ οὐράνιος θὰ δώσει πράγματα ἀγαθὰ σ' ἐκείνους ποὺ τοῦ ζητοῦν;»[68]. Καὶ πάλι· «Γιατὶ δὲν εἴσαστε σεῖς ποὺ μιλᾶτε, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατέρα σας

*πρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν». Ὡδὶ δὲ καὶ Παύλου τοῖς πιστεύουσιν ἐπιστέλλοντος· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ τὴν ἁμαρτίαν, τὸ δὲ Πνεῦμα ζωὴ διὰ δικαιοσύνην». Τὸ τοίνυν ἡμᾶς τοὺς ἐπὶ τῆς γῆς τῇ τῆς υἱότητος δόξῃ καταχρυσοῦν, φημὶ δὴ τὸ Πνεῦμα, ἐπείπερ ἐστὶ τοῦ Υἱοῦ, ἐνεργήσει μὲν εἰς ἑτέρους τὴν υἱοποίησιν, ἀπρακτήσει δὲ παντελῶς περὶ τὸν οὗπέρ ἐστιν, οὐκ εἰσκεκριμένον, οὔτε μὴν ἔξωθεν εἰσπεφοιτηκός, ἀλλ' οὐσιωδῶς ὑπάρχον αὐτοῦ, καὶ δι' αὐτοῦ προχεόμενον τοῖς ἑλεῖν ἀξίοις ἐν εὐδοκίᾳ Πατρός. Ἢ οὐκ ὀρθῶς σοι ταῦτα φάναι τε καὶ ἐννενοῆσθαι δοκῶ;*

*Β. Πάντάπασι μὲν οὖν.*

*Α. Ὁ δὲ δὴ τῶν θείων ἡμῖν μυστηρίων ἱερουργὸς Ἰωάννης, ὅταν εἰς μέσον ἥκῃ βοῶν περί τε Θεοῦ καὶ ἡμῶν, «Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν», πῶς οὐ παντελῶς ἀταλαίπωρον ἰδεῖν ὅτι Θεὸς ἀληθῶς καὶ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἐκπεφοίτηκεν ὁ Υἱός, εἴπερ ἐστὶν ὡς Θεὸς καὶ οὐχ ἕτερόν τι κατοικοῦν ἐν ἡμῖν τὸ Πνεῦμα αὐτοῦ; Καὶ πρός γε τούτῳ φημί, εἰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός, ἐν ᾧ τὴν τῶν εἰς τὸ εἶναι παρενηνεγμένων ζωοποιεῖ τε καὶ ἁγιάζει φύσιν, ἴδιόν ἐστι καὶ τοῦ Υἱοῦ, τίς ἂν εἰς τοῦτο προήκοι χυδαιότητος λογισμῶν ὡς νοεῖν ἢ φράσαι τῆς πρὸς Πατέρα καὶ Θεὸν ὁμοουσιότητος ἐκπεφοιτηκέναι καὶ τελεῖν ἐν κτίσμασι, καὶ οὐχὶ τὰ τῆς θείας φύσεως ἴδια καὶ ἐξαίρετα τῶν ταύτης ὅρων ἐξοίσει τε καὶ χαριεῖται τῇ κτίσει, ὡς ὁρᾶσθαι λοιπὸν τὸ παραλλάττον οὐδέν, ἰσομέτρως δὲ εἶναι λαμπρὰν κτίσιν τε καὶ φύσιν ᾗ τὸ κατὰ πάντων ἔνεστι κράτος;*

*Β. Σφαλερὸν τὸ χρῆμα. Πῶς γὰρ οὔ;*

*Α. Οὐκοῦν, ἐπειδήπερ τοῖς τοῦ Πατρὸς ἰδιώμασιν ἐκλελαμπρυσμένον παρά γε τοῖς ἱεροῖς Γράμμασι καταθρῆσαι τις ἂν εὖ μάλα τὸν Μονογενῆ, φέρε δή, φέρε, καὶ ἑτέρας ἐννοίας τοῖς εἰρη-*

---

69. Ματθ. 10,20. 69α. Ρωμ. 8,9-10. 70. Α' Ἰω. 4,13.

ποὺ μιλάει μέσα σας»[69]. Κατὰ τὸν ἴδιο τρόπο ὅμως γράφει καὶ ὁ Παῦλος σ' αὐτοὺς ποὺ πιστεύουν· «Σεῖς ὅμως δὲν εἴσαστε σαρκικοί, ἀλλὰ πνευματικοί, ἐὰν βέβαια κατοικεῖ μέσα σας Πνεῦμα Θεοῦ. Γιατὶ ἂν κάποιος δὲν ἔχει Πνεῦμα Χριστοῦ, αὐτὸς δὲν εἶναι δικός του. Ἐὰν ὅμως ὁ Χριστὸς εἶναι μέσα σας, τότε τὸ σῶμα σας εἶναι νεκρὸ ἐξαιτίας τῆς ἁμαρτίας, ἀλλὰ τὸ πνεῦμα σας εἶναι ζωή, λό-γω τῆς δικαιώσεώς σας»[69]. Αὐτὸ λοιπὸν ποὺ ἐμᾶς τοὺς γήινους μᾶς καταλαμπρύνει μὲ τὴ δόξα τῆς υἱοθεσίας, ἐννοῶ βέβαια τὸ Πνεῦμα, ἐφόσον εἶναι τοῦ Υἱοῦ, ἐνεργεῖ βέβαια τὴν υἱοθεσία σὲ ἄλλους, ἀλλὰ ἀδρανεῖ τελείως ὅταν πρόκειται γι' αὐτὸν τοῦ ὁποίου εἶναι, χωρὶς νὰ εἰσάγεται ἢ νὰ ἔρχεται ἀπὸ ἔξω, ἀλλὰ ὄντας δικό του οὐσιαστικά, καὶ μὲ τὴν συγκατάθεση τοῦ Πατέρα χύνεται μέσω αὐτοῦ στοὺς ἄξιους ποὺ τὸ θέλουν. Ἢ μήπως νομίζεις ὅτι αὐτὰ δὲν ἔχουν εἰπωθεῖ καὶ κατανοηθεῖ σωστά;

Β. Συμφωνῶ ἀπόλυτα.

Α. Ὅταν πάλι ἔρχεται στὴ μέση ὁ λειτουργὸς τῶν θείων μας Ἰωάννης καὶ φωνάζει γιὰ τὸν Θεὸ καὶ γιὰ μᾶς, «Μὲ αὐτὸ γνωρίζουμε ὅτι βρίσκεται μέσα μας, γιατὶ μᾶς ἔδωσε ἀπὸ τὸ Πνεῦμα του»[70], πῶς δὲν εἶναι τελείως ἄκοπο νὰ δοῦμε ὅτι ὁ Υἱὸς εἶναι Θεὸς ἀληθινός, καὶ ὅτι προῆλθε ἀπὸ τὴν οὐσία τοῦ Πατέρα, ἐὰν τὸ Πνεῦμα του ποὺ κατοικεῖ μέσα μας εἶναι Θεός, καὶ ὄχι κάτι ἄλλο; Καὶ μαζὶ μ' αὐτὸ λέγω καὶ τοῦτο· ἐὰν τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατέρα, μὲ τὸ ὁποῖο ζωοποιεῖ καὶ ἁγιάζει τὴ φύση αὐτῶν ποὺ ἦρθαν στὴν ὕπαρξη, εἶναι καὶ Πνεῦμα τοῦ Υἱοῦ, ποιὸς θὰ ἔφτανε σὲ τέτοιο βαθμὸ χυδαιότητας συλλογισμῶν, ὥστε νὰ σκέφτεται ἢ νὰ λέγει, ὅτι ὁ Υἱὸς ἔχει χάσει τὴν ὁμοουσιόπτητα πρὸς τὸν Πατέρα καὶ Θεό, καὶ βρίσκεται μεταξὺ τῶν κτισμάτων, καὶ δὲν προσφέρει οὔτε χαρίζει στὴν κτίση τὰ ἰδιώματα τῆς θείας φύσεως καὶ τὰ ἐξαίρετα προσόντα τῶν δικῶν της ὁρίων, σὲ σημεῖο ποὺ νὰ μὴ φαίνεται νὰ διαφέρει σὲ τίποτε, καὶ νὰ εἶναι σὲ ἴσο βαθμὸ λαμπρὴ ἡ κτίση καὶ ἡ φύση, μέσα στὴν ὁποία ὑπάρχει ἡ δύναμη κατὰ πάντων;

Β. Εἶναι ἐσφαλμένο τὸ πρᾶγμα. Πῶς δηλαδὴ ὄχι;

Α. Ἄρα λοιπόν, ἐπειδὴ εὔκολα μπορεῖ νὰ διαπιστώσει κανείς, ὅτι ὁ Μονογενὴς ἐμφανίζεται στὶς ἅγιες Γραφὲς στολισμένος μὲ τὰ ἰδιώματα τοῦ Πατέρα, ἐμπρὸς λοιπόν, συγκεντρώνοντας καὶ ἄλλες

*μένοις ἐπισυλλέγοντες, τὸν ἀδρανῆ καὶ ἀπόπληκτον τῶν δι᾽ ἐναντίας ἐκπολιορκῶμεν λόγον, καὶ παραθῶμεν εἰς μέσον τὰ δι᾽ ὧν ἂν φαίνοιτο καὶ ἰσουργὸς καὶ ἰσοσθενὴς τῷ Θεῷ καὶ Πατρί, καὶ μὴν καὶ Θεός, οὐ τοῖς κατὰ χάριν εἰς τοῦτο ἱγμένοις ἐναρίθμιος ὤν, οὔτε μὴν εὐκλείαις ταῖς ἔξωθεν κατηγλαϊσμένος, ἀληθινὸς δὲ μᾶλλον, καὶ τὸ κατά τι γοῦν ὅλως μειονεκτεῖσθαι φυγὼν τῆς τοῦ τεκόντος ὑπεροχῆς, ἥσπερ ἀνέχειν νοοῖτο κατὰ παντὸς γενητοῦ.*

*Β. Ὡς πολλοῦ γε, ὦ τᾶν, μᾶλλον δὲ τοῦ παντὸς ἄξιον φαίην ἂν ἔγωγε τουτί.*

*Α. Οἴει δὴ οὖν, ὦ ἑταῖρε, μετεῖναί τινι τῶν κεκλημένων εἰς ὕπαρξιν τὸ ἐνεργεῖν δύνασθαι καὶ διαπεραίνειν εὐκόλως ἅπερ ἂν αὐτὴ καὶ μόνη κατορθώσειεν ἥ γε τῶν ὅλων κατάρχουσα φύσις;*

*Β. Οὐδενί.*

*Α. Ὀρθῶς ἔφης. Ἀνάπτει δὴ οὖν ὁ ἱερώτατος Παῦλος ὡς ὑπερφυὲς καὶ ἐξαίρετον καὶ τοὺς ὅρους ὑπερτρέχον παντός, οἶμαι, τοῦ πεποιημένου τῷ Θεῷ καὶ Πατρὶ τὸ ζωογονεῖν δύνασθαι τοὺς νεκρούς. Ἔφη δὲ οὕτως· «Οὗ δὲ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις. Διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε κατέναντι οὗ ἐπίστευσε Θεοῦ τοῦ ζωογονοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα». Ἴθι δὴ οὖν καὶ ἐπ᾽ αὐτήν, εἰ δοκεῖ, τὴν τοῦ Υἱοῦ δόξαν. Ἥκιστα μὲν γὰρ ἐν μείοσιν ἢ ἐν οἷς ὁ Πατήρ, ἰσομέτροις δὲ μᾶλλον ταῖς ἐνεργείαις κατεστεμμένον κατόψει δὴ πάλιν· Ὁ αὐτὸς γὰρ ἡμῖν ἔφη Παῦλος· «Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται». Ζωὴ γάρ ἐστιν, οὐχ ἑτεροίως ἔχων ἔν γε τοῖς καθ᾽ ἑαυτὸν ἢ ὥσπερ ἂν εἴη καὶ αὐτὸς ὁ Πατήρ. Διεπύθου γάρ που λέγοντος αὐτοῦ· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω*

---

71. Ρωμ. 4, 15-17. 72. Α' Κορ. 15, 22.

σκέψεις σ' αὐτὲς ποὺ ἤδη εἴπαμε, ἂς ἐκπολιορκήσουμε τὸν ἀδύναμο καὶ ἀπόπληκτο λόγο τῶν ἀντιθέτων, καὶ νὰ προσκομίσουμε ἐκεῖνα μὲ τὰ ὁποῖα ἀποδεικνύεται ὅτι κάνει τὰ ἴδια ἔργα καὶ εἶναι ἰσοδύναμος μὲ τὸν Θεὸ καὶ Πατέρα, καὶ μάλιστα Θεός, ὁ ὁποῖος δὲν συγκαταλέγεται ἀνάμεσα σ' ἐκείνους ποὺ ἔχουν κατὰ χάρη τὴν υἱοθεσία, οὔτε εἶναι στολισμένος μὲ ἐπίκτητες δόξες, ἀλλ' εἶναι Θεὸς ἀληθινός, ὁ ὁποῖος δὲν μειονεκτεῖ σὲ τίποτε ἀπὸ τὴν ὑπεροχὴ τοῦ Πατέρα, καὶ ὡς πρὸς αὐτὸ νοεῖται ὅτι εἶναι ἀνώτερος ἀπὸ κάθε κτιστό.

Β. Αὐτό, φίλε μου, θὰ ἔλεγα ἐγὼ ὅτι εἶναι πάρα πολύ, καὶ μᾶλλον ἄξιο τοῦ παντός.

Α. Πιστεύεις λοιπόν, φίλε, ὅτι συμμετέχει κάποιο ἀπὸ τὰ δημιουργήματα, στὸ νὰ μπορεῖ νὰ κάνει καὶ νὰ φέρνει σὲ πέρας εὔκολα, αὐτὰ ποὺ μόνο αὐτή, ἡ φύση ποὺ εἶναι κυρία ὅλων, μπορεῖ νὰ κατορθώσει;

Β. Κανένα.

Α. Μίλησες σωστά. Ὁ ἱερώτατος Παῦλος λοιπὸν προσάπτει ὡς ὑπερφυσικὸ καὶ ἐξαίρετο προσόν, ποὺ, ὅπως νομίζω, ξεπερνάει τὰ ὅρια κάθε κτίσματος ποὺ ἔγινε ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, τὸ νὰ μπορεῖ νὰ ἀνασταίνει τοὺς νεκρούς. Λέγει λοιπὸν τὰ ἑξῆς· «Ἐκεῖ ὅπου δὲν ὑπάρχει νόμος, δὲν ὑπάρχει οὔτε παράβαση. Γι' αὐτὸ ἡ ὑπόσχεση ἐξαρτᾶται ἀπὸ τὴν πίστη, γιὰ νὰ εἶναι σὰν δῶρο χάριτος καὶ νὰ ἰσχύει γιὰ ὅλους τοὺς ἀπογόνους τοῦ Ἀβραάμ, ὄχι μόνο γι' αὐτοὺς ποὺ ἐξαρτῶνται ἀπὸ τὸν νόμο, ἀλλὰ καὶ γιὰ ἐκείνους ποὺ ἔχουν τὴν πίστη τοῦ Ἀβραάμ, ὁ ὁποῖος εἶναι πατέρας ὅλων μας, ὅπως ἔχει γραφεῖ, Σὲ ἔκανα πατέρα πολλῶν ἐθνῶν, ἐξαιτίας τῆς πίστεώς του πρὸς τὸν Θεό, ὁ ὁποίος δίνει ζωὴ στοὺς νεκροὺς καὶ καλεῖ αὐτὰ ποὺ δὲν ὑπάρχουν, σὰν νὰ ὑπάρχουν»[71]. Ἔλα λοιπόν, ἂν τὸ θεωρεῖς σωστό, καὶ στὴν ἴδια τὴ δόξα τοῦ Υἱοῦ. Καὶ πάλι θὰ τὸν δεῖς νὰ μὴ εἶναι κατώτερος ἀπὸ ὅ,τι ὁ Πατέρας, ἀλλὰ νὰ εἶναι στεφανωμένος μὲ ἴσες πρὸς ἐκεῖνον ἐνέργειες. Γιατὶ ὁ ἴδιος Παῦλος μᾶς εἶπε· «Ὅπως δηλαδὴ μέσω τοῦ Ἀδὰμ ὅλοι πεθαίνουν, ἔτσι μέσω τοῦ Χριστοῦ ὅλοι θὰ ζωοποιηθοῦν»[72]. Γιατὶ εἶναι ζωή, καὶ δὲν εἶναι διαφορετικὸς ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ εἶναι ὅπως καὶ ὁ ἴδιος ὁ Πατέρας. Ἐξάλλου τὸν ἄκουσες νὰ λέγει κάπου· «Ὅπως ὁ Πατέρας ἀνασταίνει καὶ ζωοποιεῖ τοὺς νεκρούς, ἔτσι καὶ ὁ Υἱὸς ζωοποιεῖ ἐκείνους ποὺ θέλει»[73]. Γι'

*καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Τοιγάρτοι τὸ θεοπρεπὲς εἰς ἐνέργειαν μήνυσιν ἐναργῆ τῆς ἑαυτοῦ φύσεώς τε καὶ δόξης ἐποιεῖτο λέγων· «Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύετε». Ἦ γὰρ οὐχὶ διὰ τούτων ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἠξίου γνωρίζεσθαι; Ὡς εἴπερ τῳ φαίνοιτο προσὸν τὸ ἰσουργεῖν δύνασθαι τῷ Θεῷ, ἰσοκλεὴς πάντως που καὶ ἕτερον οὐδὲν εἴη ἂν ἢ Θεός. Ἄγει γάρ, οἶμαι, πρὸς τοῦτο ἡμᾶς ὁ λόγος.*

*Β. Ἔοικεν. Οὐ γὰρ ἂν ᾠήθη δεῖν τοῖς ἴσοις ἀπαραλλάκτως ἐπαυχεῖν κατορθώμασι, μὴ οὐχὶ τῆς ἴσης μεταποιούμενος δόξης.*

*Α. Ἱεροῦ δὲ ἡμῖν ἐπιφωνοῦντος Γράμματος· «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα», πόθεν ἂν ᾠήθης αὐτὸς τὴν τῶν θείων ἡμῖν χαρισμάτων πράττεσθαι διανομήν;*

*Β. Ἐκ Θεοῦ Πατρὸς δηλονότι.*

*Α. Καὶ μὴν τοῖς ἁγίοις ἀποστόλοις ἐπ' ἐξουσίας ἐδίδου τὴν κατὰ πνευμάτων ἀκαθάρτων εὐσθένειαν ὁ Χριστός, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Καὶ τὸ ἔτι τούτων ὑπερτεροῦν, καὶ αὐτοῦ δύνασθαι καταθλεῖν θανάτου διεκελεύετο, θεοπρεπέστατα λέγων· «Ἀσθενοῦντας θεραπεύετε καὶ νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε». Διωμολόγηκέ τε καὶ μάλα σαφῶς ὁ θεσπέσιος ἡμῖν Ἰωάννης λέγων· «Ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν». Δόσις δὲ ἀγαθὴ καὶ δώρημα τέλειον εἴη ἂν ἕτερόν τι, κατά γε τὸ αὐτῷ σοι δοκοῦν, πλὴν ὅτι τοι τὸ μεταλαχεῖν ἁγίου Πνεύματος;*

*Β. Οὐδαμῶς.*

*Α. Ἄθρει δὴ οὖν καὶ διὰ τούτων ἡμῖν, ὦ φιλότης, ἐξ ἰδίου πληρώματος προϊέντα τὸν Υἱὸν τὸ ἴδιον αὐτοῦ καὶ ἀναποβλήτως ἐμπεφυκὸς ἅγιον Πνεῦμα, δι' οὗ πᾶσα δόσις ἀγαθή. Ἐπειδὴ γὰρ ἀνέβη ὁ καταλύσας τὴν φθορὰν καὶ τοῖς τοῦ θανάτου δεσμοῖς ἐρρῶσθαι φράσας, ἀνακομίζων ἡμᾶς εἰς ἁγιασμὸν καὶ τὸ ἀρχαῖον*

73. Ἰω. 5, 21. 74. Ἰω. 10, 37-38. 75. Ἰακ. 1, 17.
76. Ματθ. 9, 35. 76α. Ματθ. 10, 8. 77. Ἰω. 1, 16. 78. Ἰακ. 1, 17.

αὐτὸ καὶ τὶς θεϊκὲς ἐνέργειες του τὶς ἔκανε σαφῆ φανέρωση τῆς φύσεως καὶ τῆς δόξας του, λέγοντας· «Ἐὰν δὲν κάνω τὰ ἔργα τοῦ Πατέρα μου, μὴ μὲ πιστεύετε· ἐὰν ὅμως τὰ κάνω, τότε, καὶ ἂν ἀκόμα δὲν πιστεύετε σὲ μένα, πιστέψατε στὰ ἔργα μου»[74]. Ἢ μήπως δηλαδὴ μὲ αὐτὰ δὲν ἤθελε νὰ γίνει γνωστό, ὅτι εἶναι κατὰ φύση Θε-ός; Ὅπως, ἐὰν κάποιος φαινόταν ὅτι ἔχει τὴ δυνατότητα νὰ κάνει ἔργα ἴσα μ' αὐτὰ ποὺ κάνει ὁ Θεός, εἶναι ὁπωσδήποτε ἴσης δόξας καὶ δὲν μπορεῖ νὰ εἶναι τίποτε ἄλλο, παρὰ Θεός. Γιατὶ νομίζω ὅτι ὁ λό-γος μᾶς ὁδηγεῖ στὸ συμπέρασμα αὐτό.

Β. Ἔτσι φαίνεται. Γιατὶ δὲν θὰ μποροῦσε νὰ θεωρηθεῖ, ὅτι, ἐνῶ καυχιέται γιὰ τὰ ἴδια ἀπαράλλακτα κατορθώματα, δὲν ἔχει καὶ τὴν ἴδια δόξα.

Α. Καὶ ὅταν ἡ ἁγία Γραφὴ διακηρύττει σὲ μᾶς, «Κάθε χάρισμα καλὸ καὶ κάθε δῶρο τέλειο ἔρχεται ἀπὸ πάνω, ἀπὸ τὸν Πατέρα τῶν φώτων, στὸν ὁποῖο δὲν ὑπάρχει μεταβολὴ ἢ σκιὰ μετατροπῆς»[75], ἀπὸ ποῦ νομίζεις ἐσὺ ὅτι γίνεται σὲ μᾶς ἡ διανομὴ τῶν θείων χαρισμάτων;

Β. Εἶναι φανερὸ ὅτι γίνεται ἀπὸ τὸν Θεὸ Πατέρα.

Α. Ἀλλὰ καὶ στοὺς ἁγίους ἀποστόλους μὲ ἐξουσία ἔδινε ὁ Χριστὸς τὴ δύναμη ἐναντίον τῶν ἀκαθάρτων πνευμάτων, ὥστε νὰ τὰ διώχνουν καὶ νὰ θεραπεύουν κάθε ἀσθένεια καὶ κάθε ἀδυναμία τοῦ λαοῦ[76]. Καὶ τὸ πιὸ ἀνώτερο ἀπὸ αὐτά, τοὺς ἔδωσε ἐξουσία ὥστε νὰ μποροῦν νὰ νικοῦν ἀκόμα καὶ τὸν ἴδιο τὸν θάνατο, λέγοντας μὲ τρόπο ποὺ ταίριαζε σὲ Θεό· «Νὰ θεραπεύετε ἀσθενεῖς, νὰ καθαρίζετε λεπρούς, νὰ ἀνασταίνετε νεκρούς, νὰ διώχνετε δαιμόνια»[76α]. Ἀλλὰ καὶ ὁ θεσπέσιος Ἰωάννης ὁμολογεῖ μὲ σαφήνεια λέγοντας· «Ὅτι ἀπὸ τὸ πλήρωμα αὐτοῦ ἐλάβαμε ὅλοι ἐμεῖς»[77]. Δόση ὅμως καλὴ καὶ δῶρο τέλειο μπορεῖ νὰ ὑπάρχει κάτι ἄλλο, ὅπως ἐσὺ νομίζεις, ἐκτὸς ἀπὸ τὸ νὰ γίνουμε κοινωνεῖ τοῦ Πνεύματος;

Β. Καθόλου.

Α. Πρόσεχε λοιπόν, φίλε, καὶ μέσω αὐτῶν, ὅτι ἀπὸ τὸ δικό του πλήρωμα στέλνει τὸ δικό του ἅγιο Πνεῦμα ποὺ ὑπάρχει μέσα του κατὰ φύση, χωρὶς νὰ ἀποβάλλεται, καὶ διὰ τοῦ ὁποίου Πνεύματος γίνεται κάθε καλὸ δόσιμο[78]. Ἀφοῦ δηλαδὴ ἀναστήθηκε καταργώντας τὴ φθορὰ καὶ ἐγκαταλείποντας τὰ δεσμὰ τοῦ θανάτου, ἐπαναφέροντας ἐμᾶς στὸν ἁγιασμὸ καὶ δίνοντας τὴν παλιὰ ὡραιότητα τῆς

*τῆς φύσεως κάλλος καθάπερ ἐν ἀπαρχῇ τοῦ γένους τοῖς ἀποστόλοις ἐντιθείς, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτῶν λέγων· «Λάβετε Πνεῦμα ἅγιον». Ἀλλ' εἴπερ ἐστὶν ἄνωθέν τε καὶ παρὰ Πατρὸς πᾶν δώρημα τέλειον, ἐνεργεῖ δὲ τὴν τούτων διανομὴν οὐ διακονικῶς ὁ Υἱός, ἐν ἐξουσίᾳ δὲ μᾶλλον τῇ θεοπρεπεῖ, κατὰ τίνα δὴ ἄρα λοιπὸν ἀφεστήξει τρόπον τοῦ μὴ εἶναι κατὰ φύσιν τοῦθ' ὅπερ ἐστὶν ὁ γεννήσας αὐτόν, ἀληθινὸς δηλονότι Θεός, καὶ οὐ νόθαις τισὶ καθάπερ ἐν πίνακι κατακεχρωσμένος τιμαῖς;*

*Β. Κατ' οὐδένα, καθάπερ ἔγῳμαι.*

*Α. Ὁ δὲ δὴ τῆς πίστεως λόγος οὐκ ἂν διαρκέσαι πρὸς ἔνδειξιν τὴν τελεωτάτην τοῦ κατὰ φύσιν εἶναι Θεὸν τὸν Υἱόν;*

*Β. Πῶς φῄς;*

*Α. Ὅτι Χριστῷ πιστεύοντες, πρόσιμεν οὕτω Θεῷ τῷ κατὰ φύσιν καὶ ἀληθινῷ, καὶ τῆς πολυθέου πλάνης ἀπηλλάγμεθα, τὸ κτίσει λατρεύειν ἐκβεβηκότες, καὶ τῆς ἐπὶ τούτῳ γραφῆς ἐλευθέραν ποιούμενοι τὴν προσκύνησιν. Καὶ γοῦν τοῖς κεκλημένοις διὰ τῆς πίστεως εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ὁ σοφὸς γράφει Παῦλος, πῇ μὲν ὅτι, «Διὸ μνημονεύετε ὑμεῖς, τὰ ἔθνη ἐν σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς ἐλπίδος τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ». Καὶ ἑτέρωθι δὲ πάλιν φησίν· «Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεόν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς, νυνὶ δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;». Ἄθεοι δὲ εἴπερ ἦσαν οἱ δίχα Χριστοῦ, καὶ Θεὸν ἐπεγνώκασι λοιπὸν διὰ τοῦ προσήκασθαι τὴν πίστιν καὶ συγκατανεῦσαι λέγοντι τῷ Υἱῷ· «Ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται, ὅτι πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ», πῶς οὐκ ἂν νοοῖτο Θεός, οὐ ταῖς καταπλάστοις καὶ ἔξωθεν εὐφημίαις πρός τε ἡμῶν αὐτῶν καὶ <τῶν ἁγίων> ἀγγέλων τιμώμενος, ἀλλ' οὐσιωδῶς εἶναι πεπιστευμένος ὅπερ ἐστίν, ἀληθῶς Θεὸς δηλονότι καὶ ἐκ Θεοῦ κατὰ φύσιν; Τί γάρ, εἰπέ μοι, δοίης ἂν ἐννε-*

---

79. Ἰω. 20, 22. 80. Ἐφ. 2, 11-12. 81. Γαλ. 4, 8-9. 82. Ἰω. 3, 18.

φύσεως στοὺς ἀποστόλους, ὅπως ἦταν στὴν ἀρχὴ τῆς δημιουργίας τοῦ ἀνθρώπινου γένους, φύσηξε στὸ πρόσωπό τους λέγοντας· «Λάβετε Πνεῦμα ἅγιο»[79]. Ἐφόσον λοιπὸν κάθε τέλειο δῶρο ἔρχεται ἀπὸ πάνω, ἀπὸ τὸν Πατέρα, καὶ τὴ διανομὴ τῶν δώρων τὴν κάνει ὁ Υἱός, ὄχι σὰν ὑπηρέτης, ἀλλὰ μὲ ἐξουσία θεϊκή, μὲ ποιὸν τρόπο λοιπὸν δὲν θὰ εἶναι κατὰ φύση αὐτὸ ποὺ εἶναι καὶ ὁ Πατέρας ποὺ τὸν γέννησε, δηλαδὴ ἀληθινὸς Θεός, καὶ ὄχι βαμμένος μὲ νόθες τιμές, σὰν ζωγραφικὸς πίνακας;

Β. Κατὰ κανένα τρόπο, ὅπως ἐγὼ νομίζω.

Α. Ἀλλὰ καὶ ὁ λόγος τῆς πίστεως δὲν ἀρκεῖ νὰ ἀποδείξει τελειότατα, ὅτι ὁ Υἱὸς εἶναι κατὰ φύση Θεός;

Β. Τί ἐννοεῖς;

Α. Ὅτι πιστεύοντας στὸν Χριστό, πλησεγγίζουμε μὲ τὸν τρόπο αὐτὸν τὸν κατὰ φύση καὶ ἀληθινὸ Θεό, καὶ ἀπαλλασσόμαστε ἀπὸ τὴν πολυθεϊστικὴ πλάνη, ἀποβάλλοντας τὴ λατρεία τῆς κτίσεως, καὶ ἀπελευθερούμενοι ἀπὸ τὴν προσκύνηση τῆς εἰκόνας τους. Γι᾽ αὐτὸ καὶ ὁ σοφὸς Παῦλος γράφει σ᾽ αὐτοὺς ποὺ ἔχουν κληθεῖ διὰ τῆς πίστεως στὴν ἐπίγνωση τῆς ἀλήθειας, ἄλλοτε, «Γι᾽ αὐτὸ νὰ θυμᾶστε, ὅτι κάποτε σεῖς οἱ ἐθνικοὶ κατὰ σάρκα, οἱ λεγόμενοι ἀπερίτμητοι ἀπὸ τὴν λεγόμενη περιτομὴ ποὺ γίνεται στὴ σάρκα μὲ χέρι ἀνθρώπινο, ἤσασταν ἐκεῖνο τὸν καιρὸ χωρὶς Χριστό, ἀποξενωμένοι ἀπὸ τὴν ἐλπίδα τοῦ Ἰσραὴλ καὶ ξένοι ἀπὸ τὶς διαθῆκες τῆς ἐπαγγελίας, χωρὶς νὰ ἔχετε ἐλπίδα, καὶ ἄθεοι στὸν κόσμο»[80], καὶ ἀλλοῦ πάλι λέγει· «Ἀλλὰ τότε βέβαια, ἐπειδὴ δὲν γνωρίζατε τὸν Θεό, ἤσασταν δοῦλοι σέ ἐκείνους ποὺ δὲν ἦταν θεοί. Τώρα ὅμως ποὺ γνωρίσατε τὸν Θεό, ἢ μᾶλλον ποὺ γνωρισθήκατε ἀπὸ τὸν Θεό, πῶς ἐπιστρέφετε πάλι στὰ ἀνίσχυρα καὶ φτωχὰ στοιχεῖα, στὰ ὁποῖα θέλετε πάλι νὰ γίνετε δοῦλοι;»[81]. Ἀφοῦ λοιπὸν ἦταν ἄθεοι οἱ χωρὶς Χριστόν, καὶ γνώρισαν τὸν Θεὸ μὲ τὴν προσέλευσή τους στὴν πίστη καὶ τὴν συγκατάθεσή τους στὸν Υἱὸ ποὺ λέγει, «Αὐτὸς ποὺ πιστεύει στὸν Υἱὸ δὲν κρίνεται, γιατὶ πίστεψε στὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ»[82], πῶς εἶναι δυνατὸ νὰ μὴ νοεῖται Θεὸς αὐτὸς ποὺ δὲν τιμᾶται μὲ τὶς ἐπίπλαστες καὶ ἐξωτερικὲς ἐκφράσεις τιμῆς ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς ἀγγέλους, ἀλλὰ πιστεύεται ὅτι εἶναι κατ᾽ οὐσίαν αὐτὸ ποὺ εἶναι, δηλαδὴ πραγματικὸς Θεός, καὶ προέρχεται ἀπὸ τὸν Θεὸ κατὰ φύση; Γιατὶ πές μου, τί

*νοηκέναι τὸν Παῦλον, γεγραφότα περὶ αὐτοῦ καὶ λέγοντα, «Ὅτι Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν· ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ· καταλλάγητε τῷ Θεῷ». Ὅτε τοίνυν εἰ Χριστῷ τις ἴοι πρὸς καταλλαγήν, Θεῷ καταλλάσσεται, καὶ ἐν Χριστῷ τὴν σύμβασιν κόσμος ἔχει πρὸς Θεόν. Ἆρ' οὐκ ἂν γελῷτο, καὶ σφόδρα εἰκότως, τὸ δεῖν οἴεσθαι τῆς τοῦ Πατρὸς οὐσίας ἀπολισθεῖν τὸν ἐξ αὐτοῦ φύντα τε καὶ ἐν αὐτῷ Λόγον;*

*Β. Παντελῶς.*

*Α. Τὸ δὲ δὴ χρῆναι κατάρχειν τῶν ὅλων καὶ τὸ ἐκπρεπὲς ἐν ὑπεροχῇ κατὰ παντὸς τοῦ πεποιημένου καὶ κεκλημένου πρὸς γένεσιν, ἀναθείης ἂν ὅτῳ μάλιστα τῶν ὄντων, καὶ οὐκ ἂν ἁμάρτοις λογισμοῦ τοῦ καθήκοντος;*

*Β. Θεῷ δηλονότι. Ψάλλει γάρ που Δαβίδ· «Ὅτι τὰ σύμπαντα δοῦλα σά». Καὶ μὴν ὅτι· «Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, ὅτι αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. Ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ».*

*Α. Εὖγε, ὦ ἑταῖρε· Θεὸς γὰρ ἡμῖν ἔν γε τουτοισὶ διαρρήδην ὁ ὑμνούμενος. Μέτεστι δὴ οὖν τῶν πεποιημένων οὐδενὶ τὸ ὡς ἐν ἰδίοις εἶναι τοῖς κτίσμασιν, ἤγουν ἑαυτοῦ τὰ ὄντα λέγειν καὶ σκήπτροις ἰδίοις ὑποφέρειν ἀποτολμᾶν. Ἢ εἴπερ ἕλοιτο τοῦτο δρᾶν τῇ τῆς βασιλείας δόξῃ μὴ κατεστεμμένος, οὐκ ἂν ὑπαίτιον εἶναι φήσομεν ἐγκλήματος καὶ γραφῆς;*

*Β. Ὧδε ἔχει.*

*Α. Εἶτα τί μαθὼν ὁ Υἱὸς οὔ τί που μᾶλλον ἔφη Πατρός, ἑαυτοῦ δὲ πρόβατα τοὺς πεπιστευκότας; «Τὰ γὰρ πρόβατα τὰ ἐμά», φησί, «τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου». Ἀφῖχθαί γε μὴν «εἰς τὰ ἴδιά» φησιν αὐτὸν ὁ θεολόγος ἡμῖν Ἰωάννης, ἴδια λέγων αὐτοῦ τήν τε ἐπὶ γῆς ἀνθρωπότητα, καὶ*

---

83. Β' Κορ. 5, 19-20. 84. Ψαλμ. 118, 91. 85. Ψαλμ. 94, 6-7. 86. Ἰω. 10, 27-28.

πιστεύεις ὅτι ἐννοοῦσε ὁ Παῦλος ὅταν ἔγραφε γι' αὐτὸν καὶ ἔλεγε, «Ὅτι μέσα στὸν Χριστὸ ἦταν ὁ Θεὸς ποὺ συμφιλίωνε τὸν κόσμο μὲ τὸν ἑαυτό του, χωρὶς νὰ λαμβάνει ὑπόψη του τὶς ἁμαρτίες τους, καὶ ἀνέθεσε σὲ μᾶς τὸν λόγο τῆς συμφιλιώσεως. Πρεσβεύουμε λοιπὸν γιὰ τὸν Χριστό, σὰν νὰ σᾶς παρακαλεῖ ὁ Θεὸς χρησιμοποιώντας ἐμᾶς, καὶ σᾶς παρακαλοῦμε στὸ ὄνομα τοῦ Χριστοῦ, συμφιλιωθεῖτε μὲ τὸν Θεὸ»[83]. Ὅταν λοιπὸν κάποιος ποὺ προσέρχεται στὸν Χριστό, συμφιλιώνεται μὲ τὸν Θεὸ καὶ μέσῳ τοῦ Χριστοῦ ἔχει ὅλος ὁ κόσμος τὴ συμφιλίωση μὲ τὸν Θεό, ἄραγε δὲν θὰ ἦταν γελοῖο, καὶ πολὺ εὔλογα, νὰ νομίζουν ὅτι ἔχει ἀπομακρυνθεῖ ἀπὸ τὴν οὐσία τοῦ Πατέρα ὁ Λόγος ποὺ προῆλθε ἀπὸ αὐτὸν καὶ μένει μέσα σ' αὐτόν;

Β. Ἐντελῶς γελοῖο.

Α. Καὶ τὸ ὅτι πρέπει νὰ ἐξουσιάζει ὅλων καὶ νὰ ὑπερέχει κάθε κτίσματος ποὺ κλήθηκε στὴν ὕπαρξη, θὰ μποροῦσες νὰ τὸ ἀναθέσεις σὲ κάποιο ἀπὸ τὰ κτίσματα, χωρὶς νὰ ξεφύγεις ἀπὸ τὸν σωστὸ συλλογισμό;

Β. Ὁπωσδήποτε στὸν Θεό. Γιατὶ ὁ Δαβὶδ ψάλλει κάπου, «Ὅλα ὅσα ὑπάρχουν ὑπακούουν σὲ σένα»[84], ἀλλὰ καὶ ἀκόμα· «Ἐλᾶτε νὰ προσκυνήσουμε καὶ νὰ πέσουμε μπροστά του δουλικά, γιατὶ αὐτὸς ἔφερε στὴν ὕπαρξη ἐμᾶς, καὶ ὄχι ἐμεῖς. Ἐμεῖς εἴμαστε λαὸς τῆς ποίμνης του καὶ πρόβατα τοῦ χειριοῦ του»[85].

Α. Εὖγε, φίλε· γιατὶ ὁλοφάνερα στοὺς στίχους αὐτοὺς ἐξυμνεῖται ὁ Θεός. Δὲν ἐπιτρέπεται λοιπὸν σὲ κανένα ἀπὸ τὰ δημιουργήματα νὰ λέγει ὅτι βρίσκεται ἀνάμεσα στὰ κτήματά του, νὰ λέγει δηλαδὴ ὅτι εἶναι δικά του τὰ δημιουργήματα, καὶ νὰ τολμᾶ νὰ τὰ ὑποτάσσει κάτω ἀπὸ τὴ δική του ἐξουσία· ἤ, ἂν θέλει νὰ τὸ κάνει αὐτό, χωρὶς νὰ εἶναι στεφανωμένος μὲ τὴ δόξα τῆς βασιλείας, δὲν θὰ ποῦμε ὅτι εἶναι ἔνοχος ἐγκλήματος καὶ καταδίκης;

Β. Ἔτσι εἶναι.

Α. Ἔπειτα τί ἔμαθε ὁ Υἱός, ποὺ δὲν τὸ εἶπε ὁ Πατέρας, καὶ λέγει ὅτι ὅσοι ἔχουν πιστέψει εἶναι πρόβατα δικά του; Γιατὶ λέγει· «Τὰ πρόβατα τὰ δικά μου ἀκοῦνε τὴ φωνή μου, καὶ ἐγὼ τὰ γνωρίζω, καὶ μὲ ἀκολουθοῦν· καὶ ἐγὼ τοὺς δίνω ζωὴ αἰώνια, καὶ δὲν θὰ χαθοῦν ποτέ, καὶ κανένας δὲν θὰ τὰ ἁρπάξει ἀπὸ τὰ χέρια μου»[86]. Μᾶς λέγει βέβαια ὁ θεολόγος Ἰωάννης, ὅτι ἦρθε στὰ δικά του, ὀνομάζοντας

πᾶν, οἶμαι, τὸ πεποιημένον. Ἐνεργεῖ δὲ καὶ εἰς ἡμᾶς τὴν Πατρὸς ἐνέργειαν οὐχ ὑπεσταλμένως, καὶ τὴν τῆς κυριότητος δόξαν οὐκ ὀθνείαν ἔχων ὁρᾶται, ποιεῖται δὲ μᾶλλον ἰδίαν τῇδέ τε ἔχειν ἀξιοῖ. Διαλεγόμενος γάρ που τοῖς συνθέουσί τε καὶ ἑπομένοις αὐτῷ μαθηταῖς· «Ὁ μὲν θερισμός», ἔφη, «πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ». Ἀλλὰ τὴν τῶν ἀμώντων ἀνάδειξιν, καίτοι τοῖς τοῦ Πατρὸς θελήμασιν ἀναθείς, ἑαυτὸν ἀπέφηνεν εὐθὺς τοῦ θερισμοῦ τὸν δεσπότην, τὸ χρῆναι μυσταγωγεῖν τοῖς ἁγίοις ἀποστόλοις ἀπονέμων ὡς ἐξαίρετον. Αὐτοῦ δὲ εἶναι τὴν ἅλω καὶ ὁ σοφὸς Ἰωάννης διισχυρίσατο λέγων· «Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ». Καὶ πρός γε τούτοις, αὐτῷ τοὺς πεπιστευκότας ὡς Δεσπότῃ καὶ Θεῷ καταγράφει λέγων ὁ Παῦλος, ποτὲ μέν, «Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις», ποτὲ δὲ αὖ, «Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ», καίτοι Θεῷ λέγοντός τινος, μᾶλλον δὲ ἁγίου παντός· «Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα». Ἆρ' οὖν ἔσθ' ὅπως οἵπερ ἄν, ἴδιοι νοοῖντο τοῦ Πατρός, εἶεν ἂν οὗτοι Χριστοῦ κατὰ τὸν ἴσον τρόπον μὴ οὐχὶ συνεισδουμένης εἰς ἑνότητα τῆς ἀμφοῖν οὐσίας;

Β. Οὔ φημι. Θεὸς γὰρ εἷς ἐφ' ἡμᾶς καὶ Κύριος εἷς. Διήκοι δ' ἂν ἐπ' ἀμφοῖν οὐσιωδῶς ἑκάτερον.

Α. Ἀληθὴς ὁ λόγος. Ἀνάπλεως γὰρ κυριότητος καὶ τῆς ἐπὶ τούτῳ δόξης μεμεστωμένος ὡς Θεὸς ὁ Πατήρ, καὶ μὴν καὶ Θεὸς ὡς Κύριος ὁ Υἱός. Εἴη δ' ἂν οὔτε Θεὸς ὁ Πατὴρ τοῦ κυριεύειν δίχα, οὔτ' ἂν ἀληθῶς Κύριος ὁ Υἱὸς τῆς κατὰ φύσιν καὶ ἀληθοῦς θεότητος ἐκμεμοχλευμένος. Τοιγάρτοι πρὸς ἀδιάσπαστον κοινωνίαν οἱονεί πως ἀνακιρνὰς τὰ ἀμφοῖν ὁ θεσπέσιος Παῦλος, ὁτὲ μὲν Θεοῦ τοῦ Πατρός, ὁτὲ δὲ Χριστοῦ τὸ Εὐαγγέλιον εἶναί φησι. Βούλει λέγωμεν τὰ ἐξ ἱερῶν ἑλόντες Γραμμάτων εἰς πληροφορίαν;

Β. Καὶ μάλα.

---

87. Ματθ. 9, 37-38. 88. Ματθ. 3, 12. Λουκᾶ 3, 17. 89. Γαλ. 5, 24.
90. Ρωμ. 8, 9. 91. Ψαλμ. 118, 94.

δικά του ὅλους τοὺς ἀνθρώπους τῆς γῆς καὶ ὅλα, νομίζω, τὰ κτίσματα. Κάνει ὅμως καὶ σὲ μᾶς αὐτὰ ποὺ κάνει ὁ Πατέρας, ὄχι ὡς κατώτερος, καὶ ἐμφανίζεται νὰ ἔχει τὴν ἐξουσία τῆς κυριότητας ὄχι σὰν ξένη, ἀλλὰ ἀξιώνει μᾶλλον μὲ αὐτὰ ὅτι τὴν ἔχει δική του. Γιατὶ συζητώντας κάποτε μὲ τοὺς μαθητὲς ποὺ βάδιζαν μαζί του καὶ ἐκείνους ποὺ τὸν ἀκολουθοῦσαν, εἶπε· «Ὁ θερισμὸς εἶναι πολὺς καὶ οἱ ἐργάτες λίγοι. Παρακαλέστε λοιπὸν τὸν Κύριο τοῦ θερισμοῦ νὰ στείλει ἐργάτες στὸν θερισμό του»[87]. Ἀλλὰ ἂν καὶ ἀποδίδει στὸν Πατέρα τὴν ἀνάδειξη τῶν θεριστῶν, εὐθὺς ἀμέσως ὀνομάζει τὸν ἑαυτό του κύριο τοῦ θερισμοῦ, ἀποδίδοντάς του ὡς ἰδιαίτερο ἔργο τὴν ἀνάγκη μυήσεως τῶν ἁγίων ἀποστόλων. Καὶ ὁ σοφὸς Ἰωάννης ἰσχυρίσθηκε ὅτι εἶναι δικό του τὸ ἁλώνι, λέγοντας· «Τὸ φτυάρι εἶναι στὰ χέρια του, καὶ θὰ καθαρίσει τὸ ἁλώνι του, καὶ θὰ μαζέψει τὸ σιτάρι στὴν ἀποθήκη του»[88]. Μαζὶ μὲ αὐτὰ ὅμως καὶ ὁ Παῦλος ἀναθέτει σ' αὐτὸν τοὺς πιστούς, ὡς Κύριο καὶ Θεό, λέγοντας· «Αὐτοὶ ὅμως ποὺ ἀνήκουν στὸν Χριστὸ σταύρωσαν τὴ σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὶς ἐπιθυμίες»[89]. Ἄλλοτε πάλι· «Ἂν κάποιος δὲν ἔχει Πνεῦμα Χριστοῦ, αὐτὸς δὲν εἶναι δικός του»[90]· ἂν καὶ βέβαια ὅταν κάποιος λέγει ὅτι εἶναι τοῦ Θεοῦ, ἐννοεῖ μᾶλλον ὅτι εἶναι τοῦ ἁγίου Πνεύματος· «Δικός σου εἶμαι ἐγώ, σῶσε με, γιατὶ ἐπεδίωξα νὰ μάθω τὰ προστάγματά σου»[91]. Ἄρα λοιπὸν μὲ τὸν τρόπο ποὺ αὐτοὶ ποὺ θεωροῦνται ὅτι ἀνήκουν στὸν Πατέρα, δὲν μποροῦν κατὰ τὸν ἴδιο τρόπο νὰ εἶναι τοῦ Χριστοῦ, ἀφοῦ συνδέεται σὲ ἑνότητα ἡ οὐσία καὶ τῶν δύο;

Β. Δὲν συμφωνῶ. Γιατὶ ἕνας Θεὸς ὑπάρχει σὲ μᾶς καὶ ἕνας Κύριος, καὶ εἰσχωρεῖ καὶ στοὺς δύο τὸν καθένα ἀπὸ αὐτὰ τὰ ὀνόματα.

Α. Εἶναι σωστὸ αὐτὸ ποὺ λές. Γιατὶ εἶναι γεμᾶτος ἀπὸ κυριαρχικὴ ἐξουσία καὶ τὴν ἀντίστοιχη δόξα ὁ Πατέρας ὡς Θεός, ἀλλὰ καὶ Θεὸς ὡς Κύριος, ὁ Υἱός. Καὶ δὲν θὰ ἦταν οὔτε Θεὸς ὁ Πατέρας, χωρὶς νὰ ἐξουσιάζει, οὔτε ἀληθινὸς Κύριος ὁ Υἱὸς ἀποχωριζόμενος ἀπὸ τὴν κατὰ φύση καὶ ἀληθινὴ θεότητα. Γι' αὐτὸ καὶ ὁ θεσπέσιος Παῦλος, ἀναμειγνύοντας κατὰ κάποιο τρόπο καὶ τὶς δύο σὲ ἀδιάσπαστη ἑνότητα, λέγει ἄλλοτε ὅτι τὸ Εὐαγγέλιο εἶναι τοῦ Θεοῦ καὶ Πατέρα, καὶ ἄλλοτε τοῦ Χριστοῦ. Θέλεις νὰ τὰ ἀναφέρουμε παίρνοντάς τα ἀπὸ τὶς ἅγιες Γραφὲς γιὰ νὰ τὰ πληροφορηθεῖς;

Β. Καὶ πολὺ μάλιστα.

*Α. Ἔφη τοίνυν· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ». Μετακομίζων δὲ ὥσπερ τὴν τοῦ Θεοῦ δόξαν ἐπὶ τὸν ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ σὺν αὐτῷ νοούμενον Υἱόν, ἔφη πάλιν· «Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἵνα μή τινα ἐγκοπὴν δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ». Ἀμφοῖν δὲ τοῖν ὀνομάτοιν τὴν δήλωσιν κατασφίγγων εἰς ἕν, διὰ τὴν ταὐτότητα τῆς οὐσίας· «Τολμηρότερον δέ», φησίν, «ἔγραψα ὑμῖν ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ Εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι ἁγίῳ». Ἓν οὖν ἄρα τὸ Εὐαγγέλιον Χριστοῦ καὶ Θεοῦ, καὶ ὅσπερ ἂν γένοιτο περὶ Θεοῦ λόγος, οὑτοσὶ ἤδη πρέπων ἂν εἴη καὶ τῷ Υἱῷ. Εἰ δὲ δή τι τὸ μεσολαβοῦν καὶ διιστῶν εἰς ἀνομοιότητα κατεφαίνετο τοῦ τεκόντος τὸ γεννηθέν, γένοιτ' ἂν ἤδη πως οὐχ ὁ αὐτὸς ἐπ' ἀμφοῖν ἔτι λόγος. Ἢ οὐκ ἀληθὲς εἶναι φής, ὦ Ἑρμεία;*

*Β. Ἔγωγε.*

*Α. Διεστήξει δὴ οὖν καὶ ἀποιχήσεταί ποι πρὸς τὸ ἑτεροίως ἔχον τὰ διηγήματα, καὶ οὐχ ὅπερ ἄν τις ὀρθῶς ἔχειν οἴοιτο τυχὸν περὶ Θεοῦ καὶ Πατρός, τοῦτό τοι διανοεῖσθαι προσήκοι ἂν καὶ περὶ Υἱοῦ. Ἓν οὖν ἄρα πῶς ἂν εἴη τὸ ἀμφοῖν Εὐαγγέλιον, προσήκοι δ' ἂν ὅπως διὰ τῶν αὐτῶν ἡμῖν ἀπαραλλάκτως διηγημάτων, εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱός, καὶ οὐχὶ δὴ μᾶλλον καταπλανήσειεν ἂν τὸν μυσταγωγούμενον, ἢ γοῦν σαγηνεύσει πρὸς ἀληθείας ἐπίγνωσιν;*

*Β. Ἀληθές.*

*Α. Ὁ δὲ τὸ τοῦ Θεοῦ μυστήριον, τουτέστι τὴν ἐπ' αὐτῷ πίστιν, τοῖς οὔπω μαθοῦσιν ἱερουργῶν, πῶς ἂν λέγοιτο Χριστοῦ λειτουργὸς καὶ Χριστὸν διακηρύξῃ, Θεῷ τὴν δόξαν πραγματευόμενος καὶ Θεοῦ μὲν διάκονον ἑαυτὸν ἀποκαλῶν; «Ἐν παντὶ», γάρ, ἔφη, «συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι». Ἑτέρωθι δέ που περί τινων· «Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λέγω,*

---

92. Ρωμ. 1,1. 93. Α' Κορ. 9,12. 94. Ρωμ. 15,16-17.

Α. Λέγει λοιπόν· «Παῦλος δοῦλος τοῦ Ἰησοῦ Χριστοῦ, καλεσμένος ἀπόστολος, ξεχωρισμένος γιὰ τὴν ὑπηρεσία τοῦ Εὐαγγελίου»[92]. Μεταφέροντας ὅμως κατὰ κάποιο τρόπο τὴ δόξα τοῦ Θεοῦ στὸν Υἱὸ ποὺ προῆλθε ἀπὸ αὐτὸν καὶ εἶναι μέσα σ' αὐτόν καὶ νοεῖται μαζὶ μὲ αὐτόν, λέγει πάλι· «Δὲν κάναμε ὅμως χρήση τοῦ δικαιώματος αὐτοῦ, γιὰ νὰ μὴ φέρουμε κάποιο ἐμπόδιο στὸ Εὐαγγέλιο τοῦ Χριστοῦ»[93]. Καὶ δένοντας τὴ σημασία καὶ τῶν δύο ὀνομάτων σὲ ἕνα, ἐξαιτίας τῆς ταυτότητας τῆς οὐσίας τους, λέγει· «Σᾶς ἔγραψα πιὸ τολμηρὰ σὲ μερικὰ σημεῖα, γιὰ νὰ σᾶς ὑπενθυμίσω καὶ αὐτό, ἐξαιτίας τῆς χάριτος ποὺ μοῦ δόθηκε ἀπὸ τὸν Θεὸ νὰ εἶμαι ὑπηρέτης τοῦ Ἰησοῦ Χριστοῦ στοὺς ἐθνικούς, προσφέροντάς τους τὸ Εὐαγγέλιο τοῦ Θεοῦ, γιὰ νὰ εἶναι ἡ προσφορὰ τῶν ἐθνικῶν εὐπρόσδεκτη, ἁγιασμένη ἀπὸ τὸ ἅγιο Πνεῦμα»[94]. Ἄρα λοιπὸν τὸ Εὐαγγέλιο τοῦ Χριστοῦ καὶ τοῦ Θεοῦ εἶναι ἕνα, καὶ ὅπως γίνεται λόγος γιὰ τὸν Θεό, ἔτσι πρέπει νὰ γίνεται καὶ γιὰ τὸν Υἱό. Ἂν ὅμως ὑπῆρχε κάτι ποὺ μεσολαβοῦσε μεταξύ τους καὶ ἔκανε ἀνόμοιο τὸν Υἱὸ πρὸς τὸν Πατέρα, δὲν θὰ μποροῦσε νὰ γίνει ὁ ἴδιος λόγος καὶ γιὰ τοὺς δύο. Ἢ μήπως λές, Ἑρμεία, ὅτι δὲν εἶναι ἀλήθεια;

Β. Ἐγὼ φυσικὰ συμφωνῶ.

Α. Οἱ διηγήσεις βέβαια σὲ ὁρισμένες περιπτώσεις ἀναφέρονται σ' ἐκεῖνο ποὺ διαφέρει, καὶ δὲν δείχνουν ὅτι αὐτὸ ποὺ πιστεύει κανεὶς πὼς εἶναι σωστὸ γιὰ τὸν Θεὸ καὶ Πατέρα, ταιριάζει τὸ ἴδιο καὶ στὸν Υἱό. Πῶς λοιπὸν μπορεῖ νὰ εἶναι ἕνα τὸ Εὐαγγέλιο καὶ γιὰ τοὺς δύο, καὶ πῶς βγαίνει ἀπὸ τὶς ἀπαράλλακτες διηγήσεις μας, ἐὰν ὁ Υἱὸς δὲν εἶναι κατὰ φύση Θεὸς καὶ δὲν παραπλανᾶ μᾶλλον τὸν διδασκόμενο, γιὰ νὰ στραφεῖ πρὸς τὴ γνώση τῆς ἀλήθειας;

Β. Αὐτὸ εἶναι ἀλήθεια.

Α. Καὶ αὐτὸς ποὺ ὑπηρετεῖ τὸ μυστήριο τοῦ Θεοῦ, δηλαδὴ τὴν πίστη σ' αὐτόν, σ' ἐκείνους ποὺ δὲν τὴν ἔμαθαν ἀκόμα, πῶς μπορεῖ νὰ λέγεται ὑπηρέτης τοῦ Χριστοῦ καὶ νὰ κηρύττει τὸν Χριστό, ἀγωνιζόμενος γιὰ τὴ δόξα τοῦ Θεοῦ καὶ ἀποκαλώντας τὸν ἑαυτό του ὑπηρέτη τοῦ Θεοῦ; Γιατὶ εἶπε· «Ἀλλὰ σὲ ὅλα συσταίνουμε τοὺς ἑαυτούς μας ὡς ὑπηρέτες τοῦ Θεοῦ»[95]. Καὶ κάπου ἀλλοῦ γιὰ κάποιους· «Εἶναι ὑπηρέτες τοῦ Χριστοῦ; μιλῶ σὰν παράφρων, ἐγὼ εἶμαι περισσότε-

95. Β' Κορ. 6, 4.

*ὑπὲρ ἐγώ». Ἆρ᾽ οὖν ἐστί τις ὡς ἔν γε τουτοισὶ λόγος, πρὸς ἀνομοιότητα φυσικὴν διιστὰς τοῦ Θεοῦ καὶ Πατρὸς τὸν Υἱόν;*

*Β. Οὐκ ἔχω νοεῖν.*

*Α. Ἔκτοπον δὲ καὶ ἑτέρως τὸ μὴ Θεὸν οἴεσθαι κατὰ φύσιν εἶναι τὸν Υἱόν, Θεοῦ μὲν εἶναι τὴν Ἐκκλησίαν, Χριστοῦ δὲ αὖ πάλιν ἀνακεκραγότων αὐτὴν τῶν ἱερῶν Γραμμάτων. Ἔφη γὰρ ὧδέ τισιν ὁ θεσπέσιος Παῦλος· «Ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ». Ἑαυτῷ δὲ πάλιν παραστῆσαι τὴν Ἐκκλησίαν ἄσπιλόν τε καὶ ἀρρυτίδωτον διισχυρίσατο τὸν Υἱόν. Καὶ μὴν καὶ Θεοῦ λέγοντος δι᾽ ἑνὸς τῶν προφητῶν κατοικήσειν τε καὶ ἐμπεριπατήσειν ἐν ἡμῖν, Χριστὸς ἐνοικεῖ, καὶ τὸ πάλαι τεθεσπισμένον ὡς Θεὸς ἐνεργεῖ. «Πιστὸς μὲν γὰρ ἦν ὁ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, κατὰ τὸ γεγραμμένον, εἰς μαρτύριον τῶν λαληθησομένων· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς».*

*Β. Τὸ ἀπεῖργον οὖν ἄρα παντελῶς οὐδὲν οἴεσθαί τε καὶ φρονεῖν ἀληθῶς ὡς ἐπείπερ ἡμῖν ἐξ αὐτῆς ἀνέφυ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ Υἱός, οὐχ ἕτερος ἂν νοοῖτο παρ᾽ αὐτὸν ὑπάρχειν, ὅσον εἰς ταὐτότητα φυσικήν.*

*Α. Εὖγε, ὦ φιλότης· ἐδόκει γὰρ ὀρθῶς ἔχειν τὸ τῇδε δοξάζειν καὶ τῷ μακαρίῳ Παύλῳ· «Εἰ γὰρ ὁ Θεὸς ὑπὲρ ἡμῶν», φησί, «τίς καθ᾽ ἡμῶν; Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Εἴπερ οὖν ἴδιος ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱός, ἆρα ἂν ἐξοίχοιτο πρὸς ἀλλοτριότητα φυσικήν, ἐπινοηθείη δ᾽ ἂν λόγος τὸ καταψέγεσθαι δεῖν οὐκ ἔχων, εἰς ὀθνειότητα διιστὰς καὶ ἀλλότριον ἀποφαίνων τό τινος ἴδιον, οὗπερ ἂν ἴδιον νοοῖτο καὶ λέγοιτο;*

*Β. Οὐκ οἶμαι.*

*Α. Τί δέ; Οὐχὶ μυρίους εἶναί φαμεν τοὺς εἰς υἱότητα κεκλημένους τὴν ὑπὸ Θεῷ;*

---

96. Β' Κορ. 11,23. 97. Α' Κορ. 10,31. 98. Ἐφ. 5,27.
99. Λευϊτ. 25,10-12. 100. Ἑβρ. 3,5-6. 101. Ρωμ. 8,31-32.

ρο»[96]. Ἄραγε ὑπάρχει σ' αὐτὰ τὰ λόγια κάτι ποὺ νὰ ξεχωρίζει τὸν Υἱὸ ἀπὸ τὸν Θεὸ καὶ Πατέρα ὡς πρὸς τὴν φυσικὴ ὁμοιότητα;

Β. Δὲν μπορῶ νὰ καταλάβω.

Α. Ἀλλὰ καὶ μὲ ἄλλο τρόπο ἀποδεικνύεται ὅτι εἶναι ἀπαράδεκτο τὸ νὰ μὴ πιστεύουμε ὅτι εἶναι κατὰ φύση Θεὸς ὁ Υἱός, ἀφοῦ οἱ ἅγιες Γραφὲς διακηρύττουν, ὅτι ἡ Ἐκκλησία εἶναι τοῦ Θεοῦ, ἀλλ' ἐπίσης καὶ τοῦ Χριστοῦ. Πράγματι λέγει ὁ θεσπέσιος Παῦλος σὲ κάποιους τὰ ἑξῆς· «Νὰ μὴ γίνεστε ἐμπόδιο οὔτε στοὺς Ἰουδαίους οὔτε στοὺς ἐθνικοὺς οὔτε στὴν Ἐκκλησία τοῦ Θεοῦ»[97]. Καὶ πάλι ἰσχυρίζεται ὅτι ὁ Υἱὸς παρουσίασε τὴν Ἐκκλησία στὸν ἑαυτό του χωρὶς νὰ ἔχει κηλῖδα ἢ ρυτίδα[98]. Ἀλλὰ καὶ ἐνῶ ὁ Θεὸς λέγει μέσω κάποιου προφήτη, ὅτι θὰ κατοικήσει καὶ θὰ περιπατήσει μέσα μας, κατοικεῖ μέσα μας[99] ὁ Χριστός καί, ὅπως εἶναι θεσπισμένο ἀπὸ παλιά, ἐνεργεῖ ὡς Θεός. Γιατὶ σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Ὁ Μωυσῆς ἦταν πιστὸς σ' ὅλο τὸν οἶκο τοῦ Θεοῦ σὰν δοῦλος, γιὰ νὰ δώσει μαρτυρία γιὰ ὅσα θὰ λέγονταν, ἐνῶ ὁ Χριστὸς σὰν Υἱός στὸν οἶκο του, τοῦ ὁποίου οἶκος εἴμαστε ἐμεῖς»[100].

Β. Δὲν ὑπάρχει λοιπὸν ἀπολύτως τίποτε ποὺ νὰ μᾶς ἐμποδίζει νὰ νομίζουμε καὶ νὰ πιστεύουμε ἀληθινά, ὅτι, ἐφόσον ὁ Υἱὸς βλάστησε γιὰ μᾶς ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, δὲν μπορεῖ νὰ νοεῖται ὅτι εἶναι διαφορετικὸς κοντὰ σ' αὐτόν, ὅσον ἀφορᾶ τὴν ταυτότητα τῆς φύσεώς του.

Α. Εὖγε σου, φίλε· γιατὶ καὶ ὁ μακάριος Παῦλος θεωροῦσε σωστὸ τὸ νὰ πιστεύουμε ἔτσι, λέγοντας· «Ἐὰν ὁ Θεὸς εἶναι μὲ τὸ μέρος μας, ποιὸς μπορεῖ νὰ εἶναι ἐναντίον μας; Ἐκεῖνος ποὺ δὲν λυπήθηκε τὸν δικό του Υἱό, ἀλλὰ τὸν παρέδωσε σὲ θάνατο γιὰ χάρη ὅλων μας, πῶς μαζὶ μὲ αὐτὸν δὲν θὰ μᾶς χαρίσει τὰ πάντα;»[101]. Ἐφόσον λοιπὸν ὁ Υἱός εἶναι πραγματικὰ Υἱὸς τοῦ Θεοῦ καὶ Πατέρα, ἄραγε μποροῦσε νὰ φτάσει νὰ εἶναι διαφορετικῆς φύσεως καὶ νὰ ἐπινοηθεῖ κάποιος λόγος, πού, χωρὶς νὰ μπορεῖ νὰ τὸν κατηγορήσει, νὰ ἀποξενώνει καὶ παρουσιάζει ξένο αὐτὸ ποὺ εἶναι προσωπικὰ κάποιου, τοῦ ὁποίου θεωρεῖται καὶ λέγεται δικό του;

Β. Δὲν πιστεύω.

Α. Τί πάλι; Δὲν λέμε ὅτι εἶναι μυριάδες ἐκεῖνοι ποὺ κλήθηκαν καὶ ἔγιναν υἱοὶ τοῦ Θεοῦ;

*Β. Καὶ μάλα. Γέγραπται γάρ· «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες».*

*Α. Ἆρ' οὖν ἕνα τυχὸν ἢ δύο τῆς οὕτως ἀμέτρου πληθύος ἐξελών, κατατολμήσειεν ἄν τις ἰδίους υἱοὺς εἶναι λέγειν τοῦ Θεοῦ καὶ Πατρός, καὶ οὐκ ἂν ὄφλοι δίκην ἥνπερ ἄν τις ἐπαρτήσαι τυχὸν τοῖς παρασημαίνειν ἐθέλουσι τῆς ἀληθείας τὸ κάλλος;*

*Β. Φαίην ἂν ἔγωγε· λέγεις γὰρ ὀρθῶς.*

*Α. Εἰ δὲ δὴ βουλοίμην ἀναμαθεῖν ἀνθ' ὅτου μυρίοι μὲν ὅσοι διακέκληνται θεοὶ καὶ υἱοί, ἕρπει γε μὴν τὸ ἴδιον ἐφ' ἑνὸς κυρίως τε καὶ ἀληθῶς, τί ἂν ἔφης αὐτός;*

*Β. Ἔφην ἄν, ὅτι, οἱ μὲν γὰρ εἰσπεποίηνται πρὸς υἱότητα φιλοτιμίας τῆς ἄνωθεν εὕρημά τε καὶ δῶρον τὴν ἐπὶ τῷδε κλῆσιν ἀποκερδαίνοντες, ὁ δέ ἐστιν οὐχ ὧδε ἔχων, ἀλλ' ἴδιος ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρός, ἅτε δὴ καὶ σὺν αὐτῷ τὴν ἐπέκεινα πάντων ἀποτεμόμενος φύσιν.*

*Α. Ἴδιον δὲ Θεοῦ φυσικῶς τὸ μὴ Θεὸς ἄρα, κτιστὸν δὲ μᾶλλον, ἢ πῶς;*

*Β. Καὶ μὴν τοῦτο ἀμφίλογον οὐδαμῶς. Θεότης γὰρ πάντως ἴδιον Θεοῦ, καθάπερ ἀμέλει καὶ κτιστὸν κτίσεως.*

*Α. Εἰ δὲ δή τις οἴοιτο κτιστὸν ἢ κτίσιν ἴδιον εἶναι Θεοῦ φυσικῶς, τὴν ἀντίστροφον ἰέναι τῷ λόγῳ τρίβον ἀσφαλὲς οἶμαί που. Κτίσεως γὰρ ἴδιον θεότητα λέγειν, τὸ λυποῦν οὐδέν· ἀλλ' ὧδε φρονεῖν οὐ θέμις. Συνωθούσης οὖν ἄρα τῆς τῶν λογισμῶν ἀτοπίας ἐπὶ τὸ χρῆναι νοεῖν ὀρθῶς, ἴδιος ἂν εἴη λοιπὸν τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός, οὐ τοῖς εἰσποιήτοις ἐπαριθμούμενος, ἀλλ' ὡς Θεὸς ἐκ Θεοῦ. Καὶ ἐπείπερ οὐ διάφορόν τε καὶ διεσχοινισμένον εἰς ὀθνειότητα φυσικὴν τὸν τοῦ πῶς εἶναι λόγον διεκληρώσατο τὰ ὅσαπερ ἂν εἰς ἓν καὶ ἀπαραλλάκτως ἀναδεσμοῖτο γένος τε καὶ εἶδος· εἷς γὰρ ἂν γένοιτο κατὰ παντὸς ἀνθρώπου λόγος τε καὶ ὅρος τῆς οὐσίας σημαντικός· οὐκ ἄρα Θεὸς ἑτεροφυὴς παρὰ τὸν ἐξ οὗ*

---

102. Ψαλμ. 81, 6.

Β. Βεβαίως. Γιατὶ ἔχει γραφεῖ· «Ἐγὼ εἶπα· εἴσαστε θεοὶ καὶ ὅλοι υἱοὶ τοῦ Ὑψίστου»[102].

Α. Ἄρα λοιπὸν ἐὰν κάποιος, παίρνοντας ἕνα ἢ δύο ἀπὸ τὸ ἀμέτρητο πλῆθος, τολμήσει νὰ τοὺς ὀνομάσει ἰδιαιτέρους υἱοὺς τοῦ Θεοῦ καὶ Πατέρα, δὲν θὰ δικαζόταν μὲ τὴν ποινὴ ποὺ τυχὸν θὰ εἶχε ὁρίσει κάποιος γιὰ ἐκείνους ποὺ θέλουν νὰ παραποιοῦν τὴν ὡραιότητα τῆς ἀλήθειας;

Β. Ἐγὼ βέβαα θὰ ἔλεγα ναί· γιατὶ εἶναι σωστὰ αὐτὰ ποὺ λές.

Α. Καὶ ἐὰν ἤθελα νὰ μάθω γιὰ ποιὸν λόγο, ἐνῶ μυριάδες ὀνομάσθηκαν θεοὶ καὶ υἱοί, ὅμως ὁ χαρακτηρισμὸς «ἰδιαίτερος» ἀποδίδεται κυριολεκτικὰ καὶ ἀληθινὰ σὲ ἕναν, τί θὰ ἔλεγες ἐσύ;

Β. Θὰ ἔλεγα, ὅτι ἐκεῖνοι βέβαια υἱοθετήθηκαν κερδίζοντας ὡς ἀπόκτημα καὶ δῶρο τῆς οὐράνιας φιλίας τὴν κλήση γιὰ υἱοθεσία, ἐνῶ αὐτὸς δὲν εἶναι ἔτσι, ἀλλ' εἶναι ἰδιαίτερος ἀληθινὰ Υἱὸς τοῦ Θεοῦ καὶ Πατέρα, καθόσου μαζὶ μὲ αὐτὸν ἔχει φύση ἡ ὁποία εἶναι πάνω καὶ πέρα ἀπὸ τὴ φύση ὅλων.

Α. Ἰδιαίτερος δηλαδὴ Υἱὸς τοῦ Θεοῦ κατὰ φύση· ἄρα αὐτὸ ποὺ δὲν εἶναι Θεός, εἶναι ὁπωσδήποτε κτιστό, ἢ πῶς ἀλλιῶς;

Β. Καὶ αὐτὸ ἐπίσης εἶναι ἀναμφισβήτητο. Γιατὶ ὁπωσδήποτε τὸ ἰδιαίτερο τοῦ Θεοῦ εἶναι ἡ θεότητα, ὅπως βέβαια καὶ τὸ κτιστὸ εἶναι ἰδιαίτερο τῆς κτίσεως.

Α. Ἐὰν πάλι κάποιος νομίζει ὅτι τὸ κτιστὸν ἢ ἡ κτίση εἶναι ἰδιαίτερο κατὰ φύση τοῦ Θεοῦ, ἐγὼ νομίζω ὅτι τὸ βέβαιο εἶναι νὰ ἀκολουθήσει τὸν ἀντίστροφο δρόμο στὸν λόγο. Γιατὶ λέγοντας ὅτι ἡ θεότητα εἶναι ἴδιο τῆς κτίσεως, δὲν προξενοῦμε καμμιὰ στενοχώρια, ἀλλὰ δὲν εἶναι σωστὸ νὰ πιστεύουμε μὲ τὸν τρόπο αὐτό. Ἐπειδὴ λοιπὸν τὸ παράλογο τῶν συλλογισμῶν μᾶς ὠθεῖ στὴν ἀνάγκη νὰ σκεφτόμαστε σωστά, ὁ Υἱὸς εἶναι ἰδιαίτερος Υἱὸς τοῦ Θεοῦ καὶ Πατέρα, καὶ δὲν ἀνήκει στοὺς υἱοθετημένους, ἀλλ' εἶναι Θεὸς ποὺ προέρχεται ἀπὸ τὸν Θεό. Καὶ ἐπειδὴ ὁ τρόπος τῆς ὑπάρξεώς του δὲν εἶναι διαφορετικὸς καὶ ἀποκομμένος σὲ φυσικὴ ἀποξένωση, ἔχει ὅλα ὅσα συνδέονται μὲ ἕνα γένος καὶ εἶδος ἀπαράλλακτα· γιατὶ ἕνας λόγος καὶ ὁρισμὸς μπορεῖ νὰ ὑπάρξει γιὰ ὅλους τοὺς ἀνθρώπους, ποὺ νὰ σημαίνει τὴν οὐσία τους. Ἄρα ὁ Υἱὸς δὲν εἶναι ἄλλης φύσεως διαφορετικῆς ἀπὸ ἐκεῖνον ἀπὸ τὸν ὁποῖο γεννήθηκε, ἀλλ' εἶναι Θεὸς

πέφηνεν ὁ Υἱός, Θεὸς δὲ μᾶλλον ἀληθινός· ἴδιος γὰρ ὠνόμασται Θεοῦ τοῦ φύσει καὶ ἀληθῶς, καὶ πληθύος μὲν εἰσποιήτου διενεγκών, εἰς δὲ τὴν τοῦ ἑνός τε καὶ ἀληθῶς ἀναθρῴσκων δόξαν.

Β. Εὖ λέγεις.

Α. Τοιγάρτοι καὶ Γράμμα πάλιν ἡμῖν ἱερὸν οὐσιώδη τὴν ἕνωσιν ἀποσώζεσθαι δεῖν τῷ Υἱῷ τὴν πρὸς τὸν Πατέρα φησίν. Ἔχει γὰρ ὧδε· «Παντὸς γὰρ ἀνδρός», φησίν, «ἡ κεφαλὴ ὁ Χριστός ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός»· τό, οἶμαι, γνήσιον τῆς οὐσίας καὶ τὸ αὐτῆς ἐκπεφάνθαι κατ' ἀλήθειαν τὸν Υἱὸν διὰ τούτου σημαῖνον.

Β. Πῶς λέγεις;

Α. Βασανίζεσθαι γὰρ ὅλως οἴει χρῆναι πρὸς ἡμῶν τὸν ἐπὶ τῷδε λόγον; Τί τὸ ἄναντες καὶ κατασοβοῦν εἰς δυσχέρειαν ἐρομένῳ φράσον

Β. Φασὶ γὰρ μάλιστα τοῦτο ἐξοικιεῖν τῆς πρὸς Θεὸν Πατέρα ταὐτότητος τὸν Υἱόν.

Α. Τίνα δὴ τρόπον, ἆρα ἂν ἔχοις εἰπεῖν;

Β. Καὶ μάλα. Εἰ γὰρ δὴ γυναικὸς μέν φησιν ὁ ἀνὴρ κεφαλή, διά τοι τὸ πρὸς αὐτὴν ὁμοφυές τε καὶ ἐν οὐσίᾳ ταὐτόν, εἰ καὶ ἐν μοίρᾳ τυχὸν νοοῖτο τῇ κρείττονι (χρῆμα γὰρ τίμιον καὶ ἐν δόξῃ πλεονεκτοῦν ἐν σώματι κεφαλή), ἀνδρὸς δὲ ὠνόμασται Χριστὸς κεφαλή, σχέσεως δὲ δηλονότι φυσικῆς καλούσης αὐτὸν εἰς ἀγχιστείαν τοῖς κτίσμασι, καθάπερ ἀμέλει καὶ ἐπ' ἀνδρός τε καὶ γυναικός, πῶς ἂν λέγοιτο Θεὸς ἔτι καὶ ἀληθινός, ἢ πῶς ἂν ἔχειν δύναιτο τὴν πρὸς Θεὸν Πατέρα ταὐτότητα φυσικήν, τοῖς ἐν γενέσει κατειλεγμένος, εἰ καὶ ἐν τάξει νοοῖτο τῆς κεφαλῆς; Ὑπερκείσεται γάρ, φησί, τὸ τῆς κτίσεως μέτρον ὡς ἐν ὑπεροχῇ δόξης, ὁ Υἱός.

Α. Βαβαὶ τῆς εὐροίας τῆς εἰς πᾶν ὁτιοῦν τῶν ἐκτοπωτάτων. Ὡς δεινὸς ἡμῖν καὶ οἷον κατὰ πρανοῦς ὁ παράσημος οὑτοσὶ τῶν δι' ἐναντίας διάττει λόγος. Ποίημα γὰρ ἐναργῶς τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα δεδυσφήμηκεν Υἱόν. Ἀλλὰ τοῦδε μὲν πέρι διαληψόμεθα, καιρὸν ἀπονέμοντες ταῖς θεωρίαις τὸν πρέποντα, καὶ σχολαῖοι πάλιν εἰς τοῦτο καθέντες καὶ νοῦν τε καὶ γλῶτταν. Ὃ δὲ δὴ μάλιστα θαυμάζειν ἔπεισιν ἐκεῖνό φημι· διημαρτήκασι γὰρ

---

103. Α. Κορ. 11, 3.

μᾶλλον ἀληθινός, ἀφοῦ ὀνομάσθηκε ἰδιαίτερος Υἱὸς τοῦ κατὰ φύση καὶ ἀληθινοῦ Θεοῦ, ποὺ διαφέρει βέβαια ἀπὸ τὸ πλῆθος τῶν υἱοθετημένων, καὶ ἀνεβαίνει στὴ δόξα τοῦ ἑνὸς Θεοῦ πραγματικά.

Β. Σωστὰ τὰ λές.

Α. Ἀλλὰ καὶ ἄλλο χωρίο τῆς ἁγίας Γραφῆς λέγει ὅτι πρέπει νὰ τηρεῖται ἡ κατ' οὐσία ἕνωση τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα. Πράγματι λέγει τὰ ἑξῆς· «Κεφαλὴ κάθε ἄνδρα εἶναι ὁ Χριστός, κεφαλὴ τῆς γυναίκας ὁ ἄνδρας καὶ κεφαλὴ τοῦ Χριστοῦ ὁ Θεός»[103]· νομίζω ὅμως ὅτι μὲ αὐτὸ δηλώνει τὴ γνησιότητα τῆς οὐσίας, καὶ ὅτι ἀπὸ αὐτὴν προῆλθε πραγματικὰ ὁ Υἱός.

Β. Πῶς τὸ ἐννοεῖς;

Α. Νομίζεις ὅτι πρέπει νὰ ἐξετάσουμε μὲ λεπτομέρεια αὐτὸν τὸν λόγο; Πές μου, τί εἶναι αὐτὸ ποὺ βρίσκεις ἀνηφορικὸ καὶ σοῦ προξενεῖ δυσκολία.

Β. Νά, λένε, ὅτι αὐτὸ ἀποβάλλει τὸν Υἱὸ ἀπὸ τὴν ταύτισή του μὲ τὸν Θεὸ Πατέρα.

Α. Μὲ ποιὸν τρόπο, μπορεῖς νὰ μοῦ πεῖς;

Β. Καὶ βέβαια. Ἐάν, λένε, ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναίκας, ἐπειδὴ εἶναι τῆς αὐτῆς φύσεως καὶ οὐσίας μὲ αὐτήν, ἂν καὶ θεωρεῖται ὅτι βρίσκεται σὲ ἀνώτερη μοῖρα, ἀφοῦ ἡ κεφαλὴ εἶναι πρᾶγμα πολύτιμο καὶ ὑπερτερεῖ σὲ ἀξία στὸ σῶμα, καὶ κεφαλὴ τοῦ ἄνδρα ὀνομάζεται ὁ Χριστός, πρᾶγμα ποὺ δείχνει τὴ φυσική του συγγένεια μὲ τὰ κτίσματα, ὅπως ἀκριβῶς συμβαίνει καὶ μὲ τὸν ἄνδρα καὶ τὴ γυναίκα, πῶς μπορεῖ νὰ λέγεται ἀκόμα Θεός, καὶ μάλιστα ἀληθινός, ἢ πῶς εἶναι δυνατὸν νὰ ἔχει φυσικὴ ταυτότητα πρὸς τὸν Θεὸ Πατέρα, ἀφοῦ συγκαταλέγεται μεταξὺ τῶν κτισμάτων, ἔστω καὶ ἂν κατέχει θέση κεφαλῆς; Γιατὶ λένε, ὅτι ξεπερνάει ὁ Υἱὸς τὸ μέτρο τῆς κτίσεως ὡς πρὸς τὴν ὑπεροχὴ τῆς τιμῆς.

Α. Πόση ἀληθινὰ εὐχέρεια πρὸς κάθε τι ποὺ εἶναι ἀπὸ τὰ πλέον ἄτοπα! Πόσο σφοδρὸς καὶ ποὺ σὰν σὲ κατήφορο κινεῖται ὁ κίβδηλος λόγος τῶν ἀντιθέτων! Γιατὶ βλασφημεῖ φανερὰ λέγοντας ὅτι εἶναι κτίσμα ὁ Υἱὸς ποὺ προῆλθε ἀπὸ τὸν Θεὸ Πατέρα. Ἀλλὰ γι' αὐτὸ θὰ κάνουμε λόγο στὸν κατάλληλο γιὰ τὶς θεωρίες καιρό, προσηλώνοντας στὸ θέμα αὐτὸ μὲ σχολαστικότητα καὶ τὸν νοῦ καὶ τὴ γλώσσα. Αὐτὸ ὅμως ποὺ μοῦ ἔρχεται νὰ θαυμάσω πάρα πολύ, αὐτὸ θὰ πῶ·

*τῶν εἰς ὀρθότητα λογισμῶν οὐδὲν ἧττον ἢ πάλαι καὶ νῦν, ὡς ἔοικεν, οἱ πρὸς πᾶσαν ἀμαθίαν εὔκολοι. Ἀνδρὸς μὲν γὰρ εἴρηται κεφαλὴ Χριστὸς διὰ τὸ ἐν σχέσει φυσικῇ συναφές· ἐξαρνήσομαι γὰρ οὔ τί που τό γε ὡς ἄριστά τε καὶ ὀρθῶς εἰρημένον. Ἐπειδὴ δὲ Χριστοῦ κεφαλὴ τέθειται Θεός, τί τὸ ἀντιστατοῦν, ὦ γενναῖοι, φαίη τις ἂν αὐτοῖς, ἢ τί τὸ ἀπεῖργον ἐννοεῖν ὡς, εἴπερ ἐστὶν ὁμογενὴς τοῖς κτίσμασιν ὁ Υἱὸς ἐπείπερ ἀνδρὸς εἴρηται κεφαλή, καὶ αὐτὸν ἤδη κατακομίζειν ἀποτολμᾶν ἐν γενητοῖς τὸν Πατέρα; Κεφαλὴ γὰρ τέθειται τῷ Υἱῷ, καίτοι κτιστῷ καὶ πεποιημένῳ καθ' ὑμᾶς ὑπάρχοντι. Δοκεῖ γὰρ οἴεσθαι ταυτὶ καλῶς τε καὶ ἀμωμήτως ἔχειν παραληρεῖν ἠρημένοις, ἀλλ', οἶμαι, τῆς δυσφημίας τὸν ὄγκον καταναρκήσειν αὐτούς, καίτοι λίαν ἀπεσκληκότας καὶ τοῖς οὕτως ἀναγκαίοις μειρακιωδῶς ἐναθύροντας.*

*Φέρε δὴ οὖν, ταυτὶ διωθούμενοι καὶ μεθέντες εἰς ὄρος ἢ διαρριπτοῦντες εἰς κῦμα, καταλογιζώμεθά τι τῶν ἐπιεικεστέρων. Κεφαλὴν μὲν γὰρ γυναικὸς τὸν ἄνδρα φαμέν, ἐπείπερ ἐξ αὐτοῦ πέφηνεν ἐν ἀρχαῖς καὶ διεμορφώθη πρὸς τὴν ἀνδρὸς εἰκόνα, Θεὸν τὸ ἀρχέτυπον ἔχοντος· πεποίηται γὰρ οὕτω, κατὰ τὰς Γραφάς. Ὁριζόμεθα δὲ κεφαλὴν ἀνδρὸς εἶναι Χριστόν, ὡς ῥίζαν τοῦ γένους δευτέραν καὶ ἀπαρχὴν ἀνθρωπότητος ἀναθρωσκούσης εἰς ἀφθαρσίαν δι' ἁγιασμοῦ ἐν Πνεύματι. Ὄνομα δὲ Χριστῷ δεύτερος Ἀδὰμ καὶ οὐχ ἑτέρου του χάριν, ἀλλ' ἢ τοῦδέ τε καὶ μόνου. Χριστοῦ γε μὴν εἶναι κεφαλὴν τὸν Πατέρα διακεισόμεθα καὶ πιστεύσομεν ὡς ὁμοούσιον αὐτῷ καὶ συναφῆ φυσικῶς, καθὸ νοεῖται καὶ ἔστι Θεός, εἰ καὶ πέφηνεν ἐν σαρκὶ καὶ γέγονε καθ' ἡμᾶς. Μεθόριον δὲ ὥσπερ τι θεότητός τε καὶ ἀνθρωπότητος ὁ Χριστός, τὴν ἀμφοῖν ἔχων ὡς ἐν ἑνὶ σύνοδον, καὶ τῶν τῇ φύσει διεστηκότων εἰς ταὐτότητα συνδρομὴν καθ' ἕνωσιν οἰκονομικήν, ἀστιβῆ μὲν νῷ καὶ ἀνέμβατον, γλώττῃ δὲ καὶ λόγοις οὐκ ἐγνωσμένην. Θεὸς γὰρ ἅμα καὶ ἄνθρωπος ὁ Χριστός, πηγὴν μὲν ὥσπερ καὶ ῥίζαν τῆς ἰδίας ὑποστάσεως Πατέρα ἔχων τὸν ἐν οὐρανοῖς, συνάναρχόν τε καὶ συναΐδιον, καὶ οὐ προτερεύοντα κατὰ χρόνον, εἴ-*

γιατί, ὅπως φαίνεται, ἔκαναν λάθος ὡς πρὸς τὴν ὀρθότητα τῶν συλλογισμῶν τους καὶ τώρα, ὄχι λιγώτερο ἀπὸ τὶς ἄλλες φορές, αὐτοὶ ποὺ εἶναι εὔκολοι σὲ κάθε ἀμάθεια. Γιατὶ ὁ Χριστὸς λέγεται κεφαλὴ τοῦ ἄνδρα ἐξαιτίας τῆς σύνδεσης μὲ φυσικὴ σχέση· δὲν ἀρνοῦμαι δηλαδὴ αὐτὸ ποὺ ἔχει εἰπωθεῖ σωστὰ καὶ ἄριστα. Ἀφοῦ λοιπὸν κεφαλὴ τοῦ Χριστοῦ εἶναι ὁ Θεός, τί εἶναι ἐκεῖνο ποὺ ἀντιστέκεται, ὦ γενναῖοι, θὰ μποροῦσε νὰ πεῖ κανεὶς σ᾽ αὐτούς, ἢ τί μᾶς ἐμποδίζει νὰ σκεφθοῦμε, ὅτι, ἐφόσον ὁ Υἱὸς εἶναι τῆς αὐτῆς φύσεως μὲ τὰ κτίσματα, ἐπειδὴ λέγεται κεφαλὴ τοῦ ἄνδρα, νὰ τολμήσουμε νὰ κατεβάσουμε μεταξὺ τῶν κτιστῶν καὶ τὸν Πατέρα, ἀφοῦ λέγεται κεφαλὴ τοῦ Υἱοῦ, ἂν καὶ εἶναι κτιστὸς καὶ δημιουργημένος, σύμφωνα μὲ σᾶς; Φαίνεται δηλαδὴ νὰ νομίζουν πὼς τὰ παραληρήματά τους αὐτὰ εἶναι καλὰ καὶ ἄψογα, πιστεύω ὅμως ὅτι τὸ μέγεθος τῆς βλασφημίας τοὺς ἔχει ἀποναρκώσει, ἂν καὶ ἔχουν τελείως ἀποξηρανθεῖ καὶ παίζουν μὲ τρόπο παιδαριώδη μὲ τόσο ἀναγκαῖα πράγματα.

Ἐμπρὸς λοιπόν, ἀπορρίπτοντάς τα αὐτὰ καὶ παρατώντας τα σὲ ὄρος, ἢ ρίχνοντάς τα στὸ κῦμα, νὰ σκεφθοῦμε κάτι ἀπὸ αὐτὰ ποὺ πρέπει. Λέμε πράγματι τὸν ἄνδρα κεφαλὴ τῆς γυναίκας, ἐπειδὴ στὴν ἀρχὴ τῆς δημιουργίας προῆλθε ἀπὸ αὐτὸν καὶ πλάσθηκε σύμφωνα μὲ τὴν εἰκόνα τοῦ ἄνδρα, ὁ ὁποῖος εἶχε ὡς πρότυπο τὸν Θεό· γιατὶ ἔτσι δημιουργήθηκε, σύμφωνα μὲ τὶς Γραφές· διδασκόμαστε ὅμως ὅτι κεφαλὴ τοῦ ἄνδρα εἶναι ὁ Χριστός, ὡς δεύτερη ρίζα τοῦ ἀνθρώπινου γένους καὶ ἀπαρχὴ τῆς ἀνθρωπότητας ποὺ ἀνυψώνεται πρὸς τὴν ἀφθαρσία διὰ τοῦ ἁγιασμοῦ τοῦ Πνεύματος. Καὶ τὸ ὄνομα τοῦ Χριστοῦ εἶναι δεύτερος Ἀδάμ, ὄχι γιὰ ἄλλο κανένα λόγο, ἀλλὰ γι᾽ αὐτὸν καὶ μόνο. Ἀποδεχόμαστε ὅμως καὶ πιστεύουμε, ὅτι κεφαλὴ τοῦ Χριστοῦ εἶναι ὁ Πατέρας, ὡς ὁμοούσιος μὲ αὐτὸν καὶ ἑνωμένος κατὰ φύση, καθόσον νοεῖται καὶ εἶναι Θεός, μολονότι ἐμφανίσθηκε μὲ σάρκα καὶ ἔγινε σὰν ἐμᾶς. Ὁ Χριστὸς πάλι εἶναι σὰν κάποιο σύνορο μεταξὺ τῆς θεότητας καὶ τῆς ἀνθρωπότητας, συγκεντρώνοντας σὲ ἕνα καὶ τὰ δύο, καὶ ἑνώνοντας αὐτὰ ποὺ διαφέρουν κατὰ τὴ φύση, σὲ μιὰ ἑνότητα κατ᾽ οἰκονομίαν, ἀπλησίαστη στὸν νοῦ καὶ ἄβατη, καὶ ἄγνωστη στὴ γλώσσα καὶ στὰ λόγια. Γιατὶ ὁ Χριστὸς εἶναι Θεὸς μαζὶ καὶ ἄνθρωπος, ἔχοντας σὰν ἄλλη πηγὴ καὶ ρίζα τῆς ὑποστάσεώς του τὸν οὐράνιο Πατέρα, συνάναρχο καὶ συναιώνιο, χωρὶς νὰ προηγεῖ-

*περ ἀνάγκη συνυφεστάναι τῇ κεφαλῇ τὸν οὗπερ ἂν λέγοιτο κεφαλή, ἐξημμένος δὲ κατὰ σάρκα καὶ τῆς πρὸς ἡμᾶς σχέσεως φυσικῆς. Ὅτε τοίνυν Χριστοῦ Θεὸς κεφαλὴ νοεῖταί τε καὶ ἔστιν οὐ διεψευσμένως, πῶς οὐκ ἂν εἴη Θεὸς ἀληθινὸς ὁ ῥίζαν ἔχων θεότητα τὴν ἀληθινὴν καὶ οὐσιωδῶς ἐξημμένος τοῦ γεγεννηκότος; Ὁμοφυᾶ γάρ πως τῷ λοιπῷ νοεῖσθαι σώματι τὴν κεφαλὴν ἀναγκαῖον. Εἰ δὲ δὴ χρῆναι νομίζουσι τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον τῶν τῆς θεότητος ὅρων ἀπολισθεῖν καὶ εἰς τὸ τῶν ποιημάτων καθικνεῖσθαι μέτρον, ἀκουόντων ἐναργῶς· «Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν».*

*Β. Ἄριστα ἔφης.*

*Α. Ἐμβροντησίας γὰρ ἀληθῶς τῆς ἐσχάτης καὶ τῆς ἄγαν ἠλιθιότητος ἀπόδειξις ἐναργὴς κατατεθηπέναι μὲν τὸ φυτόν, ὡς ἄριστόν τε εἴη καὶ εὐγενές, ἑτεροφυᾶ δὲ ὥσπερ ἀπονέμειν αὐτῷ τὸν καρπόν. Θεὸς γάρ που πάντως τέξεται Θεόν, ἢ οὐχ ὧδε ἔχειν ἐρεῖς;*

*Β. Ἔγωγέ φημι.*

*Α. Πῶς γὰρ οὐ Θεός, καὶ τοῦτο ἀληθινός, ὁ ἐν ᾧ καὶ μόνῳ γνοίη τις ἂν Θεὸν ὄντα κατὰ φύσιν καὶ ἀληθῶς τὸν Πατέρα; Γράφει γὰρ ὡδὶ τοῖς πεπιστευκόσιν ὁ Παῦλος· «Τῷ δὲ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ». Ὅτε τοίνυν ἐν Χριστῷ πέφηνεν ἡ ὀσμὴ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἐν αὐτῷ γινώσκεται, πῶς δὴ ἄρα καὶ τοῦτο διαπεραίνεσθαι δεῖν ὑποτοπητέον; Φύεται μὲν γὰρ ἔν τε λειμῶσι καὶ κήποις τὰ ἐξ ὡρῶν, μῆλον δὲ ἔστω ταυτὶ καὶ κρῖνον. Ἆρ' οὖν, ὦ ἑταῖρε, μήλῳ μὲν ἐφιζήσειεν ἂν φυσικῶς ἡ κρίνου τυχὸν ὀσμή, κρίνῳ δὲ αὖ τὸ μῆλον ἐκδανείσειε τὴν οἰκείαν, ἔσται δὲ ἐν ἀμφοῖν εἰσάπαν ἐκκεκριμένως τὸ ἑκατέρῳ προσόν;*

*Β. Οὐδαμῶς, ἐκδώσει γὰρ πάντως τὸ οἰκεῖον ἑκάτερον.*

---

104. Ματθ. 12, 33. 105. Β' Κορ. 2, 14-15.

ται χρονικά, ἐφόσον κατ᾽ ἀνάγκη ἡ κεφαλὴ συνυπάρχει μὲ αὐτὸ τοῦ ὁποίου λέγεται κεφαλή, συνδεδεμένος ὅμως καὶ μὲ μᾶς μὲ σχέση φυσικὴ ὡς ἄνθρωπος. Ὅταν λοιπὸν ὁ Θεὸς νοεῖται καὶ εἶναι κεφαλὴ τοῦ Χριστοῦ, χωρὶς νὰ διαψεύδεται, πῶς δὲν εἶναι Θεὸς αὐτὸς ποὺ ἔχει ρίζα τὴν ἀληθινὴ θεότητα καὶ συνδέεται κατ᾽ οὐσία μὲ ἐκεῖνον ποὺ τὸν γέννησε; Γιατὶ κατ᾽ ἀνάγκη πρέπει νὰ νοεῖται τῆς αὐτῆς φύσεως ἡ κεφαλὴ πρὸς τὸ ὑπόλοιπο σῶμα. Ἐὰν ὅμως νομίζουν ὅτι πρέπει ὁ Λόγος, ποὺ βλάστησε ἀπὸ τὸν Θεὸ Πατέρα, νὰ ξεφύγει ἀπὸ τὰ ὅρια τῆς θεότητας καί νά κατεβεῖ στὸ μέτρο τῶν δημιουργημάτων, ἂς ἀκούσουν καλὰ τὴ ρήση· «Ἢ κάνετε τὸ δένδρο καλό, ὁπότε καὶ ὁ καρπὸς του θὰ εἶναι καλός, ἢ κάνετε τὸ δένδρο κακό, ὁπότε καὶ ὁ καρπός του θὰ εἶναι κακός»[104].

Β. Τὸ εἶπες πάρα πολὺ καλά.

Α. Πραγματικὰ εἶναι ὁλοκάθαρη ἀπόδειξη τῆς ἔσχατης ἀνοησίας καὶ τῆς πέρα ἀπὸ κάθε μέτρο ἠλιθιότητας, νὰ θαυμάζουν βέβαια τὸ φυτό, ἐπειδὴ εἶναι τὸ καλύτερο καί εὐγενέστερο, ἀλλὰ νά χαρακτηρίζουν τὸν καρπό του ἄλλης φύσεως. Γιατὶ ὁ Θεὸς γεννᾶ ὁπωσδήποτε Θεόν· ἢ μήπως θὰ πεῖς ὅτι δὲν εἶναι ἔτσι;

Β. Ἐγὼ τουλάχιστο συμφωνῶ.

Α. Πῶς δηλαδὴ δὲν εἶναι Θεός, καὶ μάλιστα ἀληθινός, αὐτὸς μέσω τοῦ ὁποίου καὶ μόνον μπορεῖ κανεὶς νὰ γνωρίσει ὅτι ὁ Πατέρας εἶναι Θεὸς κατὰ φύση καὶ ἀληθινός; Γιατὶ γράφει ὁ Παῦλος σ᾽ αὐτοὺς ποὺ εἶχαν πιστέψει τὰ ἑξῆς· «Δόξα στὸν Θεὸ ποὺ μᾶς κάνει πάντοτε νὰ θριαμβεύουμε μέσω τοῦ Χριστοῦ, καὶ φανερώνει τὴν ὀσμὴ τῆς γνώσεώς του μὲ μᾶς παντοῦ, γιατὶ εἴμαστε εὐωδία τοῦ Χριστοῦ γιὰ τὸν Θεό»[105]. Ὅταν λοιπὸν μέσω τοῦ Χριστοῦ φανερώνεται ἡ ὀσμὴ τοῦ Θεοῦ καὶ Πατέρα, καὶ μέσω αὐτοῦ γίνεται γνωστή, πῶς ἄραγε νὰ ὑποπτευθοῦμε ὅτι αὐτὸ πρέπει νὰ φέρεται σὲ πέρας; Γιατὶ στὰ λειβάδια καὶ στοὺς κήπους φυτρώνουν τὰ φυτὰ τῆς ἐποχῆς, μῆλο, γιὰ παράδειγμα, καὶ κρῖνο. Ἄραγε, φίλε, εἶναι δυνατὸν τὸ μῆλο νὰ ἔχει φυσιολογικὰ τὴν ὀσμὴ τοῦ κρίνου, καὶ τὸ μῆλο νὰ δανείσει ἀντίστοιχα στὸ κρῖνο τὴ δική του ὀσμή, καὶ νὰ ἀποβληθεῖ γιὰ πάντα καὶ ἀπὸ τὰ δύο τὸ προσὸν τοῦ καθενός;

Β. Μὲ κανένα τρόπο· γιατὶ τὸ καθένα θὰ ἀναδίδει τὴ δική του ὀσμή.

*Α. Πῶς οὖν ἂν εἴη τῆς τοῦ Θεοῦ καὶ Πατρὸς γνώσεως ἀληθοῦς εὐωδία Χριστός, εἰ μὴ τῆς ἀληθοῦς θεότητος ἐκφῦναι πιστεύοιτο; Δέδεικται γὰρ ὅτι τὴν οἰκείαν ἕκαστον οἱονεί πως ἀπόζει φύσιν· θεότητος δὲ τῆς κατὰ φύσιν ὀσμὴ πῶς ἂν γένοιτο διὰ κτίσματος καὶ φύσεως ἑτεροειδοῦς, ἢ ὥσπερ ἂν ἔχοι Θεός; Ὥσπερ γὰρ οὐκ ἂν οἴοιτό τις, εἴ γε νοῦν ἔχοι, τὴν τῆς θεότητος εὐωδίαν τῇ τῶν γενητῶν ἐνεῖναι φύσει, κομιδῇ γὰρ εὔηθες τὸ χρῆμά ἐστιν, οὕτως οὐκ ἂν τῇ ἀγεννήτῳ καὶ ὑπὲρ πάντα θεότητι δυσγενῆ τε καὶ ἑτεροφυᾶ τὴν ἀπ' αὐτῆς ἀπόδοσιν ὡς ἐν ὀσμῆς τάξει προσάψειε τὸν Υἱόν. Ἐκπέφυκε γὰρ ἀπορρήτως τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὁ Μονογενής, ὅλην ἡμῖν εὐωδιάζων ἐν ἑαυτῷ τοῦ τεκόντος τὴν φύσιν. Τοιγάρτοι καὶ πρὸς αὐτὸν ὡς ἐν προσώπῳ τῆς νύμφης ἡ ἐξ ἐθνῶν Ἐκκλησία φησί· «Μῦρον ἐκκενωθὲν ὄνομά σου, διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε». Δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ τὸ εὐῶδες τῆς γνώσεως τοῦ Πατρὸς εἰσδεδέγμεθά τε καὶ πεπλουτήκαμεν.*

*Β. Σύμφημι. Δοκεῖς γὰρ ὀρθῶς φράσαι τε ἅμα καὶ κατεσκέφθαι ταυτί.*

*Α. Εἴη δ' ἂν καὶ ἑτέρως οὐκ ἀσυμφανὲς ὅτι καὶ Θεὸς ἀληθῶς καὶ ἐκ Θεοῦ πέφηνεν ὁ Υἱός, εἰ καὶ τῇδέ πῃ τὸν ἐπ' αὐτῷ καταθρήσαιμεν λόγον.*

*Β. Τίνα φῄς τρόπον;*

*Α. Πρέποι ἄν, εἰπέ μοι, τῶν ὄντων τινὶ διανέμειν δύνασθαι τὰ ὅσαπερ ἂν ἡ θεία τε καὶ μόνη χαρίσαιτο φύσις;*

*Β. Παντάπασι μὲν οὖν.*

*Α. Οὐκοῦν ἐν ὑψώμασι τοῖς ἀνωτάτω καὶ ἐν τοῖς εἰς λῆξιν ἥκουσι δόξης τῆς θεοπρεποῦς εἴη ἂν καὶ σφόδρα εἰκότως ὁ ᾧπερ ἂν ὁρῷτο προσὸν τὸ διαπεραίνειν δύνασθαι ταυτί;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Εἰρήνη τοίνυν θεόσδοτον ἀγαθὸν καὶ ξένιον οὐρανοῦ καὶ ἐκ μόνων ἧκον ἡμῖν τῶν θείων διανευμάτων. Ποιήσομαι δὲ τοῦ λόγου συλλήπτορα τὸν προφήτην Ἠσαΐαν διακεκραγότα καὶ λέ-*

106. Ἆσμα Ἀσμ. 1,3.

Α. Πῶς μπορεῖ λοιπὸν ὁ Χριστὸς νὰ εἶναι εὐωδία τῆς ἀληθινῆς γνώσεως τοῦ Θεοῦ καὶ Πατέρα, ἐὰν δὲν πιστεύεται ὅτι φύτρωσε ἀπὸ τὴν ἀληθινὴ θεότητα; Γιατὶ ἀποδείχθηκε, ὅτι τὸ καθένα ἀναδίδει κατὰ κάποιο τρόπο τὴ δική του φύση, καὶ ἡ ὀσμὴ τῆς κατὰ φύση θεότητας πῶς μπορεῖ νὰ γίνει μέσω κτίσματος καὶ φύσεως διαφορετικῆς ἀπὸ αὐτὴν ποὺ ἔχει ὁ Θεός; Ὅπως δηλαδὴ δὲν μπορεῖ κανεὶς νὰ πιστέψει, ἂν βέβαια ἔχει μυαλό, ὅτι ἡ εὐωδία τῆς θεότητας ὑπάρχει μέσα στὴ φύση τῶν κτισμάτων, γιατὶ τὸ πρᾶγμα εἶναι πολὺ μωρό, ἔτσι οὔτε στὴν ἀγέννητη καὶ ἀνώτερη ὅλων θεότητα εἶναι δυνατὸν νὰ προσάψει ὁ Υἱὸς ταπεινῆς καταγωγῆς καὶ διαφορετικῆς φύσεως ἀπόδοση ὀσμῆς. Γιατὶ ὁ Μονογενὴς φύτρωσε κατὰ τρόπο ἀπερίγραπτο ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, εὐωδιάζοντας γιὰ χάρη μας στὸν ἑαυτό του ὅλη τὴ φύση ἐκείνου ποὺ τὸν γέννησε. Γι' αὐτὸ καὶ πρὸς αὐτόν, ὡς ἐκπρόσωπος τῆς νύφης, ἡ Ἐκκλησία τῶν ἐθνῶν λέγει· «Τὸ ὄνομά σου εἶναι σὰν τὸ μύρο ποὺ χύθηκε, γι' αὐτὸ οἱ κοπέλες σὲ ἀγάπησαν καὶ ἑλκύσθηκαν ἀπὸ σένα»[106]. Μέσω αὐτοῦ ἄλλωστε καὶ μὲ αὐτὸν δεχθήκαμε καὶ ἀποκτήσαμε τὴν εὐωδία τῆς γνώσεως τοῦ Πατέρα.

Β. Συμφωνῶ. Γιατὶ φαίνεται ὅτι ὀρθὰ τὰ εἶπες καὶ τὰ σκέφθηκες αὐτά.

Α. Εἶναι δυνατὸ νὰ ἀποδειχθεῖ καὶ μὲ ἄλλο τρόπο, ὅτι καὶ Θεὸς ἀληθινὸς εἶναι, καὶ ἀπὸ Θεὸ βλάστησε ὁ Υἱός, ἂν καὶ κάπου ἐδῶ θά μπορούσαμε νὰ σταματήσουμε τὸν λόγο.

Β. Μέ ποιὸν τρόπο ἐννοεῖς;

Α. Πές μου, ταιριάζει σὲ κάποιο ἀπὸ τὰ ὄντα νὰ μπορεῖ νὰ μοιράζει ὅλα ὅσα χαρίζει μόνο ἡ θεία φύση;

Β. Σὲ κανένα ἀπολύτως.

Α. Ἑπομένως, αὐτὸς στὸν ὁποῖο ἐμφανίζεται τὸ προσὸν νὰ μπορεῖ νὰ τὰ φέρνει εἰς πέρας αὐτά, ἀνήκει, ὅπως εἶναι πολὺ φυσικό, στὰ ἀνώτατα ὕψη καὶ στὸν ἀκρότατο βαθμὸ τῆς δόξας ποὺ ταιριάζει στὸν Θεό;

Β. Πῶς δηλαδὴ ὄχι;

Α. Ἡ εἰρήνη λοιπὸν εἶναι θεόσδοτο ἀγαθὸ καὶ δῶρο τοῦ οὐρανοῦ, καὶ ἔρχεται σὲ μᾶς μόνο μὲ τὴ συγκατάθεση τοῦ Θεοῦ. Θὰ κάνουμε ὅμως βοηθό μας στὸ λόγο τὸν προφήτη Ἠσαΐα, ὁ ὁποῖος

γοντα· «Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν»· ὡς ἔν γε τῷ τὴν εἰρήνην ἑλεῖν, μετόν, οἶμαί που, παντὸς ἀπόνασθαι καλοῦ τοῖς γε ὅλως ᾑρηκόσι.

Β. Μέτεστι γὰρ οὖν.

Α. Ἐνεργείας οὖν ἄρα τῆς ἄνωθεν ἡ εἰρήνη καρπὸς καὶ ξένιον ἀληθῶς, καθάπερ ἔφην ἀρτίως, οὐδενὸς μὲν τῶν πεποιημένων, Θεοῦ δὲ μόνου τοῦ κατὰ φύσιν. Τὸν γάρ τοι διδόντα μόνον ἔφη Θεὸν εἰδέναι, καὶ ἐπ᾿ αὐτῷ μηδένα.

Β. Ἀληθές.

Α. Ἄθρει δὴ οὖν χορηγόν τε ἅμα καὶ πρύτανιν ὧνπερ ἂν ἡμῖν ἐπιδοίη Θεὸς ὁ Πατὴρ τὸν ἐξ αὐτοῦ πεφηνότα Λόγον. Ἔφη γάρ που τοῖς ἁγίοις μαθηταῖς· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν». Ἴδιον δὲ τὴν εἰρήνην ἀγαθὸν εἶναί φησι, θεόσδοτον γὰρ τὸ χρῆμα καὶ οὐχ ἑτέρως. Καὶ πρός γε τούτῳ φησὶν ὁ θεσπέσιος Παῦλος· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ὁ δὲ τῷ Θεῷ καὶ Πατρὶ συγχορηγός τε καὶ δοτὴρ καὶ διὰ τῆς ἴσης ἀπαραλλάκτως φιλοτιμίας τε ἅμα καὶ μεγαλοπρεπείας ἰών, πῶς ἄν, εἰπέ μοι, τῆς θεοπρεποῦς μειονεκτοῖτο δόξης, καὶ οὐχὶ δὴ μᾶλλον ἐν ἴσῳ τε καὶ ἐν ὁμοίῳ κείσεται κατὰ πᾶν ὁτιοῦν τῷ γεγεννηκότι;

Β. Ὀρθῶς ἔχει.

Α. Ἴθι δὲ δὴ καὶ ἐπ᾿ ἐκεῖνο αὖ.

Β. Τὸ ποῖον τί φής;

Α. Ἢ οὐκ ἀληθὲς εἶναι φὴς ὡς τό γε ταῖς τῶν ἁγίων συμφέρεσθαι δόξαις εὐστιβῆ μὲν ἡμῖν ἀπεργάσεται τὴν ἀλήθειαν, ἐπ᾿ αὐτὸ δὲ ἀνοίσει τὸ Θεῷ δοκοῦν καὶ τὸ διὰ τοῦ ἁγίου Πνεύματος ἐφ᾿ Υἱῷ χρησμῳδούμενον;

Β. Καὶ τί δὴ τοῦτό ἐστιν;

Α. Τὸ ὅτι Θεὸς κατὰ φύσιν καὶ ἀληθῶς ὁ Υἱός. Ὁ γάρ τοι σοφὸς ἔφη Παῦλος, περὶ μὲν τοῦ Θεοῦ καὶ Πατρός, «Ὁ Θεὸς καὶ

---

107. Ἡσ. 26,12-13. 108. Ἰω. 14,27. 109. Ρωμ. 1,7.

φωνάζει καὶ λέγει· «Κύριε, Θεέ μας, δῶσε μας εἰρήνη· γιατὶ ὅλα μᾶς τὰ ἔχεις δώσει. Κύριε, ἐκτὸς ἀπὸ σένα ἄλλον δὲν γνωρίζουμε, τὸ ὄνομά σου ἐπικαλούμαστε»[107]· ὥστε τὸ νὰ λάβουμε τὴν εἰρήνη εἶναι, νομίζω, δυνατὸ στὸν καθένα ἀπὸ αὐτοὺς ποὺ προτιμοῦν νὰ χαροῦν τὸ καλό.

Β. Εἶναι πράγματι δυνατόν.

Α. Ἑπομένως ἡ εἰρήνη εἶναι καρπὸς τῆς οὐράνιας ἐνέργειας, καὶ εἶναι δῶρο πραγματικά, ὅπως εἶπα πρὶν ἀπὸ λίγο, ποὺ δὲν ἔχει κανένα ἀπὸ τὰ δημιουργήματα, ἀλλὰ μόνο τοῦ Θεοῦ κατὰ φύση. Γι' αὐτὸ ὁ Ἠσαΐας εἶπε, ὅτι μόνο τὸν Θεὸ γνωρίζει, καὶ ἐκτὸς ἀπὸ αὐτὸν κανένα ἄλλον.

Β. Εἶναι ἀλήθεια αὐτό.

Α. Πρόσεχε λοιπὸν ὅτι χορηγὸς καὶ ταυτόχρονα πρύτανης αὐτῶν ποὺ μπορεῖ νὰ μᾶς δώσει ὁ Θεὸς καὶ Πατέρας, εἶναι ὁ Λόγος ποὺ προῆλθε ἀπὸ αὐτόν. Γιατὶ εἶπε κάπου στοὺς ἅγιους μαθητές του· «Σᾶς δίνω τὴ δική μου εἰρήνη, σᾶς ἀφήνω τὴν εἰρήνη τὴ δική μου»[108]. Καὶ λέγει ὅτι ἡ εἰρήνη εἶναι δικό του ἀγαθό, ἐπειδὴ εἶναι πρᾶγμα ποὺ δίνεται ἀπὸ τὸν Θεό, καὶ ὄχι μὲ ἄλλον τρόπο. Καὶ μαζὶ μ' αὐτὸ λέγει ὁ θεσπέσιος Παῦλος· «Εἴθε νὰ δοθεῖ σὲ σᾶς ἡ χάρη καὶ ἡ εἰρήνη ἀπὸ τὸν Θεὸ καὶ Πατέρα μας, καὶ ἀπὸ τὸν Κύριο Ἰησοῦ Χριστό»[109]. Αὐτὸς λοιπὸν ὁ ὁποῖος εἶναι μαζὶ μὲ τὸν Θεὸ καὶ Πατέρα συγχορηγὸς καὶ δότης καὶ ἔρχεται μὲ τὴν ἴδια ἀπαράλλακτα γενναιοδωρία καὶ μεγαλοπρέπεια, πές μου πῶς εἶναι δυνατὸν νὰ μειονεκτεῖ ὡς πρὸς τὴ δόξα, καὶ νὰ μὴ εἶναι ἴσος καὶ ὅμοιος σὲ κάθε τι μὲ ἐκεῖνον ποὺ τὸν γέννησε;

Β. Σωστά.

Α. Ἔλα λοιπὸν πάλι καὶ σ' ἐκεῖνο.

Β. Ποιὸ λές;

Α. Ἢ μήπως λὲς πὼς δὲν εἶναι ἀλήθεια, ὅτι τὸ νὰ συμφωνοῦμε μὲ τὶς γνῶμες τῶν ἁγίων, σὲ μᾶς βέβαια κάνει εὐκολοπλησίαστη τὴν ἀλήθεια, μᾶς ἀνεβάζει ὅμως σ' αὐτὸ ποὺ ἀρέσει στὸν Θεὸ καὶ σ' αὐτὸ ποὺ προλέγεται γιὰ τὸν Χριστὸ διὰ τοῦ ἁγίου Πνεύματος;

Β. Καὶ τί σημαίνει αὐτό;

Α. Ὅτι ὁ Υἱὸς εἶναι Θεὸς κατὰ φύση καὶ ἀληθινός. Γιατὶ ὁ σοφὸς Παῦλος εἶπε γιὰ τὸν Θεὸ καὶ Πατέρα· «Ὁ Θεὸς καὶ Πατέρας

*Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι». Εἶτα τῆς τοιᾶσδε τιμῆς τε καὶ δόξης τὸν ἴσον εὐθὺς ἀναπλέκει στέφανον τῷ Υἱῷ, καταδείσας οὐδέν, ἐπείπερ ἔγνω Θεὸν ὄντα φύσει τε καὶ ἀληθῶς· ἐπιστέλλει περὶ αὐτοῦ, τὸν περὶ τῆς Ἰουδαίων ἀποπομπῆς ἐξυφαίνων λόγον· «Εὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντας Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας Ἀμήν». Τὸν τοίνυν ἐπὶ πάντας Θεὸν ὑπὸ Θεῷ μετὰ πάντων θήσομεν, εἴπερ οὐκ ἀληθῶς ἐστὶ Θεὸς καὶ τοῖς κατὰ χάριν συντετάξεται, καίτοι τὸ ἐπὶ πάντας εἶναι λαχών, τὸ μέγα τοῦτο καὶ θεοπρεπὲς ἀξίωμα, τὸ εὐλογεῖσθαί φημι, καὶ τοῦτο διηνεκῶς καὶ ἀκαταλήκτως κατασφραγίζοντος τοῦ Ἀμήν. Ἆρ' ἐξ ὑγιοῦς οἴει φρενὸς ἐννενοῆσθαι ταυτὶ τοὺς δι' ἐναντίας;*

*Β. Οὐδαμῶς· ἔχοι δ' ἂν μᾶλλον ὑγιᾶ τὸν νοῦν ὁ Θεὸν ἀληθινὸν καὶ ἐκ Θεοῦ πεφηνέναι τοῦ κατὰ ἀλήθειαν ὁμολογῶν τὸν Υἱόν, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ποὺ εἶναι εὐλογητὸς αἰώνια, γνωρίζει ὅτι δὲν ψεύδομαι»[110]. Ἔπειτα ἀμέσως πλέκει τὸ ἴδιο ἐγκώμιο τιμῆς καὶ δόξας καὶ γιὰ τὸν Υἱό, χωρὶς νὰ διστάζει καθόλου, ἐπειδὴ γνώριζε ὅτι εἶναι Θεὸς κατὰ φύση καὶ ἀληθινός· μιλώντας γιὰ τὴν ἀποπομπὴ τῶν Ἰουδαίων, γράφει γι' αὐτόν· «Θὰ εὐχόμουν μάλιστα νὰ βρεθῶ ἐγὼ ὁ ἴδιος μακριὰ ἀπὸ τὸν Χριστὸ γιὰ χάρη τῶν ἀδελφῶν μου, τῶν φυσικῶν ἀδελφῶν μου, ποὺ εἶναι οἱ Ἰσραηλῖτες, στοὺς ὁποίους ἀνήκουν οἱ πατέρες, καὶ ἀπὸ τοὺς ὁποίους κατάγεται ὁ Χριστὸς ὡς ἄνθρωπος, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων Θεὸς εὐλογητὸς στοὺς αἰῶνες. Ἀμήν»[111]. Θὰ βάλουμε λοιπὸν τὸν ὑπεράνω ὅλων Θεὸ κάτω ἀπὸ Θεὸ μαζὶ μὲ ὅλους, ἐὰν δὲν εἶναι πραγματικὰ Θεὸς καὶ θὰ συγκαταλεγεῖ ἀνάμεσα σ' ἐκείνους ποὺ εἶναι θεοὶ κατὰ χάρη, μολονότι ἔχει τὸ προνόμιο νὰ βρίσκεται πάνω ἀπὸ ὅλους, αὐτὸ τὸ μεγάλο καὶ ταιριαστὸ σὲ Θεὸ ἀξίωμα, ἐννοῶ τὸ νὰ εὐλογεῖται, καὶ αὐτὸ νὰ τὸ ἐπισφραγίζει διαρκῶς καὶ χωρὶς τέλος τὸ ἀμήν. Νομίζεις λοιπὸν ὅτι οἱ ἀντίθετοι ποὺ τὰ σκέφτονται αὐτὰ εἶναι μὲ τὰ καλά τους;

Β. Καθόλου· ἔχει τὸ νοῦ του ὑγιῆ ἐκεῖνος μᾶλλον ποὺ ὁμολογεῖ τὸν Υἱὸ Θεὸ ἀληθινὸ καὶ ποὺ φανερώθηκε ἀπὸ τὸν ἀληθινὸ Θεό, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Θεὸ καὶ Πατέρα ἀνήκει ἡ δόξα, μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

110. Β' Κορ. 11,31.

111. Ρωμ. 9,3-5.

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

### Ὅτι οὐ κτίσμα ὁ Υἱὸς οὐδὲ ποίημα.

Α. Τὸν δὴ Θεὸν ἐκ Θεοῦ κατὰ τὴν ἄρρητον πεφηνότα γέννησιν, ἆρ᾽ ἔσθ᾽ ὅπως οὐκ ἐν Υἱοῦ μὲν δόξῃ τοῦ κατὰ φύσιν τιθείς, γενητὸν δέ τις καὶ πεποιημένον εἰπών, οὐκ ἂν ὄφλοι δίκην ἣν τοῖς εἰωθόσι κατακερτομεῖν τὴν τοῦ Θεοῦ δόξαν ἐπηρτῆσθαί φαμεν, ψηφηφορούσης ὡδὶ τῆς θεοπνεύστου Γραφῆς· «Ἄνθρωπος, ὃς ἂν καταράσηται Θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται· ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου θανάτῳ θανατούσθω, λίθοις λιθοβολησάτωσαν αὐτὸν πᾶσα ἡ συναγωγή· ἐάν τε προσήλυτος, ἐάν τε αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα Κυρίου τελευτάτω»;

Β. Οὐκ ἂν οἶμαι διαδράναι τὸ μὴ οὐχὶ πάντῃ τε καὶ πάντως ταῖς αὐτῷ πρεπούσαις ἁλῶναι δίκαις.

Α. Ἄριστον οὖν, ὦ Ἑρμεία, τὸ μὴ ταῖς ἑτέρων ἀθυροστομίαις ἀναπτοεῖσθαι φιλεῖν, ἐπεί τοι πρὸς νοῦν ἡμᾶς τὸν ἀδόκιμον ἀποφέρουσι, πίστεως δὲ κανόνα τὸν εὐθυτενῆ τε καὶ ἀδιάστροφον τοὺς τῶν θεηγόρων ποιεῖσθαι λόγους. Πρέποι γὰρ ἄν, οὐχ ἑτέροις μᾶλλον ἡμᾶς, ἢ ἐκείνοις αὐτοῖς ἐπικροτεῖν τε καὶ λέγειν· «Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν».

Β. Ὀρθότατα ἔφης.

Α. Οὐκοῦν, ἥκιστα μὲν γενητόν, ἤγουν τὴν εἰς τὸ ἐκτίσθαι λαχόντα πάροδον, προσκυνεῖν ἐγνώκασι τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, καρπὸν δὲ εἶναί φασι τῆς τοῦ τεκόντος οὐσίας σύνδρομόν τε καὶ συναΐδιον, καὶ Υἱὸν ὀνομάζουσι καὶ Θεὸν ἀληθινὸν καὶ ζωὴν αἰώνιον. Καὶ γοῦν ὁ θεῖος ἡμῖν μυσταγωγὸς Ἰωάννης· «Καὶ

---

1. Λευϊτ. 24, 15-16. 2. Ματθ. 10, 20.

## ΔΙΑΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

### Ὅτι ὁ Υἱὸς δὲν εἶναι οὔτε κτίσμα, οὔτε δημιούργημα.

Α. Τὸν Θεὸ λοιπὸν ποὺ προῆλθε ἀπὸ Θεὸ μὲ ἀπερίγραπτη γέννηση, εἶναι ἄραγε δυνατὸν κάποιος νὰ μὴ τὸν τοποθετεῖ στὸ ἀξίωμα τοῦ Υἱοῦ κατὰ φύση, καὶ νὰ τὸν λέγει κτιστὸν καὶ δημιουργημένο, καὶ νὰ μὴ καταδικάζεται μὲ τὴν ποινὴ ποὺ λέμε ὅτι προβλέπεται γιὰ ἐκείνους ποὺ συνηθίζουν νὰ ἐμπαίζουν τὴ δόξα τοῦ Θεοῦ, τὴ στιγμὴ ποὺ ἡ θεόπνευστη Γραφὴ ὁρίζει τὰ ἑξῆς, «Κάθε ἄνθρωπος ποὺ θὰ βλασφημήσει τὸν Θεὸ του, θὰ ἔχει τὴν τιμωρία τῆς ἁμαρτίας του. Ἀναφέροντας ὅμως τὸ ὄνομα τοῦ Κυρίου, θὰ τιμωρεῖται μὲ θάνατο. Θὰ τὸν θανατώνουν μὲ λιθοβολισμὸ ὅλοι οἱ Ἰσραηλῖτες. Εἴτε εἶναι ξένος, εἴτε ἐντόπιος, ἀναφέροντας καὶ μόνο τὸ ὄνομα τοῦ Κυρίου, θὰ θανατώνεται»[1];

Β. Δὲν θὰ μπορέσει, νομίζω, ν᾽ ἀποφύγει τὸ νὰ μὴ ὑποστεῖ ὁπωσδήποτε τὶς τιμωρίες ποὺ τοῦ πρέπουν.

Α. Εἶναι ἑπομένως ἄριστο, Ἑρμεία, τὸ νὰ μὴ συνηθίζουμε νὰ τρομάζουμε μὲ τὶς ἀθυροστομίες τῶν ἄλλων, ἐπειδὴ μᾶς παρασύρουν σὲ ἀνάξιο νοῦ, ἀλλὰ νὰ κάνουμε κανόνα πίστεως ἴσον καὶ ἀνεπίδεκτο στροφῆς τοὺς λόγους τῶν θεολόγων. Γιατὶ θὰ ταίριαζε ἐμεῖς ὄχι σὲ ἄλλους, ἀλλὰ μᾶλλον σ᾽ αὐτούς, νὰ χειροκροτοῦμε καὶ νὰ λέμε· «Δὲν εἴσαστε σεῖς ποὺ μιλᾶτε, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατέρα σας ποὺ μιλάει μέσα σας»[2].

Β. Πολὺ σωστὰ μίλησες.

Α. Λοιπὸν ἐκεῖνοι ἔμαθαν νὰ μὴ προσκυνοῦν τὸν μονογενῆ Λόγο τοῦ Θεοῦ ὡς κτιστόν, ἤτοι ἐπειδὴ τοῦ ἔλαχε νὰ εἶναι κτισμένος, ἀλλὰ λένε ὅτι εἶναι καρπὸς τῆς οὐσίας τοῦ Πατέρα, ποὺ συνυπάρχει καὶ εἶναι συναιώνιος μὲ αὐτόν, καὶ τὸν ὀνομάζουν Υἱὸ καὶ Θεὸ ἀληθινὸ καὶ Ζωὴ αἰώνια. Καὶ πράγματι ὁ θεῖος μυσταγωγός μας Ἰωάν-

*οἴδαμεν», φησίν, «ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ ἡ αἰώνιος». Ἀλλ' εἴπερ ἐστίν, ὦ 'γαθέ, καὶ Θεὸς ἀληθινὸς ὁ Υἱὸς καὶ ζωὴ αἰώνιος, διέδρα δὲ οὐχὶ τὸ εἶναι κτίσμα καὶ ποίημα, καίτοι τὴν οὕτως εὐκλεᾶ φύσιν ἀποτεμόμενος, ἆρ' οὐχὶ καὶ αὐτὴν ἤδη πως καταλωβήσαιτ' ἂν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίαν τὸ κατηγόρημα, παραποδίζοντος οὐδενός;*

*Β. Τίνα τρόπον;*

*Α. Οὐ γὰρ δὴ Θεὸς μὲν ἀληθινὸς κατωνόμασται καὶ αὐτός, ζωογονεῖ δὲ τὰ πάντα, ζωὴ κατὰ φύσιν ὑπάρχων; «Ζῶμεν γὰρ ἐν αὐτῷ καὶ κινούμεθα καὶ ἐσμέν», ὥς που καὶ σοφὸς ἔφη λόγος.*

*Β. Ἀληθές.*

*Α. Ἴτω δὴ οὖν καὶ ἐπ' αὐτὸν ἀτεχνῶς, τῆς δυσφημίας ὁ λόγος, καὶ διακεκλήσθω γενητός· τὸ ἀπεῖργον γάρ, οἶμαί που, καὶ ἐμποδὼν οὐδέν, τῆς ἀληθοῦς θεότητος παθούσης ἅπαξ ἐν Υἱῷ τὸ τελεῖν ἐν γενητοῖς, καὶ τῆς αἰωνίου ζωῆς οὐκ οἶδ' ὅπως ἐκμεμοχλευμένης τοῦ εἶναι ζωῆς, καὶ τοῖς ἄλλοις κτίσμασιν ἀναμὶξ καθάπερ ἐξ ἀνάγκης εἰσδεδεγμένης ἐκμεμετρημένην χρόνῳ τὴν ὕπαρξιν. Τὸ γὰρ γενητὸν οὐκ ἄναρχον, οὔτε μὴν χρόνου παντὸς πρεσβύτερον.*

*Β. Ὡς δεινόν γε, ὦ τᾶν, τὸ χρῆμα, καὶ δυσδιάφυκτος ἀληθῶς ἡ τῆς δυσσεβείας γραφή!*

*Α. Εὐδιάφυκτος μὲν οὖν· ἐφεῖται γὰρ δὴ τοῖς ἐθέλουσιν εὐκόλως ἀποφοιτᾶν, καὶ τὸν ὀλετῆρα καὶ φθόρον τῶν δι' ἐναντίας διωθεῖσθαι λόγον, τὸ χρῆναι νικᾶν ἀπονέμουσιν εὐσεβῶς ταῖς τῶν ἁγίων φωναῖς. Ποιητὴν μὲν γὰρ οὐδαμῶς τοῦ Μονογενοῦς, Πατέρα δὲ μᾶλλον γεννητικῶς κεχρησμῳδήκασι τὸν Θεόν, οἳ καὶ τοῦ κόσμου τέθεινται φῶς, παρὰ τοῦ τὴν ἰδίαν οὐκ ἠγνοηκότος φύσιν, φημὶ δὴ Χριστοῦ. Ἔφη γάρ που πρὸς αὐτούς· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου». Καὶ μὴν καὶ μυσταγωγοὺς ἀποφαίνων αὐτοὺς ἀπλανεῖς τε καὶ ἀληθεῖς, «Πορευθέντες», ἔφη, «μαθητεύ-*

---

3. Α' Ἰω. 5,19-20. 4. Πράξ. 17,28. 5. Ματθ. 5,14.

νης λέγει· «Καὶ γνωρίζουμε ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἦρθε καὶ μᾶς ἔδωσε νοῦ γιὰ νὰ γνωρίζουμε τὸν ἀληθινὸ Θεό, καὶ εἴμαστε πραγματικὰ προσηλωμένοι στὸν ἀληθινὸ Θεό, μέσω τοῦ Υἱοῦ τοῦ Ἰησοῦ Χριστοῦ. Αὐτὸς εἶναι ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνια»[3]. Ἀλλὰ ἐάν, καλέ μου, ὁ Υἱὸς εἶναι καὶ Θεὸς ἀληθινὸς καὶ ζωὴ αἰώνια, ἀλλὰ δὲν ἀπέφυγε τὸ νὰ εἶναι κτίσμα καὶ δημιούργημα, ἂν καὶ ἀποχωρίσθηκε ἀπὸ τὴν τόσο ἔνδοξη φύση, ἄραγε δὲν θὰ μποροῦσε νὰ βλάψει κάπως καὶ αὐτὴν ἀκόμα τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα ἡ κατηγορία ποὺ τοῦ ἀποδίδεται, ἀφοῦ τίποτε δὲν τὴν ἐμποδίζει;

Β. Μὲ ποιὸν τρόπο;

Α. Δὲν ὀνομάζεται καὶ αὐτὸς Θεὸς ἀληθινὸς καὶ δὲν ζωοποιεῖ τὰ πάντα, ἀφοῦ εἶναι κατὰ φύση ζωή; Γιατί, ὅπως λέγει κάπου ἕνας σοφὸς λόγιος, «Μέσα σ' αὐτὸν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε»[4].

Β. Ναί, εἶναι ἀλήθεια.

Α. Ἂς ἔρθει τότε καὶ σ' αὐτὸν μὲ ἄκομψο τρόπο ὁ λόγος τῆς βλασφημίας, καὶ ἂς ὀνομασθεῖ κι' αὐτὸς (ὁ Πατέρας), κτιστός· γιατὶ νομίζω πὼς δὲν ὑπάρχει κάτι ποὺ νὰ κωλύει καὶ νὰ ἐμποδίζει (ἀφοῦ ἡ ἀληθινὴ θεότητα ἔπαθε μιὰ γιὰ πάντα στὸ πρόσωπο τοῦ Υἱοῦ), νὰ βρίσκεται μεταξὺ τῶν κτιστῶν, καὶ ἡ αἰώνια ζωή, δὲν ξέρω πῶς, ἔπαψε νὰ εἶναι ζωή, καὶ ἀναμιγμένη μὲ τὰ ἄλλα κτίσματα σὰν ἀπὸ ἀνάγκη δέχθηκε μετρημένη χρονικὰ τὴν ὕπαρξή της. Γιατὶ τὸ κτιστὸ δὲν εἶναι ἄναρχο, οὔτε καὶ μεγαλύτερο ἀπὸ τὸν χρόνο.

Β. Πολὺ φοβερό, φίλε, τὸ πρᾶγμα, καὶ δυσκολοαπόφευκτη πραγματικὰ ἡ κατηγορία τῆς ἀσέβειας!

Α. Εἶναι ὅμως εὔκολο νὰ ἀποφευχθεῖ· γιατὶ ἐπιτρέπεται σ' αὐτοὺς ποὺ θέλουν νὰ ἀπομακρυνθοῦν εὔκολα καὶ νὰ ἀπωθήσουν τὸν καταστροφικὸ καὶ φθοροποιὸ λόγο τῶν ἀντιθέτων, ἀναθέτοντας μὲ εὐσέβεια τὴν ἀνάγκη νὰ νικήσουν στὰ λόγια τῶν ἁγίων. Γιατὶ μὲ κανένα τρόπο δὲν κήρυξαν τὸν Θεὸ δημιουργὸ τοῦ Μονογενοῦς, ἀλλὰ μᾶλλον Πατέρα ποὺ τὸν γέννησε, αὐτοὶ ποὺ τοποθετήθηκαν νὰ εἶνα φῶς τοῦ κόσμου, ἀπὸ ἐκεῖνον ποὺ γνώριζε τὴ φύση του, ἐννοῶ τὸν Χριστό. Γιατὶ εἶπε κάπου σ' αὐτούς· «Σεῖς εἶσαστε τὸ φῶς τοῦ κόσμου»[5]. Ἀλλὰ τοὺς ἔκανε καὶ διδασκάλους σταθεροὺς καὶ ἀληθινούς· γιατὶ εἶπε· «Πηγαίνετε καὶ κηρύξετε σὲ ὅλα τὰ ἔθνη, βαπτίζοντάς

*σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος». Ἔνθα δὲ Πατὴρ ἀληθῶς καὶ γέννησις, καὶ μὴν καὶ Υἱός, οὐκ εἰσποιητὴν ἔχων τὴν τῆς υἱότητος δόξαν, ἀλλ' οὐσιώδη καὶ ἐκ Πατρός, ποῖον ἂν ἔχοι τόπον ἡ ἐπὶ τῷ πεποιῆσθαι συκοφαντία;*

*Β. Οὐδένα, καθάπερ ἐγῷμαι.*

*Α. Μὴ γὰρ δή τινες ὅλως τῶν ὀρθότητος ἐπιμελητῶν, εἰς τοῦτο ἡκόντων σκαιότητος λογισμῶν ὡς οἴεσθαι δεῖν ἡμᾶς τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀπωτάτω ποιεῖσθαι τὴν ἀπότεξιν, ἤτοι τὸ τῆς γεννήσεως χρῆμα, κατερυθριῶντας ἀμαθῶς μὴ ἄρα τι καὶ πάθοι τῶν ἀβουλήτων ἐφ' ἑαυτῇ, καὶ ταῖς τῶν σωμάτων ἀνάγκαις ὑπενεχθεῖσα κάμοι. Ἐπιφημίζουσι γὰρ τῶν ἀσυνέτων τινὲς ἀποτομὰς αὐτῇ, καὶ τὴν θρυλουμένην ἀπορροήν, οἳ καὶ σφᾶς αὐτοὺς διαλελήθασί πως τοῖς τῆς ἀπωλείας ἐνιέντες βόθροις, οἵ γε τὴν ἀπόρρητον καὶ παντὸς ἐπέκεινα νοῦ τοῦ Θεοῦ φύσιν, εἰ ἀπογεννῶσα φαίνοιτο, καί τι τάχα που καὶ παθεῖν τῶν τοιούτων ὑπειλήφασιν, ἠγνοηκότες παντελῶς τί μέν ἐστι κατὰ φύσιν τὸ ἀσώματον, τί δὲ αὖ τὸ σῶμα καὶ τὰ σωμάτων. Μερισμοῦ μὲν γὰρ ἤγουν ἀπορροῆς καὶ ἀποτομῆς ἀνεπίδεκτον παντελῶς τὸ ἀσώματον, πρέποι δ' ἂν μᾶλλον ἁπτῇ τε καὶ παχείᾳ φύσει τὸ καὶ τοιούτοις τισὶν ἁλῶναι τυχόν. Εἰ λέγοιτο τοίνυν ἐπὶ Θεῷ τὸ «γεγέννηκε», διερρίφθω μὲν πάθους ὑποψία παντός, ἐπικρατείτω δὲ λογισμὸς τῇ τοῦ Θεοῦ φύσει προσάπτων τὰ πρεπωδέστερα. Ἀποτέξεται γὰρ οὐ καθ' ἡμᾶς, ἀλλ' ὡς ἂν εἰδείη καὶ πέφυκεν αὕτη. Τερθρεῖαι δὴ οὖν καὶ γραώδη δείματα τῶν ἑτεροδόξων αἱ σκήψεις. Ὑποπλαττόμενοι γὰρ τὸ ἐκδεδιέναι μὴ ἄρα τι καὶ πάθοι τεκοῦσα τυχὸν ἡ τοῦ Πατρὸς φύσις, τῶν ὅτι μάλιστα φανοτάτων αὐτὴν ἀποστεροῦσι γερῶν. Γεννήτορα γὰρ μᾶλλον ἢ ποιητὴν τοῦ Μονογενοῦς ὁμολογεῖσθαι δεῖν τὸν Πατέρα καὶ Θεὸν ἀπαστισοῦν, οἶμαι, σοφὸς ἀναπείσει λόγος. Εὐκλεέστερον γὰρ ἂν ἀποφήνειε μὲν ὡδί, ψῆφον δὲ αὐτῷ δικαίως ἀπονεμεῖ, τὴν ἐπὶ τοῖς ἄγαν ὑπερκειμένοις, εἴπερ ἀσυγκρίτως καὶ παρ' ἡμῖν αὐτοῖς ὑπερανεστήξει τε καὶ ὑπερκείσεται ποιουμένου παντὸς τὸ ἐξ ἡμῶν γεννώμενον. Εἰ δὴ ποιητὴς μὲν ἔσται Θεός, καὶ τὴν ἐπὶ τῷ δύνασθαι δημιουργεῖν διακεκτήσεται δόξαν, εἴη δ' ἂν*

6. Ματθ. 28, 19.

τους στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος»[6]. Ἐκεῖ λοιπὸν ὅπου ὑπάρχει Πατέρας ἀληθινὸς καὶ γέννηση, καὶ βέβαια καὶ Υἱός, ὁ ὁποῖος δὲν ἔχει μὲ υἱοθεσία τὸ ἀξίωμα τοῦ Υἱοῦ, ἀλλὰ κατ᾽ οὐσία καὶ ἀπὸ τὸν Πατέρα, ποιὰ θέση μπορεῖ νὰ ἔχει ἡ συκοφαντία ὅτι δημιουργήθηκε;

Β. Καμμιά, ὅπως τοὐλάχιστον ἐγὼ νομίζω.

Α. Μήπως λοιπὸν κάποιοι ἀπὸ αὐτοὺς ποὺ φροντίζουν γιὰ τὴν ὀρθότητα γενικά, φθάνοντας σὲ τέτοιο βαθμὸ ἀπαίδευτων λογισμῶν, ὥστε νά νομίζουν ὅτι ἐμεῖς τοποθετοῦμε πιὸ πάνω ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ Πατέρα τὴν ἀπότεξη, δηλαδὴ τὸ γεγονὸς τῆς γέννησης, κοκκινίζοντας ἀπὸ ἀμάθεια, μήπως καὶ πάθει κάτι ἀπὸ τὰ ἀθέλητα πάθη (ἡ οὐσία τοῦ Θεοῦ), καὶ ὑποτασσόμενη στὶς σωματικὲς ἀνάγκες, ὑποκύψει σ᾽ αὐτά. Γιατὶ διαδίδουν μερικοὶ ἀπὸ τοὺς ἀνόητους, τεμαχισμοὺς τῆς οὐσίας τοῦ Θεοῦ καὶ τὴν θρυλούμενη ἀπορροὴ (ροὴ πρὸς τὰ ἔξω), καὶ ξεχνοῦν ὅτι οἱ ἴδιοι ἔχουν μπεῖ στοὺς βόθρους τῆς ἀπώλειας, αὐτοὶ πού, ὅταν ἡ ἀπερίγραπτη καὶ πέρα ἀπὸ τὸν νοῦ φύση τοῦ Θεοῦ ἐμφανίζεται νὰ γεννᾶ, ὑποθέτουν ὅτι ἔχει πάθει ἀπὸ αὐτά, ἀγνοώντας τελείως τί ἀκριβῶς εἶναι στὴ φύση του τὸ ἀσώματο, καὶ τί τὸ σῶμα καὶ τὰ πάθη τῶν σωμάτων. Γιατὶ αὐτὸ ποὺ εἶναι ἀσώματο δὲν ἐπιδέχεται καθόλου μερισμό, δηλαδὴ ἀπορροὴ καὶ τεμαχισμό, τὰ ὁποῖα ταιριάζουν στὴν ἁπτὴ καὶ ὑλικὴ φύση, καὶ τὸ ἐνδεχόμενο νὰ κυριευθεῖ ἀπὸ κάποια ἀπὸ αὐτά. Ὅταν λοιπὸν στὸν Θεὸ λέγεται ὅτι «γέννησε», νὰ ἀπορρίπτεται κάθε ὑποψία πάθους, καὶ νὰ ἐπικρατεῖ σκέψη πού νὰ ἀποδίδει στὴ φύση τοῦ Θεοῦ αὐτὰ ποὺ τῆς ταιριάζουν. Γιατὶ δὲν γεννᾶ σὰν ἐμᾶς, ἀλλὰ ὅπως γνωρίζει καὶ εἶναι στὴ φύ-ση της νὰ γεννᾶ. Εἶναι δηλαδὴ σχολαστικὲς λεπτολογίες καὶ γραϊδίστικα φόβητρα οἱ ἰσχυρισμοὶ τῶν ἀλλοδόξων. Γιατί, ὑποκρινόμενοι ὅτι φοβοῦνται μήπως πάθει τίποτε γεννώντας ἡ φύση τοῦ Πατέρα, τὴν στεροῦν ἀπὸ τὶς πιὸ φανερὲς τιμές. Ὅτι ὅμως πρέπει ὁ Πατέρας καὶ Θεὸς νὰ ὑμνολογεῖται γεννήτορας μᾶλλον καὶ ὄχι δημιουργὸς τοῦ Μονογενοῦς, μᾶς πείθει, πιστεύω, κάθε σοφὸς λόγος. Γιατὶ ἔτσι τὸν διακηρύττει πιὸ ἔνδοξο καὶ τὸν ὑπολογίζει δίκαια μεταξὺ αὐτῶν ποὺ κατέχουν δεσπόζουσα θέση, ἀφοῦ βρίσκεται ἀσύγκριτα πιὸ πάνω καὶ ἀπὸ μᾶς τοὺς ἴδιους, ἀλλὰ καὶ κάνει νὰ βρίσκεται πιὸ ψηλὰ αὐτὸ πού γεννιέται ἀπὸ μᾶς. Ἐνῶ ἐὰν ὁ Θεὸς εἶναι

*γεννήτωρ οὐκ ἔτι, καταφρίξαιμι μὲν ἂν τὸ παλίμφημόν τι καὶ ἀπηχὲς εἰπεῖν, ἐρῶ δ' οὖν ὅμως, οὔ τι που μάλα ἑκών, ὅτι τοῦ πάντων ἀρίστου καὶ διαφανεστέρου διωλίσθηκεν ἀληθῶς ἡ τοῦ Θεοῦ φύσις, εὐρυτέρα δέ πως εἰς εὐκλείας ἡ κτίσις, ᾗ μέτεστι μὲν τοῦ τεκταίνειν δύνασθαι καὶ δημιουργεῖν τὰ ἐκ διαφόρου τέχνης, συμπαρομαρτεῖ δὲ καὶ τὸ γεννᾶν, ὅπερ ἐστὶν ἐναργῶς θατέρου λαμπρότερον.*

*Β. Εὖ λέγεις.*

*Α. Υἱὸς οὖν ἡμῖν, ὦ Ἑρμεία, καὶ οὐ ποίημα τὸ ἐκ Θεοῦ πεφηνὸς κατὰ φύσιν καὶ οὐσιωδῶς γέννημα κατ' ἀλήθειαν, οὐ σοφίας εὕρημα καὶ τέχνης καρπός, τοῦτο γὰρ εἶναί φαμεν τὴν σύμπασαν κτίσιν.*

*Β. Ὧδε ἔχει.*

*Α. Τοιγάρτοι καὶ ὁ σοφὸς ἡμῖν Ἰωάννης τὸ ἥκιστά γε ψευδοεπεῖν ἐπιψηφιεῖται, λέγων ἀναφανδὸν ὅτι· «Πολλὰ μὲν καὶ ἄλλα σημεῖα πεποίηκεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ». Ἀριστείοις δὲ τοῖς ἀνωτάτω καταχρυσοῖ τὸν ὧδε πεπιστευκότα. Γράφει γὰρ πάλιν· «Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;». Καὶ πρός γε τούτοις, ὦ τᾶν, αὐτὸς ὁ Υἱὸς κατατέθηπεν οὐ μικρῶς τὴν εἰς ἡμᾶς ἀγάπησιν τοῦ Θεοῦ καὶ Πατρός. «Οὕτω γὰρ ἠγάπησε», φησίν, «ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον». Καίτοι τί δήποτε κορωνίδος τρόπον τινὰ καὶ ὑστεροδόμιον τῶν ἰδίων ἡμῖν ἐποιήσατο συγγραμμάτων, τὸ χρῆναι πιστεύειν ὡς ἔστι Θεοῦ κατ' ἀλήθειαν Υἱὸς ὁ ἐνανθρωπήσας Λόγος, εἴπερ ἐστὶν οὐχ Υἱός; Καταθλήσει δὲ ὅπως τοῦ κόσμου παντὸς ὁ μὴ τὴν δόξαν ἑλὼν ὡς ἔστι ποίημα καὶ γενητός, ἀξιόληπτον ἀντίδοσιν τῶν οὕτως ὀρθῶς ἐγνωσμένων εὖ μάλα κεκερδακὼς τὸ νικῆσαι τὸν κόσμον; Εἰ μὲν γάρ ἐστιν οὐκ ἐπισφαλὲς εἰπεῖν ὅτι φρονοῦντας διεστραμμένα καὶ τιμᾷ καὶ προσίεται Θεός, καὶ θείοις χαρίσμασι στεφανοῖ τῶν ὄντων τινάς, φαίην ἂν ἔγωγε καὶ μάλα εἰκότως, παντὸς ἀξιοῦσθαι λόγου καὶ γερῶν τοὺς*

7. Ἰω. 20,30-31. 8. Α' Ἰω. 5,5. 9. Ἰω. 3,16.

δημιουργὸς καὶ ἔχει τὸ ἀξίωμα νὰ μπορεῖ νὰ δημιουργεῖ, δὲν μπορεῖ νὰ εἶναι πιὰ γεννήτορας, ἀνατριχιάζω βέβαια νὰ πῶ κάτι τὸ αὐτοαναιρούμενο καὶ ἀνάρμοστο· θὰ τὸ πῶ ὅμως, ἂν καὶ ὄχι καὶ τόσο πολὺ μὲ τὴ θέλησή μου, ὅτι ἡ θεία φύση ἔχει ξεφύγει ἀληθινὰ ἀπὸ τὸ πιὸ καλύτερο καὶ τὸ πιὸ διάφανο, ἐνῶ ἡ κτίση ἐμφανίζεται πιὸ εὐρύτερη σὲ δόξα, στὴν ὁποία ὑπάρχει βέβαια ἡ δύναμη νὰ κατασκευάζει καὶ νὰ δημιουργεῖ τὰ διάφορα ἔργα τέχνης, τὴν συνοδεύει ὅμως καὶ ἡ ἱκανότητα νὰ γεννᾶ, πρᾶγμα ποὺ εἶναι ὁλοφάνερα πιὸ ἔνδοξο.

Β. Καλὰ τὰ λές.

Α. Υἱός λοιπὸν γιὰ μᾶς, Ἑρμεία, καὶ ἀληθινὸ γέννημα τῆς οὐσίας τοῦ Θεοῦ, καὶ ὄχι ἐφεύρημα σοφίας καὶ καρπὸς τέχνης, γιατὶ αὐτὸ λέμε ὅτι εἶναι ἡ κτίση ὁλόκληρη.

Β. Ἔτσι εἶναι.

Α. Γι' αὐτὸ καὶ ὁ σοφὸς γιὰ μᾶς Ἰωάννης ἐπικυρώνει τὸ καθόλου ψευδές, λέγοντας ὁλοφάνερα· «Καὶ ἄλλα πολλὰ θαύματα ἔκανε ὁ Ἰησοῦς μπροστὰ στοὺς μαθητές του, τὰ ὁποῖα δὲν εἶναι γραμμένα στὸ βιβλίο αὐτό. Ἀλλὰ αὐτὰ ἔχουν γραφεῖ, γιὰ νὰ πιστέψετε ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ»[7], καὶ χρυσώνει μὲ τὰ ἀνώτατα βραβεῖα αὐτὸν ποὺ πιστεύει ἔτσι. Γιατὶ γράφει πάλι· «Ποιὸς εἶναι ἐκεῖνος ποὺ νικᾶ τὸν κόσμο, παρὰ ἐκεῖνος ποὺ πιστεύει ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ;»[8]. Καὶ μαζὶ μὲ αὐτά, φίλε, ὁ ἴδιος ὁ Υἱὸς ἐξαίρει ὄχι λίγο τὴν ἀγάπη τοῦ Θεοῦ καὶ Πατέρα σὲ μᾶς. Γιατὶ λέγει· «Τόσο πολὺ ἀγάπησε ὁ Θεὸς τὸν κόσμο, ὥστε παρέδωσε στὸ θάνατο τὸν Υἱό του τὸν μονογενῆ, γιὰ νὰ μὴ χαθεῖ ὅποιος πιστεύει σ' αὐτόν, ἀλλὰ νὰ ἔχει ζωὴ αἰώνια»[9]. Ἂν καὶ βέβαια, γιατί ἔκανε κορωνίδα κατὰ κάποιο τρόπο καὶ ἐπιστέγασμα τῶν δικῶν μας γραπτῶν διατάξεων, τὸ ὅτι πρέπει νὰ πιστεύουμε, ὅτι ὁ Λόγος ποὺ ἐνανθρώπησε εἶναι ἀληθινὸς Θεός, ἐὰν δὲν εἶναι Υἱός; Καὶ πῶς θὰ νικήσει τὸν κόσμο ὅλον, αὐτὸς ποὺ δὲν δέχεται τὴν πίστη, ὅτι δὲν εἶναι δημιούργημα καὶ κτίσμα, ἂν καὶ ἔχει κερδίσει ὡς πολύτιμη ἐπιβράβευση αὐτῶν ποὺ τόσο σωστὰ ἔχει κατανοήσει, τὸ νὰ νικήσει τὸν κόσμο; Γιατί, ἐὰν δὲν εἶναι ἐπικίνδυνο νὰ ποῦμε, ὅτι ἐκείνους ποὺ πιστεύουν διεστραμμένα τοὺς τιμᾶ καὶ τοὺς δέχεται ὁ Θεός, καὶ μερικοὺς ἀπὸ αὐτοὺς ποὺ ὑπάρχουν τοὺς ἐπιβραβεύει μὲ θεϊκὰ χαρίσματα, θὰ ἔλεγα ἐγώ, καὶ πολὺ δίκαια, ὅτι τιμῶνται μὲ κάθε λόγο καὶ δῶρα αὐτοὶ

*ἥκιστα μὲν Υἱόν, κτίσμα δὲ καὶ γενητὸν ὑπάρχειν τὸν Μονογενῆ φληνάφως ὑπειληφότας, κἂν εἰ γεγεννῆσθαι λέγοιτο, καὶ Υἱὸς ὠνομάσθαι πρός τε αὐτοῦ τοῦ Πατρὸς καὶ ἁγίου Πνεύματος. Εἰ δὲ τοῦτο φράσαι μὲν οὐ θέμις, ἐννοεῖν δὲ δυσσεβές, ἀληθές που πάντως τὸ ἐναντίον. Στεφανοῖ γὰρ μόνους τῆς ἀληθείας τοὺς ἐραστάς, καὶ διὰ τοῦτο πεπιστευκότας ὡς εἰς Υἱὸν ἀληθῶς, οὐκ εἰς ἔργον εὐτεχνίας· νόσημα γάρ τι δεινὸν καὶ ἀποπληξία τοῦτό γε.*

*Ταύτῃ τοι μεμακαρίσθαι θεῖος ἡμῖν ἔφη λόγος τῶν ἁγίων ἀποστόλων τὸν ἔκκριτον Πέτρον. Ἐπειδὴ γὰρ διεπυνθάνετο μὲν ὁ Σωτήρ, περὶ τὰ μέρη Καισαρείας τῆς καλουμένης Φιλίππου, τό, «Τίνα δή εἶναί φασιν οἱ ἄνθρωποι τὸν Υἱὸν τοῦ ἀνθρώπου;», καὶ τίς ὁ θρύλος ὁ ἐπ᾽ αὐτῷ τὴν τῶν Ἰουδαίων διαπεφοίτηκε χώραν, ἤτοι τὰς ὁμόρους τῇ Ἰουδαίᾳ πόλεις, τὰ μειρακιώδη καὶ ἀπρεπῆ δοξάρια τῶν ἀγελαίων ἀφείς, εὖ μάλα σοφῶς καὶ ἐπιστημόνως ἀνεκεκράγει λέγων· «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος», καὶ τῆς ἀληθοῦς ἐπ᾽ αὐτῷ διαλήψεως τὴν ἀντέκτισιν οὐκ εἰς μακρὰν ἐκομίζετο, Χριστοῦ λέγοντος· «Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ Πατήρ μου ὁ οὐράνιος. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς», πέτραν, οἶμαι, παρωνύμως ἕτερον οὐδέν, ἢ τὴν ἀκατάσειστον καὶ ἑδραιοτάτην τοῦ μαθητοῦ πίστιν ἀποκαλῶν, ἐφ᾽ ᾗ καὶ ἀδιαπτώτως ἐρήρεισταί τε καὶ διαπέπηγεν ἡ Ἐκκλησία Χριστοῦ, καὶ αὐταῖς ἀνάλωτος ταῖς ᾅδου πύλαις εἰσαεὶ διαμένουσα. Πέτρου δὲ ἡ πίστις ὡς εἰς Υἱόν, οὐκ ἀπερισκέπτως ἐσχεδιασμένη καὶ ἐξ ἀνθρωπίνων νοημάτων ἀναπηγάζουσα, ἀλλ᾽ ἐξ ἀπορρήτου μυσταγωγίας τῆς ἄνωθεν, διαδεικνύντος σαφῶς τοῦ Θεοῦ καὶ Πατρὸς τὸν ἴδιον Υἱόν, καὶ τὴν ἐπὶ τούτῳ πληροφορίαν ταῖς τῶν γνησίων ἐνιέντος ψυχαῖς. Ἥκιστα γὰρ ἂν διαψεύσαιτο Χριστὸς εἰπών, ὅτι «Σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ Πατήρ μου ὁ οὐράνιος». Εἰ δὴ οὖν μακάριος Πέτρος καὶ τῶν οὕτως ὑπερφερεστάτων ἀξιοῦται γερῶν, Υἱὸν Θεοῦ ζῶντος διωμολογηκὼς αὐτόν, πῶς οὐ τρισάθλιοι καὶ ἀπερριμμένοι, καὶ*

10. Ματθ. 16, 16. 11. Ματθ. 16, 17-18. 11α. Ὅπ. π. 18.

ποὺ ὑποστηρίζουν φλυαρώντας ὅτι ὁ Μονογενὴς δὲν εἶναι Υἱός, ἀλλὰ κτίσμα καὶ δημιούργημα, ἂν καὶ λέγεται ὅτι γεννήθηκε καὶ ὀνομάσθηκε Υἱὸς ἀπὸ τὸν ἴδιο τὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα. Ἐὰν ὅμως αὐτὸ δὲν ἐπιτρέπεται νὰ τὸ λέμε, καὶ εἶναι ἀσέβεια νὰ τὸ σκεπτόμαστε, εἶναι ὁπωσδήποτε ἀληθινὸ τὸ ἀντίθετο. Γιατὶ ἐπιβραβεύει μόνο αὐτοὺς ποὺ ἀγαποῦν τὴν ἀλήθεια, καὶ γι᾽ αὐτὸ ἔχουν πιστέψει στὸν Υἱὸ ἀληθινά, καὶ ὄχι σὲ ἔργο τεχνικῆς ἐπιδεξιότητας· γιατὶ αὐτὸ εἶναι ἀρρώστια φοβερὴ καὶ παραλογισμός.

Γι᾽ αὐτὸ ἀκριβῶς ὁ θεῖος λόγος τῶν ἁγίων ἀποστόλων λέγει ὅτι χαρακτηρίσθηκε μακάριος ὁ ἐπίλεκτος Πέτρος. Πράγματι, ὅταν ρώτησε ὁ Σωτήρας, κάπου ἐκεῖ στά μέρη τῆς Καισάρειας τοῦ Φιλίππου, ὅπως λεγόταν, ποιὸς λένε οἱ ἄνθρωποι ὅτι εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ποιὰ φήμη κυκλοφορεῖ γι᾽ αὐτὸν στὴ χώρα τῶν Ἰουδαίων, δηλαδὴ στὶς πόλεις ποὺ συνόρευαν μὲ τὴν Ἰουδαία, ἀφήνοντας ὁ Πέτρος τὶς παιδαριώδεις καὶ ἀπρεπεῖς γνῶμες τῶν ἁπλοϊκῶν, μὲ πολλὴ σοφία καὶ γνώση ἀναφώνησε λέγοντας· «Σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ ζωντανοῦ Θεοῦ»[10], καὶ τὴν ἀνταπόδοση τῆς ἀληθινῆς γι᾽ αὐτὸν κρίσεως δὲν ἄργησε νὰ τὴν λάβει, ἀφοῦ ὁ Χριστὸς τοῦ εἶπε· «Εἶσαι μακάριος Σίμων, υἱὲ τοῦ Ἰωνᾶ, γιατὶ αὐτὸ δὲν σοῦ τὸ ἀποκάλυψε ἄνθρωπος, ἀλλά ὁ Πατέρας μου ὁ οὐράνιος. Καὶ ἐγὼ σοῦ λέγω, ὅτι σὺ εἶσαι Πέτρος, καὶ ἐπάνω στὴν πέτρα αὐτὴ θὰ οἰκοδομήσω τὴν Ἐκκλησία, καὶ οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν αὐτῆς»[11], ὀνομάζοντας πέτρα, νομίζω, παρωνυμικὰ ὄχι τίποτε ἄλλο, ἀλλὰ τὴν ἀκλόνητη καὶ σταθερὴ πίστη τοῦ μαθητῆ, ἐπάνω στὴν ὁποία ἱδρύθηκε καὶ στερεώθηκε ἡ Ἐκκλησία τοῦ Χριστοῦ, καὶ μένει γιὰ πάντα ἀπόρθητη ἀκόμα καὶ γιὰ τὶς ἴδιες τὶς πύλες τοῦ ἅδη. Ἀλλὰ ἡ πίστη τοῦ Πέτρου στὸν Υἱό, ποὺ δὲν διατυπώθηκε ἀπερίσκεπτα, οὔτε καὶ πήγαζε ἀπὸ ἀνθρώπινες σκέψεις, ἀλλὰ ἀπὸ ἀπόρρητη οὐράνια μυσταγωγία, δείχνει καθαρὰ τὸν ἰδιαίτερο Υἱὸ τοῦ Θεοῦ καὶ Πατέρα καὶ εἰσάγει τὴν πληροφορία γι᾽ αὐτὸν στὶς ψυχὲς τῶν γνήσιων πιστῶν. Γιατὶ δὲν ἦταν δυνατὸ νὰ διαψευσθεῖ ὁ Χριστὸς λέγοντας, «Αὐτὸ δὲν σοῦ τὸ ἀποκάλυψε ἄνθρωπος, ἀλλὰ ὁ οὐράνιος Πατέρας μου»[11α]. Ἀφοῦ λοιπὸν ὁ Πέτρος χαρακτηρίζεται μακάριος καὶ γίνεται ἄξιος τόσο ἔξοχων βραβείων, ὁμολογώντας τον Υἱὸ τοῦ ζωντανοῦ Θεοῦ, πῶς δὲν εἶναι τρισάθλιοι καὶ ἀξιοπεριφρόνητοι, καὶ δὲν

*τὸ τῷ Θεῷ καὶ Πατρὶ δοκοῦν καὶ εὖ ἔχον ὡς ἀληθῶς προχειρότατα καθυβρίζοντες, οἱ τὸν τῆς οὐσίας αὐτοῦ καρπὸν εἰς ποίημα κατασύροντες καὶ τὸ ζωῆς βλάστημα συναΐδιον ἐν τοῖς ἐπακτὸν ἔχουσι τὸ ζῆν ἀνοητότατα καταλογιζόμενοι; Ἢ οὐκ ἀμαθεῖς οἱ τοιοίδε λίαν;*

*Β. Παντάπασι μὲν οὖν.*

*Α. Ἐπείτοι καὶ δόξαν ἔχοντες ἐφ' Υἱῷ καταβεβλημένην οὕτω καὶ σμικροπρεπῆ, καὶ αὐτὸ τὸ μέγα καὶ ἐξαίσιον τὸ ἐπὶ τῇ τοῦ Θεοῦ καὶ Πατρὸς ἀγάπῃ καταστρέφουσι θαῦμα, ἁλώσονται δὲ καὶ αὐτοῖς ἐπιθήγοντες τοῖς τῆς θεότητος ἀξιώμασι τὸ ἀπύλωτον στόμα.*

*Β. Φράσειας ἂν ὅπως, ἕπομαι γὰρ οὔ τί που.*

*Α. Καὶ μάλα προθύμως· τὸ ἄναντες γὰρ οὐδέν. Δέδωκεν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς τὸν ἴδιον Υἱόν;*

*Β. Καὶ πάνυ.*

*Α. Ἄμεινον δὲ δήπουθεν τὸ γεννηθὲν οὗπερ ἂν φιλοτεχνήσαιτό τις, παντί τῳ δόξειεν ἄν, εἴπερ ἐστὶ τὸ μὲν ἐξ ἡμῶν καὶ τῆς τοῦ τεκόντος ὑποστάσεως καρπός, τὸ δὲ τῆς ἀρίστης εὕρημα βουλῆς καὶ σοφίας ἔργον, οὐ βλαστὸς οὐσίας.*

*Β. Τί οὖν τοῦτό γε;*

*Α. Ἢ οὐκ ἐννοεῖς ὡς μεῖον μὲν ἄν τις ἀγάσαιτο τυχὸν τὴν ἀγάπησιν τοῦ Θεοῦ καὶ Πατρὸς προεμένου πρὸς λύτρωσιν τῆς ὅλης κτίσεως μέρος ὄντα κτίσεως τὸν Υἱόν, εἴπερ ἐστὶ γενητός, πλουσιώτερον δὲ κατατεθήποι ἂν καὶ σφόδρα εἰκότως τῆς τοῦ κόσμου ζωῆς ἀντάλλαγμα, καὶ αὐτὸν εἰ μάθοι δεδωκότα τὸν Υἱὸν καὶ ἀφειδήσαντα μὲν ἰδίου καρποῦ, κατά γε τὸ ἐν σαρκὶ γεγονότα καὶ ἐντεθνάναι δοκεῖν, δεδιψηκότα δὲ μᾶλλον τοῦ κόσμου τὴν εἰς τὸ εὖ εἶναι διαμονήν;*

*Β. Συνίημι.*

*Α. Οἶμαι δὲ ἔγωγε (καὶ νεμεσάτω μηδεὶς ἀνακαιομένῳ πρὸς θράσος ἐκ φιλοθεΐας τῷ λόγῳ), ὡς οὐδ' ἂν ἀντάξιος εἴη ἂν τῆς ὅλης κτίσεως ὁ Χριστός, οὐδ' ἂν ἔχοι διαρκῶς εἰς τὸ ἐκπρίασθαι καλῶς τὴν τοῦ κόσμου ζωήν, εἰ καὶ αὐτὴν κατάθοιτο καθάπερ ἐν τάξει τιμῆς τὴν ἰδίαν ψυχήν, πρόοιτό τε ὑπὲρ ἡμῶν τὸ τίμιον αἷ-*

περιβρίζουν πολὺ πρόχειρα αὐτὸ ποὺ φαίνεται καλὸ στὸν Θεὸ καὶ Πατέρα καὶ εἶναι σωστό, αὐτοὶ ποὺ τὸν καρπὸ τῆς οὐσίας του τὸν ὑποβιβάζουν σὲ δημιούργημα καὶ κατατάσσουν πολὺ ἀνόητα τὸ συναιώνιο βλαστάρι τῆς ζωῆς μεταξὺ ἐκείνων ποὺ ἔχουν ἐπίκτητη τὴ ζωή; Ἢ μήπως δὲν εἶναι αὐτοὶ πολὺ ἀμαθεῖς;

Β. Τελείως.

Α. Ἐπειδὴ λοιπὸν ἔχουν πίστη γιὰ τὸν Υἱὸ τόσο πολὺ ταπεινωτικὴ καὶ μικροπρεπῆ καὶ καταστρέφουν αὐτὸ τὸ μεγάλο καὶ ἐξαίσιο θαῦμα τῆς ἀγάπης τοῦ Θεοῦ καὶ Πατέρα, θὰ συλληφθοῦν νὰ στρέφουν καὶ ἐναντίον τῶν ἀξιωμάτων τοῦ Θεοῦ τὸ ἀπύλωτο στόμα τους.

Β. Θὰ μποροῦσες νὰ μοῦ πεῖς μὲ ποιὸν τρόπο, γιατὶ δὲν μπορῶ νὰ σὲ παρακολουθήσω;

Α. Καὶ πολὺ πρόθυμα μάλιστα· γιατὶ δὲν ὑπάρχει καμμιὰ δυσκολία. Ὁ Πατέρας παρέδωσε τὸν Υἱό του γιὰ τὴ ζωὴ τοῦ κόσμου;

Β. Καὶ βέβαια.

Α. Αὐτὸ ποὺ γεννήθηκε ἀσφαλῶς θὰ φαινόταν στὸν καθένα ἀνώτερο ἀπὸ ἐκεῖνο ποὺ θὰ κατασκεύαζε κανεὶς μὲ πολλὴ τέχνη, ἐφόσον τὸ ἕνα προέρχεται ἀπὸ μᾶς καὶ εἶναι καρπὸς τῆς ὑποστάσεως ἐκείνου ποὺ τὸ γέννησε, ἐνῶ τὸ ἄλλο εἶναι ἐπινόηση τῆς ἄριστης σκέψης καὶ ἔργο σοφίας, καὶ ὄχι βλαστὸς τῆς οὐσίας μας.

Β. Τί σημαίνει πάλι αὐτό;

Α. Μὰ δὲν ἀντιλαλαμβάνεσαι, ὅτι λιγώτερο θὰ θαύμαζε κανεὶς τὴν ἀγάπη τοῦ Θεοῦ καὶ Πατέρα ἂν ἔστελνε γιὰ τὴ λύτρωση ὅλης τῆς κτίσεως τὸν Υἱόν του, ποὺ εἶναι μέρος τῆς κτίσεως, ἐφόσον βέβαια εἶναι κτιστός, ἐνῶ θὰ θαύμαζε πολὺ περισσότερο, καὶ πάρα πολὺ εὔλογα, μαθαίνοντας ὅτι ἔδωσε ὡς ἀντάλλαγμα γιὰ τὴ ζωὴ τοῦ κόσμου ἀκόμα καὶ τὸν ἴδιο τὸν Υἱό του, καὶ δὲν λυπήθηκε τὸν δικό του καρπό, ποὺ ἐνανθρώπησε καὶ φαινόταν ὅτι ἔγινε θνητός, ἀλλὰ ἐπιθύμησε περισσότερο τὴ διαμονὴ τοῦ κόσμου στὴν εὐτυχία;

Β. Τὸ ἀντιλαμβάνομαι.

Α. Ἐγὼ βέβαια νομίζω (καὶ ἂς μὴ ἀγανακτήσει κανεὶς ποὺ ἀναγκάζομαι νὰ εἶμαι θρασὺς στὸν λόγο μου ἀπὸ ἀγάπη πρὸς τὸν Θεό), ὅτι ὁ Χριστὸς δὲν θὰ μποροῦσε νὰ εἶναι ἰσάξιος πρὸς ὅλη τὴν κτίση, οὔτε θὰ μποροῦσε μὲ διάρκεια νὰ ἐξαγοράσει καλῶς τὴ ζωὴ τοῦ κόσμου, καὶ νὰ θυσιάσει ὡς ἀντίτιμο τὴ δική του ζωή, καὶ νὰ χύσει

μα, εἰ μὴ ἀληθῶς Υἱός ἐστι, καὶ ὡς ἐκ Θεοῦ Θεός, κτίσμα δὲ καὶ κτίσεως μέρος.

Β. Εὖ λέγεις.

Α. Προσθείην δ' ἂν ὅτι καὶ διασέσωσται κτίσις οὐδὲν τὸ σύμπαν λαβοῦσα παρὰ Θεοῦ καὶ τῆς ἄνωθεν συνεργείας οὐ δεδεημένη. Πῶς γὰρ ἢ πόθεν, εἴπερ αὐτὴ δι' ἑαυτῆς καὶ ἐξ ἑαυτῆς τὴν λύτρωσιν ἔχει, καὶ τὴν εἰς τὸ εὖ εἶναι διαμονήν; Διασέσωκε γάρ, ὥς φασι, τὴν σύμπασαν κτίσιν, μέρος ὢν κτίσεως ὁ Υἱός. Ἀνθ' ὅτου δὴ οὖν τὰς χαριστηρίους ᾠδὰς ἀνίεμεν τῷ Θεῷ; Τί δὲ οὐχί, τοῦτο παρέντες ὡς περιττόν, ὑμνολογοῦμεν τὴν κτίσιν, πρόσιμεν δὲ μᾶλλον ἐκλιπαροῦντες καὶ λέγοντες περὶ τοῦ πάντων Δεσπότου Θεοῦ, «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ, τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου, τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου»; Ἀλλ' ἐκεῖνο μὲν δρῶντες, καὶ φρενὸς ἀναμφιλόγως τῆς ἀρίστης ἐξεώσμεθα καὶ Θεῷ προσκρούσομεν, ἀνάπτοντες δὲ μᾶλλον αὐτῷ τὰς ἐπὶ τῷδε δοξολογίας, σοφοί τε καὶ ἀληθεῖς ἐσόμεθα προσκυνηταί. Πῶς οὖν ἔτι ποίημα μεθ' ἡμῶν ὁ εἷς καὶ πάντων ἀντάξιος, ὡς Θεὸς ἐκ Θεοῦ καὶ Υἱὸς ἀληθῶς; Ἢ οὐχ ὧδε ἔχει;

Β. Πῶς γὰρ οὔ;

Α. Φέρε δή, εἴ τοι δοκεῖ, καὶ τόδε δὴ τούτοις προστιθέντες, λέγωμεν ὅτι τὰ πρός τι πῶς ἔχοντα τῶν ὀνομάτων αὐτὰ δι' ἀμφοῖν σημαίνεται, τὴν ἀλλήλων ἑκάτερα συνωδίνοντα γνῶσιν. Ὥστε δὴ ῥᾶον, εἴ γέ τις μάθοι τὸ δεξιόν, εἰδείη που πάντως ἂν δι' αὐτοῦ τὸ εὐώνυμον, καὶ μὴν ὅτι καὶ τὸ ἔμπαλιν ἀληθές, συνερεῖ πᾶς ὁστισοῦν. Ὄνομα τοίνυν τῶν πρός τί ἐστι τὸ Πατήρ, ἰσοτρόπως δὲ τούτῳ καὶ τὸ Υἱός. Ποῖ δὴ οὖν ἄρα καὶ πρὸς ὅ τι βλέπουσαν ταυτὶ ποιήσεται τὴν ἀναφοράν, καὶ τὴν πρὸς ἄλληλα σχέσιν, καὶ τὸν αὐτοῖς πρέποντα λόγον διεξοίχοιτο ἂν οὐδαμῶς;

Β. Καὶ τίνι τοῦτο ἀσυμφανές; Πατὴρ γὰρ ὡς πρὸς υἱόν, καὶ μὴν καὶ υἱὸς ὡς πρὸς πατέρα νοοῖτ' ἂν καὶ λέγοιτο.

Α. Εἶτα τί μαθόντες οἱ διεστραμμένοι καὶ παράκοποι τὸν

---

12. Ψαλμ. 102, 2-4.

γιὰ μᾶς τὸ πολύτιμο αἷμά του, ἐὰν δὲν εἶναι ἀληθινὸς Υἱὸς καὶ Θεὸς ποὺ προῆλθε ἀπὸ Θεόν, ἀλλὰ κτίσμα καὶ μέρος τῆς κτίσεως.

Β. Σωστὰ τὰ λές.

Α. Θὰ πρόσθετα μάλιστα ὅτι καὶ σώθηκε ἡ κτίση, χωρὶς νὰ λάβει ἀπολύτως τίποτε ἀπὸ τὸν Θεό, καὶ χωρὶς νὰ χρειάζεται τὴν οὐράνια βοήθεια. Μὲ ποιὸν τρόπο δηλαδή, ἢ ἀπὸ ποῦ, ἀφοῦ ἡ ἴδια διὰ τοῦ ἑαυτοῦ της καὶ ἀπὸ μόνη της ἔχει τὴ λύτρωση καὶ τὴ διαμονή της στὴν εὐτυχία; Γιατί, ὅπως λένε, τὴν κτίση τὴν ἔσωσε ὁ Υἱὸς ποὺ εἶναι μέρος τῆς κτίσεως. Γιὰ ποιὸ λόγο λοιπὸν ἀναπέμπουμε τοὺς εὐχαριστήριους ὕμνους στὸν Θεό; Καὶ γιατί, παραβλέποντας αὐτὸ ὡς περιττό, ὑμνολογοῦμε τὴν κτίση, καὶ δὲν προσερχόμαστε ἐκλιπαρώντας καὶ λέγοντας γιὰ τὸν Θεὸ τῶν ὅλων, «Εὐλόγει, ψυχή μου, τὸν Κύριο, καὶ μὴ λησμονεῖς ὅλες τὶς εὐεργεσίες του. Αὐτὸν ποὺ συγχωρεῖ ὅλες τὶς ἁμαρτίες σου, θεραπεύει ὅλες τὶς ἀρρώστιές σου, καὶ λυτρώνει τὴ ζωή σου ἀπὸ τὸν θάνατο»[12]; Ἀλλά, κάνοντας ἐκεῖνο, ἐνεργοῦμε χωρὶς ἀμφιβολία ἀπερίσκεπτα καὶ ἐρχόμαστε σὲ ἀντίθεση μὲ τὸν Θεό, ἐνῶ ἀναπέμποντας σ' αὐτὸν τὶς δοξολογίες γι' αὐτό, θὰ γίνουμε σοφοὶ καὶ ἀληθινοὶ προσκυνητές. Πῶς λοιπὸν εἶναι ἀκόμα δημιούργημα ἴδιο μὲ μᾶς, ὁ ἕνας καὶ ἀντάξιος ὅλων, ὡς Θεὸς ποὺ προῆλθε ἀπὸ Θεό, καὶ ἀληθινὸς Υἱός; Ἢ μήπως δὲν εἶναι ἔτσι;

Β. Πῶς δηλαδὴ ὄχι.

Α. Ἐμπρὸς λοιπόν, ἐὰν θέλεις, προσθέτοντας καὶ αὐτὸ σ' αὐτά, νὰ ποῦμε, ὅτι τὰ ὀνόματα ποὺ ἔχουν σχέση πρὸς κάτι, αὐτὰ δηλώνονται καὶ μὲ τὰ δύο, ἐπειδὴ καὶ τὰ δυὸ περιέχουν τὴν ἴδια ἔννοια. Ἔτσι εἶναι εὐκολώτερο ἐὰν κάποιος μάθει τὸ δεξιό, νὰ μάθει δι' αὐτοῦ καὶ τὸ ἀριστερό, καὶ ὅτι εἶναι ἀληθινὸ καὶ τὸ ἀντίθετο, θὰ συμφωνήσει ὁ καθένας. Τὸ ὄνομα λοιπὸν Πατέρας εἶναι ἀπὸ αὐτὰ ποὺ δείχνουν σχέση πρὸς κάτι, κατὰ ἀντιστοιχία πρὸς αὐτὸ εἶναι καὶ τὸ ὄνομα Υἱός. Ἄρα λοιπὸν ποῦ καὶ σὲ τί ἀποβλέποντας κάνουν αὐτὴ τὴν ἀναφορὰ καὶ τὴ σχέση μεταξύ τους, καὶ δὲν ξεφεύγουν ἀπὸ τὸν λόγο ποὺ τοὺς ταιριάζει;

Β. Καὶ σὲ ποιὸν αὐτὸ δὲν εἶναι φανερό; Γιατὶ πατέρας νοεῖται κάποιος καὶ λέγεται σὲ σχέση πρὸς υἱό, καὶ φυσικὰ καὶ υἱὸς σὲ σχέση πρὸς πατέρα.

Α. Τότε γιὰ ποιὸν λόγο οἱ διεστραμμένοι καὶ παράφρονες, ὀνο-

*νοῦν, Πατέρα μὲν ἡμῖν ὀνομάζουσι τὸν Θεόν, ποίημα δὲ εἶναι διατείνονται τὸν Υἱόν; Ἢ οὐκ ἀμαθὲς καὶ ἀνάρμοστον κομιδῇ, Πατρὶ μὲν τὸ ποιηθέν, Πατέρα δὲ αὖ τῷ πεποιημένῳ συντετάχθαι λέγειν κατά γε τὸν τοῦ πρός τι λόγον;*

*Β. Κομιδῇ μὲν οὖν, ἵνα μὴ καὶ αὐτὸν ποίημα λέγωμεν τὸν Πατέρα, σχέσιν ἤδη λαχόντα φυσικὴν τὴν πρός τι τῶν ποιημάτων, ὅσον ἧκεν εἰς λογισμούς.*

*Α. Οὐκοῦν ἀκουόντων καὶ αὐτοῦ βοῶντος Χριστοῦ· «Οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε». Ἐρομένοις δὲ τῆς ἐπιπλήξεως τὴν αἰτίαν, ἀποκρινεῖται λέγων· «Ὁ ἀρνούμενος τὸν Πατέρα, καὶ τὸν Υἱόν· καὶ ὁ τὸν Υἱὸν ἀρνούμενος, οὐδὲ τὸν Πατέρα ἔχει». Καὶ εἰκότως γε σφόδρα καὶ ἀληθῶς. Εἰ γὰρ μὴ ἔστι Πατήρ, ὅτι φύσει γεγέννηκεν, οὐδὲ τὸν Υἱὸν ὑφεστάναι δοίη τις ἄν. Υἱὸς γάρ, ὅτι γεγέννηται· καὶ εἰ μή ἐστιν Υἱὸς ὡς γεγεννημένος, οὐδὲ Πατὴρ εἴη ἂν κατά γε τὸν τοῖς νοήμασιν ἐμπρεπῆ τε καὶ ἑπόμενον λογισμόν. Πατὴρ μέν, ὅτι γεγέννηκεν. Οὐκοῦν καὶ συνυφεστάναι καὶ συναναιρεῖσθαι δι' ἀμφοῖν ἑκάτερον ἀληθές, καὶ ἑνὸς ὑφεστηκότος, ὑφεστήξει που πάντως καὶ τὸ δι' ὃ λέγεται καὶ ἔστιν ὅ ἐστι. Τί δὲ δὴ ἄρα καὶ φρονεῖν ἕλοιντ' ἂν εἰ διαπύθοιντο λέγοντος τοῦ Χριστοῦ πρὸς τὸν ἀπειθῆ καὶ δυσήνιον τῶν Ἰουδαίων δῆμον, «Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου καὶ οὐ λαμβάνετέ με»; Καίτοι Πατέρα μὲν οὐδαμῶς ἑαυτὸν ὠνόμαζεν ὁ Χριστός, Υἱὸν δὲ καὶ ἐκ Πατρός. Πῶς δὴ οὖν ἄρα φησὶν ὡς ἡμᾶς ἀφῖχθαι λοιπὸν «ἐν ὀνόματι τοῦ Πατρός»; Ἢ δηλονότι τὸ ἐν ὀνόματι νοητέον ἐν δόξῃ τε καὶ ἐν εὐφημίᾳ τοῦ Πατρός; Ὄνομα γὰρ ἔσθ' ὅτε τὴν διαπρύσιον εὐφημίαν καὶ τὸ περίοπτον ἐν εὐκλείαις ἡ θεία λέγει Γραφή, καθάπερ ἀμέλει τὸ ἐν βίβλῳ Παροιμιῶν ὑμνούμενον· «Αἱρετὸν ὄνομα καλόν, ἢ πλοῦτος πολύς». Ἆρ' οὖν διαπέπτωκε τοῦ εἶναι σοφός τε καὶ ἀληθὴς τοῦ Σωτῆρος ὁ λόγος, ὡς ἀφίκοιτο πρὸς ἡμᾶς «ἐν ὀνόματι τοῦ Πατρὸς» ἀναφανδὸν εἰρηκότος;*

---

13. Ἰω. 8, 19. 14. Α' Ἰω. 2, 22-23. 15. Ἰω. 5, 43.

μάζουν βέβαια Πατέρα τὸν Θεό, ἀλλ' ἰσχυρίζονται ὅτι ὁ Υἱὸς εἶναι δημιούργημα; Ἢ μήπως δὲν εἶναι μεγάλη ἀμάθεια καὶ ἀνάρμοστο νὰ λέμε, ὅτι ἀντιστοιχεῖ τὸ δημιούργημα πρὸς τὸν Πατέρα, καὶ ὁ Πατέρας πρὸς τὸ δημιούργημα, σύμφωνα μὲ τὴν ἀναλογία αὐτῶν ποὺ ἔχουν σχέση πρὸς κάτι;

Β. Καὶ μεγάλη μάλιστα, γιὰ νὰ μὴ λέμε καὶ τὸν ἴδιο τὸν Πατέρα δημιούργημα, ἀφοῦ ἤδη ἔχει φυσικὴ σχέση πρὸς κάτι ἀπὸ τὰ κτίσματα, σύμφωνα μὲ τοὺς συλλογισμούς.

Α. Λοιπὸν ἂς ἀκούσουν καὶ τὸν ἴδιο τὸν Χριστὸ ποὺ φωνάζει· «Οὔτε ἐμένα γνωρίζετε οὔτε τὸν Πατέρα μου· ἐὰν γνωρίζατε ἐμένα, θὰ γνωρίζατε καὶ τὸν Πατέρα μου»[13]. Καὶ ὅταν ρώτησαν τὴν αἰτία τῆς ἐπιπλήξεως, ἀποκρίθηκε σ' αὐτοὺς λέγοντας· «Αὐτὸς ποὺ ἀρνεῖται τὸν Πατέρα, ἀρνεῖται καὶ τὸν Υἱό· καὶ αὐτὸς ποὺ ἀρνεῖται τὸν Υἱό, οὔτε τὸν Πατέρα δέχεται»[14]. Καὶ πολὺ δικαιολογημένα καὶ ἀληθινά. Γιατί, ἐὰν δὲν ὑπάρχει Πατέρας ποὺ νὰ γέννησε κατὰ φύση, οὔτε μπορεῖ νά δεχθεῖ κανεὶς ὅτι ὑπάρχει ὁ Υἱός. Γιατὶ ὑπάρχει Υἱός, ἐπειδὴ γεννήθηκε· καὶ ἐὰν δὲν ὑπάρχει Υἱὸς ποὺ νὰ εἶναι γεννημένος, οὔτε Πατέρας μπορεῖ νὰ ὑπάρχει, σύμφωνα μὲ τὸν συλλογισμὸ ποὺ ταιριάζει καὶ εἶναι συμπέρασμα λογικό. Λέγεται δηλαδὴ Πατέρας, ἐπειδὴ γέννησε. Ἑπομένως εἶναι ἀληθινό, ὅτι καὶ συνυπάρχει καὶ συναναιρεῖται τὸ καθένα διὰ τῶν δύο, καὶ ὅταν ὑπάρχει τὸ ἕνα, ὑπάρχει ὁπωσδήποτε καὶ αὐτὸ ἐξαιτίας τοῦ ὁποίου λέγεται καὶ εἶναι αὐτὸ ποὺ εἶναι. Καὶ γιατί λέγει ὁ Χριστὸς στὸν ἀπείθαρχο καὶ ἀνυπότακτο λαὸ τῶν Ἰουδαίων, «Ἐγὼ ἦρθα στὸ ὄνομα τοῦ Πατέρα μου καὶ δὲν μὲ δέχεσθε»[15]; ἂν καὶ βέβαι ὁ Χριστὸς δὲν ὀνομάζει Πατέρα τὸν ἑαυτό του, ἀλλὰ Υἱὸ ποὺ προέρχεται ἀπὸ Πατέρα. Πῶς λοιπὸν λέγει ὅτι ἦρθε σὲ μᾶς στὸ ὄνομα τοῦ Πατέρα; Ἢ μήπως πρέπει τὸ "στὸ ὄνομα" νὰ τὸ ἑρμηνεύσουμε μὲ τὴ δόξα καὶ τὴν εὐαρέσκεια τοῦ Πατέρα; Γιατὶ ὁρισμένες φορὲς ἡ ἁγία Γραφὴ μὲ τὴ λέξη «ὄνομα» ἐννοεῖ τὸν ὁλοφάνερο ἔπαινο καὶ τὴ δόξα ποὺ εἶναι ὁρατὴ ἀπὸ παντοῦ, ὅπως βέβαια αὐτὸ ποὺ ὑμνεῖται στὸ βιβλίο τῶν Παροιμιῶν· «Εἶναι προτιμότερο τὸ καλὸ ὄνομα, παρὰ ὁ πολὺς πλοῦτος»[16]. Ἄρα λοιπὸν ἔπαψε ὁ λόγος τοῦ Σωτῆρα νὰ εἶναι σοφὸς καὶ ἀληθινός, ποὺ εἶπε ὁλοφάνερα, ὅτι ἦρθε σὲ μᾶς στὸ ὄνομα τοῦ Πατέρα του;

16. Παροιμ. 22, 1.

*Β. Καὶ μὴν ὑγιὲς εἰπεῖν ὡς οὐκ ἂν ἁμάρτοι τἀληθοῦς ἡ ἀλήθεια.*

*Α. Εἴπερ οὖν ἐστιν ἀληθὴς ὁ λόγος, ἢ τὸν Θεὸν καὶ Πατέρα κατακομιστέον ἐν κτίσμασιν, ἵνα μὴ φαίνοιτο πλεονεκτῶν ἐν δόξῃ τὸν Υἱόν, ἤγουν τὸν Υἱὸν ἀνακομιστέον ἤδη πως εἰς ἀξίωμα τὸ θεοπρεπὲς καὶ εἰς υἱότητος φύσιν, τὴν οὐσιωδῶς νοουμένην. Μειονεκτοῖτο γὰρ ἂν ἥκιστά γε κατὰ τρόπον οὐδένα τοῦ Θεοῦ καὶ Πατρὸς εἰ τῇδε ἔχων ὁρῷτο· καὶ συναθλήσει λέγων ὁ σοφὸς ἡμῖν Ἰωάννης· «Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν». Ὅτι δὲ τὸ ἄνωθεν τὴν ὑψοῦ τε καὶ ἀνωτάτω παρίστησι φύσιν διαδείξει λέγων τοῦ Σωτῆρος ὁ μαθητής· «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων». Ἥκει δὴ οὖν ἐκ Πατρὸς ἡμῖν ὡς ἀπὸ πηγῆς ὁ Υἱὸς καὶ ῥίζης ἐκπεφυκὼς τῆς ἀνωτάτω, τὴν ὅθεν ἐξέφυ λαμπρότητα διαδείκνυσιν ἐν ἑαυτῷ, τὸ ἐπάνω πάντων εἶναι λαχών, καθάπερ ἀμέλει καὶ ὁ Πατήρ. Ἐπάνω δὲ πάντων ἕν γε δὴ τούτῳ μάλιστά φαμεν, οὔ τί που κατὰ μόνην τὴν δόξαν οὔτε μὴν ταῖς κατ' εὔκλειαν ὑπεροχαῖς πλεονεκτοῦντα τὴν κτίσιν, ἀλλὰ τῷ τῆς οὐσίας ὑπερτάτω ὑπερανεστηκότα καὶ ὑπερανέχοντα τῶν ὅλων ὁμοῦ τῷ τεκόντι Πατρί. Εἰ δὲ ἐπάνω πάντων ἐστί, πῶς ἂν ἐν πᾶσι νοοῖτο; Κτίσμα γὰρ εἴπερ ἐστὶν ἀληθῶς, κτίσμασιν ἑτέροις συντετάξεται. Πῶς οὖν ἕτερος παρὰ πάντα καὶ ἐπάνω πάντων ἐστίν, εἰ μὴ διάλλοιτο φυσικῶς τὸ ἐναριθμεῖσθαι τοῖς πᾶσιν; Ἢ τοπικοῖς ὑψώμασι τὴν ἀσώματον τοῦ Υἱοῦ φύσιν ἐκτετιμηκότες, οὐκ εἰκῇ ῥαψῳδήσομεν;*

*Β. Πῶς φῄς;*

*Α. Βούλει τὸ ἄνωθεν ὡς ἐκ τόπου λέγωμεν, ἀντινοουμένου πρὸς τὸ κάτω καὶ μετρητοῦ διαστήμασιν;*

*Β. Εἶτα τί δράσομεν τὸν Υἱόν, εἴπερ ἐστὶν ἐν τόπῳ τοιούτῳ; Σωμάτων γὰρ ἴδιον τοῦτό γε.*

*Α. Οὐκοῦν ἄριστά φαμεν, ὡς ἐκ Πατρὸς νοεῖσθαι τὸ «ἄνωθεν». Τοιγάρτοι καὶ ὑπὸ μόνου γνωρίζεται τοῦ Πατρὸς καὶ γνωρίζει μόνος τὸν ἑαυτοῦ Πατέρα καὶ Θεόν. Ἄποπτον γάρ τι χρῆμα καὶ οὐδενὶ τῶν ὄντων διεγνωσμένον ὅ τί ποτέ ἐστιν ἀληθῶς*

---

17. Ἰω. 3, 31. 18. Ἰακ. 1, 17.

Β. Εἶναι ἀσφαλῶς σωστὸ νὰ πῶ, ὅτι ἡ ἀλήθεια δὲν μπορεῖ νὰ κάνει λάθος ὡς πρὸς τὸ ποιὸ εἶναι ἀληθινό.

Α. Ἐφόσον λοιπὸν ὁ λόγος εἶναι ἀληθινός, πρέπει ἢ νὰ ὑποβιβάσουμε τὸν Θεὸ καὶ Πατέρα στὴν τάξη τῶν κτισμάτων, γιὰ νὰ ἐμφανίζεται ὅτι ξεπερνάει τὸν Υἱὸ σὲ δόξα, ἢ νὰ προαγάγουμε τὸν Υἱὸ στὸ ἀξίωμα ποὺ ταιριάζει σὲ Θεὸ καὶ στὴ φύση τοῦ Υἱοῦ, δηλαδὴ στὴν οὐσία. Γιατὶ δὲν θὰ μειονεκτοῦσε κατὰ κανένα τρόπο ἀπὸ τὸν Θεὸ καὶ Πατέρα, ἐὰν ἐμφανιζόταν ἔχοντας αὐτὴν τὴν οὐσία. Καὶ θὰ μᾶς βοηθήσει σ' αὐτὸ ὁ σοφὸς Ἰωάννης λέγοντας· «Αὐτὸς ποὺ ἔρχεται ἀπὸ ἐπάνω εἶναι ἀνώτερος ἀπὸ ὅλους»[17]. Ὅτι ὅμως τὸ "ἀπὸ ἐπάνω" σημαίνει τὴν ὑψηλὴ καὶ ἀνώτατη φύση, τὸ ἀποδεικνύει ὁ μαθητὴς τοῦ Σωτήρα λέγοντας· «Κάθε χορηγία καλὴ καὶ κάθε δῶρο τέλειο, προέρχεται ἀπὸ πάνω, κατεβαίνει ἀπὸ τὸν Πατέρα τῶν φώτων»[18]. Ἔρχεται δηλαδὴ ὁ Υἱὸς σὲ μᾶς ἀπὸ τὸν Πατέρα σὰν ἀπὸ πηγή, καὶ ἔχοντας φυτρώσει ἀπὸ τὴν ἀνώτατη ρίζα, δείχνει στὸν ἑαυτό του τὴ λαμπρότητα ἀπὸ τὴν ὁποία ξεφύτρωσε, καὶ ὅτι εἶναι πάνω ἀπὸ ὅλα, ὅπως ἀκριβῶς καὶ ὁ Πατέρας. Καὶ λέγοντας ὅτι εἶναι πάνω ἀπὸ ὅλα, δὲν ἐννοοῦμε μὲ αὐτὸ ὅτι εἶναι ἀνώτερος ἀπὸ τὴν κτίση μόνο ὡς πρὸς τὸ ἀξίωμα καὶ τὴν ὑπεροχή του στὴ δόξα, ἀλλ' ὅτι μὲ τὴν ὑπέρτατη οὐσία του ὑπερέχει ὅλων, μαζὶ μὲ τὸν Πατέρα ποὺ τὸν γέννησε. Ἐφόσον λοιπὸν εἶναι πάνω ἀπὸ ὅλα, πῶς εἶναι δυνατὸν νὰ νοεῖται μέσα σὲ ὅλα; Γιατί, ἂν εἶναι πραγματικὰ κτίσμα, τότε κατατάσσεται ἀνάμεσα σὲ ἄλλα κτίσματα. Πῶς λοιπὸν εἶναι διαφορετικὸς ἀπὸ ὅλα καὶ πάνω ἀπὸ ὅλα, ἐὰν δὲν ξεπερνᾶ κατὰ φύση τὸ νὰ συγκαταλέγεται μαζὶ μὲ ὅλα τὰ κτίσματα; Ἢ μήπως ἐξυψώνοντας τὴν ἀσώματη φύση τοῦ Υἱοῦ τοπικά, δὲν θὰ τὸν ἐγκωμιάσουμε ἄδικα;

Β. Πῶς τὸ ἐννοεῖς;

Α. Θέλεις τὸ «ἀπὸ πάνω» νὰ τὸ ἑρμηνεύουμε τοπικά, ἀντίθετο πρὸς τὸ «κάτω», ποὺ ἀποτελεῖ μέτρο τῶν ἀποστάσεων;

Β. Καὶ ἔπειτα τί θὰ κάνουμε τὸν Υἱό, ἐὰν βρίσκεται σὲ τέτοιο τόπο; Γιατὶ αὐτὸ εἶναι ἰδιαίτερο γνώρισμα τῶν σωμάτων.

Α. Ἄρα λοιπὸν πολὺ καλὰ εἴπαμε, ὅτι τὸ «ἀπὸ πάνω» σημαίνει ἀπὸ τὸν Πατέρα. Γιατὶ μόνο ἀπὸ τὸν Πατέρα γνωρίζεται, καὶ μόνο αὐτὸς γνωρίζει τὸν Πατέρα του καὶ Θεό. Καθόσον ἡ ἀνώτατη φύση εἶναι ἕνα πρᾶγμα ποὺ δὲν φαίνεται καὶ δὲν εἶναι γνωστὸ σὲ κανένα

*αὐτὴ καθ' ἑαυτὴν ἡ ἀνωτάτω φύσις. Ὅτι μὲν γὰρ ὑφέστηκέ τε καὶ ἔστι Θεός, πιστεύομεν, τί δὲ κατὰ φύσιν ἐστίν, ἀπηχὲς ἐρευνᾶν, ἐπεὶ μηδέ ἐστιν ἁλώσιμον. Νοῦ γὰρ ἐπέκεινα παντὸς ἡ Θεοῦ φύσις. Εἶτα πῶς, εἴπερ ἐστὶν ἐκτισμένος καὶ γενητός, εἰδείη μὲν ἂν αὐτός τε καὶ μόνος τὸν Πατέρα, μόνος δὲ αὖ ὑπὸ μόνου γνωρίζοιτο τοῦ Πατρός; Καίτοι τὸ μὲν φύσιν εἰδέναι Θεοῦ παντὶ δήπου πάντως ἀνέφικτον γενητῷ, τὸ δὲ ἐξεπίστασθαί τι τῶν κεκλημένων εἰς γένεσιν ὅ τί ποτ' ἔστιν οὐκ ἂν ὑπερθρῴσκοι πάντα νοῦν, εἰ καὶ ἀνῴκισταί πως τοῦ καθ' ἡμᾶς. Οὐκοῦν, εἰ μόνος αὐτὸς ἔγνωκε τὸν Πατέρα, καὶ αὖ ὑπὸ μόνου γινώσκεται τοῦ Πατρός, διαπέφευγεν εἰκότως τὴν ἐπὶ τῷ πεποιῆσθαι γραφήν τε καὶ δόξαν. Μόνη γὰρ οἶδεν ἑαυτὴν ἡ ἀνωτάτω καὶ ἀπόρρητος φύσις, καὶ τοῖς εἰς τὸ εἶναι παρενηνεγμένοις ἀστιβὲς τὸ χρῆμα παντελῶς.*

*Β. Ἀστιβὲς μὲν οὖν καὶ ἀνέμβατον, ἐπεί τοι νοῦ παντὸς προσωτέρω Θεός.*

*Α. Ἐκτίσθαι δὲ ὅλως πῶς ἂν καὶ λέγοιτο πρὸς ἡμῶν ὁ Υἱός, καίτοι διακεκραγότος ὡδὶ τοῦ σοφωτάτου Παύλου, «Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλ' ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός· οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν». Οὐκοῦν, ἀρρωστοῦντες μὲν ἔτι τὸ ἀμαθὲς καὶ τοῖς τῆς ἀρχαίας νηπιότητος αἰτιάμασι καθεστηκότες ἔνοχοι, τοῖς τοῦ κόσμου στοιχείοις ὑπενηνέγμεθα, τῇ κτίσει λελατρευκότες, καίτοι δέον ἀνάπτειν τὸ σέβας τῷ γε ἀληθῶς καὶ μόνῳ κατὰ φύσιν Θεῷ. Ἐπειδὴ δὲ ἡμῖν ἐπέλαμψεν ὁ Υἱός, τότε δή, τότε κρείττους τε καὶ προφερέστεροι τῆς ἐν νηπιότητι φρενὸς ἀναδεδειγμένοι καὶ εἰς τὸ τῆς ἀληθείας διελάσαντες*

---

19. Γαλ. 4,1-5.

ἀπὸ τὰ ὄντα τί ἀκριβῶς εἶναι στὴν πραγματικότητα αὐτὴ καθεαυτήν. Γιατί, ὅτι βέβαια ὑπάρχει καὶ ὑφίσταται Θεὸς τὸ πιστεύουμε, τί ὅμως εἶναι κατὰ φύση, εἶναι ἀνάρμοστο νὰ τὸ ἐρευνοῦμε, γιατὶ δὲν εἶναι εὔκολο νὰ γίνει καταληπτός, καθόσον ἡ φύση τοῦ Θεοῦ εἶναι πέρα ἀπὸ τὰ ὅρια κάθε νοῦ. Καὶ ἔπειτα, ἐὰν εἶναι κτισμένος καὶ δημιουργημένος, πῶς εἶναι δυνατὸ νὰ γνωρίζει μόνο αὐτὸς τὸν Πατέρα, καὶ αὐτὸς νὰ γνωρίζεται μόνο ἀπὸ τὸν Πατέρα; Ἂν καὶ βέβαια, τὸ νὰ γνωρίζει τὴ φύση τοῦ Θεοῦ εἶναι ὁπωσδήποτε ἀκατόρθωτο σὲ δημιούργημα, ἐνῶ τὸ νὰ γνωρίζεται κάτι ἀπὸ αὐτὰ ποὺ κλήθηκαν στὴν ὕπαρξη, τί ἀκριβῶς εἶναι, δὲν ξεπερνάει κάθε δυνατότητα τοῦ νοῦ, ἔστω καὶ ἂν βρίσκεται κάπως ψηλότερα ἀπὸ μᾶς. Ἑπομένως, ἐφόσον μόνον αὐτὸς γνωρίζει τὸν Πατέρα, καὶ γνωρίζεται ἐπίσης μόνο ἀπὸ τὸν Πατέρα, εὔλογα ξεφεύγει τὴν κατηγορία καὶ τὴν ἀντίληψη ὅτι δημιουργήθηκε. Γιατὶ μόνο ἡ ἀνώτατη καὶ ἀπερίγραπτη φύση γνωρίζει τὸν ἑαυτό της, καὶ εἶναι τελείως ἀπλησίαστη σ' αὐτοὺς ποὺ ἔχουν δημιουργηθεῖ.

Β. Εἶναι πράγματι ἀπλησίαστη καὶ ἄβατη, γιατὶ ὁ Θεὸς βρίσκεται πέρα ἀπὸ τὸ κάθε τι.

Α. Πῶς λοιπὸν εἶναι δυνατὸν νὰ λέγεται ἀπὸ μᾶς ὅτι κτίσθηκε γενικὰ ὁ Υἱός, ἀφοῦ ὁ σοφότατος Παῦλος διακηρύττει αὐτὰ ἐδῶ, «Λέγω ὅμως, ὅτι γιὰ ὅσον καιρὸ ὁ κληρονόμος εἶναι ἀνήλικος, δὲν διαφέρει καθόλου ἀπὸ δοῦλο, ἂν καὶ εἶναι κύριος ὅλων, ἀλλὰ βρίσκεται κάτω ἀπὸ τὴν ἐξουσία ἐπιτρόπων καὶ διαχειριστῶν μέχρι τὴν προθεσμία ποὺ ὅρισε ὁ πατέρας· ἔτσι καὶ ἐμεῖς, ὅταν ἤμασταν ἀνήλικοι, ἤμασταν ὑποδουλωμένοι κάτω ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου, ὅταν ὅμως συμπληρώθηκε ὁ χρόνος, τότε ὁ Θεὸς ἔστειλε τὸν Υἱό του, ποὺ γεννήθηκε ἀπὸ γυναίκα καὶ ὑποτάχθηκε στὸν νόμο, γιὰ νὰ ἐξαγοράσει ἐκείνους ποὺ ἦταν δοῦλοι τοῦ νόμου, ὥστε νὰ ἀποκτήσουμε τὴν υἱοθεσία»[19]. Δηλαδὴ ὅσον καιρὸ ἀκόμα ζούσαμε σὲ ἄγνοια καὶ ἤμασταν ἔνοχοι γιὰ τὶς κατηγορίες τῆς παλιᾶς νηπιακῆς μας ἡλικίας, ἤμασταν ὑποδουλωμένοι κάτω ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου, λατρεύοντας τὴν κτίση, ἂν καὶ ἔπρεπε νὰ ἀποδίδουμε τὸν σεβασμό μας στὸν ἀληθινὸ καὶ μόνο κατὰ φύση Θεό. Ὅταν ὅμως ἔλαμψε σὲ μᾶς ὁ Υἱός, τότε λοιπόν, ἀναδεικνυόμενοι ἀνώτεροι καὶ ὠφελιμώτεροι ἀπὸ τὴ νηπιακή μας ἄγνοια, καὶ μεταβαίνοντας στὸ φῶς τῆς ἀλήθειας,

*φῶς, ἀπηλλάγμεθά που, καθάπερ ἐγῷμαι, συναινέσεις δὲ καὶ αὐτὸς οἶδ' ὅτι, τοῦ κατεζεῦχθαι στοιχείοις κοσμικοῖς. Τοῦτο γὰρ ἡμῖν ὁ ἱερὸς ἀρτίως διεσήμηνε λόγος, ὃν καὶ ὡς εἴη σοφός τε καὶ ἀληθὴς φαῖεν ἂν ἴσως οἷς ἂν ὀρθότητος μέλοι· λαλεῖ γὰρ ἐν Χριστῷ μυστήρια.*

*Β. Φαῖεν γὰρ ἄν.*

*Α. Ἆρ' οὖν, ὦ Ἑρμεία, πᾶν εἴ τί φαμεν διακεκλῆσθαι πρὸς ὕπαρξιν τοῖς τοῦ πεποιηκότος νεύμασιν, οὐχὶ τοῖς τοῦ κόσμου στοιχείοις ἐναριθμητέον, ἢ καὶ ὡς μέρος τοῦ κόσμου τῷ παντὶ συντετάξεται;*

*Β. Καὶ μάλα.*

*Α. Λελυτρώμεθα δὲ πρὸς τελειότητα νοῦ καὶ φρενὸς ἱγμένοι, κιβδηλεύοντές τε τὸ ὑποκεῖσθαι θέλειν τοῖς τοῦ κόσμου στοιχείοις;*

*Β. Οὕτω φημί.*

*Α. Ἆρα τὴν εἰς Υἱὸν ὡς εἰς Υἱὸν ἀληθῶς παραδεδεγμένοι πίστιν, ἢ πῶς;*

*Β. Οὕτως.*

*Α. Οὐκοῦν ἀγένητος εἴη ἂν ὁ Μονογενής, ἵνα μὴ φαίνοιτο μὲν αὐτὸς μετὰ τῶν ἄλλων στοιχείων καὶ τελῶν ἐν κτίσμασι, νήπιοι δὲ ἡμεῖς καὶ αὐχημάτων ἔτι τῶν εἰς τελειότητα νοῦ τητώμενοι, εἰκαίοις τε λογισμοῖς πεφενακισμένοι μᾶλλον, ἤπερ οὖν ἀληθῶς ἐλπίδα βεβαίαν καὶ γνῶσιν πεπλουτηκότες, δῆλον δὲ ὅτι τὴν εἰς Υἱόν. Τί γὰρ ὅλως ὀνήσειεν ἂν ἡμᾶς ὁ Μονογενής, καίτοι δι' ἡμᾶς γενόμενος ἄνθρωπος, εἰ μὴ τοῦ λατρεύειν τῇ κτίσει λελυτρώμεθα; Τὴν δὲ εἰς αὐτόν, εἰπέ μοι, προσηκάμενοι πίστιν ὡς εἰς Υἱόν, ἆρ' οὐ πεπλανήμεθα;*

*Β. Ἔοικεν, εἴπερ ἐστὶ γενητός.*

*Α. Τί δέ, οὐκ ἀμείνων παραπολὺ τῆς διὰ Χριστοῦ παιδεύσεως ἡ διὰ Μωσέως, εἴπερ ἐστὶν ἀληθῶς εἰς ἕν τι τῶν γενητῶν ἡ πίστις; Φαίην δ' ἂν ὅτι κενολογοῦσιν οἱ ἅγιοι, κατόπιν τῶν εὐαγγελικῶν θεσπισμάτων ῥιπτοῦντες ἀεὶ τὴν ἀρχαιοτέραν ἐντολήν. Τετελείωκε δὲ πῶς ὁ νόμος οὐδέν, ἀλλ' ὁ δίκαιος ἡμῖν ἐκ πίστεως*

---

20. Ἀντὶ «γεννητός», διορθώσαμε σὲ «γενητός». 21. Ἤτοι τὴν νομοθεσία τοῦ Μωυσῆ. 22. Ἑβρ. 9, 19 «Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος».

ἀπαλλαχθήκαμε, ὅπως ἐγὼ πιστεύω, καὶ γνωρίζω ὅτι καὶ σὺ ὁ ἴδιος θὰ συμφωνήσεις, ἀπὸ τὸ νὰ εἴμαστε ὑποταγμένοι στὰ στοιχεῖα τοῦ κόσμου. Αὐτὸ ἄλλωστε μᾶς τὸ δήλωσε ρητὰ ὁ ἱερὸς λόγος πρὶν ἀπὸ λίγο, γιὰ τὸν ὁποῖο, ὅτι εἶναι σοφὸς καὶ ἀληθινός, θὰ συμφωνοῦσαν ἴσως αὐτοὶ ποὺ ἐνδιαφέρονται γιὰ τὴν ὀρθότητα· γιατὶ ἀποκαλύπτει μυστήρια τοῦ Χριστοῦ.

Β. Βέβαια, συμφωνῶ.

Α. Ἄρα λοιπόν, Ἑρμεία, κάθε τι ποὺ λέμε ὅτι ἦρθε στὴν ὕπαρξη μὲ τὴ συγκατάνευση τοῦ δημιουργοῦ, δὲν πρέπει νὰ συγκαταλέγεται μεταξὺ τῶν στοιχείων τοῦ κόσμου, ἢ ὡς μέρος τοῦ κόσμου νὰ κατατάσσεται μέσα σὲ ὅλα;

Β. Καὶ βέβαια.

Α. Καὶ ἀπελευθερωθήκαμε βέβαια ὅταν φτάσαμε στὴν τελειότητα τοῦ νοῦ καὶ τῆς διάνοιάς μας καὶ ἀποδοκιμάσαμε τὴ θέληση νὰ μένουμε ὑποδουλωμένοι στὰ στοιχεῖα τοῦ κόσμου;

Β. Ἔτσι νομίζω.

Α. Ἄρα παραδεχόμαστε τὴν πίστη γιὰ τὸν Υἱό, ὅτι εἶναι ἀληθινὸς Υἱός, ἢ πῶς ἀλλιῶς;

Β. Ἔτσι.

Α. Ἑπομένως ὁ Μονογενὴς δὲν μπορεῖ νὰ εἶναι κτιστός, γιὰ νὰ μὴ ἐμφανίζεται μαζὶ μὲ τὰ ἄλλα στοιχεῖα, καὶ νὰ μὴ συγκαταλέγεται μεταξὺ τῶν κτισμάτων, ἐμεῖς ὅμως εἴμαστε ἀκόμα σὲ νηπιακὴ κατάσταση καὶ δὲν μποροῦμε ἀκόμα νὰ καυχηθοῦμε γιὰ τὴν τελειότητα τοῦ νοῦ μας, ἀλλὰ μᾶλλον ξεγελιόμαστε μὲ μάταιους λογισμούς, ἂν καὶ ἔχουμε πραγματικὰ ἀναμφίβολη ἐλπίδα καὶ γνώση, δηλαδὴ τὴν ἐλπίδα στὸν Υἱό. Γιατὶ σὲ τί θὰ μᾶς ὠφελήσει ὁ Μονογενής, παρόλο ποὺ ἔγινε ἄνθρωπος γιὰ χάρη μας, ἐὰν δὲν ἀπελευθερωθήκαμε ἀπὸ τὴ λατρεία τῆς κτίσεως; Ἀλλὰ καὶ ἔχοντας ἀποδεχθεῖ τὴν πίστη σ' αὐτόν, σὰν νὰ εἶναι Υἱός, πές μου, δὲν πλανηθήκαμε;

Β. Ἔτσι φαίνεται, ἐὰν βέβαια εἶναι κτιστός[20].

Α. Τί δηλαδή, δὲν ἦταν πολὺ πιὸ ἀνώτερη ἀπὸ τὴ νομοθεσία τοῦ Χριστοῦ, ἡ νομοθεσία τοῦ Μωυσῆ, ἐὰν πραγματικὰ πιστεύουμε σὲ κάποιο κτίσμα; Θὰ φαινόταν μάλιστα ὅτι οἱ ἅγιοι φλυαροῦν, τοποθετώντας τὴν ἀρχαιότερη ἐντολή[21], μετὰ τὰ εὐαγγελικὰ θεσπίσματα. Καὶ τότε πῶς, ἀφοῦ ὁ νόμος δὲν ὁδήγησε τίποτε στὴν τελειότητα[22], «ὁ

*ζήσεται; Καίτοι διόλλυσι μὲν ἡ πίστις ἡ εἰς Υἱὸν τοὺς εἰσδεδεγμένους αὐτήν, ὠφέλησε δὲ τοὺς ἀρχαιοτέρους ὁ νόμος, εἰ τοὺς τῶν διεστραμμένων παραδεξαίμεθα λόγους.*

*Β. Φράσαις ἂν ὅπως.*

*Α. Ἀοκνότατά γε καὶ μάλα προθύμως. Φάθι δέ με ταυτὶ βεβουλῆσθαι λέγειν.*

*Β. Τὰ ποῖα ἄττα φῄς;*

*Α. Τοῖς μὲν γὰρ ἀρχαιοτέροις ὁ διὰ τοῦ πανσόφου Μωσέως κατεχρησμῴδησε νόμος· «Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι». Καὶ πρός γε δὴ τούτοις· «Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω». Ἀποκομίζων δὲ ἔτι πρὸς τὸ ἀμεινόνως ἔχον καὶ μὴν καὶ αὐτῶν ἀφιστὰς τῶν τοῦ κόσμου στοιχείων· «Πρόσεχε σεαυτῷ», φησί, «μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃ αὐτοῖς». Εἰς ἕνα τοιγαροῦν τὸν ἀληθῶς καὶ φύσει Θεὸν ὁ νόμος ἐκάλει, μεθιστὰς εἰσάπαν τοῦ σφαλεροῦ καὶ χείρονος· ἐπεψηφίζετο γὰρ οὐδαμῶς τὸ χρῆναι τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνεῖν, καὶ μὴν καὶ ἀσφαλεστέρους εἰς τὸ ἐρηρεῖσθαι καλῶς ἔν γε τουτῳῒ τοὺς κεκλημένους ἐτίθει, ποινὴν ἐπαρτήσας τοῖς ἐθέλουσι ῥᾳθυμεῖν τὴν εἰς αἷμα ζημίαν. Ἀλλ' ἐκεῖνα μὲν ὁ νόμος· παρῆκται δὲ ὅποι τὰ καθ' ἡμᾶς, φέρε δὴ λέγωμεν. Παρῴχετο μὲν ὁ νόμος, ὡς ἐπὶ σκιαῖς καὶ τύποις κατηγορούμενος, ἀνέλαμψε δὲ τῆς ἀληθείας τὸ φῶς, ἐπεί τοι τὴν εἰς Υἱὸν παραδεδέγμεθα πίστιν, καίτοι, κατ' ἐκείνους, γενητὸν ὄντα καὶ πεποιημένον. Ἆρ' οὐ τρισάθλιοι μὲν ἡμεῖς, οἱ ἐν δοκήσει καὶ μοίρᾳ τῇ κρείττονι, πολλῷ δὲ ἀμείνους οἱ κατὰ τὸν νόμον Θεὸν τὸν ἕνα καὶ φύσει δεδιδαγμένοι προσκυνεῖν; Καὶ τό γε παραλογώτερον, οἱ μὲν γὰρ οὔπω πεπλουτηκότες τῆς ἀληθείας τὸ φῶς τὸν ἀληθῶς καὶ φύσει Θεὸν ἐγνώκασιν, ἡμεῖς δὲ οἱ περιττοί, καίτοι λαχεῖν αὐχήσαντες τὴν τοῖς πρὸ ἡμῶν οὐ δεδωρημένην ἀλήθειαν, δι' αὐτῆς πεπλανήμεθα καὶ φωτὶ τῷ θείῳ κατεσκοτισμένοι μᾶλλον, ἤγουν ἐκλελαμπρυσμένοι διατελοῦμεν, οἱ δείλαιοι.*

---

23. Ρωμ. 1, 17. 24. Δευτ. 6, 4. 25. Δευτ. 5, 8. 26. Δευτ. 4, 19.

δίκαιος θὰ ζήσει διὰ τῆς πίστεως»[23]; Ἂν καὶ βέβαια ἡ πίστη στὸν Υἱὸ καταστρέφει ἐκείνους ποὺ τὴ δέχονται, ἐνῶ ὁ νόμος ὠφέλησε τοὺς παλαιότερους, ἂν παραδεχθοῦμε τὰ λόγια τῶν διεστραμμένων.

Β. Ἐξήγησέ μου μὲ ποιὸν τρόπο.

Α. Χωρὶς κόπο καὶ μὲ πολλὴ προθυμία. Πές μου μόνο τί θέλεις νὰ σοῦ πῶ.

Β. Τί σημαίνουν αὐτὰ ποὺ λές;

Α. Στοὺς παλαιοὺς ὁ νόμος ποὺ δόθηκε μέσω τοῦ πάνσοφου Μωυσέως ἔλεγε· «Ἄκουσε, Ἰσραηλιτικὲ λαέ· ὁ Κύριος καὶ Θεός σου εἶναι ἕνας»[24]. Καὶ ἐκτὸς ἀπὸ αὐτό· «Δὲν θὰ κάνεις γιὰ τὸν ἑαυτό σου ἄγαλμα, οὔτε εἰκόνα κανενὸς ἀπὸ ἐκεῖνα ποὺ ὑπάρχουν ψηλὰ στὸν οὐρανό, καὶ ὅσα ὑπάρχουν κάτω στὴ γῆ»[25]. Καὶ μεταφέροντάς τους στὸ πιὸ ἀνώτερο, ποὺ ξεχωρίζει καὶ ἀπὸ αὐτὰ τά στοιχεῖα τοῦ κόσμου, λέγει· «Πρόσεχε τὸν ἑαυτό σου, καὶ σηκώνοντας τὸ βλέμμα σου στὸν οὐρανὸ καὶ βλέποντας τὸν ἥλιο, τὴ σελήνη καὶ τὰ ἄστρα, καὶ ὅλο τὸν διάκοσμο τοῦ οὐρανοῦ, νὰ μὴ πλανηθεῖς καὶ τὰ προσκυνήσεις»[26]. Ὁ νόμος δηλαδὴ τοὺς καλοῦσε νὰ πιστέψουν στὸν ἕνα ἀληθινὸ καὶ κατὰ φύση Θεό, ἀπαλλάσσοντάς τους μιὰ γιὰ πάντα ἀπὸ τὸν λανθασμένο καὶ χειρότερο· γιατὶ δὲν ἐνέκρινε καθόλου τὴν ἀνάγκη νὰ προσκυνοῦν τὴν κτίση καὶ ὄχι τὸν κτίστη, ἀλλ' ὅριζε νὰ στηρίζονται σταθερὰ σ' αὐτὸν αὐτοὶ τοὺς ὁποίους καλοῦσε, ἀπειλώντας ἐκείνους ποὺ θὰ θελήσουν νὰ δείξουν ἀπροθυμία μὲ τὴν ποινὴ τοῦ θανάτου. Ἀλλ' ἐκεῖνα βέβαια τὰ ἔλεγε ὁ νόμος· ἂς ποῦμε ὅμως ποῦ ἔφτασαν τὰ δικά μας. Ἔφυγε ὁ νόμος, ποὺ τὸν κατηγοροῦσαν γιά σκιὲς καὶ τύπους, καὶ ἔλαμψε τὸ φῶς τῆς ἀληθείας, ἀπὸ τότε ποὺ δεχθήκαμε τὴν πίστη στὸν Υἱό, ἂν καί, σύμφωνα μὲ ἐκείνους, εἶναι κτιστὸς καὶ δημιουργημένος. Δὲν εἴμαστε ἄραγε τρισάθλιοι ἐμεῖς ποὺ εἴμαστε σὲ καλύτερη πίστη καὶ μοῖρα, καὶ πολὺ ἀνώτεροι ἀπὸ ἐκείνους πού, σύμφωνα μὲ τὸν νόμο, διδάχθηκαν νὰ προσκυνοῦν τὸν ἕνα καὶ κατὰ φύση Θεό; Καὶ τὸ πιὸ παράλογο εἶναι ὅτι, ἐκεῖνοι χωρὶς νὰ δεχθοῦν τὸ φῶς τῆς ἀλήθειας, γνώρισαν τὸν ἀληθινὸ καὶ κατὰ φύση Θεό, ἐνῶ ἐμεῖς οἱ ἀνώτεροι, ἂν καὶ καυχόμαστε ὅτι δεχθήκαμε τὴν ἀλήθεια, ποὺ δὲν δωρήθηκε στοὺς πρὶν ἀπὸ μᾶς, πλανηθήκαμε μὲ αὐτήν, καὶ μὲ τὸ θεῖο φῶς εἴμαστε σκοτισμένοι μᾶλλον, παρὰ φωτισμένοι οἱ ταλαίπωροι.

*Β. Ὡς δριμὺς ὁ λόγος*

*Α. Εἰ δὲ δὴ κἀκεῖνο μάθοις, καταθαυμάσαις ἄν, οἶμαι, μειζόνως.*

*Β. Τὸ ποῖον;*

*Α. «Παιδαγωγὸς ἡμῖν ὁ νόμος γέγονεν εἰς Χριστόν». Γεγραφότος γὰρ ὡδὶ διεπύθου που πάντως τοῦ μακαρίου Παύλου.*

*Β. Ἐπυθόμην.*

*Α. Βασανιστέον δὴ οὖν ἐφ' ὅ τι τε καὶ ὅπως παιδοκόμος ἦν εἰς ἡμᾶς ὁ νόμος εἰς Χριστὸν ἀναφέρων, τουτέστιν εἰς λόγον καὶ γνῶσιν τὴν ἐπὶ Χριστῷ. Ἆρ' ὡς εἰς ἀμείνω καὶ ὑπερτρέχουσαν τῆς ἐνούσης αὐτῷ καὶ ἐγκεχωσμένης ἔτι τοῖς τύποις, ἤγουν εἰς αἰσχίονα καὶ χθαμαλωτέραν;*

*Β. Εἰς ἀμείνω καὶ φανοτέραν.*

*Α. Εὖγε, ὦ φιλότης· ἅπας γάρ, οἶμαι, σοφὸς καὶ ἀρτίφρων ἀνὴρ συννεύσειεν ἄν, ὧδέ τε ἔχειν τὸ χρῆμα ἐρεῖ. Οὐκοῦν, εἰ νόμος ἡμᾶς ὁ παιδαγωγός, καίτοι τὸν ἕνα καὶ φύσει διακηρύττων Θεόν, οὐχ ὡς εἰς αἰσχίονα γνῶσιν εἰς τὸ ἐπὶ Χριστῷ διακομίζει μυστήριον, Υἱὸς ἂν εἴη μᾶλλον οὐ γενητός, ἵνα μὴ νόμος ἡμᾶς ἀδικήσας ὁρῷτο, μήτε μὴν ὡς προφερεστέραν τῆς εἰς Θεὸν γνώσεως τὴν εἰς ποίημα τιθείς, πάγη καὶ θήρατρον διαβολικὸν εὑρίσκοιτο, καίτοι λαληθεὶς δι' ἀγγέλων καὶ δοθεὶς ἡμῖν εἰς ἐπικουρίαν. «Νόμον γὰρ εἰς βοήθειαν δέδωκε», τῶν ἁγίων τις ἔφη. Καὶ εἰ πλήρωμα νόμου καὶ προφητῶν ὁ Χριστός, πῶς ἂν ἔχοι τὸ εἶναι σεπτὸς τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος; Ἐκτελευτᾷ γὰρ εἰς πλάνησιν τῆς ὅλης γνώσεως οἱονεὶ τὸ συμπέρασμα κατακλεῖον ἡμᾶς εἰς γενητὴν καὶ οὐκ ἄκτιστον φύσιν.*

*Β. Ὀρθότατα ἔφης. Πλὴν οἶμαί τι τοιοῦτον ἐρεῖν τὸν δι' ἐναντίας, τὸ πρωτότοκος ὄνομα, τί ἂν βούλοιτο δηλοῦν;*

*Α. Τὸ προὔχειν ἐν ἀδελφοῖς τὸν δεῖνα τυχὸν καὶ πρεσβυτέραν λαχεῖν ἑτέρων τὴν διὰ γεννήσεως ὕπαρξιν.*

*Β. Εἶτα πῶς ὠνόμασται, φασί, πρωτότοκος πάσης τῆς κτίσεως ὁ Υἱός, εἰ μὴ ἀδελφὴν ὥσπερ ἔχει τὴν κτίσιν ὡς ὁμογενῆ καὶ ὁμοφυᾶ;*

---

27. Γαλ. 3, 24.

28. Βλ. Ἡσ. 8, 20. «Νόμον γὰρ εἰς βοήθειαν ἔδωκε».

Β. Πόσο σκληρὸς ὁ λόγος!

Α. Ἂν ὅμως μάθεις καὶ τὸ ἄλλο, θὰ θαυμάσεις, νομίζω, περισσότερο.

Β. Ποιό;

Α. Ὁ νόμος ἔγινε παιδαγωγός μας γιὰ τὸν Χριστό[27]. Πιστεύω νὰ γνωρίζεις ὁπωσδήποτε ὅτι ἔτσι γράφει ὁ μακάριος Παῦλος.

Β. Τὸ γνωρίζω.

Α. Πρέπει λοιπὸν νὰ ἐξετάσουμε ἐξονυχιστικὰ ὡς πρὸς τί καὶ μὲ ποιὸ τρόπο ὁ νόμος ἦταν γιὰ μᾶς παιδαγωγός ποὺ μᾶς ὁδηγεῖ στὸν Χριστό, δηλαδὴ στὸν λόγο καὶ στὴ γνώση τοῦ Χριστοῦ. Ἄραγε πρὸς γνώση ποὺ εἶναι ἀνώτερη καὶ ὑπερέχει ἀπὸ ἐκείνην ποὺ ὑπάρχει στὸν νόμο καὶ εἶναι ἀκόμα καλυμμένη μέσα σὲ τύπους, ἢ πρὸς χειρότερη καὶ κατώτερη;

Β. Πρὸς ἀνώτερη καὶ πιὸ φανερή.

Α. Εὖγε, φίλε μου· γιατὶ νομίζω ὅτι κάθε σοφὸς καὶ γνωστικὸς ἄνδρας θὰ συμφωνήσει καὶ θὰ πεῖ, ὅτι ἔτσι ἔχει τὸ πρᾶγμα. Λοιπόν, ἐὰν ὁ νόμος ὁ παιδαγωγός μας, ἂν καὶ διακηρύττει τὸν ἕνα καὶ κατὰ φύση Θεό, δὲν μᾶς ὁδηγεῖ σὲ χειρότερη γνώση ὅσον ἀφορᾶ τὸ μυστήριο τοῦ Χριστοῦ, τότε ὁ Υἱὸς πρέπει νὰ μὴ εἶναι κτιστός, γιὰ νὰ μὴ παρουσιάζεται ὁ νόμος ὅτι ἐμᾶς μᾶς ἔχει ἀδικήσει, ἀλλὰ οὔτε, παρουσιάζοντας ὠφελιμότερη ἀπὸ τὴ γνώση τοῦ Θεοῦ τὴ γνώση κτίσματος, νὰ γίνεται παγίδα καὶ δόκανο διαβολικό, παρόλο ποὺ ἔχει κηρυχθεῖ μέσω ἀγγέλων καὶ δόθηκε σὲ μᾶς γιὰ νὰ μᾶς βοηθήσει, ὅπως εἶπε κάποιος ἀπὸ τοὺς ἁγίους[28]. Καὶ ἐφόσον ὁ Χριστὸς εἶναι συμπλήρωση τοῦ νόμου καὶ τῶν προφητῶν, πῶς μπορεῖ νὰ εἶναι ὁ λόγος τῆς ἁγίας Γραφῆς σεβαστός; Γιατὶ καταλήγει σὲ παραπλάνηση τὸ συμπέρασμα ὅλης τῆς γνώσεως, κλείνοντάς μας σὲ κτιστὴ καὶ ὄχι σὲ ἄκτιστη φύση.

Β. Πολὺ σωστὰ μίλησες. Ὅμως νομίζω ὅτι ὁ ἀντίθετος θὰ ρωτήσει τί θέλει νὰ δηλώσει τὸ ὄνομα «πρωτότοκος».

Α. Ὅτι ὁ τάδε προέχει μεταξὺ ἀδελφῶν καὶ ἔτυχε νὰ ἔχει γεννηθεῖ πιὸ πρίν.

Β. Τότε γιατὶ ὁ Υἱός, λένε, ὀνομάσθηκε πρωτότοκος ὅλης τῆς κτίσεως, ἐὰν δὲν ἔχει κατὰ κάποιο τρόπο ἀδελφή του τὴν κτίση, τοῦ αὐτοῦ γένους καὶ τῆς αὐτῆς φύσεως;

*Α. Φροῦδον οὖν, ὡς ἔοικε, καὶ ἀχρεῖον παντελῶς ἐπ' αὐτοῦ διαφανεῖται λοιπὸν τὸ Υἱὸς ὄνομα, καὶ φενακισμὸς ἡ γέννησις, καὶ θρύλος εἰκαῖος ὁ περὶ Πατρὸς ἡμῖν ἥκει λόγος.*

*Β. Οὐδαμῶς, φησί. Πατὴρ γὰρ κέκληται τοῦ Υἱοῦ καταχρηστικῶς, τοιγάρτοι καὶ περὶ τῶν Υἱῶν Ἰσραὴλ «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα», φησίν.*

*Α. Ἆρ' οὖν εἰσποιητὸς εἰς υἱοθεσίαν μεθ' ἡμῶν ὁ Μονογενὴς καὶ νεῦμα μόνον ἡ γέννησις, τὸ δὲ ἀληθὲς ἐπ' αὐτῷ τὸ πεποιῆσθαί ἐστιν;*

*Β. Οὕτω φασί.*

*Α. Καίτοι τί δή ποτε, παρέντες ὡς ἀκερδὲς τὸ αὐτὴν ἐπείγεσθαι καταθρεῖν τὴν ἀλήθειαν, μονονουχὶ τὸ προφητικὸν ἐκεῖνό φασίν, «Ἐθέμεθα ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα»; Εἴρηται γὰρ πρωτότοκος πότε καὶ ἐν τίσι γεγονὼς ὁ Λόγος, χρῆν, οἶμαί που, καὶ πρό γε τῶν ἄλλων ἁπάντων ἀναμαθεῖν, οὕτω τε λοιπὸν εἰς ἐννοιῶν εὐθύτητα τὴν τῶν μυστηρίων πρεπωδεστάτην ἀνορθοῦν ἐπείγεσθαι τὴν καρδίαν. Καιροὶ γὰρ ἡμῖν καὶ μὴν καὶ προσώπων διαφοραὶ καταδείξειαν ἂν καὶ μάλα εὐκόλως τὸν ἀπλανῆ τε καὶ ἀπαράφθορον καὶ ἐξ εὐθείας ἥκοντα λόγον τῶν ἱερῶν Γραμμάτων· ἢ εἴπερ ἐστὶν οὐκ ἀληθὲς ὅ φημι, καιροὺς δὲ καὶ χρόνους οὐ βασανιστέον καθ' οὓς ἄσαρκός τε ἦν ἔτι καὶ μετὰ σαρκὸς ὁ τοῦ Θεοῦ Λόγος καταπτοείτω μηδένα κἂν ἀδιακρίτως τὰ ἐπ' αὐτῷ λαλῆται τυχὸν καὶ δυσφημιῶν ἀπέστω γραφή· κἂν οἴοιτό τις ἐκτεθνάναι κατ' ἀλήθειαν, καίτοι ζωὴν ὄντα κατὰ φύσιν τὸν ἐκ Πατρὸς Λόγον, αἰτείτω κρότους τοὺς πρὸς ἡμῶν, καὶ τοὺς τῆς ἀψευδείας ἐπαίνους· εἰκαιομυθήσει δὲ ἄρα καὶ ὁ σαρκὶ τεθνάναι λέγων αὐτόν. Πᾶν γὰρ ἤδη πως τὸ ἐπ' αὐτῷ πέφηνεν ἀδιάκριτον.*

*Β. Ἔχοι ἂν ὀρθῶς, εἰ τῇδε νοοῖτο, ψόγου γε μὴν καὶ γραφῆς οὐκ ἔξω τὸ χρῆμα.*

*Α. Οὐ γάρ, ὦ 'γαθέ, καὶ εἰς ἑτέραν αὐτοὺς ἀτοπίαν κατωθήσειεν ἂν καὶ μάλα νεανικῶς ὁ λόγος;*

*Β. Εἰς τίνα δὴ φής;*

*Α. Δασμολογοῦσί τινες κατὰ νόμον εἰς τοῦτο τὸν διὰ Μωσέ-*

---

29. Κολ. 1, 15. 30. Ἠσ. 28, 15.

Α. Μάταιο λοιπόν, ὅπως φαίνεται, καὶ ἐντελῶς ἄχρηστο ἐμφανίζεται τὸ ὄνομα Υἱὸς σ᾽ αὐτόν, καὶ ἡ γέννησή του ἐξαπάτηση, καὶ ὁ λόγος γιὰ τὸν Πατέρα ἔρχεται σὲ μᾶς ὡς ἀσήμαντος θρύλος.

Β. Καθόλου, λένε. Γιατὶ ὀνομάζεται Πατέρας τοῦ Υἱοῦ καταχρηστικά, ἀφοῦ καὶ γιὰ τοὺς Ἰσραηλῖτες λέγει· «Γέννησα υἱοὺς καὶ τοὺς ἀνύψωσα»[29].

Α. Ἄρα λοιπόν, ἐὰν ὁ Μονογενὴς εἶναι υἱοθετημένος μαζὶ μὲ μᾶς, καὶ ἡ γέννηση του εἶναι μόνο νεῦμα, τότε ἡ ἀλήθεια στὴν περίπτωση τοῦ Υἱοῦ εἶναι τὸ ὅτι δημιουργήθηκε.

Β. Ἔτσι λένε.

Α. Ἂν καὶ βέβαια, γιατί τέλος πάντων, παραβλέποντας ὡς ἀνώφελο τὸ νὰ βιαστοῦν νὰ δοῦν τὴν ἀλήθεια, λένε κατὰ κάποιο τρόπο ἐκεῖνο τὸ προφητικό, «Στηρίξαμε τὴν ἐλπίδα μας πάνω στὸ ψέμα, καὶ μὲ τὸ ψέμα θὰ σκεπασθοῦμε»[30]; Νομίζω ὅτι πρὶν ἀπὸ ὅλα τὰ ἄλλα πρέπει νὰ μάθουμε πότε ὀνομάσθηκε πρωτότοκος ὁ Λόγος καὶ ὅταν ἦρθε σὲ ποιούς, καὶ ἔτσι νὰ βιαστοῦμε νὰ ἀνυψώσουμε τὴν καρδιά μας στὴν ὀρθότητα τῶν ἐννοιῶν ποὺ ταιριάζουν στὰ μυστήρια. Γιατὶ οἱ καιροὶ σὲ μᾶς καὶ οἱ διαφορὲς τῶν προσώπων θὰ μᾶς φανερώσουν πολὺ εὔκολα τὸν ἀμετακίνητο καὶ ἀπλανῆ λόγο ποὺ ἔρχεται ἀπὸ εὐθείας ἀπὸ τὶς ἅγιες Γραφές· ἤ, ἐὰν δὲν εἶναι ἀληθινὸ αὐτὸ ποὺ λέγω, καὶ δὲν πρέπει νὰ ἐξετάσουμε σχολαστικὰ τοὺς καιροὺς καὶ τοὺς χρόνους κατὰ τοὺς ὁποίους ὁ Λόγος τοῦ Θεοῦ ἦταν ἀκόμα ἄσαρκος καὶ σαρκωμένος, νὰ μὴ φοβίζει κανένα ἐὰν λέγονται ἀδιάκριτα ὅσα λέγονται γι᾽ αὐτόν, καὶ ἂς ἀπομακρυνθεῖ κάθε κατηγορία βλασφημίας· καὶ ἐὰν κάποιος πιστεύει ὅτι πέθανε ἀληθινά, ἂν καὶ ὁ Λόγος ποὺ προῆλθε ἀπὸ τὸν Πατέρα εἶναι κατὰ φύση ζωή, ἂς ζητᾶ χειροκροτήματα ἀπὸ μᾶς καὶ ἐπαίνους γιὰ τὸ ὅτι δὲν λέγει ψέματα. Ἀλλὰ θὰ μιλήσει ἄσκοπα καὶ ἐκεῖνος ποὺ λέγει ὅτι αὐτὸς πέθανε σαρκικά. Γιατὶ κάθε τι ποὺ λέγεται γι᾽ αὐτὸν φαίνεται ἀδιάκριτο.

Β. Εἶναι σωστά, ἂν τὸ πρᾶγμα νοεῖται μ᾽ αὐτὸν τὸν τρόπο, ἀλλὰ ὄχι χωρὶς μομφὴ καὶ κατάκριση.

Α. Ὄχι, ἀγαπητέ, γιατὶ ὁ λόγος θὰ τοὺς ὠθήσει καὶ σὲ ἄλλο ἀτόπημα καὶ μάλιστα μὲ πολὺ θράσος.

Β. Σὲ ποιὸ ἐννοεῖς;

Α. Μερικοὶ εἰσπράττουν φόρο, κάνοντάς το σύμφωνα μὲ τὸν νό-

*ως ἰγμένοι καὶ τὴν τοῦ διδράχμου συνεισφορὰν συλλέγουσιν ὑπὲρ δυοῖν κεφαλαῖν ἐξαιτοῦντες τὸ ἕν. Ἐπειδὴ δὲ τῷ Πέτρῳ προσήεσαν (ἀναπυνθάνεσθαι γὰρ ἐδόκει, πότερα καὶ αὐτὸς τοῖς εἰσφέρουσι συντετάξεται καὶ δασμολογοῖτο Χριστός, ἤγουν ἀποφάσκει τὴν εἴσπραξιν), εἰσέθορε μὲν εὐθὺς ὁ θεσπέσιος μαθητὴς τὸ τί ἂν βούλοιτο δρᾶν αὐτοὺς ἔν γε τουτῳῒ διαμαθεῖν ἀξιῶν· ἤρετο δὲ φθάσας ὁ Ἰησοῦς· «Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων;». Πέτρου δὲ εἰπόντος, «Ἐκ τῶν ἀλλοτρίων», ἔφη προστιθείς· «Ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν, βαλὲ ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καί, ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ». Αἰσθάνῃ δὴ οὖν ὅτι τῇ οἰκείᾳ φύσει προσμεμαρτύρηκε τὸ ἐλεύθερον; Τοῦτο δ' ἂν εἴη τὸ ὑπὲρ κτίσιν· δοῦλον γὰρ τοῦ πεποιηκότος τὸ παροισθὲν εἰς γένεσιν. Οὕτω καὶ ὁ θεῖος ἡμῖν ἀνακεκράγει Δαβὶδ πρὸς τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεόν· «Ὅτι τὰ σύμπαντα δοῦλα σά». Οὐκοῦν ἐν μέτροις ἡμῖν οὐχὶ τοῖς δουλοπρεπέσιν, οὐδὲ ἐν τοῖς ὑπὸ ζυγὸν ὁ Υἱός, ἀλλ' ἐν φύσει τῇ θείᾳ καὶ ὑπερτάτῃ καὶ ὑπερθρωσκούσῃ τὰ γενητά.*

*Β. Ἀληθές.*

*Α. Ἆρ' οὖν, ὦ Ἑρμεία, τὸν οὕτω σεπτῷ κατηγλαϊσμένον ἀξιώματι τοῖς τῆς δουλείας ζυγοῖς ὑποθήσομεν, εἰ καὶ ἐν τῇ τοῦ δούλου μορφῇ καθικέσθαι λέγοιτο; Καίτοι πῶς τοῦτο οὐκ ἀμαθές; Εἰ γὰρ γέγονεν ἐν δούλου μορφῇ, φαίην ἂν ὅτι πρὸ τῆς τοῦ δούλου μορφῆς διετέλει που πάντως ἐν ἐλευθέρᾳ τε καὶ ἀνειμένῃ φύσει. Οὐδὲ γὰρ ἂν γένοιτό τι τῶν ὄντων ὃ ἦν, τὸ δὲ ἐν οἷς ἦν εἰ πρόοιτο, τὴν ἐφ' ἕτερόν τι μεταδρομὴν ποιοῖτ' ἂν εἰκότως. Ἥκει τοίνυν ἡμῖν οὐκ ἐξ οἰκετῶν εἰς οἰκέτην, ἀλλ' ἐξ ἐλευθέρας φύσεως ὁ Υἱὸς εἰς τὴν τοῦ δούλου μορφήν. Ἀλλ' εἴπερ οὐδὲν τὸ μεσολαβοῦν, εἰ μηδὲν ὁ χρόνος, εἰ προσώπων ἔρευνα τὸ τελοῦν εἰς ὄνησιν ἐν τούτοις οὐκ ἔχει, καὶ εἰ γυμνὸς ἔτι νοοῖτο λοιπὸν καὶ δίχα σαρκὸς ὁ*

---

31. Ἤτοι τὸν κεφαλικὸ φόρο ποὺ πλήρωναν οἱ Ἰουδαῖοι στοὺς Ρωμαίους.

μο τοῦ Μωυσῆ, καὶ συγκεντρώνουν τὴν εἰσφορὰ τοῦ διδράχμου ζητώντας γιὰ κάθε δύο κεφάλια ἕνα δίδραχμο. Ὅταν ὅμως πῆγαν στὸν Πέτρο, γιατὶ ἤθελαν νὰ πληροφορηθοῦν γιὰ τὸ ἂν θὰ συγκαταλεχθεῖ καὶ ὁ Χριστὸς μὲ ἐκείνους ποὺ συνεισφέρουν καὶ θὰ φορολογηθεῖ, ἢ θὰ ἀρνηθεῖ τὴν εἴσπραξη, μπῆκε μέσα ἀμέσως ὁ θεσπέσιος μαθητὴς ζητώντας νὰ μάθει τί πρέπει νὰ κάνει μ' αὐτούς. Καὶ ὁ Χριστὸς προλαβαίνοντάς τον ρώτησε· «Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ ποιοὺς παίρνουν δασμοὺς ἢ κῆνσον[31]; Ἀπὸ τὰ παιδιὰ τους ἢ ἀπὸ τοὺς ἄλλους;». Καὶ ὅταν ὁ Πέτρος εἶπε, «Ἀπὸ τοὺς ἄλλους», ὁ Κύριος πρόσθεσε· «Ἑπομένως τὰ παιδιὰ εἶναι ἐλεύθερα, ἀλλὰ γιὰ νὰ μὴ τοὺς σκανδαλίσουμε, πήγαινε στὴ θάλασσα, ρίξε τὸ ἀγκίστρι καὶ παίρνοντας τὸ πρῶτο ψάρι ποὺ θὰ βγάλεις, ἄνοιξε τὸ στόμα του καὶ θὰ βρεῖς ἕνα τετράδραχμο· πάρε το καὶ δῶσε το σ' αὐτοὺς γιὰ μένα καὶ γιὰ σένα»[32]. Κατάλαβες λοιπὸν ὅτι γιὰ τὴ δική του φύση βεβαίωσε ὅτι εἶναι ἐλεύθερη; Αὐτὸ βέβαια δηλώνει τὸ ἀνώτερο ἀπὸ τὴν κτίση· γιατὶ ἐκεῖνο ποὺ ἦρθε στὴν δημιουργία εἶναι δοῦλο τοῦ δημιουργοῦ. Γι' αὐτὸ καὶ ὁ θεῖος Δαβὶδ ἀναφωνοῦσε πρὸς τὸν Θεὸ ποὺ ἐξουσιάζει ὅλα· «Γιατὶ ὅλα ὅσα ὑπάρχουν ὑπακούουν δουλικὰ σὲ σένα»[33]. Ἑπομένως ὁ Υἱὸς δὲν ἀνήκει στὰ μέτρα τὰ δικὰ μας τῶν δουλοπρεπῶν, οὔτε βρίσκεται κάτω ἀπὸ ζυγό, ἀλλὰ ἀνήκει στὴ φύση τὴ θεϊκὴ καὶ ὑπέρτατη, ποὺ ξεπερνάει τὰ κτιστά.

Β. Σωστά.

Α. Ἄρα λοιπόν, Ἑρμεία, αὐτὸν ποὺ λαμπρύνεται μὲ τόσο σεβαστὸ ἀξίωμα θὰ τὸν ὑποτάξουμε στοὺς ζυγοὺς τῆς δουλείας, ἔστω κι ἂν λέγεται ὅτι κατέβηκε στὴ μορφὴ δούλου; Καὶ πῶς αὐτὸ δὲν εἶναι δεῖγμα ἀμάθειας; Γιατὶ θὰ ἔλεγα, ἂν καὶ ἔλαβε τὴ μορφὴ δούλου, ὅμως πρὶν ἀπὸ τὴ μορφὴ τοῦ δούλου βρισκόταν σὲ ἐλεύθερη καὶ ἀδέσμευτη φύση. Οὔτε ἄλλωστε κάποιο ἀπὸ τὰ ὄντα εἶναι δυνατὸ νὰ γίνει αὐτὸ ποὺ ἦταν, καὶ ἐγκαταλείποντας αὐτὰ μὲ τὰ ὁποῖα ἦταν, νὰ τρέξει σὲ κάτι ἄλλο κατὰ τρόπο φυσικό. Ἦρθε λοιπὸν σὲ μᾶς ὁ Υἱὸς ὄχι ἀπὸ δοῦλο σὲ δοῦλο, ἀλλὰ ἀπὸ ἐλεύθερη φύση, στὴ μορφὴ τοῦ δούλου. Ἐὰν λοιπὸν τίποτε δὲν μεσολάβησε, ἐὰν δὲν εἶναι τίποτε ὁ χρόνος, ἐὰν ἡ ἔρευνα τῶν προσώπων δὲν προσφέρει τίποτε ποὺ νὰ ὠφελεῖ, καὶ ἂν ὁ Λόγος νοεῖται γυμνὸς καὶ χωρὶς σάρκα, ἂς ὀνομάζε-

---

32. Ματθ. 17, 23-25.

33. Ψαλμ. 118, 91.

*Λόγος, ἐλεύθερος μὲν οὐχί, διακεκλήσθω δὲ δοῦλος καὶ ἐπαριθμείσθω τοῖς ὑπὸ ζυγόν.*

*Β. Εἶτα πῶς οὐχ ἁπάσης ἡμῖν ἀτοπίας ἀνάμεστα ταυτί;*

*Α. Οὐκοῦν, ἀκουόντων οἱ δι᾽ ἐναντίας· Καιροὺς καὶ πρόσωπα βασανίζειν οὐκ ἀνεχόμενοι, ποῖ φέρεσθε, τί δρᾶτε, ὦ παντὶ πνεύματι πονηρῷ παράφοροι καὶ ἁλώσιμοι; Τί συγχεῖτε τὰ ἄμικτα, καιροῦ καὶ προσώπων καὶ λογισμῶν ἀφειδήσαντες, δι᾽ ὧν ἂν γένοιτο σαφὴς καὶ λίαν εὐκρινεστέρα τῶν ἐφ᾽ Υἱῷ λαλουμένων ἡ θεωρία; Ὅπου μὲν γὰρ οὐκ ἐν σαρκὶ γεγονὼς Θεὸς ἦν ὁ Λόγος, γεγεννημένος ἐκ Πατρός, ἐκεῖ κατασκέπτου τὸ ἀμίκτως ἔτι θεοπρεπὲς ἀξίωμα, τὴν εἰλικρινῆ καὶ ἀσύγχυτον δόξαν, τὸ ἐξῃρημένως ἐλεύθερον, τὸ ἰσοσθενὲς τῷ Πατρί. Παρήχθη γὰρ δι᾽ αὐτοῦ πρὸς γένεσιν τὰ οὐκ ὄντα ποτέ. Κοινοβουλία τε καὶ ἰσουργία καὶ ἡ πρὸς πᾶν ὁτιοῦν ὁμοιότης γέγραπται διὰ Μωσέως. Εἰσκεκόμικε γὰρ ἡμῖν λέγοντα Θεόν, δῆλον δὲ ὅτι, πρὸς τὸν ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ συνυφεστῶτα Λόγον· «Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν». Τὸ γάρ τοι ποιήσωμεν οὐχ ἑνί, πρέποι δ᾽ ἂν μᾶλλον τοῖς ὑπὲρ ἕνα καὶ δύο τισίν. Ἐπειδὴ δέ, φειδοῖ καὶ ἀγάπῃ τῇ εἰς ἡμᾶς, ἐξ ἐμφύτου καὶ θεοπρεποῦς ἡμερότητος οἱονεὶ κεκινημένος, «ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, τεταπείνωκεν ἑαυτόν», ποῖος ἡμᾶς ἀναπείσει λόγος, τούς οἵ γε φρονεῖν ὀρθὰ περὶ αὐτοῦ διεσκέμμεθα, τοῖς τῆς κενώσεως μέτροις ἐπιτιμᾶν καὶ κατασμικρύνειν ἐπείγεσθαι τὸν δι᾽ ἡμᾶς καὶ ὑπὲρ ἡμῶν καθέντα πρὸς κένωσιν τὴν ἰδίαν ὑπεροχήν; Τότε γὰρ δὴ καὶ πρωτότοκος ὁ Μονογενής, λελόγισται δὲ καὶ ἐν πολλοῖς ἀδελφοῖς ὁ εἷς τε καὶ μόνος, ὡς Υἱὸς ἐκ Πατρός. Καθίκετο γὰρ εἰς ταπείνωσιν καὶ πέφηνε καθ᾽ ἡμᾶς, οὐχ ἵνα τι πάθοι τῶν ἀδικεῖν εἰωθότων, τὸ εἶναι Θεὸς ἀποβαλὼν καὶ Υἱὸς ἀληθῶς, ἀλλ᾽ ἵνα τὸ φύσει δοῦλον καὶ γενητόν, τουτέστιν ἡμᾶς, εἰς τὴν ἑαυτῷ τε καὶ μόνῳ κυρίως ἐνοῦσαν ἀνακομίσειε δόξαν, υἱοὺς ἀποφήνας Θεοῦ.*

---

34. Γέν. 1, 26.

35. Φιλ. 2, 6-8.

ται ὄχι ἐλεύθερος, ἀλλὰ δοῦλος, καὶ ἂς συγκαταλέγεται σ' ἐκεῖνα ποὺ βρίσκονται κάτω ἀπὸ ζυγό.

Β. Καὶ πῶς αὐτὰ δὲν εἶναι γεμᾶτα ἀπὸ κάθε ἀτοπία;

Α. Ἂς ἀκούσουν λοιπὸν οἱ ἀντίθετοι· Ἀφοῦ δὲν ἀνέχεσθε νὰ ἐρευνᾶτε ἐξονυχιστικὰ τοὺς καιροὺς καὶ τὰ πρόσωπα, ποῦ ὁδηγεῖσθε, τί κἄνετε, σεῖς οἱ παράφρονες καὶ εὐάλωτοι σὲ κάθε πονηρὸ πνεῦμα; Γιατί συγχέετε αὐτὰ ποὺ δὲν ἀναμιγνύονται, ἀψηφώντας τὸν καιρὸ καὶ τὰ πρόσωπα καὶ τοὺς συλλογισμούς, μέσω τῶν ὁποίων εἶναι δυνατὸ νὰ γίνει σαφὴς καὶ πολὺ πιὸ καθαρὴ ἡ σημασία αὐτῶν ποὺ λέγονται γιὰ τὸν Υἱό; Γιατὶ ἐκεῖ ὅπου δὲν ἔχει ἀκόμα σαρκωθεῖ ὁ Λόγος ἦταν Θεός, γεννημένος ἀπὸ τὸν Πατέρα, ἐκεῖ νὰ σκέπτεσαι τὸ ἀμιγὲς ἀκόμα ἀξίωμα ποὺ ταιριάζει στὸν Θεό, τὴ δόξα τὴν εἰλικρινῆ καὶ ἀσύγχυτη, τὴν ἐξαιρετικὴ ἐλευθερία, τὴν ἴση πρὸς τὸν Πατέρα δύναμη. Γιατὶ δι' αὐτοῦ ἔγιναν αὐτὰ ποὺ κάποτε δὲν ὑπῆρχαν. Ἡ κοινὴ ἀπόφαση καὶ συνεργασία καὶ ἡ ὁμοιότητά τους σὲ ὅλα ἔχουν γραφεῖ ἀπὸ τὸν Μωϋσῆ. Γιατὶ μᾶς παρουσιάζει φανερὰ τὸν Θεὸ νὰ λέγει στὸν Λόγο ποὺ προῆλθε ἀπὸ αὐτὸν καὶ συνυπάρχει μαζί μὲ αὐτόν· «Ἂς κάνουμε ἄνθρωπο σύμφωνο μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοιότητα»[34]· γιατὶ τὸ «ἂς κάνουμε» ἀντιστοιχεῖ ὄχι σὲ ἕνα, ἀλλὰ σὲ περισσότερους ἀπὸ ἕνα ἢ δύο. Ἐπειδὴ λοιπὸν ἐνδιαφέρεται γιὰ μᾶς καὶ μᾶς ἀγαπᾶ, κινούμενος ἀπὸ τὴν ἔμφυτη καὶ ἀντάξια σὲ Θεὸ πραότητα, «ἐνῶ εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε κάτι σὰν ἁρπαγὴ τὸ ὅτι ἦταν ἴσος μὲ τὸν Θεό, ἀλλὰ ταπείνωσε τὸν ἑαυτό του λαμβάνοντας μορφὴ δούλου, καὶ ἀφοῦ ὡς πρὸς τὸ σχῆμα βρέθηκε ὡς ἄνθρωπος, ταπείνωσε τὸν ἑαυτό του»[35], ποιὸς λόγος θὰ πείσει ἐμᾶς ποὺ σκεπτόμαστε πολὺ γιὰ νὰ πιστεύουμε σωστὰ γι' αὐτόν, νὰ ἐπικρίνουμε τὰ μέτρα τῆς κενώσεως καὶ νὰ βιαστοῦμε νὰ μειώσουμε αὐτὸν ποὺ ἐξαιτίας μας καὶ γιὰ χάρη μας ἔφερε σὲ ταπείνωση τὴ μεγαλωσύνη του; Γιατὶ τότε ὁ Μονογενὴς λέγεται καὶ πρωτότοκος, καὶ συγκαταλέγεται μαζὶ μὲ πολλοὺς ἀδελφούς, ὁ ἕνας καὶ μοναδικὸς ὡς Υἱὸς ποὺ προῆλθε ἀπὸ τὸν Πατέρα. Κατέβηκε λοιπὸν σὲ ταπείνωση καὶ ἐμφανίσθηκε σὰν ἐμᾶς, ὄχι γιὰ νὰ ὑποστεῖ κάτι ἀπὸ αὐτὰ ποὺ συνήθως μᾶς ζημιώνουν, ἀποβάλλοντας τὴ θεία φύση του καὶ τὴν ἰδιότητα τοῦ ἀληθινοῦ Υἱοῦ, ἀλλὰ γιὰ νὰ ἀνεβάσει αὐτὸ ποὺ ἦταν κατὰ φύση δοῦλο καὶ κτιστό, δηλαδὴ ἐμᾶς, στὴ δόξα ποὺ ὑπῆρχε σ' αὐτόν, τὸν

*Ὅταν οὖν ἡμῖν συντάττηται διὰ τοῦ καλεῖσθαι πρωτότοκος, οὐχ ἡμεῖς αὐτὸν εἰς τὸ παρὰ φύσιν ἐκβιασόμεθα, πολλοῦ γε καὶ δεῖ, ἀνακομίσει δὲ μᾶλλον αὐτὸς ἡμᾶς πρὸς τὸ ὑπὲρ φύσιν ἀξίωμα. Τὸ γάρ τοι τὴν θείαν καὶ ἀπόρρητον φύσιν ἐκβεβιάσθαι λέγειν, ἤγουν ἡττῆσθαι τῇ κτίσει, πῶς οὐκ ἀπόπληκτον παντελῶς; Οὐκοῦν γενόμενος καθ' ἡμᾶς, οὐ καθ' ἡμᾶς ἔσται ποθέν, τὸ ἴδιον ἀποβεβληκώς, ἀλλ' ἡμεῖς δι' αὐτὸν ὑπὲρ ἑαυτούς, τῇ τοῦ τιμῶντος χάριτι τὸ τῆς ἰδίας φύσεως ὑπερθρῴσκοντες μέτρον, καὶ πρὸς τὸ ἄνω καὶ ὑπερκείμενον ἀναθέοντες.*

*Β. Πῶς ἔφης;*

*Α. Ἦ γὰρ οὐχὶ Πνεύματος γεννητοὶ καὶ τέκνα Θεοῦ διακεκλήμεθα;*

*Β. Ναί.*

*Α. Τοιγάρτοι καὶ προστετάγμεθα πατέρα μὲν ἐπὶ γῆς ἀποκαλεῖν μηδένα, Θεῷ γε μὴν ὡς Πατρὶ τὰ καθ' ἑαυτοὺς προσνέμειν, διὰ τὸν ἐν ἡμῖν γεγονότα πρωτότοκον, καὶ οὐχ ἑτέρου του χάριν, ἢ ἵνα καὶ ἡμεῖς δι' αὐτὸν υἱοί. Πρέποι γὰρ ἂν οὑτοσὶ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ ὁ σκοπός. Ποῦ γὰρ ἔτι σοφὸν τὸ Χριστοῦ μυστήριον, εἰ πρό γε τῶν ἄλλων τὴν ἰδίαν αὐτὸς ἠδίκησε φύσιν, οὐδὲν ὀνήσας τὰ καθ' ἡμᾶς; Κατέθορε γὰρ εἰς τὸ εἶναι πρωτότοκος, ἵνα πολλοῖς συντάττηται, καίτοι τὸ ἕτερος εἶναι καὶ ἀμείνων κατὰ φύσιν, παρὰ τὰ οἷς ἂν συντάττοιτο, κατά γε τὸ ἐκείνοις δοκοῦν, οὐδαμόθεν ἔχων.*

*Β. Ἀλλ' ὡς ἐν δόξῃ φησὶν οὐ μετρίως διενεγκὼν καὶ ἀσυγκρίτοις ὑπεροχαῖς τὰ συντεταγμένα νικῶν τῆς ὅλης κτίσεως καλεῖται πρωτότοκος.*

*Α. Καὶ ποῦ τὸ ἀσύγκριτος ἐν δόξῃ, ἢ ποῖον ἂν εἴη τῆς ὑπεροχῆς τὸ μέγεθος, ἔστ' ἂν ἐν ἴσοις ἡμῖν τοῖς λόγοις κατά τε αὐτοῦ καὶ τῶν ἄλλων ἁπάντων τὸ δεῖν ἐκτίσθαι κατηγοροῖτο; Πολυπραγμονεῖ δὲ ἡμῖν ὁ λόγος εἰς τὸ παρὸν οὐχὶ τί τὸ ὑπερκύπτον ἢ μειονεκτούμενον κατά γε τὸ ἐν τιμῇ καὶ δόξῃ, ἀλλὰ τί μὲν ἂν εἴη τὸ φύσει κτιστὸν καὶ παροισθὲν εἰς γένεσιν, τί δὲ τὸ ὑπὲρ τοῦτο καὶ ἐπέκεινα, καὶ εἰ φύσιν ἀπετέμετο τῶν ἄλλων ἐξῃρημένην ὁ Μονογενής,*

μόνο Κύριο, ὀνομάζοντάς μας υἱοὺς τοῦ Θεοῦ. Ὅταν λοιπὸν συγκαταλέγεται μαζὶ μὲ μᾶς μὲ τὸ νὰ ἀποκαλεῖται πρωτότοκος, δὲν τὸν ἐκβιάζουμε ἐμεῖς κατατάσσοντάς τον στὸ παρὰ φύση, κάθε ἄλλο, ἀλλὰ τὸ νὰ λέμε ὅτι αὐτὸς μᾶς ἀνεβάζει ἐκβιαζόμενος στὸ ὑπὲρ φύση, ὅτι δηλαδὴ νικᾶται ἀπὸ τὴν κτίση, πῶς δὲν εἶναι πλήρης παραλογισμός; Ἑπομένως ὅταν ἔγινε σὰν ἐμᾶς, δὲν ἔγινε σὰν ἐμᾶς ἔχοντας ἀποβάλει τὴν ἰδιότητά του, ἀλλὰ ἐμεῖς ἀνυψωθήκαμε χάρη σ' αὐτόν, καὶ ξεπερνώντας τὸ μέτρο τῆς δικῆς μας φύσεως μὲ τὴ χάρη αὐτοῦ ποὺ μᾶς τιμοῦσε, ἀνεβήκαμε πρὸς τὸ ἀνώτερο καὶ ψηλότερο.

Β. Μὲ ποιὰ ἔννοια τὸ εἶπες;

Α. Δὲν εἴμαστε δηλαδὴ γεννημένοι ἀπὸ τὸ Πνεῦμα, καὶ δὲν ὀνομαζόμαστε παιδιὰ τοῦ Θεοῦ;

Β. Ναί.

Α. Γι' αὐτὸ λοιπὸν καὶ ἔχουμε ἐντολὴ νὰ μὴ ἀποκαλοῦμε κανέναν Πατέρα πάνω στὴ γῆ, ἀλλὰ νὰ προσφέρουμε τὰ δῶρα μας μόνο στὸν Θεὸ ὡς Πατέρα, ἐξαιτίας τοῦ πρωτοτόκου ποὺ ἦρθε ἀνάμεσά μας, καὶ ὄχι γιὰ χάρη κάποιου ἄλλου, ἢ γιὰ νὰ γίνουμε καὶ ἐμεῖς ἐξαιτίας του υἱοί. Γιατὶ αὐτὸς εἶναι ὁ σκοπὸς τῆς ἐνανθρωπήσεώς του. Πῶς ἀλλιῶς δηλαδὴ θὰ ἦταν σοφὸ τὸ μυστήριο τοῦ Χριστοῦ, ἐὰν πρὶν ἀπὸ τοὺς ἄλλους ἀδίκησε ὁ ἴδιος τὴ φύση του, χωρὶς νὰ ὠφελήσει καὶ τὴ δική μας κατάσταση; Γιατὶ κατέβηκε καὶ ἔγινε πρωτότοκος, γιὰ νὰ καταταγεῖ μαζὶ μὲ τοὺς πολλούς, ἂν καί, ὄντας διαφορετικὸς καὶ ἀνώτερος κατὰ φύση, δὲν εἶχε ἀπὸ πουθενὰ αὐτὰ ποὺ νόμιζαν ἐκεῖνοι, μὲ τοὺς ὁποίους συγκαταλεγόταν, ὅτι ἔχει.

Β. Ἀλλὰ ὀνομάζεται πρωτότοκος τῆς κτίσεως, λένε, ἐπειδὴ διαφέρει πολύ, καὶ ξεπερνᾶ μὲ ἀσύγκριτες ὑπεροχὲς τὰ ὄντα μὲ τὰ ὁποῖα εἶναι συντεταγμένος.

Α. Καὶ ποῦ βρίσκεται ἡ ἀσύγκριτη δόξα του καὶ ποιὸ εἶναι τὸ μέγεθος τῆς ὑπεροχῆς του, ἔστω καὶ ἂν σὲ μᾶς λέγεται μὲ ἴδια λόγια τόσο γι' αὐτὸν ὅσο καὶ γιὰ τὰ ἄλλα ὅλα τὸ ὅτι πρέπει νὰ ἔχει κτισθεῖ; Ὁ λόγος μας βέβαια τώρα ἐξετάζει μὲ σχολαστικότητα ὄχι τί εἶναι αὐτὸ ποὺ ὑπερέχει ἢ μειονεκτεῖ σὲ τιμὴ καὶ δόξα, ἀλλὰ τί εἶναι τὸ φύσει κτιστὸ ποὺ ἦρθε στὴν ὕπαρξη, καὶ τί αὐτὸ ποὺ εἶναι ἀνώτερο καὶ πέρα ἀπὸ αὐτό, καὶ ἐὰν ὁ Μονογενὴς ἔχει φύση διαφορετικὴ ἀπὸ τὰ ἄλλα κτίσματα, στὴν ὁποία ὕστερα ἀπὸ κάποιο χρονικὸ διάστημα

ἧς ἂν ἴοι κατόπιν πᾶν τὸ ἐκτίσθαι πεπιστευμένον. Ἆρα γάρ, εἴ τις ἀναμαθεῖν ἀξιῶν, τί μὲν ἥλιος κατὰ φύσιν, ὦ τᾶν, τί δὲ καὶ ἵππος, λέγοι, πότερα, γενητὰ καὶ ἐξ οὐκ ὄντων τὴν φύσιν, ἤγουν ἕτερόν τι παρὰ τοῦτο; Τί ἂν ἔφης αὐτός;

*Β.* Ἔφην ἂν ὅτι γενητά.

*Α.* Εἰ δὲ δὴ προσπεριεργάζοιτο καὶ προσερωτῴη λέγων· Τί δὴ οὖν ἄρα τὸ ἐν ἀμφοῖν θατέρου προτετάξεται, κατά γε τὴν δόξαν; ἆρ᾽ οὐκ ἂν ἡμῖν καὶ προσόφλοι γέλωτα, πεῦσιν οὕτω προθεὶς τὴν ἐναργεστάτην καὶ τοῖς ἐθέλουσιν ἑτοίμην εἰπεῖν;

*Β.* Καὶ μάλα.

*Α.* Λῆρος δέ, οἶμαι, τὸ χρῆμά ἐστιν. Ἵππος γὰρ δὴ πρὸς ἡλίου δόξαν πῶς ἂν ἢ πόθεν ἁμιλλήσηται; Μέτρου γὰρ ἄμεινον τὸ μεσολαβοῦν, ἀλλ᾽ εἰ ταλαντεύοιτο τυχὸν τῆς ἀμφοῖν οὐσίας ὁ λόγος καὶ τί δὴ τούτων ἑκάτερον εἴη ἂν κατασκέπτοιτό τις, οὐχ ἑτεροίως ἕξει πρὸς ἄλληλα, κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, καίτοι τοσοῦτον ἐν δόξῃ διενεγκόντος ἡλίου. Ὅταν οὖν ἡμῖν ἐκβασανίζοιτο λόγος, ὁ ἐφ᾽ Υἱῷ, καὶ τί κατὰ φύσιν ἐστὶ προκέοιτο βλέπειν, ψυχρὸν ἀληθῶς καὶ κατάπλαστον αὔχημα τὸ προὔχειν ἐν δόξῃ καὶ προτετάχθαι τῶν ἄλλων οἴεσθαι δεῖν αὐτόν, εἰ κτίσει συντάττοιτο καὶ νοοῖτο μεθ᾽ ἡμῶν ὡς πεποιημένος. Ὑπεροχαῖς γὰρ αὐτὸν ταῖς ἔξωθεν καταχρυσοῦσί τινες, πλήττοντες μὲν ὥσπερ εἰς τὰ καιριώτατα, δοξαρίων δὲ καὶ εὐφημιῶν λαμπρότησι κατακαλλύνειν ὑποκρινόμενοι τῆς εἰς αὐτὸν δυσφημίας τὸ ἀτερπές. Τὸ γὰρ ὅλως τῇ κτίσει συντεταγμένον οὐσιωδῶς καὶ τελοῦν ἐν γενητοῖς οὔτ᾽ ἂν κατὰ φύσιν εἴη Θεός, οὔτε μὴν Υἱὸς καὶ Κύριος ἀληθῶς, ἀλλ᾽ ὡς ἐν οἰκέταις ἐξαίρετον καὶ ἐν τοῖς ὑπὸ ζυγόν, ψιλῇ τε καὶ μόνῃ τῇ δόξῃ διενεγκόν.

*Β.* Εὖ λέγεις.

*Α.* Ἔπεισι δὲ δή μοι κἀκεῖνο καταθαυμάσαι.

*Β.* Τὸ τί δή;

*Α.* Παρέντες γὰρ ὥσπερ τὸ διειδέναι καὶ φρονεῖν ὅτι καὶ Μο-

θὰ μεταβοῦν καὶ ὅλα ὅσα πιστεύεται ὅτι ἔχουν κτισθεῖ. Ἐπομένως, ἐὰν κάποιος, θέλοντας νὰ μάθει τί εἶναι ὁ ἥλιος κατὰ φύση, φίλε, καὶ τί ἵππος, πεῖ, ποιὸ ἀπὸ τὰ δύο· εἶναι κτιστὰ καὶ προέρχονται ἀπὸ τὸ μηδὲν ὡς πρὸς τὴ φύση, ἢ μήπως κάτι ἄλλο διαφορετικὸ ἀπὸ αὐτό, τί θὰ ἔλεγες ἐσύ;

Β. Θὰ ἔλεγα ὅτι εἶναι κτιστά.

Α. Καὶ ἂν ἐπέμενε περισσότερο καί σὲ ξαναρωτοῦσε λέγοντας· Ποιὸ ἄραγε ἀπὸ τὰ δύο προηγεῖται τοῦ ἄλλου ὡς πρὸς τὴ δόξα; Δὲν θὰ ἦταν ἄραγε γιὰ γέλια, κάνοντας τόσο σαφῆ ἐρώτηση καὶ ἕτοιμη σ' ἐκείνους ποὺ θέλουν νὰ ἀπαντήσουν;

Β. Καὶ πολὺ μάλιστα.

Α. Νομίζω ὅμως ὅτι τὸ πρᾶγμα ἀποτελεῖ φλυαρία. Γιατὶ πῶς μπορεῖ νὰ συγκριθεῖ ὁ ἵππος πρὸς τὴ δόξα τοῦ ἡλίου, ἢ ἀπὸ ποῦ ὡς ποῦ; Γιατὶ ἡ διαφορὰ ποὺ τὰ χωρίζει εἶναι ἀνώτερη ἀπὸ τὸ μέτρο. Ἐὰν ὅμως ὁ λόγος στρεφόταν πρὸς τὴν οὐσία αὐτῶν τῶν δύο, καὶ σκεπτόταν κάποιος τί εἶναι τὸ καθένα ἀπὸ αὐτά, δὲν θὰ ἦταν μεταξύ τους διαφορετικά, ὡς πρὸς τὸν λόγο βέβαια τῆς κατασκευῆς τους, ἂν καὶ ὁ ἥλιος διαφέρει τόσο πολύ ὡς πρὸς τὴ δόξα. Ὅταν λοιπὸν ἐρευνᾶται ἐξονυχιστικὰ ἀπὸ μᾶς ὁ λόγος γιὰ τὸν Υἱὸ καὶ θέλουμε νὰ δοῦμε τί εἶναι ὡς πρὸς τὴ φύση του, εἶναι ἀλήθεια ψυχρὸ καὶ προσποιητὸ καύχημα τὸ ὅτι προέχει ὡς πρὸς τὴ δόξα, καὶ ὅτι πρέπει νὰ πιστεύουμε πὼς προτάσσεται τῶν ἄλλων, ἐὰν ὁ Υἱὸς συντάσσεται μαζὶ μὲ τὴν κτίση καὶ θεωρεῖται μαζὶ μὲ μᾶς δημιουργημένος. Γιατὶ κάποιοι τὸν ἐπιχρυσώνουν μὲ ἐξωτερικὲς ὑπεροχές, πλήττοντάς τον στὰ καιριώτατα σημεῖα καὶ προσπαθώντας μὲ ἀσήμαντα ἀξιώματα καὶ μὲ ἐντυπωσιακὲς ἐπευφημίες νὰ ὡραιοποιήσουν τὴ δυσαρέσκεια τῆς βλασφημίας τους. Γιατὶ αὐτὸ ποὺ γενικὰ κατατάσσεται ὡς πρὸς τὴν οὐσία του στὴν κτίση καὶ βρίσκεται μεταξὺ τῶν κτισμάτων, οὔτε κατὰ φύση Θεὸς μπορεῖ νὰ εἶναι, οὔτε βέβαια καὶ Υἱὸς καὶ Κύριος ἀληθινά, ἀλλὰ σὰν κάτι διαφορετικὸ μεταξὺ δούλων, ποὺ διαφέρει ἀπὸ τὰ ὑποδουλωμένα μόνο ὡς πρὸς τὴν ἁπλῆ δόξα του.

Β. Πολὺ σωστὰ τὰ λές.

Α. Μένει ὅμως νὰ θαυμάσεις καὶ ἐκεῖνο.

Β. Ποιὸ δηλαδή;

Α. Ἀποφεύγοντας κατὰ κάποιο τρόπο νὰ γνωρίσουν καλὰ καὶ

νογενής ἐστιν ἀεί, λέγουσι φληνάφως τὸ πρωτότοκος ὄνομα, τοῖς ἁπλουστέροις ἐπιτειχίζοντες. Καίτοι πῶς οὐκ ἀψευδὴς εἴη ἂν εἴ γέ τις ἕλοιτο πρὸς τοῦτο εἰπεῖν· Εἰ τὸ πρωτότοκος ὄνομα συγκαταγράφει τῇ κτίσει τὸν Υἱόν, ὡς ἐν πολλοῖς ἀδελφοῖς καὶ διὰ τοῦτο πρωτότοκον, ἀσύντακτον ἄρα καὶ ἀσυμφυᾶ παντελῶς τὸ μονογενὴς ἀποφανεῖ. Ὡς γὰρ οὐκ ὄντος ἑτέρου παρ᾽ αὐτὸν κατὰ φύσιν εἴη ἂν μονογενής. Εἰ δὲ δὴ μέλλοι πρωτότοκος μὲν οὐκ εἶναι διὰ τὸ μονογενής, ἀλλ᾽ οὐδ᾽ αὖ μονογενὴς διὰ τὸ εἶναι πρωτότοκος, ὥρα που τάχα μηδὲ ὑπάρχειν ὅλως οἴεσθαι τὸν Υἱόν. Ἀντιφέρεται γὰρ ἀλλήλοιν, καὶ οἱονεὶ συνδιόλλυται, σφίσιν αὐτοῖς προσπταίοντα καὶ τὴν τῶν σημαινομένων ἀντεξάγοντα δύναμιν, τὸ πρωτότοκος καὶ μονογενής. Πῶς γὰρ ἂν ἐφ᾽ ἑνὸς καὶ ταὐτοῦ τάττοιτό τε ἑκάτερον καὶ ἀληθὲς ὂν νοοῖτο;

Β. Οὐκ ἂν ἑτέρως δύναιτο, καθάπερ ἐγῷμαι, μὴ παρειστρεχούσης τῆς μετὰ σαρκὸς οἰκονομίας.

Α. Καὶ μὴν ἴσθι τοι πεφρονηκὼς οὐχ ἕτερόν τι παρά γε τὸ τοῖς ἁγίοις καὶ θεηγόροις δοκοῦν, οἳ τὸν περὶ τούτων ἡμῖν παρέδοσάν τε καὶ διεσάφησαν λόγον. Ὁ μὲν γὰρ θεσπέσιος Ἰωάννης καὶ μονογενῆ καὶ Θεὸν κατωνόμασε τὸν ἐκ Θεοῦ Λόγον, καὶ μὴν καὶ τὸ ἄναρχον ἐν χρόνῳ προσμεμαρτύρηκεν ὡς Θεῷ, Παῦλος δὲ ἡμῖν, ὁ καὶ Χριστοῦ γέμων, ἔμπλεώς τε Πνεύματος ἁγίου καὶ ἄριστος ἐν μυσταγωγοῖς, «Ὅταν δέ», φησίν, «εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ», καιρόν, οἶμαί που, τὸν πρέποντα τῷ πρωτότοκος ἀπονέμων τὸν μετὰ σαρκός. Παρήχθη γὰρ οὕτως εἰς κόσμον, καίτοι πάλαι τε καὶ διαπαντὸς ἐν αὐτῷ τε ὢν καὶ ὑπ᾽ αὐτοῦ μὴ γινωσκόμενος. Δέδεικται δὲ οὕτω λοιπὸν μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἔχων μὲν ἴδιόν τε καὶ ἐξαίρετον τὸ εἶναι μονογενὴς (Θεὸς γὰρ ἦν ἐκ Θεοῦ, μόνος ἐκ μόνου καὶ ἀπορρήτως γεγεννημένος), ἐπειδὴ δὲ γέγονε καθ᾽ ἡμᾶς, τότε δή, τότε καὶ ὡς ἀδελφοῖς ἤδη συντετάξεται διὰ τοῦ καλεῖσθαι πρωτότοκος. Ποῦ γὰρ ἡ κένωσις, εἰ μὴ ἐν τῷ γενέσθαι πρωτότοκον ἐκ μονογενοῦς, καὶ ἐν κτίσμασι

36. Ἑβρ. 1,6.

νὰ πιστέψουν, λένε φλυαρώντας ὅτι τὸ ὄνομα πρωτότοκος σημαίνει ὅτι εἶναι πάντοτε καὶ Μονογενής, ξεγελώντας τοὺς πιὸ ἁπλοϊκούς. Ἂν καὶ βέβαια πῶς θὰ ψευδόταν κάποιος ἂν ἤθελε νὰ πεῖ σχετικὰ μ' αὐτό· Ἐὰν τὸ ὄνομα πρωτότοκος κατατάσσει τὸν Υἱὸ στὴν κτίση, ἀνάμεσα σὲ πολλοὺς ἀδελφούς, καὶ γι' αὐτὸ καὶ εἶναι πρωτότοκος, τότε τὸ μονογενὴς τὸν ἐμφανίζει ἀταίριαστο μέσα σ' αὐτοὺς καὶ ἐντελῶς διαφορετικῆς φύσεως. Γιατὶ μονογενὴς εἶναι ἐπειδὴ δὲν ὑπάρχει ἄλλος κοντὰ σ' αὐτὸν κατὰ φύση. Ἐὰν πάλι πρόκειται νὰ μὴ εἶναι πρωτότοκος ἐξαιτίας τοῦ μονογενοῦς, ἢ νὰ μὴ εἶναι μονογενὴς ἐπειδὴ εἶναι πρωτοτόκος, τότε ὥρα εἶναι νὰ νομίζουν ὅτι οὔτε κἂν ὑπάρχει ὁ Υἱός. Γιατὶ ἀντιμάχονται μεταξύ τους καὶ κατὰ κάποιο τρόπο ἀλληλοεξοντώνονται συγκρουόμενα μεταξύ τους καὶ ἐξαντλώντας τὸ περιεχόμενο τῆς σημασίας τους τὰ ὀνόματα πρωτότοκος καὶ μονογενής. Πῶς δηλαδὴ εἶναι δυνατὸν νὰ χρησιμοποιεῖται τὸ καθένα γιὰ τὸ ἴδιο καὶ τὸ αὐτὸ πρᾶγμα καὶ αὐτὸ νὰ θεωρεῖται ἀληθινό;

Β. Δὲν θὰ μποροῦσε νὰ εἶναι ἀλλιῶς, ὅπως ἐγὼ νομίζω, χωρὶς νὰ παρεμβάλλεται ἡ ἔνσαρκη οἰκονομία.

Α. Καὶ γνώριζε βέβαια, ὅτι δὲν ἔχεις πιστέψει τίποτε ἄλλο, παρὰ ἐκεῖνο ποὺ θεωρεῖται ὀρθὸ ἀπὸ τοὺς ἁγίους καὶ τοὺς θεολόγους, οἱ ὁποῖοι μᾶς παρέδωσαν καὶ μᾶς ἐξήγησαν τὸν λόγο γιὰ τὰ θέματα αὐτά. Πράγματι ὁ θεσπέσιος Ἰωάννης ὀνόμασε τὸν Λόγο ποὺ προῆλθε ἀπὸ τὸν Θεὸ καὶ μονογενῆ καὶ Θεό, ἀλλὰ ἐπιβεβαίωσε καὶ τὸ ἄναρχό του μέσα στὸν χρόνο ὡς Θεοῦ. Καὶ ὁ Παῦλος ποὺ εἶναι γεμᾶτος ἀπὸ Χριστὸ καὶ ἅγιο Πνεῦμα, καὶ ἄριστος μεταξὺ τῶν ἀποστόλων, μᾶς λέγει· «Καὶ ὅταν παρουσιάζει τὸν Πρωτότοκο στὴν οἰκουμένη λέγει· Ἂς τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ»[36], ἀποδίδοντας, νομίζω, στὸ «Πρωτότοκος» τὸν κατάλληλο καιρὸ ποὺ ἀναφέρεται στὴν ἔνσαρκη παρουσία του. Γιατὶ ἦρθε στὸν κόσμο ἔτσι, ἂν καὶ ἀπὸ παλιὰ καὶ πάντοτε ἦταν μέσα σ' αὐτόν, καὶ δὲν γνωριζόταν ἀπὸ αὐτόν. Καὶ ἀποδείχθηκε ἔτσι μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἔχοντας ἰδιαίτερο καὶ ἐξαιρετικὸ προσὸν τὸ νὰ εἶναι Μονογενής· γιατὶ ἦταν Θεὸς προερχόμενος ἀπὸ Θεό, μόνος ἀπὸ μόνον, καὶ γεννημένος κατὰ τρόπο ἀπερίγραπτο· ὅταν ὅμως ἦρθε σὲ μᾶς, τότε ἀκριβῶς κατατάχθηκε μαζί μας ὡς πρὸς ἀδελφούς του μὲ τὸ νὰ ὀνομάζεται πρωτότοκος. Γιατὶ ποῦ εἶναι ἡ κένωση, ἂν ὄχι στὸ ὅτι ἔγινε

*μεθ' ἡμῶν ὡς ἄνθρωπον τὸν ὑπὲρ πᾶσαν τὴν κτίσιν; Ποῦ δὲ ὅλως «ἐπτώχευσε πλούσιος ὤν», εἰ μὴ προσλαβὼν ὁρᾶται τὸ ἀλλότριον, δι' οὗ καὶ ἐπτώχευσεν; Εἰ δὲ ἐν τῷ κεκενῶσθαι μόνῳ καὶ ἐν τῷ τῆς ὑφέσεως χρόνῳ τὸ γενητόν ἐστι, καὶ τὸ συντετάχθαι κτίσμασιν, ἆρ' οὐχὶ πρέποι ἂν ἥκιστά γε τῷ μὴ κενωθῆναι τὸ γενητόν, ἀλλὰ τὸ ὑπερκεῖσθαι κτίσιν καὶ δόξης ἐπέκεινα τῆς τοῦ πεποιῆσθαι δραμεῖν;*

*Β. Πρέποι γὰρ ἄν.*

*Α. Καὶ εἰ τὸ πρωτότοκος ἐν τῷ δι' ἡμᾶς ἑλέσθαι παθεῖν τὴν θρυλουμένην πτωχείαν εὖ μάλα παρεισκρίνεται, συνεπτώχευσε γὰρ ἡμῖν, πλούσιος ὤν, ἀραρὸς ἂν εἴη καὶ ἀληθές, οἶμαί που, τὸ χρῆναι νοεῖν ὡς ἦν ἐν τῷ μὴ πτωχεῦσαι μονογενής. Χρῆναι γὰρ οἶμαι πάντῃ τε καὶ πάντως οὐδὲ ἓν ἐπ' αὐτῷ διεψεῦσθαι τοῖν ὀνομάτοιν. Ἔστι δὲ ἐν ταὐτῷ καὶ μονογενὴς καὶ πρωτότοκος, ὡς Υἱὸς ἀληθῶς καὶ οὐ ποίημα.*

*Β. Ἀλλὰ τέθειται, φασί, καὶ κατὰ τῶν ὁμολογουμένως ποιημάτων τὸ υἱὸς ὄνομα. «Ἐγὼ γὰρ εἶπα», φησί· «Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες».*

*Α. Εἶτα τί, φράσον, τὸν ἀληθῶς τε καὶ φύσει Θεὸν καὶ Υἱόν, ἐξ αὐτῆς τῆς οὐσίας πεφηνότα τοῦ Θεοῦ καὶ Πατρός, ἀδικήσειεν ἂν εἰς δόξαν, ἤγουν εἰς αὐτὸν τὸν τοῦ πως εἶναι νοούμενον λόγον, εἰ καὶ ἡμεῖς αὐτοί, καίτοι τὴν φύσιν ὄντες ἐκ γῆς, διακεκλήμεθα κατὰ θέσιν υἱοὶ καὶ θεοί; Μᾶλλον δέ, πῶς οὐ μετρίως ὀνήσειεν ἂν τοὺς εὐμαθεστέρους ἔν γε τοῖς περὶ Υἱοῦ λόγοις τὸ καθ' ἡμᾶς;*

*Β. Τίνα δὴ τρόπον;*

*Α. Ὅτι, ὦ 'γαθέ, φαίην ἄν, ὡς οὔτε τὰ ὑπερτάτην καὶ ἀνῳκισμένην τινὰ λαχόντα φύσιν κατακομίσειεν ἂν εἰς τὸ τοῦ χειρόνως ἔχοντος μέτρον ἡ τῶν λέξεων ὡς ἐν καταχρήσει δύναμις, οὔτε μὴν τὸ μεῖον καὶ τῆς ἐκείνων εὐκλείας ἡττώμενον ἀναθρώσκοι ἂν εἰς*

---

36α. Β' Κορ. 8, 9.
37. Ψαλμ. 81, 6.

πρωτότοκος ἀπὸ μονογενής, καὶ ἦρθε στὰ κτίσματα μαζὶ μὲ μᾶς ὡς ἄνθρωπος, αὐτὸς ποὺ βρίσκεται πάνω ἀπὸ ὅλη τὴν κτίση; Καὶ ποῦ γενικὰ πτώχευσε, ἐνῶ ἦταν πλούσιος[36α], ἐὰν δὲν ἐμφανιζόταν νὰ ἔχει προσλάβει αὐτὸ ποὺ ἦταν ξένο, πρᾶγμα γιὰ τὸ ὁποῖο καὶ ἐπτώχευσε; Καὶ ἐφόσον μόνο στὴν κένωση καὶ στὸν χρόνο τῆς πτώχευσης ὑπάρχει τὸ κτιστὸ καὶ τὸ ὅτι συγκαταλέχθηκε μεταξὺ τῶν κτισμάτων, τότε στὸν πρὶν ἀπὸ τὴν ταπείνωση χρόνο δὲν ταιριάζει καθόλου τὸ κτιστό, ἀλλὰ τὸ ὅτι ξεπερνᾶ τὴν κτίση καὶ βρίσκεται πέρα ἀπὸ τὴ δόξα τοῦ νὰ ἔχει δημιουργηθεῖ.

Β. Ναί, αὐτὸ ταιριάζει.

Α. Καὶ ἐφόσον τὸ ὄνομα πρωτότοκος παρεμβάλλεται πολὺ καλὰ ὅταν γιὰ χάρη μας δέχθηκε νὰ ὑποστεῖ τὴ λεγόμενη πτώχευση, ἀφοῦ ἔγινε φτωχὸς μαζὶ μὲ μᾶς, ἐνῶ ἦταν πλούσιος, εἶναι ταιριαστό, νομίζω, καὶ ἀληθινὸ τὸ ὅτι πρέπει νὰ σκεφτόμαστε πὼς ἦταν μονογενὴς κατὰ τὸν χρόνο πρὶν πτωχεύσει. Γιατὶ πιστεύω ὅτι πρέπει μὲ κάθε τρόπο καὶ ὁπωσδήποτε κανένα ἀπὸ τὰ ὀνόματά του νὰ μὴ ἀποδεικνύεται ψεύτικο. Εἶναι λοιπὸν ταυτόχρονα καὶ μονογενὴς καὶ πρωτότοκος, ὡς Υἱὸς ἀληθινός, καὶ ὄχι δημιούργημα.

Β. Ὅμως χρησιμοποιεῖται, λένε, τὸ ὄνομα Υἱὸς καὶ γιὰ ἐκείνους ποὺ εἶναι ὁμολογουμένως δημιουργήματα· γιατὶ λέγει· «Ἐγὼ εἶπα, εἴσαστε ὅλοι θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[37].

Α. Ἔπειτα τί θὰ μποροῦσε, πές μου, νὰ ἀδικήσει σὲ δόξα τὸν ἀληθινὸ καὶ κατὰ φύση Θεὸ καὶ Υἱό, ποὺ προῆλθε ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα, δηλαδὴ στὸν λόγο γιὰ τὸν τρόπο τῆς ὑπάρξεώς του, ἀφοῦ καὶ ἐμεῖς οἱ ἴδιοι, ἂν καὶ ὡς πρὸς τὴ φύση προερχόμαστε ἀπὸ τὴ γῆ, ὀνομασθήκαμε θετοὶ υἱοὶ καὶ θεοί; Ἢ μᾶλλον, πῶς δὲν θὰ ὠφελήσει κατὰ ἕνα βαθμὸ αὐτοὺς ποὺ διψοῦν γιὰ μάθηση στοὺς λόγους γιὰ τὸν Υἱὸ ἡ δική μας περίπτωση;

Β. Μὲ ποιὸν δηλαδὴ τρόπο;

Α. Θὰ ἔλεγα, ἀγαπητέ, πὼς οὔτε ἐκεῖνα ποὺ ἔχουν ἀνώτατη καὶ ψηλὰ ἐγκατεστημένη φύση μπορεῖ ἡ καταχρηστικὴ σημασία τῶν λέξεων νὰ τὰ κατεβάσει στὸ μέτρο ἐκείνου ποὺ εἶναι κατώτερο, οὔτε ὅμως καὶ τὸ κατώτερο κι αὐτὸ ποὺ μειονεκτεῖ μπροστὰ στὴ δόξα ἐκείνων, εἶναι δυνατὸν νὰ ἀνέβει στὸ ὑπερφυσικό, ὑπερτιμώμενο μὲ

---

37. Ψαλμ. 81, 6.

*τὸ ὑπὲρ φύσιν ψιλαῖς ῥηματίων ὑπερβολαῖς ἐκτετιμημένον. Ἆρ' οἶσθα ὅ φημι καὶ συνίης εὖ μάλα;*

*Β. Οὐ σφόδρα.*

*Α. Ἄκουε δὴ οὖν. Ἑνὸς ἐφ' ἡμᾶς ὄντος τε καὶ προσκυνουμένου τοῦ κατὰ φύσιν Θεοῦ, θεοὶ καὶ αὐτοὶ κατὰ χάριν ὠνομάσμεθα, καὶ μὴν καὶ τὴν τῆς υἱότητος πεπλουτήκαμεν δόξαν. Οὐ γὰρ δὴ τοῦτο προὔφερες ἡμῖν ἀρτίως;*

*Β. Ναί.*

*Α. Τί οὖν, ὦ φιλότης, ἐπειδὴ θεοὶ κεκλήμεθα καὶ υἱοί, ἆρ' ἔσθ' ὅπως ἂν καὶ ἡμεῖς αὐτοὶ θεοὶ κατὰ φύσιν καὶ ἀληθῶς υἱοὶ τοῦ πάντων ὑπερκειμένου καὶ ὑπερανίσχοντος ὑπάρξαιμεν ἄν, οὐκ εἰσκεκριμένον ἔχοντες τὸ ἐπὶ τῷδε λαμπρὸν ἀγλάϊσμα, φύσεως δὲ τῆς ἀνωτάτω καρπὸς εἶναι πεπιστευμένοι;*

*Β. Οὐδαμῶς. Τὸ γὰρ φύσει γενητόν, πῶς ἂν εἴη φύσει Θεός;*

*Α. Εὖγε, ὦ ἑταῖρε· μένει γὰρ ἕκαστον ἐν ἰδίᾳ φύσει, τῷ τῆς λέξεως ὄγκῳ μὴ συνεξαιρόμενον, μήτε μὴν συγκαθιέμενόν τε καὶ συνυφιζάνον, εἰ καὶ λαλοῖτό τι περὶ αὐτοῦ τῶν χθαμαλωτέρων. Οὐκοῦν φέρε λέγωμεν, ὡς εἴπερ ἴοι καθ' Υἱοῦ τὸ πρωτότοκος, ὡς γενητοῦ δι' ἡμᾶς ὅτε πέφηνε καθ' ἡμᾶς, οὐκ ἂν ἀποβάλοι τὸ εἶναι Θεὸς καὶ Υἱὸς κατὰ φύσιν καὶ ἀληθῶς. Ὥσπερ γὰρ ἡμᾶς οὐκ ἀνεβίβασεν εἰς τὸ ὑπὲρ φύσιν τὸ διακεκλῆσθαι θεούς, οὕτως, οἶμαι, κατακομίσειεν ἂν οὐδαμῶς εἰς τὸ παρὰ φύσιν αὐτὸν τὸ συντετάχθαι κτίσμασι διὰ τὸ ἀνθρώπινον. Εἰ δὲ δὴ παραιτοῖντό τινες τὸ τῆς λέξεως ἀδιάφορον καὶ τὸ λίαν οὐκ ἀκριβὲς εἰς κατάχρησιν παρά γε ταῖς θεοπνεύστοις Γραφαῖς, ἀπορήσειν, οἶμαι, λόγου παντὸς ἡμᾶς τε κἀκείνους, εἴ γέ τῳ δοκεῖ περιεργότερον ἀναμαθεῖν ἐπείγεσθαί τε καὶ λέγειν τὴν ὑπὲρ πάντα φύσιν, τὴν ὑπὲρ σῶμα καὶ εἶδος, ἄποσόν τε καὶ ἀμεγέθη καὶ ἀναφῆ καὶ ἄϋλον, πρὸς σωματικοὺς ἀνθότου καταφέρουσι τύπους αἱ θεόπνευστοι Γραφαί, πρόσωπον Κυρίου, χεῖράς τε καὶ πόδας ἡμῖν ὀνομάζουσαι; Ῥᾷστα δ' ἂν ἀποσκευασαίμεθα καὶ μάλα νεανικῶς τὰς τῶν τοιούτων ἐπιτιμήσεις, ἐκεῖνό που λέγοντες τὸ σοφόν, ὡς καταλωβήσαιτ' ἂν*

ἁπλὲς ὑπερβολὲς λεξιδίων. Γνωρίζεις λοιπὸν αὐτὸ ποὺ λέγω, καὶ τὸ καταλαβαίνεις καλά;

Β. Ὄχι πάρα πολύ.

Α. Ἄκου λοιπόν. Ἐνῶ σὲ μᾶς ὑπάρχει καὶ προσκυνεῖται ἕνας Θεὸς κατὰ φύση, ὀνομασθήκαμε καὶ ἐμεῖς θεοὶ κατὰ χάρη, καὶ μάλιστα δεχθήκαμε καὶ τὴ δόξα τῆς υἱότητας. Αὐτὸ δηλαδὴ δὲν μᾶς εἶπες πρὶν ἀπὸ λίγο;

Β. Ναί.

Α. Τί λοιπόν, φίλε· ἐπειδὴ ὀνομασθήκαμε θεοὶ καὶ υἱοί, ἄραγε εἶναι δυνατὸν ἐμεῖς οἱ ἴδιοι νὰ γίνουμε θεοὶ κατὰ φύση καὶ πραγματικὰ υἱοὶ αὐτοῦ ποὺ εἶναι ἀνώτερος καὶ ὑπερέχει ἀπὸ ὅλους, χωρὶς νὰ ἔχουμε ἀποκτήσει τὸ λαμπρὸ ἀγλάϊσμα γιὰ τὸν σκοπὸ αὐτόν, καὶ νὰ μᾶς ἔχει ἐμπιστευθεῖ νὰ εἴμαστε καρπὸς τῆς ἀνώτατης φύσεως;

Β. Καθόλου· γιατὶ τὸ ἀπὸ τὴ φύση του κτιστό, πῶς εἶναι δυνατὸ νὰ γίνει κατὰ φύση Θεός;

Α. Εὖγε σου, φίλε· πραγματικὰ τὸ καθένα παραμένει στὴ δική του φύση, χωρὶς νὰ ἀνυψώνεται μὲ τὴ μεγαλοπρέπεια τῶν λέξεων, ἀλλ' οὔτε καὶ νὰ συρρικνώνεται καὶ νὰ παθαίνει καθίζηση, ἔστω καὶ ἂν λέγεται γι' αὐτὸ κάτι ἀπὸ τὰ χαμηλότερα. Ἐμπρὸς λοιπὸν νὰ ποῦμε ὅτι, ἐφόσον τὸ «πρωτότοκος» ἀναφέρεται στὸν Υἱὸ ὡς κτιστὸν γιὰ χάρη μας, ὅταν ἐμφανίσθηκε σὰν ἐμᾶς, δὲν ἀπέβαλε τὸ νὰ εἶναι Θεὸς καὶ Υἱὸς κατὰ φύση καὶ πραγματικά. Γιατί, ὅπως δὲν ἀνύψωσε ἐμᾶς στὸ ὑπερφυσικὸ τὸ ὅτι ὀνομασθήκαμε θεοί, ἔτσι νομίζω δὲν κατεβάζει καθόλου στὸ παραφύση τὸν Υἱὸ τὸ γεγονὸς ὅτι συγκαταλέχθηκε μεταξὺ τῶν κτισμάτων ἐξαιτίας τῆς ἀνθρώπινης φύσεώς του. Ἐὰν ὅμως κάποιοι ἀπορρίπτουν τὴ λεκτικὴ ἀδιαφορία καὶ τὴν μέχρι καταχρήσεως ἀνακρίβεια τῶν ἁγίων Γραφῶν, νομίζω πὼς δὲν θὰ ξέρουμε καὶ ἐμεῖς καὶ ἐκεῖνοι τί νὰ ποῦμε, ἐὰν κάποιος θελήσει νὰ μάθει ἀπὸ μεγάλη περιέργεια, καὶ βιάζεται καὶ λέγει, γιὰ ποιὸ λόγο οἱ θεόπνευστες Γραφές, μιλώντας γιὰ τὴν ἀνώτερη ἀπὸ ὅλα φύση, τὴν ἀνώτερη ἀπὸ σῶμα καὶ μορφή, ποὺ δὲν ἔχει ποσὸ καὶ μέγεθος καὶ εἶναι ἀψηλάφητη καὶ ἄϋλη, παραπέμπουν σὲ σωματικοὺς τύπους, ἀναφέροντας πρόσωπο τοῦ Κυρίου, καὶ χέρια καὶ πόδια; Εὐκολώτατα λοιπὸν θὰ μπορούσαμε, καὶ χωρὶς πολλὴ σκέψη μάλιστα, νὰ ἀντιμετωπίσουμε τὶς κατηγορίες αὐτῶν, λέγοντας τὸ σοφὸ ἐκεῖνο,

*οὐδὲν εἴς γε τὸ εἶναι τοῦθ' ὅπερ ἐστὶ τὴν ὑπὲρ σῶμα φύσιν ἢ τῶν λέξεων ἀδιάκριτος προφορὰ διὰ τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἀκροωμένοις ἀναγκαίως ἐπινοουμένη. Ἢ οὐκ ἂν γένοιτο πιθανὸς ὁ λόγος καὶ μάλα ἔχων ὀρθῶς;*

*Β. Κομιδῇ μὲν οὖν.*

*Α. Ἐπειδὴ δὲ ταῖς ἄγαν δοκησισοφίαις ἀναφυσώμενοι, κατεξανιστᾶσι φληνάφως ὡς δυσανάτρεπτον ἐπιχείρημα τῷ μονογενεῖ τὸ πρωτότοκος, οὐκ ἀσύντακτον εἶναι δεῖν κτίσει λέγοντες αὐτόν, ὡς ἀδελφὴν καὶ ὁμοφυᾶ τοῖς ὅλοις λαχόντα τὴν φύσιν, κατά γε τὸν τοῦ πεποιῆσθαι λόγον, βούλει τι καὶ ἕτερον ἐπὶ τούτῳ φῶμεν, οὐκ ἀσυντελὲς εἰς ὄνησιν;*

*Β. Ὡς ἥδιστά γε ἐρεῖς καὶ ἐθέλοντί μοι.*

*Α. Ἆρ' οὐχὶ δι' Υἱοῦ κεκλήμεθα πρὸς υἱοθεσίαν οἱ πίστιν εἰσδεδεγμένοι τὴν εἰς αὐτόν, καὶ μεμορφώμεθα πρὸς αὐτὸν οἱονεὶ πρὸς ἀρχέτυπον εἰκόνες;*

*Β. Ναὶ κεκλήμεθά τε καὶ μεμορφώμεθα πρὸς Υἱόν. Γέγραπται γὰρ ὅτι, «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς αὐτόν».*

*Α. Ἄριστα ἔφης. Τὸ δ' οὖν ἀναγκαῖον ἔν γε τουτῳὶ φράσαις ἂν οἶδ' ὅτι καὶ μάλα ὀρθῶς. Κεκλήμεθα πρὸς υἱοθεσίαν, ἆρ' οὐσιώδη καὶ φυσικήν; Καὶ εἰ μὴ κληθῆναι συμβαίνει λαχόντες τὴν ἀδελφότητα καὶ τὸ συγγενές, ἢ πῶς;*

*Β. Οὐκ οὐσιώδη ποθέν, ἀλλ' εἰσποίητόν τε καὶ κατὰ χάριν.*

*Α. Πῶς οὖν ἔτι γενητὸς ὁ Υἱὸς διὰ τὸ πρωτότοκος; Κατὰ τίνα δὲ τρόπον οὐσιωδῶς ὡς ἀδελφοῖς συντετάξεται διὰ τὸ ὁμοειδές, καίτοι τὴν πρὸς αὐτὸν ἀδελφότητα φυσικὴν μὲν οὔ τί που, θύραθεν δὲ μᾶλλον καὶ ἐν χρόνοις ἀποκερδαίνομεν, καὶ οὐχὶ τοῖς ἀνωτάτω τῆς μετὰ σαρκὸς ἐπιδημίας, ἀλλ' ὅτε γέγονε καθ' ἡμᾶς; Οὐ γάρ, οἶμαι, φαῖεν ἄν, καίτοι σφόδρα παραληρεῖν ᾐρημένοι, ὡς εἰς ἀδελφότητα τὴν πρὸς τὸν Υἱὸν τοὺς ἀρχαιοτέρους ἐκάλει τὸ γράμμα τὸ νομικόν. Πνεῦμα γὰρ ἦν ἐν ἐκείνοις δουλείας. Ὅθεν*

38. Ἰω. 1, 12.

ὅτι δὲν βλάπτει καθόλου τὴν ἀνώτερη ἀπὸ τὸ σῶμα φύση, στὸ νὰ εἶναι αὐτὸ ποὺ εἶναι, ἡ ἀδιάκριτη χρησιμοποίηση τῶν λέξεων, ποὺ ἐπινοεῖται ἀναγκαστικά, ἐπειδὴ οἱ λέξεις αὐτὲς συντελοῦν στὴν ὠφέλεια αὐτῶν ποὺ τὶς ἀκοῦν. Ἢ μήπως δὲν εἶναι πιστικὸς ὁ λόγος καὶ πολὺ ὀρθός;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ἐπειδὴ ὅμως καυχόμενοι γιὰ τὶς πολλὲς δοκησισοφίες, προβάλλουν γιὰ τὸν Μονογενῆ φλυαρώντας ὡς δύσκολο νὰ ἀνατραπεῖ ἐπιχείρημα, τὸ ὄνομα πρωτότοκος, λέγοντας ὅτι αὐτὸς (ὁ Μονογενὴς) δὲν πρέπει νὰ εἶναι ἔξω ἀπὸ τὴν κτίση, ἀφοῦ ἔχει φύση ἀδελφὴ καὶ τῆς ἴδιας φύσεως μὲ ὅλα τὰ κτίσματα, σύμφωνα μὲ τὸν λόγο τῆς δημιουργίας, θέλεις νὰ ποῦμε καὶ κάτι ἄλλο, ποὺ δὲν εἶναι ἀνώφελο;

Β. Μιλᾶς εὐχάριστα καὶ θέλω νὰ μιλήσουμε γι᾽ αὐτό.

Α. Δὲν ἔχουμε ἄραγε κληθεῖ διὰ τοῦ Υἱοῦ σὲ υἱοθεσία ὅσοι δεχθήκαμε τὴν πίστη σ᾽ αὐτὸν καὶ μεταμορφωθήκαμε ἀντίστοιχα πρὸς αὐτόν, σὰν εἰκόνες πρὸς τὸ ἀρχέτυπο;

Β. Ναί, ἔχουμε κληθεῖ καὶ μεταμορφωθήκαμε ἀντίστοιχα πρὸς τὸν Υἱό. Γιατὶ ἔχει γραφεῖ «Σὲ ὅσους τὸν δέχθηκαν, τοὺς ἔδωσε ἐξουσία νὰ γίνουν παιδιὰ τοῦ Θεοῦ, δηλαδὴ σ᾽ ἐκείνους ποὺ πιστεύουν σ᾽ αὐτόν»[38].

Α. Τὰ εἶπες ἄριστα. Ἀλλὰ ξέρω ὅτι θὰ πεῖς καὶ τὸ ἀναγκαῖο στὸ θέμα αὐτό, καὶ μάλιστα πολὺ σωστά. Κληθήκαμε ἄραγε σὲ υἱοθεσία οὐσιώδη καὶ φυσική; Καὶ ἂν δὲν συνέβη νὰ κληθοῦμε, πῶς ἐλάβαμε τὴν ἰδιότητα τοῦ ἀδελφοῦ καὶ τοῦ συγγενοῦς;

Β. Οὐσιώδη μὲ κανένα τρόπο, ἀλλὰ ἐπίκτητη καὶ κατὰ χάρη.

Α. Πῶς λοιπὸν ὁ Λόγος θεωρεῖται ἀκόμα κτιστὸς ἐξαιτίας τοῦ ὀνόματος πρωτότοκος; Καὶ μὲ ποιὸν τρόπο κατατάχθηκε μαζί μας κατ᾽ οὐσία ὡσὰν σὲ ἀδελφούς, ἐπειδὴ εἴμαστε ὅμοιοι, ἂν καὶ τὴν ἰδιότητα τοῦ ἀδελφοῦ πρὸς αὐτὸν δὲν τὴν ἔχουμε ἀπὸ τὴ φύση μας, ἀλλὰ μᾶλλον ἀπ᾽ ἔξω καὶ τὴν κερδίζουμε μὲ τὸν καιρό, καὶ ὄχι πρὶν ἀπὸ τὴν ἔλευσή του μὲ σάρκα, ἀλλὰ ὅταν ἔγινε σὰν ἐμᾶς; Γιατὶ δὲν νομίζω νὰ ποῦν, ἂν καὶ εἶναι συνηθισμένοι νὰ παραλογίζονται πάρα πολύ, ὅτι τοὺς παλιοὺς τοὺς καλοῦσε νὰ γίνουν ἀδελφοὶ μὲ τὸν Υἱὸ τὸ γράμμα τοῦ νόμου. Γιατὶ σ᾽ ἐκεῖνο ὑπῆρχε πνεῦμα δουλείας. Ἀπὸ αὐτὸ γίνεται πολὺ σαφές, ὅτι ὁ Λόγος τοῦ Θεοῦ δὲν ἦταν μαζὶ μὲ μᾶς

*τοι καὶ μάλα ἐστὶν ἐναργές, ὡς οὐκ ἐν δούλοις ἡμῖν ὁ ἐκ Θεοῦ Λόγος, τὸ ἐν δούλου τάξει κείμενον ἔτι πρὸς ἀδελφότητα μὴ λαβών. Πλὴν ἐπ᾽ ἐκεῖνο νυνὶ σοφῶς καὶ ἀπερισπάστως ἰτέον.*

*Β. Τὸ τί;*

*Α. Τὸ φύσει προσόν, ὦ Ἑρμεία, τῶν ὄντων τισὶν οὐκ ἐν χρόνοις ἂν γένοιτο μεθεκτόν, ἀλλ᾽ οὐδ᾽ ἂν ἴοι ποθὲν ὡς ὀθνεῖον εἰσκεκριμένως, ἀεὶ δ᾽ ἂν μᾶλλον ἐνυπάρχον ὁρῷτο, καὶ αὐτῷ τῷ εἶναι συμπαρομαρτοῦν. Οἷον δὲ δή τί φημι, λογικὸς ἐν ἀρχῇ καὶ κατὰ φύσιν ὁ ἄνθρωπος, πλούσιός γε μὴν οὐκ ἔτι. Ἆρ᾽ οὖν εἰσδέξεται μὲν ὡς ἐπακτόν τε καὶ ἔξωθεν τὸ πλουτεῖν, φυσικοῖς δὲ νόμοις ἐρηρεισμένον ἔχει τὸ εἶναί τε καὶ κεκλῆσθαι λογικός; Οὐκοῦν ἀληθὲς ὡς οὐκ ἄν, οἶμαι, τὶς νοοῖτο λαβεῖν, καὶ τοῦτο ἐν χρόνοις, ὃ τῇ πρὸς τὸ εἶναι προόδῳ σύνδρομον ἔχει.*

*Β. Ἀληθές.*

*Α. Εἰ τοίνυν ἀεὶ τοῖς κτίσμασιν ἀδελφός τε ἦν καὶ ἐναρίθμιος ὁ Υἱός, ὡς ὁμογενὴς αὐτοῖς, διά τε τοῦτο πρωτότοκος, τί τὸ φύσει προσὸν ἡμῖν, ὡς οὐκ ἔχουσιν ἐχαρίζετο, φημὶ δὴ τὴν ἀδελφότητα; Τί δὲ δὴ καὶ μόνοις ἐδίδου τοῖς πεπιστευκόσι, καίτοι πᾶσι μετόν, καὶ εἰ μή πω πιστεύσειαν; Τί γὰρ ἔτι τὸ μεσολαβοῦν καὶ οἰκειότητος ἀποτέμνον, κατά γε τὸ πεποιῆσθαι κοινῶς, γενητοῦ τὸ γενητόν; Ἆρ᾽ οἷ πρόεισιν ὁ λόγος τοῖς δι᾽ ἐναντίας αἰσθάνῃ λοιπόν;*

*Β. Ναί.*

*Α. Οὐκοῦν τὸ φληνάφοις ἐντρίβεσθαι λογισμοῖς μεθέντες, ὦ τᾶν, τὸ ἀμωμήτως ἔχον διαπεραίνωμεν, φρονοῦντες ὀρθῶς ὡς εἴη μὲν δι᾽ ἡμᾶς πρωτότοκος, ὅτε γέγονε καθ᾽ ἡμᾶς, μονογενὴς δὲ αὖ ὡς οὐδενὶ τὸ σύμπαν συντεταγμένος, ἐπεί τοι μόνος ἐξέφυ, καὶ ἐξ αὐτῆς γεγέννηται τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός.*

*Β. Ἀλλ᾽ εἴπερ ἕλοιντο καὶ αὐτοὶ μονογενῆ δεῖν οἴεσθαι λέγειν αὐτόν, ἐπειδὴ μόνος ἐκ μόνου γέγονε τοῦ Πατρός, τί ἂν ἔχοις πρὸς τοῦτο εἰπεῖν·*

τοὺς δούλους, ἀφοῦ δὲν εἶχε λάβει ἀκόμα τὸ σῶμα ποὺ βρισκόταν στὴ θέση τοῦ δούλου, ὥστε νὰ εἶναι ἀδελφός μας. Ἀλλὰ πρέπει νὰ προχωρήσουμε τώρα ἀμέσως μὲ τρόπο ἐπιστημονικὸ καὶ ἀπερίσπαστον σὲ ἐκεῖνο.

Β. Σὲ ποιό;

Α. Τὸ φυσικὸ προσόν, Ἑρμεία, σὲ μερικὰ ἀπὸ τὰ ὄντα δὲν ἀποκτᾶται μὲ τὰ χρόνια, οὔτε καὶ εἰσβάλλει ὡς ξένο ἀπὸ κάπου, ἀλλὰ φαίνεται νὰ ὑπάρχει μέσα στὰ ὄντα αὐτὰ πάντοτε, καὶ νὰ ἀποτελεῖ ἐπακόλουθο τῆς οὐσίας τους. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ὁ ἄνθρωπος στὴν ἀρχὴ εἶναι κατὰ φύση λογικός, ἀλλὰ δὲν εἶναι ἀκόμα πλούσιος. Ἆρα λοιπὸν θὰ δεχθεῖ ὡς πρόσθετο καὶ ἀπ' ἔξω τὸν πλουτισμό; Ὁπωσδήποτε ὅμως ἔχει στηριγμένο στοὺς φυσικοὺς νόμους τὸ νὰ εἶναι καὶ νὰ λέγεται λογικός. Ἑπομένως εἶναι, νομίζω, ἀλήθεια, πὼς δὲν νοεῖται νὰ τὸ λάβει κάποιος καὶ αὐτὸ μέσα στὸ χρόνο, αὐτὸ δηλαδὴ ποὺ τὸ ἔχει μαζί του μὲ τὸν ἐρχομό του στὴν ὕπαρξη.

Β. Σωστά.

Α. Ἐὰν λοιπὸν ὁ Υἱὸς ἦταν πάντοτε ἀδελφὸς καὶ συγκαταλεγόταν μεταξὺ τῶν κτισμάτων, σὰν ὁμογενὴς μὲ αὐτά, καὶ γι' αὐτὸ καὶ πρωτότοκος, τότε ποιὸ φυσικὸ προσὸν μᾶς χάρισε, ἐπειδὴ δὲν τὸ εἴχαμε, καὶ ἐννοῶ τὴν ἀδελφοσύνη; Καὶ γιατί τὸ ἔδινε μόνο σ' ἐκείνους ποὺ εἶχαν πιστέψει, ἀφοῦ ὑπῆρχε σὲ ὅλους, ἔστω καὶ ἂν δὲν εἶχαν ἀκόμα πιστέψει; Τί ἦταν δηλαδὴ ἐκεῖνο ποὺ μεσολαβοῦσε ἀκόμα καὶ ἀπέκοπτε ἀπὸ τὴ συγγένεια, ὡς πρὸς τὸν κοινὸ τρόπο δημιουργίας, τὸ ἕνα κτιστὸ ἀπὸ τὸ ἄλλο; Ἄραγε ἀντιλαμβάνεσαι ποῦ ὁδηγεῖ ὁ λόγος τῶν ἀντιθέτων;

Β. Ναί.

Α. Λοιπὸν ἀφήνοντας, φίλε, τὴν ἐνασχόλησή μας μὲ φλύαρους συλλογισμούς, ἂς τελειώσουμε μὲ αὐτὸ ποὺ εἶναι ἄμεμπτο, πιστεύοντας σωστά, ὅτι ἔγινε βέβαια γιὰ χάρη μας πρωτότοκος, ὅταν ἔγινε σὰν ἐμᾶς, ἀλλὰ εἶναι καὶ μονογενής, ἐπειδὴ δὲν συντάσσεται μὲ κανένα γενικά, ἀφοῦ μόνος φύτρωσε καὶ γεννήθηκε ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ καὶ Πατέρα.

Β. Ἐὰν ὅμως δεχθοῦν καὶ αὐτοὶ ὅτι πρέπει νὰ τὸν λέμε μονογενῆ, ἐπειδὴ προῆλθε μόνος αὐτὸς ἀπὸ τὸν μοναδικὸ Πατέρα, τί θὰ μποροῦσες ν' ἀπαντήσεις σ' αὐτό;

*Α. Οἰηθείην ἂν εἰκότως ἐκκεκροῦσθαι μὲν νοῦ καὶ ἀπολισθῆσαι φρενὸς ἀνδροπρεπές τι καὶ ἐρρωμένον εἰθισμένης ὁρᾶν. Φαίην δ' ἂν ὅτι καὶ αὐτῆς οὐ μετρίως διημαρτήκασι τῆς τῶν ὀνομάτων ἀκριβοῦς εὐμαθείας, οἱονεί πως παροχετεύοντες τὰ ἐξ αὐτῶν δηλούμενα καὶ πρὸς ὁτιοῦν τῶν σφίσιν αὐτοῖς καθ' ἡδονὴν ἀπερινοήτως ἐξέλκοντες. Τὸ γάρτοι μονογενής, τὸ ἔκ τινος φύσει γεγεννημένον, οὐχὶ τὸ ἐκ τέχνης ἐξειργασμένον παραδηλώσειεν ἄν· ἤγουν ἡκόντων εἰς μέσον ἐρομένοις ἀποκρινόμενοι, ποῦ τὴν λέξιν ἀνεγνώκασιν ἐφ' ὁτῳοῦν τῶν ἐκ τέχνης τε καὶ ἐπιστήμης κειμένην. Οὐ γὰρ δὴ ταῖς ἐκείνων ἀβελτηρίαις παραχωρήσομεν ἃ ἂν βούλοιντο νομοθετεῖν, ἀκαλλέστατα παρευθύνοντες ἐπὶ τὸ μὴ ἔχον ὀρθῶς τῶν σημαινομένων τὴν δύναμιν. Ἆρα γάρ, εἰ σκάφος ἕν τε καὶ μόνον διατεχνήσαιτό τις ἀνὴρ ξυλουργός, μονογενὲς ἂν καλοῖτο αὐτοῦ, καίτοι τέχνημα καὶ ἐπιστήμης ἔργον ὄν; Εἶτα πῶς τοῦτο οὐ καταγέλαστον ἢ σοφὸν εἶναί σοι τὸ χρῆμα δοκεῖ;*

*Β. Ἥκιστά γε.*

*Α. Τὸ δὲ δὴ καὶ διατείνεσθαι περιττὰ τοὺς δι' ἐναντίας καὶ ἀσυνετώτατα λέγειν μόνον ἐκ μόνου γεγεννῆσθαι τοῦ Πατρὸς τὸν Υἱόν, ταύτῃ τοι καὶ λίαν ἐξαίρετον ἀποτεμέσθαι τὴν φύσιν, καὶ εἰς λῆξιν εὐκλείας τὴν ἀνωτάτω διαδραμεῖν, διχῇ πλημμελεῖν ἑλομένους παραδείξειεν ἂν καὶ ἀμαθαίνοντας κομιδῇ.*

*Β. Φράσον ὅπως.*

*Α. Πρῶτον μὲν γὰρ ὡς ἐξ ἀναγκαίου τε καὶ ἀφύκτου λογισμοῦ τὴν μεθ' Υἱὸν ἀργίαν καταγράψουσι τοῦ Πατρός, καὶ τὴν ἀεικίνητον φύσιν ἀπρακτῆσαι πρὸς τὰ οἰκεῖα καὶ οὐχ ἑκόντες ὁμολογήσουσι, καὶ καταλῆξαι δημιουργίας, οὐδενὸς τὸ σύμπαν ἔτι μετ' ἐκεῖνον ἐπιθιγγάνουσαν, μεθεῖσαν δὲ ὥσπερ τῇ τοῦ Υἱοῦ δυνάμει τε καὶ φύσει τὸ ἐνεργεῖν τε καὶ δρᾶν τὰ δι' ὧνπερ ἂν εἴη καὶ μόνων τὴν ἀνωτάτω φύσιν ἐπιγινώσκεσθαι. Καὶ γενητῆς μὲν οὐσίας καρποὶ τὰ τῆς θεότητος ἴδια, κατακαυχήσεται δέ, ὡς ἔοικεν, ὁ μὲν Θεὸς καὶ Πατὴρ ἐφ' ἑνὶ καὶ μόνῳ κτίσματι, τῷ Υἱῷ, ὁ δὲ τοῖς οὕτω πλείοσιν ἐναβρυνεῖταί που, καὶ φρονήσει μεῖζον ἢ ὁ Πατήρ, ἰσοσθενὴς μὲν αὐτῷ διὰ τοῦ πεφυκέναι δημιουργεῖν ἀνα-*

Α. Θὰ πίστευα φυσικά, ὅτι ἔχουν χάσει τὸν νοῦ καὶ τὸ μαυλό τους, ποὺ εἶναι συνηθισμένο νὰ βλέπει μὲ ἀνδροπρέπεια καὶ ἀνδρεία. Θὰ ἔλεγα ὅτι κάνουν μεγάλο λάθος ἀκόμα καὶ σ' αὐτὴν τὴν ἀκριβῆ γνώση τῶν ὀνομάτων, παρερμηνεύοντας τὴ σημασία τους καὶ σύροντάς τα ἀκατανόητα σ' ὅ,τι ἀρέσει σ' αὐτούς. Γιατὶ τὸ μονογενὴς σημαίνει αὐτὸ ποὺ γεννήθηκε ἀπὸ κάποιον κατὰ φύση, καὶ ὄχι ἐκεῖνο ποὺ κατασκευάσθηκε μὲ κάποια τεχνικὴ ἐπιδεξιότητα· ἂς ἔρθουν λοιπὸν ἐδῶ καὶ ἐρωτώμενοι ἂς ἀπαντήσουν, ποῦ διάβασαν τὴ λέξη αὐτὴ νὰ χρησιμοποιεῖται γιὰ κάποιο ἀπὸ τὰ ἔργα τῆς τέχνης καὶ τῆς ἐπιστήμης. Γιατὶ δὲν θὰ ἐπιτρέψουμε στὴ διανοητικὴ νωθρότητα ἐκείνων νὰ νομοθετοῦν αὐτὰ ποὺ θέλουν, κατευθύνοντας μὲ πάρα πολὺ κακὸ τρόπο τὴ σημασία τῶν λέξεων σὲ ἑρμηνεῖες ποὺ δὲν εἶναι σωστές. Ἂν γιὰ παράδειγμα κάποιος ξυλουργὸς κατασκευάσει ἕνα καὶ μοναδικὸ σκάφος, θὰ ὀνομαζόταν μονογενὲς αὐτοῦ, παρόλο ποὺ εἶναι κατασκεύασμα καὶ ἔργο γνώσης; Καὶ πῶς αὐτὸ δὲν εἶναι γιὰ γέλια; ἢ νομίζεις πὼς εἶναι σοφό;

Β. Καθόλου.

Α. Καὶ αὐτὸ ποὺ ἰσχυρίζονται οἱ ἀντίθετοι κατὰ τρόπο περιττὸ καὶ ἀσύνετο, ὅτι ὁ Υἱὸς γεννήθηκε μόνος ἀπὸ τὸν μόνο Πατέρα, καὶ ὅτι γι' αὐτὸ ξεχωρίζει ὡς πρὸς τὴ φύση, καὶ ἔφτασε στὸ ὕψιστο σημεῖο τῆς δόξας, θὰ ἀποδείξουμε ὅτι κατὰ δύο τρόπους κάνουν λάθος καὶ ὅτι εἶναι ἀμαθεῖς.

Β. Πές μου πῶς.

Α. Πρῶτον ὅτι, μὲ βάση ἀναγκαστικὸ καὶ ἀναπόφευκτο συλλογισμό, καταλογίζουν στὸν Πατέρα ἀργία μετὰ τὴ γέννηση τοῦ Υἱοῦ, καὶ ἄθελά τους ὁμολογοῦν, ὅτι ἡ ἀεικίνητη φύση ἔπαυσε νὰ ἐνεργεῖ τὰ δικά της, καὶ ὅτι τελείωσε ἡ δημιουργία, καὶ μετὰ ἀπὸ ἐκεῖνον δὲν καταπιάσθηκε μὲ τίποτε ἄλλο ἀπολύτως, καὶ παραχώρησε κατὰ κάποιο τρόπο στὴ δύναμη καὶ τὴ φύση τοῦ Υἱοῦ νὰ ἐνεργεῖ καὶ νὰ κάνει ἐκεῖνα διὰ τῶν ὁποίων καὶ μόνο εἶναι δυνατὸν νὰ ἀναγνωρισθεῖ ἡ ἀνώτατη φύση. Ἔτσι καρποὶ τῆς γεννητῆς οὐσίας θὰ εἶναι τὰ ἰδιώματα τῆς θεότητας, ἐνῶ, ὅπως φαίνεται, ὁ Θεὸς καὶ Πατέρας θὰ καυχᾶται γιὰ ἕνα καὶ μοναδικὸ κτίσμα του, τὸν Υἱό, ἐνῶ αὐτός, καμαρώνοντας γιὰ τὰ τόσα πολλὰ ἔργα, θὰ πιστέψει ὅτι εἶναι ἀνώτερος, ὄντας ἰσοδύναμος βέβαια μὲ τὸν Πατέρα, ἐπειδὴ μὲ τὴ γέννησή

δεδειγμένος, καὶ διὰ τοῦ παράγειν εἰς γένεσιν τὰ οὐκ ὄντα ποτέ, πλεονεκτῶν δέ, οἶμαί που, κατά γε τὸ εἶναι χρηστός, εἴπερ ἐστὶν ἀγαθοῦ τὸ παρακομίζειν εἰς ὕπαρξιν ἐξ ἀνυπαρξίας καὶ ὄντα ποιεῖν τὰ οὔπω τοῦ εἶναι λαχόντα τὴν χάριν. Ἐξέρπει δὴ οὖν ἐπὶ τὸ ἀκαλλὲς ὁ λόγος, ἀεργῆ καθιστὰς τὴν ἀεικίνητον φύσιν, ᾗ δὴ καὶ μόνῃ πρέποι ἂν τὸ τοῖς οὐκ οὖσι τὸ εἶναι προσνέμειν· ἦ γὰρ οὐχὶ τὴν τῆς ἡμερότητος πηγήν τε καὶ γένεσιν τοῖς ἐξ ἰδίων ἐνθυμημάτων καταπεδήσαντες λογισμοῖς, μέχρι τῆς Υἱοῦ κατασκευῆς ἱστᾶσιν οἱ δείλαιοι κατά γε τὸ σφίσι δοκοῦν; Καίτοι τί δήποτε τοῦ Θεοῦ καὶ Πατρὸς ἀργεῖν ἑλομένου καὶ ἀπρακτοῦντος εἰς τὰ λοιπά, συνετίθει λόγους ἡμῖν ὁ μακάριος Μωσῆς καὶ φενακισμοὺς εἰκαίους, κατά γε τὸ εἰκός, ἤγουν κατ' ἐκείνους ἀναγράφει λέγων, «Καὶ εἶπεν ὁ Θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»; Τὸ γάρ τοι, «Ποιήσωμεν», κατοκνοῦντα μὲν οὐδαμῶς εἰς ποίησιν, τήν γε εἰς ἡμᾶς αὐτούς, συνεργάζεσθαι δὲ μᾶλλον Υἱῷ καὶ Πνεύματι κατηυτρεπισμένον καὶ δὴ καὶ ἐνηργηκότα διαμεμήνυκεν ἐναργῶς. «Καὶ ἐποίησε», γάρ, φησίν, «ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν». Ἀλλ' οὐκ ἂν ὁρῷτο ψευδοεπής, θεηγόρος τε ὢν καὶ ψήφῳ τῇ ἄνωθεν εὖ μάλα κατεστεμμένος ὁ θεσπέσιος Μωσῆς. Καὶ ἀναπείσει μειζόνως, ἀεικίνητόν τε καὶ ἐνεργῆ τὴν τοῦ Πατρὸς φύσιν ἀνακηρύττων ὁ Λόγος ὁ ἐξ αὐτοῦ πεφηνώς. Ἔφη γάρ που Χριστὸς τοῖς Ἰουδαίοις ἐπιτιμῶν· ἀνακαίεσθαι γὰρ εἰς ὀργὰς ἐδόκει τισὶν εἴπερ τι δρῴη κατὰ τὸ Σάββατον· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Καὶ ἑτέρωθί που· «Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός». Ἆρ' οὐκ ἀπηχές, ὦ Ἑρμεία, φαίην δ' ἂν ὅτι καὶ σφαλερώτατον τὸ τοῖς τοῦ Σωτῆρος ἡμᾶς ἀντιφέρεσθαι λόγοις, καὶ τῆς θεοπνεύστου Γραφῆς τῶν ὅλων δημιουργὸν συναποφαινούσης τῷ Υἱῷ τὸν Πατέρα κατατολμᾶν εἰπεῖν ἀπρακτεῖν ἔτι περὶ τὴν κτίσιν;

Β. Σφαλερώτατον.

Α. Ἀσύνετον δὲ κἀκεῖνο οἶμαί που.

Β. Τὸ τί δή;

---

39. Γέν. 1, 26. 40. Ἰω. 14, 10. 41. Ὅπ. π.

του ἀναδείχθηκε σὲ δημιουργό, καὶ μὲ τὸ νὰ φέρνει στὴν ὕπαρξη αὐτὰ ποὺ δὲν ὑπῆρχαν ἄλλοτε, ἀλλὰ πλεονεκτεῖ, νομίζω, ὡς πρὸς τὸ ὅτι εἶναι ἀγαθός, ἀφοῦ εἶναι ἔργο τοῦ ἀγαθοῦ τὸ νὰ φέρνει στὴν ὕπαρξη ἀπὸ τὴν ἀνυπαρξία καὶ νὰ κάνει νὰ ὑπάρχουν αὐτὰ ποὺ δὲν εἶχαν τὸ δῶρο τῆς ὕπαρξης. Ξεφεύγει δηλαδὴ ὁ λόγος ἀπὸ τὴ σοβαρότητα, ἐμφανίζοντας ἀργὴ τὴν ἀεικίνητη φύση, στὴν ὁποία καὶ μόνο ἀνήκει τὸ νὰ χορηγεῖ τὴν ὕπαρξη σ' αὐτὰ ποὺ δὲν ὑπάρχουν. Ἤ δηλαδὴ δὲν σταματοῦν πραγματικὰ οἱ δυστυχεῖς τὴν πηγὴ καὶ τὴ γένεση τῆς ἡμερότητας μέχρι τὴν κατασκευὴ τοῦ Υἱοῦ, δένοντάς την μὲ τοὺς συλλογισμοὺς τῶν δικῶν τους σκέψεων, ὅπως φαίνεται καλὸ σ' αὐτούς; Τότε γιατί, ἂν ὁ Θεὸς καὶ Πατέρας προτιμοῦσε νὰ μένει ἀργὸς καὶ νὰ ἀπρακτεῖ στὸ ἑξῆς, ὁ μακάριος Μωυσῆς μᾶς γράφει λόγια καὶ ἄσκοπα ψεύδη, σύμφωνα μ' ἐκείνους, λέγοντας, «Καὶ εἶπε ὁ Θεός· ἂς δημιουργήσουμε ἄνθρωπο, σύμφωνο μὲ τὴ δική μας εἰκόνα καὶ ὁμοιότητα»[39]; Γιατὶ τό, «ἂς δημιουργήσουμε», δείχνει ὁλοφάνερα ὅτι δὲν ἀποφεύγει καθόλου νὰ δημιουργεῖ, δηλαδὴ ἐμᾶς τοὺς ἴδιους, καὶ ὅτι μᾶλλον ἦταν ἕτοιμος νὰ συνεργασθεῖ μὲ τὸν Υἱὸ καὶ τὸ Πνεῦμα, ἀλλὰ καὶ ἔλαβε ἐνεργὸ μέρος· γιατὶ λέγει· «Καὶ δημιούργησε ὁ Θεὸς τὸν ἄνθρωπο, κάνοντάς τον σύμφωνο μὲ τὴν εἰκόνα τοῦ Θεοῦ». Δὲν θὰ ἐμφανιζόταν ὅμως ψεύτης ὁ θεσπέσιος Μωυσῆς, καθόσον ἦταν θεολόγος καὶ τιμημένος μὲ τὴν εὔνοια τοῦ Θεοῦ. Θὰ μᾶς πείσει ὅμως περισσότερο, διακηρύσσοντας ὅτι ἡ φύση τοῦ Πατέρα εἶναι ἀεικίνητη καὶ ἐνεργής, ὁ Λόγος ποὺ προῆλθε ἀπὸ αὐτόν. Γιατὶ εἶπε κάπου ὁ Χριστὸς ἐπιπλήττοντας τοὺς Ἰουδαίους, βλέποντας μερικοὺς νὰ ἐξοργίζονται ὅταν ἔκανε κάτι τὸ Σάββατο· «Ὁ Πατέρας μου μέχρι τώρα ἐργάζεται, καὶ ἐγὼ ἐργάζομαι»[40]. Καὶ κάπου ἀλλοῦ· «Τὰ λόγια ποὺ σᾶς λέγω ἐγώ, δὲν τὰ λέγω ἀπὸ τὸν ἑαυτό μου, ἀλλὰ ὁ Πατέρας μου, ποὺ μένει μέσα μου, αὐτὸς κάνει τὰ ἔργα»[41]. Ἄρα λοιπὸν δὲν εἶναι ἀνάρμοστο, Ἑρμεία, θὰ ἔλεγα, καὶ πολὺ μεγάλο σφάλμα, νὰ ἀντιλέγουμε στὰ λόγια τοῦ Σωτῆρα καὶ τῆς θεόπνευστης Γραφῆς, ἡ ὁποία συμφωνεῖ μὲ τὸν Υἱό, τολμώντας νὰ λέμε ὅτι ὁ Πατέρας μένει ἀκόμα ἀδρανὴς ὡς πρὸς τὴν κτίση;

Β. Πολὺ μεγάλο σφάλμα.

Α. Νομίζω ἐπίσης ὅτι εἶναι ἀσύνετο καὶ ἐκεῖνο.

Β. Ποιὸ δηλαδή;

*Α. Εἰ γὰρ ἐξαίρετον ὁ Υἱὸς τὸν τῆς ποιήσεως τρόπον καὶ διαφερόντως ἀμείνω τούτου γε ἕνεκα καὶ μόνου διεκληρώσατο ἐπεὶ μόνος ὑπὸ μόνου γέγονε τοῦ Πατρός, ἀναμαθεῖν ἐθέλοντί μοι φραζόντων ἐκεῖνοι πότερα τοῖς κτίσμασι τοῖς μεθ᾽ Υἱὸν καὶ δι᾽ αὐτοῦ γεγονόσι διεφθόνησεν ὁ Πατήρ, τὸ εἰς λῆξιν ἥκειν μακαριότητος οὐκ ἐφιεὶς αὐτοῖς διὰ τοῦ μὴ ἀνασχέσθαι τὴν ἐπ᾽ αὐτοῖς αὐτουργίαν, ἤγουν φθόνου κρείττονα καὶ ὄκνου παντὸς ἐροῦσιν αὐτόν;*

*Β. Ἐροῦσι, καθάπερ ἐγῷμαι.*

*Α. Ὀρθὰ φρονοῦντες, ὦ τᾶν, κἂν γοῦν ἔν γε τούτῳ. Οὐ γὰρ δὴ χείρους ἀναφανοῦνται τῶν παρ᾽ Ἕλλησι σοφῶν, ὧν εἷς τις ἔφη περὶ Θεοῦ, Πλάτων οὗτος ἦν· «Ἀγαθὸς ἦν, ἀγαθῷ δὲ φθόνος οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται». Ὅτε τοίνυν ἀγαθὸς ὁ Πατήρ, ἤγουν αὐτόχρημα τὸ ἀγαθόν, τό γε μὴν εἰς ἄκρον ἥκειν τοῖς κτίσμασι τοῦ γε ἄριστά πως ἔχειν διὰ μόνης ἂν ἐνεποιήθη τῆς παρ᾽ αὐτοῦ θελήσεώς τε καὶ αὐτουργίας, τί μὴ τοῖς πᾶσι τὸ χρῆμα κοινὸν ἀδιαφθονήτως προθείς, ὡς ἀγαθὸς θαυμάζεται, παρεχώρει δὲ δημιουργεῖν ἑτέρῳ, τοῦ ἀσυγκρίτως ἀμείνονος ἀποστερῶν τὴν κτίσιν;*

*Β. Ἀλλ᾽ οὐκ εἰσάπαν, φησίν, ἀεργὸς ὁ Πατήρ· συνεργάζεται γὰρ τῷ Υἱῷ, καὶ συνυφίστησι τὰ λοιπά.*

*Α. Τίνα δὴ ἄρα τὴν παρὰ τοῦ Υἱοῦ πρὸς τοῦτο ἔχων συνεισφοράν; Ἆρ᾽ ὡς ἀμείνω τῆς ἐνεργείας τῆς ἑαυτοῦ, ταύτῃ τοι καὶ χρειωδῶς ταῖς ἑαυτοῦ κινήσεσιν, ἤγουν ἀναγκαίως παρειλημμένην, ἢ ὡς ἐλάττονα καὶ ἐν χείροσι, καὶ οὐκ ἀναγκαίως εἰσδεδεγμένην; Εἰ μὲν οὖν ὡς ἀμείνω καὶ χρειωδῶς, περιττολογία τοῦτό γε, μᾶλλον δὲ ἤδη καὶ δυσφημία. Τὸν γὰρ ἐξ οὗ πέφηνεν ὁ Υἱὸς ὑπερκείσεταί που, καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς πλεονεκτήσει φύσιν, καὶ χρείαν αὐτῇ καὶ τὸ ἄμεινον ἀναπληρῶν. Εἰ δ᾽ αὖ ὡς αἰσχίονα καὶ οὐκ ἀναγκαίαν, ἀκαλλεστέραν δὲ ὥσπερ ἀποφαίνουσαν τὴν δημιουργίαν, τί τὸ ἀναπεῖθον, εἰπέ μοι, συνεργάζεσθαι τῷ Υἱῷ; Ἢ πῶς οὐκ ἐρεῖ τις διαμελλήσας οὐδὲν ὡς κατημέλησε μὲν οὐκ οἶδ᾽ ὅπως τοῦ ἀμείνονος ὁ Πατήρ, τὸ δὲ οὐχ οὕτως ἔχον ἠθέλησε κρατεῖν, παρωσάμενος μὲν ἤγουν κατοκνήσας τὸ*

Α. Ἐὰν δηλαδὴ ὁ Υἱὸς εἶχε αὐτὸς καὶ μόνο τὸν τρόπο τῆς δημιουργίας καὶ ἐξαιτίας αὐτοῦ καὶ μόνο πολὺ πιὸ διαφορετικόν, ἐπειδὴ μόνο αὐτὸς ἔγινε ἀπὸ τὸν μόνο Πατέρα, ἂς μοῦ ποῦν ἐκεῖνοι, ἐπειδὴ θέλω νὰ μάθω, ποιὸ ἀπὸ τὰ δύο· ὁ Πατέρας μίσησε τὰ κτίσματα ποὺ ἔγιναν μετὰ τὸν Υἱὸ καὶ μέσω ἐκείνου, καὶ γι᾽ αὐτὸ δὲν τοὺς ἐπέτρεψε νὰ φθάσουν στὴν ὕψιστη μακαριότητα, ἐπειδὴ δὲν ἀνέχθηκε τὴν αὐτουργία του ἐπάνω σ᾽ αὐτά, ἢ θὰ ποῦν ὅτι εἶναι ἀνώτερος ἀπὸ κάθε φθόνο καὶ ἀδράνεια;

Β. Θὰ ποῦν, ὅπως ἐγὼ νομίζω.

Α. Ἐὰν πιστεύουν σωστά, φίλε μου, ἔστω καὶ σ᾽ αὐτὸ μόνο. Γιατὶ δὲν φαντάζομαι νὰ φανοῦν χειρότεροι ἀπὸ τοὺς σοφοὺς τῶν Ἑλλήνων, ἕνας ἀπὸ τοὺς ὁποίους, ποὺ ἦταν ὁ Πλάτων, εἶπε γιὰ τὸν Θεό· «Ἦταν ἀγαθός, καὶ στὸν ἀγαθὸ δὲν ὑπάρχει κανένας φθόνος γιὰ τίποτε». Ἐφόσον λοιπὸν ὁ Πατέρας εἶναι ἀγαθός, δηλαδὴ αὐτὸ τὸ ἴδιο τὸ ἀγαθό, τὸ νὰ φτάσουν βέβαια τὰ κτίσματα στὴν ὕψιστη εὐτυχία ἔγινε ἀπὸ τὴ δική του μόνο θέληση καὶ ἐνέργεια, ὅμως γιατί, ἀφοῦ δὲν ἔκανε τὴν εὐτυχία κοινὴ σὲ ὅλους χωρὶς φθόνο, θαυμάζεται ὡς ἀγαθός, καὶ ἀνέθεσε σὲ ἄλλον νὰ τὸ κάνει, στερώντας τὴν κτίση ἀπὸ τὸν ἀσυγκρίτως ἀνώτερον;

Β. Ὅμως δὲν εἶναι γιὰ πάντα, λέγει, ὁ Πατέρας ἀδρανής, γιατὶ συνεργάζεται μὲ τὸν Υἱὸ καὶ δίνει ὑπόσταση στὰ ἄλλα κτίσματα.

Α. Ποιὰ ἦταν ἄραγε ἡ συνεισφορὰ τοῦ Υἱοῦ σ᾽ αὐτό; Ἦταν ἄραγε ἀνώτερη ἀπὸ τὴ δική του ἐνέργεια καὶ γι᾽ αὐτὸ ἀναγκαία στὶς δικές του κινήσεις, δηλαδὴ τὴ δέχθηκε κατ᾽ ἀνάγκη, ἢ ἦταν κατώτερη καὶ χειρότερη, ὁπότε δὲν τὴν δέχθηκε κατ᾽ ἀνάγκη; Ἐὰν τὴν δέχθηκε ἐπειδὴ ἦταν ἀνώτερη καὶ ἀναγκαία, τότε αὐτὸ εἶναι περιττολογία, ἢ μᾶλλον βλασφημία. Γιατὶ ὁ Υἱὸς ἐμφανίζεται ἀνώτερος ἐκείνου ἀπὸ τὸν ὁποῖο προῆλθε, ξεπερνάει τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα, καὶ συμπληρώνει αὐτὸ ποὺ ἔχει ἀνάγκη ἐκείνη καὶ τὸ καλό. Ἐὰν πάλι τὴ δέχθηκε ὡς χειρότερη καὶ μὴ ἀναγκαία, ποὺ κατὰ κάποιο τρόπο παρουσιάζει τὴ δημιουργία χωρὶς ὡραιότητα, τότε τί ἦταν ἐκεῖνο ποὺ τὸν ἔπεισε, πές μου, νὰ συνεργασθεῖ μὲ τὸν Υἱό; Ἢ πῶς δὲν θὰ πεῖ κάποιος χωρὶς καθυστέρηση, ὅτι παραμέλησε ὁ Πατέρας τὸ ἀνώτερο, δὲν ξέρω μὲ ποιὸν τρόπο, ἐνῶ θέλησε νὰ κρατήσει αὐτὸ ποὺ δὲν ἦταν ἀνώτερο, παρακάμπτοντας δηλαδὴ ἢ ἀποφεύγοντας ἀπὸ φόβο

*αὐτουργεῖν ἑλέσθαι περὶ τὴν κτίσιν, δι' οὗ δὴ καὶ μόνου τὸ ἀκραιφνὲς ἦν αὐτῇ κατασημαίνεσθαι κάλλος, συνεισδεξάμενος δὲ τὸν Υἱόν, ἵνα μὴ ἄκρατον καὶ ἀσυμμιγὲς τοῦ χείρονος λάχοι τὸ παρῆχθαι μακαρίως καὶ ἐλθεῖν εἰς ὕπαρξιν;*

*Β. Ἀλλ' οὐκ ἂν ὑπέστη, φησί, ἡ γενητὴ φύσις τὴν ἄκρατον αὐτουργίαν τοῦ Πατρός, ἣν δὲ καὶ ἑτέρως ἀπίθανον τὴν οὕτως ὑπερφυᾶ καὶ ὑπερτάτην ὑπεροχὴν καὶ μέχρι τῶν ἄγαν εὐτελεστάτων κατακομίζεσθαι δεῖν.*

*Α. Καὶ μὴν τοῦτό γέ ἐστι κιβδήλου καὶ βδελυρᾶς ἀπόβρασμα φρενός· Ἦ γὰρ οὐκ ἄσοφον ἐννοεῖν ὡς εἴπερ ἦν ἀληθῶς φορτικὴ καὶ διαβριθής, ἤγουν ἀπρόσιτος παντελῶς ἡ τοῦ Πατρὸς αὐτουργία γενητῇ καὶ πεποιημένῃ φύσει, τρυφερὰν καὶ εὐάντητον καὶ οἰστὴν γενέσθαι μόνῳ τῷ Υἱῷ, καίτοι κατ' ἐκείνους ὁμοφυᾶ τοῖς κτίσμασι λαχόντι τὴν φύσιν; Τὸ γὰρ ἅπαξ ἀνύποιστον γενητοῖς οὐδ' ἂν ἑνὶ γένοιτο φορητόν, κἂν ὑπερκεῖσθαι δοκεῖ, καὶ διαφερόντως ἄμεινον νοοῖτο τῶν ἄλλων. Τὸ δὲ δὴ καὶ φάναι προχείρως ἀποτολμᾶν μὴ καθικνεῖσθαι πρέπειν τὴν Πατρὸς ὑπεροχὴν καὶ μέχρι τῶν οὕτως εὐτελεστάτων, διττὴν ἂν ἔχοι τὴν δυσφημίαν. Καθυβριοῦσι μὲν γὰρ τὸν Υἱόν, καταμωμήσονται δὲ καὶ αὐτόν, καίτοι τιμᾶν οἰόμενοι, τὸν Πατέρα.*

*Β. Τί νοοῦντες ἢ λέγοντες;*

*Α. Τῆς μὲν γὰρ ἐν Πατρὶ νοουμένης ὑπεροχῆς ὑποβιβάζουσι τὸν Υἱόν, πλήν, οἶμαί που, τό γε ἥκειν αὐτὸν εἰς λῆξιν τὴν ἀνωτάτω καὶ ὑπεροχῆς καὶ δόξης οὐκ ἂν ἀφέλοιντο, καὶ εἰ σφόδρα τινὲς εἶεν τῶν ἄγαν ἀπηχεστάτων. Ἆρ' οὖν, ὧδε φύσεως ἔχοντι τῷ Υἱῷ καὶ εἰς τοῦτο τιμῆς καὶ μεγαλειότητος ἀφιγμένῳ, τὸ μὲν χρῆναι δημιουργεῖν Ἀρχάς τε καὶ Θρόνους καὶ Κυριότητας καὶ τὰ ἔτι τούτων ἐπέκεινα πρέποι ἄν, εἰπέ μοι, τὸ δὲ καὶ στρουθίον ἐργάσασθαι βραχύ, καὶ τὸ ἔτι κατωτέρω, ταῖς ἑτέρου τινὸς δυνάμεσιν ἀναθήσομεν; Εἶτα τί φρονοῦντας ὑγιὲς ἑαυτοὺς εὑρήσομεν;*

*Β. Οὐδαμῶς· «Πάντα γὰρ γέγονε δι' αὐτοῦ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», κατὰ τὸ γεγραμμένον.*

---

42. Ἰω. 1, 3.

νὰ δημιουργήσει τὴν κτίση ὁ ἴδιος, διὰ τοῦ ὁποίου καὶ μόνου θὰ μποροῦσε νὰ φανερωθεῖ ἡ καθαρὴ ὡραιότητα σ' αὐτήν, καὶ δεχόμενος ὡς συνεργάτη τὸν Υἱό, γιὰ νὰ μὴ εἶναι καθαρὴ καὶ ἀμιγὴς ἀπὸ τὸ χειρότερο ἡ παραγωγὴ καὶ ἔλευση τῆς κτίσης στὴν ὕπαρξη;

Β. Ὅμως, λένε, ἡ κτιστὴ φύση δὲν ἔγινε μὲ τὴν καθαρὴ ἐνέργεια τοῦ Πατέρα, θὰ ἦταν ἄλλωστε καὶ ἀπὸ ἄλλη ἄποψη ἀπίθανο, ἡ τόσο ὑπερφυσικὴ καὶ ἀνωτάτη ὑπεροχή, νὰ πρέπει νὰ κατεβεῖ μέχρι τὰ τόσο εὐτελῆ πράγματα.

Α. Καὶ αὐτὸ ἀκριβῶς βέβαια εἶναι ἀπόβρασμα ἀπατηλοῦ καὶ ἄξιου ἀποστροφῆς μυαλοῦ. Ἢ μήπως δὲν εἶναι ἄσοφο νὰ σκεπτόμαστε, ὅτι ἐὰν πραγματικὰ ἦταν ἐνοχλητικὴ καὶ βαρειά, καὶ μάλιστα πολύ, δηλαδὴ ἐντελῶς ἀπρόσιτη ἡ προσωπικὴ ἐργασία τοῦ Πατέρα, μποροῦσε ἡ κτιστὴ καὶ δημιουργημένη φύση νὰ γίνει τρυφερὴ καὶ εὐπρόσιτη καὶ ὑποφερτὴ μόνο μὲ τὸν Υἱό, ἂν καὶ βέβαια, σύμφωνα μ' ἐκείνους, ἔχει φύση ἴδια μὲ τὴ φύση τῶν κτισμάτων; Γιατὶ ἐκεῖνο ποὺ μιὰ φορὰ εἶναι ἀνυπόφορο στὰ κτιστά, δὲν μπορεῖ οὔτε σὲ ἕνα νὰ γίνει ὑποφερτό, ἔστω καὶ ἂν φαίνεται ὅτι ὑπερέχει καὶ θεωρεῖται πολὺ ἀνώτερο ἀπὸ τὰ ἄλλα. Ἀλλὰ καὶ τὸ νὰ τολμᾶμε νὰ λέμε ἀπερίσκεπτα, ὅτι δὲν ταιριάζει στὴν ὑπεροχὴ τοῦ Πατέρα νὰ κατεβαίνει καὶ μέχρι τῶν τόσο εὐτελῶν πραγμάτων, περιέχει διπλῆ τὴ βλασφημία. Γιατὶ βρίζουν τὸν Υἱό, ἀλλὰ κατηγοροῦν καὶ ἐκεῖνον, ἂν καὶ νομίζουν ὅτι τιμοῦν τὸν Πατέρα.

Β. Τί ἐννοώντας ἢ λέγοντας;

Α. Μὲ τὴν ὑπεροχὴ δηλαδὴ τοῦ Πατέρα ποὺ ἐννοοῦν, ὑποβιβάζουν τὸν Υἱό, ὡστόσο, νομίζω, ὅτι δὲν ἀφαιροῦν ἀπὸ αὐτὸν τὸ ὅτι ἔφτασε στὰ ἀνώτατα ὕψη καὶ στὴν ὑπεροχὴ καὶ τὴ δόξα, ἔστω καὶ ἂν κάποιοι εἶναι ἀπὸ τοὺς πιὸ ἀνάρμοστους. Ἆρα λοιπόν, ἀφοῦ ὁ Υἱὸς ἔτσι ἔχει ὡς πρὸς τὴ φύση του, καὶ ἔχει φθάσει σὲ τέτοιο βαθμὸ τιμῆς καὶ μεγαλοπρέπειας, ὥστε νὰ δημιουργεῖ Ἀρχὲς καὶ Θρόνους καὶ Κυριότητες, καὶ ὅσα βρίσκονται πιὸ πέρα ἀπὸ αὐτά, τοῦ ταιριάζει, πές μου, ἐνῶ τὸ νὰ κατασκευάσει ἕναν μικρὸ σπουργίτη καὶ τὰ ἀκόμα πιὸ κάτω, θὰ τὰ ἀναθέσουμε στὶς δυνάμεις κάποιου ἄλλου; Τότε τί ὑγιὲς θὰ βροῦμε στοὺς ἑαυτούς μας ὅτι πιστεύουμε;

Β. Μὲ κανένα τρόπο· «Γιατὶ ὅλα ἔγιναν δι' αὐτοῦ, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε»[42], σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ.

*Α. Καὶ πῶς οὐ μικρὸν ἂν εἴη καὶ εὐτελὲς τῇ τοῦ Υἱοῦ φύσει τὸ πλαστουργῆσαι στρουθίον; Ἀνθ' ὅτου δὲ καὶ εἰκὼν καὶ ὁμοίωσις ὑπάρχων τοῦ Θεοῦ καὶ Πατρός, μὴ οὐχὶ καὶ ταυτηνὶ διεσώσατο πρὸς αὐτὸν τὴν ὁμοίωσιν, τὸ ἀπαξιῶσαί φημι καὶ τοῖς οὕτω καταβεβλημένοις τὴν ζωοποιὸν καὶ πρὸς τὸ εἶναι παρακομίζουσαν ἐπαφεῖναι δύναμιν; Ἆρ' οὐχ ὥσπερ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ὑπερτάτην ὑπεροχὴν θαυμάζοντες, μικρὸν εἶναί φασιν αὐτῷ τὸ δημιουργεῖν ἀγγέλους, φαῖεν ἂν εἰκότως ἀναμετροῦντες καὶ τὸν Υἱόν, ὡς ἀφεστήξει πολὺ τῆς αὐτῷ πρεπούσης ἀξίας ἡ ἑρπετοῦ ποίησις, καὶ στρουθίου γένεσις, καὶ τῶν κατ' ἀγροὺς ἀνθέων ἡ παμποίκιλος διαφορά; Καίτοι τί δήποτε τοῖς ὑπὲρ λόγον ἐπαίνοις ταυτὶ δεδημιουργηκότα στεφανοῖ λέγων ὁ Ψαλμῳδός· «Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων». Ἢ τοίνυν ἡμῖν παρεισκρινόντων ἑτέρους ἀναλόγως ἔχοντας τῇ φύσει τῶν γεγονότων δημιουργούς, ἢ καθυβριοῦσιν οὐκ ἀσυμφανῶς τὸν Μονογενῆ, γενεσιουργὸν εἰσφέροντες καὶ τῶν οὕτως εὐτελεστάτων.*

*Β. Κινδυνεύσειεν ἂν αὐτοῖς οὐ μετρίως ὁ λόγος*

*Α. Πῶς δ' ἂν οὐχὶ τύφον τε καὶ ἀμαθίαν καταρραψῳδήσειαν τοῦ Πατρός, εἶτα, ὧνπερ ἂν εἶναι βούλοιτό τε καὶ ἔστι Θεός, ἀπαξιοῦν ἐροῦσι δημιουργεῖν; Καίτοι λέγοντος ἀκούω Χριστοῦ, καὶ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς καταθαυμάζοντος πρόνοιαν· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς». Ὁ δὲ καὶ μέχρι στρουθίου τὴν τῆς ἑαυτοῦ προνοίας εὐρύνων περιβολήν, πῶς ἂν διαπτύσαι τὸ δημιουργεῖν ἀγγέλους καὶ στερεοῦν οὐρανὸν καὶ διαπήξασθαι γῆν, ἥλιόν τε καὶ σελήνην καὶ ἄστρα παρενεγκεῖν, ἐφ' οἷς καὶ τεθαύμασται κατακροτούντων ἐπαίνοις τῶν ἁγίων ἀγγέλων ὡς μεγαλουργόν; Ἔφη γὰρ ὅτι, «Ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου». Ἆρ' οὔ σοι δοκῶ διεσκέφθαι τὰ εἰκότα καὶ λέγειν ὀρθῶς;*

*Β. Πάνυ μὲν οὖν.*

*Α. Φαίης δ' ἄν, εἰπέ μοι, τῶν πεποιημένων ἢ μικρὸν ἢ μέγα, μὴ οὐχὶ θείας ἔργον εἶναι δυνάμεως;*

---

43. Ψαλμ. 103, 14. 44. Ματθ. 10, 29. 45. Ἰω. 38, 7.

Α. Καὶ πῶς δὲν εἶναι μικρὸ καὶ εὐτελὲς γιὰ τὴ φύση τοῦ Υἱοῦ νὰ πλάσει ἕνα σπουργίτη; Καὶ ἀφοῦ εἶναι εἰκόνα καὶ ὁμοίωση τοῦ Θεοῦ καὶ Πατέρα, μήπως ἔχει καὶ αὐτὴ τὴν ὁμοιότητα πρὸς ἐκεῖνον, δηλαδὴ τὸ νὰ ἀπαξιώνει νὰ χρησιμοποιεῖ τὴ ζωοποιὸ καὶ δημιουργική του δύναμη καὶ στὰ τόσο ταπεινά; Ἄραγε, ὅπως, θαυμάζοντας τὴν ὑπέρτατη ὑπεροχὴ τοῦ Θεοῦ καὶ Πατέρα, λένε ὅτι εἶναι ταπεινωτικὸ γι' αὐτὸν νὰ δημιουργεῖ ἀγγέλους, θὰ μποροῦσαν εὔλογα νὰ ποῦν περιλαμβάνοντας καὶ τὸν Υἱό, ὅτι ἀπέχει πολὺ ἀπὸ τὴν ἀντάξια σ' αὐτὸν θέση ἡ δημιουργία ἑρπετοῦ καὶ ἡ κτίση τοῦ σπουργίτη, καί τῆς τόσο μεγάλης ποικιλίας τῶν λουλουδιῶν στὰ χωράφια; Καὶ ἔπειτα, γιατί ὁ Ψαλμωδὸς μὲ τοὺς ὑπέρλογους ἐπαίνους του ἀποδίδει σ' ἐκεῖνον τὴ δημιουργία αὐτῶν λέγοντας, «Αὐτὸς εἶναι ποὺ ἐκβλαστάνει ἀπὸ τὴ γῆ χορτάρι γιὰ τὰ κτήνη, καὶ πράσινη φυτεία γιὰ τὶς ἀνάγκες τῶν ἀνθρώπων»; Ἢ λοιπὸν μᾶς εἰσάγουν ἄλλους δημιουργοὺς οἱ ὁποῖοι ἔχουν ἀνάλογη φύση πρὸς ἐκείνην τῶν δημιουργημάτων, ἢ βρίζουν ὁλοφάνερα τὸν Μονογενῆ, παρουσιάζοντάς τον δημιουργὸ καὶ τῶν τόσο πολὺ εὐτελῶν δημιουργημάτων.

Β. Θὰ ἦταν πολὺ ριψοκίνδυνο γι' αὐτοὺς κάτι τέτοιο.

Α. Καὶ πῶς δὲν ἀποδίδουν ἀλαζονεία καὶ ἀμάθεια στὸν Πατέρα, λέγοντας ὅτι ἀπαξιώνει νὰ γίνει δημιουργὸς αὐτῶν ποὺ θέλει καὶ εἶναι Θεός; Ἂν καὶ βέβαια ἀκούω τὸν Χριστό, θαυμάζοντας καὶ τὴν πρόνοια τοῦ Θεοῦ καὶ Πατέρα, νὰ λέγει· «Δὲν πωλιοῦνται δύο σπουργίτια γιὰ μιὰ πεντάρα; Καὶ ὅμως οὔτε ἕνα ἀπὸ αὐτὰ δὲν θὰ πέσει στὴ γῆ χωρὶς τὴ θέληση τοῦ Πατέρα σας τοῦ οὐράνιου»[44]. Αὐτὸς λοιπὸν ποὺ ἁπλώνει τὴν περιβολὴ τῆς πρόνοιάς του μέχρι καὶ τὸ σπουργίτι, πῶς εἶναι δυνατὸ νὰ σιχαίνεται νὰ δημιουργεῖ ἀγγέλους, καὶ νὰ στερεώνει τὸν οὐρανὸ καὶ νὰ στήνει τὴ γῆ, νὰ προβάλλει τὸν ἥλιο, τὴ σελήνη, καὶ τὰ ἄστρα, γιὰ τὰ ὁποῖα καὶ θαυμάσθηκε ἀπὸ τοὺς ἐπιδοκιμαστικοὺς ἐπαίνους τῶν ἁγίων ἀγγέλων ὡς δημιουργὸς μεγάλων ἔργων; Γιατὶ εἶπε· «Ὅταν ἔγιναν τὰ ἄστρα μὲ ἐπήνεσαν μὲ δυνατὴ φωνὴ ὅλοι οἱ ἄγγελοί μου»[45]. Δὲν σοῦ φαίνομαι ἄραγε ὅτι σκέφτομαι καὶ λέγω σωστὰ αὐτὰ ποὺ πρέπει;

Β. Καὶ πολὺ μάλιστα.

Α. Πές μου λοιπόν, θὰ μποροῦσες νὰ πεῖς, ὅτι ἕνα μικρὸ ἢ μεγάλο ἀπὸ τὰ δημιουργήματα, δὲν εἶναι ἔργο τῆς θείας δύναμης;

*Β. Οὐδαμῶς.*

*Α. Εἶτα πῶς οὐκ ἀμαθὲς θεῖα μὲν ἔργα κατωνομάσθαι καὶ λέγεσθαι τὰ δι᾿ Υἱοῦ γεγονότα, Θεὸν δὲ αὐτὸν οὐκ εἶναι πιστεύειν, συγκαταγράφειν δὲ μᾶλλον τοῖς πεποιημένοις, ὡς αὐτοῖς ὁμοφυᾶ; Θεὸς γὰρ οὐκ ἔστι τὸ γεγονός, ἀλλ᾿ οὐδ᾿ ἂν εἶεν ἔτι τῆς τοῦ πεποιηκότος οὐσιώδους ὑπεροχῆς δεικτικὰ τὰ κτίσματα, μὴ οὐχὶ μείω τε καὶ ἑτεροίως ἔχουσαν λαχόντα τὴν φύσιν, ἢ ὥσπερ ἂν νοοῖτο τυχὸν ὁ Δημιουργός. Καὶ τοῦτο εὖ μάλα συνεὶς ὁ θεῖος ἡμῖν γράφει Παῦλος· «Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης». Ἆρα γάρ, ἔν γε τῷ νοεῖσθαι γενητὸν τὸν ἁπάντων γενεσιουργὸν Λόγον ἡ θειότης αὐτοῦ γνωρίζεται, καὶ ἡ ἀεί τε καὶ ὡσαύτως ἔχουσα δύναμις; Τοῦτο γὰρ τὸ ἀΐδιον. Ἀλλ᾿, οἶμαί που, τὸ ἐξεῖργον ἔτι παντελῶς οὐδὲν τῇ τῆς θεότητος κλήσει καὶ αὐτὴν ἤδη πως ἐπαυχῆσθαι τὴν κτίσιν. Καὶ τί τὸ ἐντεῦθεν; Τὴν οἰκείαν ἡμῖν θειότητα κατασημανεῖ τὰ ὁρώμενα, τὴν δὲ Θεοῦ οὐκ ἔτι.*

*Β. Τί οὖν εἰ φαῖεν τὴν τοῦ Πατρὸς θειότητα καὶ τὴν ἀΐδιον δύναμιν διὰ τῆς τῶν ποιηθέντων μεγαλουργίας ἐκφαίνεσθαι;*

*Α. Αὐτοὶ τῶν ἰδίων καταγορεύουσι λόγων, καὶ ταῖς σφῶν αὐτῶν ἐννοίαις ἀντιτεταγμένοι παραδειχθεῖεν ἂν καὶ μάλα εὐκόλως.*

*Β. Πῶς ἔφης;*

*Α. Ὅτι μέχρι τοῦ παραγαγεῖν τὸν Υἱὸν ἀναμετροῦντές τε καὶ ὁρισάμενοι τὴν δημιουργικὴν ἐνέργειαν τοῦ Πατρός, ἀπὸ κτίσεως κόσμου καθορᾶσθαί φασιν αὐτόν, καίτοι τῆς ἁγίας Γραφῆς τὴν τοῦ κόσμου ποίησιν ἀνατιθείσης τῷ Υἱῷ. Γέγραπται γὰρ ὅτι «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν». Δημιουργὸν οὖν ἄρα διακηρύξειεν ἂν ὁ κόσμος ἡμῖν τὸν Λόγον, καὶ τὴν αὐτοῦ δύναμιν καὶ θειότητα καθίστησιν ἐναργῆ. Οὐ γὰρ κτίσιν ὁρῶντες, ὡς κτίσιν θαυμάζομεν τὸν δημιουργὸν τῆς κτίσεως Λόγον, ἀλλὰ ταῖς ὑπὲρ τοῦτο πολὺ τιμῶντες ἐννοίαις, εὐσεβήσομεν εἰκό-*

---

46. Ρωμ. 1, 20. 47. Ψαλμ. 32, 6.

Β. Καθόλου.

Α. Τότε πῶς δὲν εἶναι δεῖγμα ἀμάθειας νὰ ὀνομάζονται καὶ νὰ λέγονται θεϊκὰ τὰ ἔργα ποὺ ἔχουν γίνει διὰ τοῦ Υἱοῦ, ἀλλὰ νὰ μὴ πιστεύουν ὅτι αὐτὸς εἶναι Θεός, καὶ νὰ τὸν συγκαταλέγουν μαζὶ μὲ τὰ κτιστὰ σὰν νὰ εἶναι τῆς ἴδιας φύσεως μὲ αὐτά; Γιατὶ τὸ δημιούργημα δὲν εἶναι θεός, ἀλλ' οὔτε θὰ μποροῦσαν νὰ εἶναι τὰ κτίσματα ἀποδεικτικὰ τῆς ὑπεροχῆς τοῦ δημιουργοῦ τους, ἐὰν δὲν ἔχουν κατώτερη καὶ διαφορετικὴ φύση, ἀπὸ ἐκείνην ποὺ θεωρεῖται ὅτι ἔχει ὁ δημιουργὸς τους. Κι αὐτὸ κατανοώντας το πολὺ καλὰ ὁ θεῖος Παῦλος γράφει· «Γιατὶ οἱ ἀόρατες ἰδιότητές του, δηλαδὴ ἡ αἰώνια δύναμή του καὶ θεότητά του, φαίνονται καθαρὰ ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος, κατανοούμενος μέσα ἀπὸ τὰ δημιουργήματα»[46]. Ἄρα λοιπὸν ἡ θεότητά του γίνεται γνωστὴ μὲ τὸ νὰ κατανοεῖται κτιστὸς ὁ δημιουργὸς τῶν ὅλων Λόγος, καὶ ἡ δύναμη ποὺ ὑπάρχει πάντοτε ἀμετάβλητη; Γιατὶ αὐτὸ εἶναι τὸ αἰώνιο, ἀλλὰ νομίζω, ὅτι δὲν ἐμποδίζει τίποτε καὶ τὴν ἴδια τὴν κτίση νὰ καυχιέται γιὰ τὴ θεϊκὴ ὀνομασία της. Καὶ τί βγαίνει ἀπὸ αὐτό; Αὐτὰ ποὺ βλέπουμε φανερώνουν καθαρὰ τὴ δική μας θεϊκὴ καταγωγή, ἀλλὰ ὄχι καὶ τοῦ Θεοῦ.

Β. Τί λοιπὸν ἂν λένε ὅτι ἡ θεότητα τοῦ Πατέρα καὶ ἡ αἰώνια δύναμή του ἐκδηλώνεται μέσα ἀπὸ τὴ δημιουργία τῶν θαυμάσιων ἔργων του;

Α. Οἱ ἴδιοι κατηγοροῦν τὰ δικά τους λόγια, καὶ μποροῦν πολὺ εὔκολα νὰ ἀποδειχθοῦν ὅτι ἔρχονται σὲ ἀντίθεση μὲ τὶς σκέψεις τὶς δικές τους.

Β. Πῶς τὸ ἐννοεῖς;

Α. Ὅτι μέχρι νὰ γεννήσει τὸν Υἱό, ὑπολογίζοντας καὶ καθορίζοντας τὴ δημιουργικὴ ἐνέργεια τοῦ Πατέρα, λένε ὅτι αὐτὸς βλέπεται ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος, ἂν καὶ ἡ ἁγία Γραφὴ τὴ δημιουργία τοῦ κόσμου τὴν ἀποδίδει στὸν Υἱό. Γιατὶ ἔχει γραφεῖ· «Μὲ τὸν λόγο τοῦ Κυρίου στερεώθηκαν οἱ οὐρανοί, καὶ μὲ τὸ ἁπλὸ φύσημα τοῦ στόματός του ὅλη ἡ στρατιὰ τῶν οὐράνιων δυνάμεων»[47]. Ἄρα λοιπὸν ὁ κόσμος διακηρύττει σὲ μᾶς τὸν Λόγο ὡς δημιουργό, καὶ κάνει φανερὴ τὴ δύναμη καὶ τὴ θειότητά του. Γιατὶ βλέποντας τὴν κτίση, δὲν θαυμάζουμε τὸν δημιουργὸ τῆς κτίσεως Λόγο ὡς κτίσμα, ἀλλὰ τιμώντας τον μὲ ἔννοιες πολὺ ἀνώτερες ἀπὸ αὐτό, ἐκφρά-

*τως, Θεὸν εἶναι κατὰ φύσιν καὶ ἐκ Θεοῦ πεφηνέναι πιστεύοντες τὸν Μονογενῆ. Ὧδε γὰρ ἂν τὴν ἐπὶ τῷ πεπλανῆσθαι δοκεῖν ἀπεσκευασμένοι γραφήν, παρωσώμεθά ποι, καὶ τῆς ἑαυτῶν κεφαλῆς ἐκπέμψωμεν τὰς ἐπὶ τῷδε ποινάς, ἃς καὶ ὁ θεῖος ἡμῖν διηγόρευσε Παῦλος. Ἔφη γὰρ ὡδί· «Διὸ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν, εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς, οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν Κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν». Οὐκοῦν, εἰ παράσημόν τε καὶ ἀνοσιώτατα κεκιβδηλευμένην ἀποφαίνουσί τινες διὰ τοῦ ψεύδους τὴν ἀλήθειαν, γενητῇ λατρεύοντες κτίσει παρὰ τὸν ὄντα φύσει Θεόν, ἀδόκιμος μὲν καὶ ἡμῖν ἐνῴκηκε νοῦς, διερρίμμεθα δέ ποι πρὸς τὸ οὐκ ἔχον ὀρθῶς καὶ τοῖς ἀθέοις συμπεπλανήμεθα, κτιστῇ λατρεύοντες φύσει τῷ Υἱῷ. Πεποίηται γὰρ κατ' ἐκείνους· Ἢ οὐχὶ κτίσις τὸ γενητόν;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Ἄθρει δὴ οὖν, ὦ Ἑρμεία, πρὸς ὅσην αὐτοῖς ἠλι<θι>ότητα καταρρεῖ τὰ φρονήματα. Θεῖος μὲν γάρ που καὶ ἱερὸς ἔφη λόγος, Θεὸν ζῶντα καὶ ἀληθινὸν ἐπεγνωκέναι τὰ ἔθνη, σεσαγηνευμένα διὰ τῆς πίστεως εἰς ἐπίγνωσιν τοῦ Υἱοῦ, οἱ δὲ ἀθλιότητος εἰς τοῦτο ἥκουσι λογισμῶν, ὥστε κατερυθριῶσιν οὐδαμῶς τὸ ἐκ τοῦ πεποιῆσθαι σμικροπρεπὲς ἐπιρριπτοῦντες αὐτῷ. Γέγραπται δὲ οὕτω περὶ τῶν ἕπεσθαι δεῖν ἑλομένων τοῖς ἁγίοις ἀποστόλοις· «Αὐτοὶ γάρ», φησίν, «περὶ ἡμῶν ἀπαγγελοῦσιν, ὁποίαν εἴσοδον ἐσχήκαμεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε ἐπὶ τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ;». Εἴπερ οὖν ἐστιν Ἑλληνικῆς μὲν αἶσχος λατρείας τὸ τῇ κτίσει προσκυνεῖν, ἐπεστράφη δὲ τὰ ἔθνη πρὸς Θεὸν ζῶντα καὶ ἀληθινόν, Χριστὸν Δεσπότην ἐπιγραψάμενα, καὶ εἰς τὴν ἐφ' Υἱῷ προσκύνησιν τὴν μετά γε τοῦ Πατρὸς μετερρυηκότα, πῶς ἂν ἔτι νοοῖτο πεποιημένος, καὶ οὐκ ἀνάγκη φρονεῖν ὡς ματαία μὲν ἡ πίστις, διεψευσμέ-*

---

48. Ρωμ. 1, 24-25.

49. Α' Θεσσ. 1, 9.

ζουμε τὴν εὐσέβειά μας σωστά, πιστεύοντας ὅτι ὁ Μονογενὴς εἶναι Θεὸς κατὰ φύση καὶ προῆλθε ἀπὸ τὸν Θεό. Γιατὶ ἔτσι μόνο ἀποτινάσσοντας τὴν κατηγορία, ὅτι φαινόμαστε πὼς βρισκόμαστε σὲ πλάνη, θὰ ἀπομακρύνουμε ἀπὸ τὸ κεφάλι μας καὶ θὰ ἐκδιώξουμε τὶς ποινὲς γιὰ τὸν λόγο αὐτόν, τὶς ὁποῖες μᾶς ἀναφέρει ὁ θεῖος Παῦλος. Γιατὶ λέγει τὰ ἑξῆς· «Γι' αὐτὸ ὁ Θεὸς παρέδωσε αὐτοὺς μὲ τὶς ἐπιθυμίες τῶν καρδιῶν τους στὴν ἀκαθαρσία, ὥστε νὰ ἀτιμάζουν τὰ σώματά τους μεταξύ τους αὐτοὺς ποὺ ἀντάλλαξαν τὴν ἀλήθεια τοῦ Θεοῦ μὲ τὸ ψέμα, καὶ σεβάστηκαν καὶ λάτρεψαν τὴν κτίση καὶ ὄχι τὸν κτίστη, ὁ ὁποῖος εἶναι αἰώνια εὐλογητός. Ἀμήν»[48]. Δηλαδή, ἂν κάποιοι ἐμφανίζουν κατὰ τρόπο ἀνοσιότατο νοθευμένη καὶ κίβδηλη μὲ τὸ ψέμα τὴν ἀλήθεια, λατρεύοντας τὴν κτιστὴ κτίση, καὶ ὄχι αὐτὸν ποὺ εἶναι κατὰ φύση Θεός. Κατοίκησε βέβαια καὶ μέσα σὲ μᾶς ἀνάξιος νοῦς καὶ πέσαμε ὁρμητικὰ σ' αὐτὸ ποὺ δὲν ἦταν σωστό, καὶ πλανηθήκαμε καὶ ἐμεῖς μαζὶ μὲ τοὺς ἄθεους, λατρεύοντας κτιστὴ φύση, δηλαδὴ τὸν Υἱό, ὁ ὁποῖος σύμφωνα μ' ἐκείνους δημιουργήθηκε. Ἢ δὲν εἶναι κτίσμα αὐτὸ ποὺ γίνεται;

Β. Πῶς δηλαδὴ ὄχι.

Α. Πρόσεχε λοιπόν, Ἑρμεία, σὲ πόσο μεγάλη ἠλιθιότητα κατρακυλοῦν τὰ φρονήματά τους. Γιατὶ θεῖος καὶ ἱερὸς λόγος λέγει ὅτι τὰ ἔθνη γνώρισαν Θεὸ ζωντανὸ καὶ ἀληθινό, σαγηνευμένα μέσω τῆς πίστεως πρὸς ἐπίγνωση τοῦ Υἱοῦ, ἐνῶ αὐτοὶ φθάνουν σὲ τέτοιο βαθμὸ ἀθλιότητας συλλογισμῶν, ὥστε δὲν κοκκινίζουν καθόλου ἐπιρρίπτοντάς του τὴ μικροπρέπεια τοῦ ὅτι δημιουργήθηκε. Γιατὶ ἔχει γραφεῖ γιὰ ἐκείνους ποὺ διάλεξαν νὰ ἀκολουθήσουν τοὺς ἁγίους ἀποστόλους τὰ ἑξῆς· «Αὐτοὶ οἱ ἴδιοι», λέγει, «θὰ σᾶς ἀναφέρουν γιὰ μᾶς τί εἴδους ἐπίσκεψη σᾶς κάναμε, καὶ πῶς ἐπιστρέψατε ἀπὸ τὰ εἴδωλα πρὸς τὸν Θεό, ὥστε νὰ δουλεύετε σὲ Θεὸν ζωντανὸ καὶ ἀληθινό»[49]. Ἀφοῦ λοιπὸν ἀποτελεῖ αἶσχος τῆς ἑλληνικῆς λατρείας τὸ νὰ προσκυνοῦμε τὴν κτίση, καὶ οἱ ἐθνικοὶ ἐπέστρεψαν πρὸς τὸν ζωντανὸ καὶ ἀληθινὸ Θεὸ καὶ δέχθηκαν τὴν ἐπωνυμία τοῦ Δεσπότη Χριστοῦ, καὶ στράφηκαν πρὸς τὴν προσκύνηση καὶ τοῦ Υἱοῦ μαζὶ μὲ τὸν Πατέρα, πῶς εἶναι δυνατὸ νὰ θεωρεῖται ἀκόμα δημιουργημένος, καὶ δὲν εἶναι ἀνάγκη νὰ πιστεύουμε ὅτι εἶναι μάταια ἡ πίστη καὶ ψεύτικη ἡ δοξασία γιὰ τὸν Θεὸ ἀκόμα καὶ ἀπὸ μᾶς τοὺς ἴδιους, ἂν

*νη δὲ δόξα περὶ Θεοῦ καὶ παρ᾽ ἡμῖν αὐτοῖς ἔτι, καίτοι διαδρᾶναι λεγομένοις τῆς ἀρχαίας ἀπάτης τὴν γραφήν;*

*Β. Ναί, φησίν· ἐπεστράφη γὰρ τὰ ἔθνη πρὸς Θεὸν ζῶντα καὶ ἀληθινόν, τὸν Πατέρα.*

*Α. Καὶ τίς ἂν γένοιτο πρὸς ἡμῶν τῆς πρὸς Θεὸν ἐπιστροφῆς ὁ τρόπος; Ἢ πῶς ἂν ἴοιεν εὖ μάλα τινὲς ὀρθῶς τε καὶ ἀπλανῶς ἐπὶ ζῶντα καὶ ἀληθινὸν Δεσπότην, τὸ κτίσει λατρεύειν ὡς ἔωλον διωσάμενοι;*

*Β. Διὰ πίστεως, οἶμαί που. Τοῦτο γάρ ἐστι τὸ «ἐξ ἀγαθῆς συνειδήσεως ἐπερώτημα εἰς Θεόν».*

*Α. Ἀληθὴς μὲν ὁ λόγος, πλὴν ἐκεῖνο φράσον· Ἆρ᾽ οὐκ εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον ἡ πίστις;*

*Β. Οὕτω φημί.*

*Α. Οἱ δὲ δὴ τὴν πίστιν ἀκλινῆ τε καὶ ἀνυπαίτιον καὶ μώμου παντὸς ἐλευθέραν διασώσασθαι προτεθυμημένοι, πιστεύσειαν ἂν εἴς γε Θεὸν ὁμοῦ καὶ κτίσιν, ἤγουν μονοτρόπως εἰς Θεόν, συνεισδέοντες ὡς ἰσοφυᾶ τῷ Πατρὶ τὸν Υἱόν;*

*Β Ὡς εἰς ἕνα δηλονότι Θεόν, ἤτοι θεότητος εἰς μίαν φύσιν, ἤγουν εἰδεῖεν ὡς οὐκ ἂν ἐξοίσειεν αἰτίας τὸν πόδα, τῇ κτίσει συναναπλέκοντες τὸν φύσει Θεόν.*

*Α. Ἄραρεν οὖν ὅτι καὶ εἰς Υἱὸν ἡ πίστις ὡς εἰς Θεὸν ζῶντα καὶ ἀληθινόν. Ἀκονιτὶ δ᾽ ἂν γένοιτο σαφὲς καὶ τοῦτό σοι κατακροωμένῳ λέγοντος τοῦ Υἱοῦ· «Πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε», οὐχ ὡς εἰς κτίσιν καὶ Θεόν, πολλοῦ γε ἂν δέοι, μᾶλλον δὲ διὰ τὸ ταὐτὸν εἰς οὐσίαν καὶ ἀπαραλλάκτως ἴσον εἰς μίαν θεότητος ἀνακομίζοντος φύσιν. Καὶ γοῦν ἔφη πάλιν· «Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ᾽ εἰς τὸν πέμψαντά με». Οὐ γὰρ ἐξίστησι τοῦ Πατρὸς τὸ πιστεύειν εἰς τὸν Υἱόν, ἀλλ᾽ εἰς τὸν τεκόντα Πατέρα, διὰ τοῦ γεννήματος, τὸν γνήσιον ἀληθῶς ἀναφέρει προσκυνητήν. Ὅτι δὲ Χριστὸν ὡς Θεὸν ἀληθινὸν ἔγνω τε καὶ προσκεκύνηκεν ἡ τῶν εἰδωλολατρούντων ποτὲ πληθύς, ῥᾷον ἂν μάθοις Παύλου λέγοντος ὡδί· «Διὸ μνημονεύετε, ὅτι ποτὲ ὑμεῖς τὰ ἔθνη οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι*

50. Α' Πέτρ. 3,21. 51. Ἰω. 14,1.

καὶ βέβαια λέγεται γιὰ μᾶς ὅτι ξεφύγαμε ἀπὸ τὴν κατηγορία τῆς ἀρχαίας ἀπάτης;

Β. Ναί, λέγει, γιατὶ ἐπέστρεψαν πραγματικὰ τὰ ἔθνη πρὸς τὸν ζωντανὸ καὶ ἀληθινὸ Θεὸ καὶ Πατέρα.

Α. Καὶ ποιὸς ἦταν ὁ τρόπος τῆς δικῆς μας ἐπιστροφῆς πρὸς τὸν Θεό; Ἢ πῶς θὰ μποροῦσαν κάποιοι νὰ ἐπιστρέψουν καλὰ καὶ σωστὰ καὶ χωρὶς πλάνη στὸν ζωντανὸ καὶ ἀληθινὸ Κύριο, ἀφοῦ ἀρνηθοῦν ὡς μάταια τὴ λατρεία τῆς κτίσης;

Β. Νομίζω μὲ τὴν πίστη· γιατὶ λέγει· «Αὐτὴ εἶναι ἡ ἀφιέρωση μὲ ἀγαθὴ συνείδηση στὸν Θεό»[50].

Α. Εἶναι ἀληθινὸς αὐτὸς ὁ λόγος· ἀλλὰ πές μου ἐκεῖνο· Δὲν ἀναφέρεται ἡ πίστη στὸν Πατέρα καὶ τὸν Υἱὸ καὶ τὸ ἅγιο Πνεῦμα;

Β. Ἔτσι λέγω.

Α. Αὐτοὶ λοιπὸν ποὺ εἶναι πρόθυμοι νὰ διατηρήσουν τὴν πίστη τους σταθερὴ καὶ ἄμεμπτη καὶ ἐλεύθερη ἀπὸ κάθε μομφή, μποροῦν νὰ πιστέψουν ταυτόχρονα σὲ Θεὸ καὶ κτίση, δηλαδὴ μὲ ἕνα τρόπο στὸν Θεό, συνδέοντας τὸν Υἱὸ μὲ τὸν Πατέρα ὡς ἴσους κατὰ φύση;

Β. Σὲ ἕνα δηλαδὴ Θεὸ ἢ σὲ μιὰ φύση θεότητας, γνωρίζοντας βέβαια ὅτι δὲν θὰ λοξοδρομήσουν ἀναμιγνύοντας τὸν κατὰ φύση Θεὸ μὲ τὴν κτίση.

Α. Συμφωνοῦν λοιπόν, ὅτι καὶ ἡ πίστη στὸν Υἱὸ εἶναι πίστη σὲ Θεὸ ζωντανὸ καὶ ἀληθινό. Καὶ αὐτὸ γίνεται χωρὶς κόπο σαφές, ὅταν ἀκούσεις νὰ τὸ λέγει καὶ αὐτὸ ὁ Υἱός· «Πιστεύετε στὸν Θεό, πιστεύετε καὶ σὲ μένα»[51], ὄχι σὰν νὰ πιστεύετε σὲ κτίση καὶ Θεό, κάθε ἄλλο, ἀλλὰ μᾶλλον, ἐπειδὴ εἶναι τῆς αὐτῆς οὐσίας καὶ ἀπαράλλακτα ἴδιοι, μεταφέροντας τὴν πίστη στὴ μία φύση τῆς θεότητας. Ἀλλὰ καὶ ἀλλοῦ εἶπε πάλι· «Αὐτὸς ποὺ πιστεύει σὲ μένα, δὲν πιστεύει σὲ μένα, ἀλλὰ σὲ ἐκεῖνον ποὺ μὲ ἔστειλε»[52]. Γιατὶ ἡ πίστη στὸν Υἱὸ δὲν ἀποχωρίζει ἀπὸ τὸν Πατέρα, ἀλλὰ ὁδηγεῖ τὸν πραγματικὸ προσκυνητὴ διὰ τοῦ Υἱοῦ, στὸν Πατέρα ποὺ τὸν γέννησε. Ὅτι ὅμως τὸ πλῆθος τῶν ἄλλοτε εἰδωλολατρῶν ἀναγνώρισε καὶ προσκύνησε τὸν Χριστὸ ὡς ἀληθινὸ Θεό, θὰ τὸ μάθεις εὔκολα, ἀφοῦ ὁ Παῦλος λέγει τὰ ἑξῆς· «Γι' αὐτὸ νὰ θυμᾶστε, ὅτι κάποτε ἐσεῖς οἱ ἐθνικοί, οἱ λεγόμενοι ἀπερίτμητοι ἀπὸ τὴν λεγόμενη περιτομή, ποὺ γίνεται στὴ σάρκα μὲ χέρι ἀν-

---

52. Ἰω. 12, 44.

*ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ». Συνίης οὖν ὅτι δίχα μὲν ὄντα Χριστοῦ, Θεοῦ τοῦ κατὰ φύσιν διεστήκει τὰ ἔθνη, καὶ τῆς ἀληθείας ἀπενοσφίζετο· καὶ γὰρ ἦν ἄθεα κατὰ τὸν κόσμον· ἐπειδὴ δὲ τὸν Υἱὸν ἐπέγνω διὰ τῆς πίστεως, ἐλπίδος τε εἴσω πέφηνεν ἀγαθῆς, καὶ τὸ τῆς ἀθεΐας αἶσχος διέδρα τε καὶ ἀπελούσατο.*

*Β. Εὖ λέγεις*

*Α. Θεὸς οὖν ἄρα καὶ ἀληθῶς ὁ Υἱός· μένει γὰρ οὕτως ἀσυκοφάντητόν τε καὶ ἀκιβδήλευτον, καὶ τὸ ἐν ἡμῖν αὐτοῖς κεκαινουργῆσθαι πεπιστευμένον διὰ τοῦ ἁγίου βαπτίσματος*

*Β. Καὶ τί δὴ τοῦτό ἐστι; Συνίημι γὰρ οὔ τί που.*

*Α. Οὐ γάρ, ὦ φιλότης, γέννησιν γεγεννήμεθα τὴν πνευματικήν, πρὸς Υἱὸν διαμορφούμενοι καὶ ἀναπλαττόμενοι διὰ τοῦ Πνεύματος πρὸς τὸ θεῖον αὐτοῦ καὶ ὑπερκόσμιον κάλλος, θείας τε φύσεως ἀναδεικνύμεθα κοινωνοὶ τὴν Υἱοῦ λαχόντες μέθεξιν, ὡς Θεοῦ;*

*Β. Καὶ μάλα.*

*Α. Πῶς οὖν ἔτι γενητός; Εἶτα ἐφ' ἡμῖν οὐκ ἀπάτη τὸ μυστήριον, καὶ ἐν ἐλπίσι κεναῖς, καὶ ψιλήν, ὡς ἔοικεν, ἔχον ὡς ἕν γε δὴ μόνῳ τῷ λαλεῖσθαι τὴν δόξαν, καὶ φενακισμὸς ἀληθῶς καὶ δόκησις, εἴπερ τοῦτο μὴ ὑπάρχον ἐστὶν ὅπερ εἶναι πεπιστεύκαμεν; Θείας γὰρ φύσεως κοινωνοί, πῶς ἂν ἢ πόθεν ἡμεῖς, ἢ ποῖος ἡμῖν ἐνσημαίνεται Θεοῦ χαρακτήρ, καὶ εἰ μεμορφώμεθα πρὸς Υἱόν, ἐπείπερ ἐστὶν οὐ Θεὸς ὡς πεποιημένος; Ὥρα δὲ οἴεσθαι καὶ αὐτὸν οὐκ ἀγενήτως ὑπάρχειν τὸν Πατέρα καὶ Θεόν· ἐξεικονιεῖ γάρ που τὸ ἀρχέτυπον ὁ χαρακτήρ. Ἢ ἐκεῖνο φράσον. Ἐρήσομαι γάρ· ἆρα γὰρ τὴν θείαν ὅ τι ποτέ ἐστιν ἐννοήσας φύσιν, οὐκ ἀσύγκριτόν τι παντελῶς καὶ ἀπαράβλητον κτίσει τὸ χρῆμα ἐρεῖς, καὶ οὐδενὶ τῶν ὄντων ἀπαραλλάκτως προσεοικός;*

*Β. Πανταπασι μὲν οὖν· Θεοῦ γὰρ φύσις πῶς οὐχ ἅπαν ὑπερκείσεται γενητόν;*

*Α. Οὐκοῦν οὐκ ἄν τις, εἴ γε νοῦν ἔχοι, ἀρχέτυπον γενητοῦ*

---

53. Ἐφ. 2, 11-12. 54. Ἰακ. 1, 18.

θρώπινο, ὅτι ἤσασταν ἐκεῖνο τὸν καιρὸ χωρὶς Χριστό, ἀποξενωμένοι ἀπὸ τὸν τρόπο ζωῆς τοῦ Ἰσραὴλ καὶ ξένοι ἀπὸ τὶς διαθῆκες τῆς ὑποσχέσεως, χωρὶς νὰ ἔχετε ἐλπίδα καὶ ἄθεοι μέσα στὸν κόσμο»[53]. Ἀντιλαμβάνεσαι λοιπὸν ὅτι οἱ ἐθνικοί, ποὺ ζοῦσαν χωρὶς Χριστό, βρίσκονταν μακριὰ ἀπὸ τὸν κατὰ φύση Θεὸ καὶ ἦταν στερημένοι ἀπὸ τὴν ἀλήθεια, γιατὶ ἦταν ἄθεοι μέσα στὸ κόσμο. Ὅταν ὅμως γνώρισαν τὸν Υἱὸ μέσω τῆς πίστεως καὶ φανερώθηκε μέσα στὸν κόσμο ἡ ἀγαθὴ ἐλπίδα, ἔφυγαν μακριὰ καὶ καθαρίσθηκαν ἀπὸ τὸ αἶσχος τῆς ἀθεΐας.

Β. Σωστὰ μιλᾶς.

Α. Ἄρα λοιπὸν ὁ Υἱὸς εἶναι πραγματικὰ Θεός· γιατὶ ἔτσι παραμένει ἀνώτερη συκοφαντιῶν καὶ ἀνόθευτη ἡ ἀναγέννηση ποὺ ἔγινε μέσα μας διὰ τοῦ ἁγίου βαπτίσματος.

Β. Καὶ τί λοιπὸν σημαίνει αὐτό; Γιατὶ δὲν τὸ καταλαβαίνω.

Α. Δὲν ἀναγεννηθήκαμε, φίλε, πνευματικά[54], παίρνοντας τὴ μορφὴ τοῦ Υἱοῦ καὶ διπλασσόμενοι διὰ τοῦ ἁγίου Πνεύματος ἀντίστοιχα πρὸς τὸ θεῖο καὶ ὑπερκόσμιο κάλλος του, καὶ γίναμε κοινωνοὶ τῆς θείας φύσεως, ἔχοντας κερδίσει τὴ μέθεξη τοῦ Υἱοῦ ὡς Θεοῦ;

Β. Καὶ βέβαια.

Α. Πῶς λοιπὸν εἶναι ἀκόμα κτιστός; Ἔπειτα σὲ μᾶς δὲν εἶναι ἀπάτη τὸ μυστήριο τοῦ βαπτίσματος, καὶ στηρίζεται σὲ μάταιες ἐλπίδες, καί, ὅπως φαίνεται, ἔχει κενὴ τὴ δόξα καὶ μόνο λεκτικά, καὶ στὴν πραγματικότητα εἶναι ἀπάτη καὶ φαντασία, ἐὰν ὁ Υἱὸς δὲν εἶναι αὐτὸ ποὺ πιστέψαμε; Γιατὶ πῶς καὶ ἀπὸ ποῦ ἐμεῖς γίναμε κοινωνοὶ τῆς θείας φύσεως, ἢ ποιὰ σφραγίδα τοῦ Θεοῦ χαράσσεται μέσα μας, ἔστω καὶ ἂν ἔχουμε λάβει τὴ μορφὴ τοῦ Υἱοῦ, ἐὰν βέβαια δὲν εἶναι Θεός, ὡς δημιουργημένος; Ὥρα εἶναι νὰ πιστεύεις ὅτι καὶ ὁ ἴδιος ὁ Πατέρας δὲν εἶναι ἀγέννητος[55]· γιατὶ ὁ χαρακτήρας ἀπεικονίζει τὸ πρότυπο. Ἢ πές μου ἐκεῖνο· γιατὶ θά σὲ ρωτήσω· Ἄραγε, ὅποια καὶ ἂν ἀντιλαμβάνεσαι ὅτι εἶναι ἡ θεία φύση, δὲν συμφωνεῖς ὅτι εἶναι ἀσύγκριτη καὶ τελείως ἀπαράβλητη πρὸς τὴν κτίση, καὶ ὅτι δὲν μοιάζει ἀπαράλλακτα μὲ κανένα ἀπὸ τὰ δημιουργήματα;

Β. Συμφωνῶ ἀπόλυτα· γιατὶ πῶς εἶναι δυνατὸν ἡ φύση τοῦ Θεοῦ νὰ μὴ εἶναι πάνω ἀπὸ κάθε κτιστό;

Α. Ἑπομένως, κανένας, ἐὰν βέβαια ἔχει μυαλό, δὲν θὰ παραδεχό-

55. Ἐδῶ τὸ κείμενο στὴν PG παρουσιάζει κενό.

*τὴν ἄκτιστον καὶ ἀγένητον παραδέξαιτο φύσιν· οὐδὲ γὰρ ἂν ἔν γε τῷ ἀεὶ καὶ ὡσαύτως ὄντι τε καὶ ἔχοντι τὴν οὐκ οὖσάν ποτε καὶ πεποιημένην καταθεάσαιτο φύσιν.*

*Β. Ὧδε ἔχει.*

*Α. Ἀληθὲς δὲ οἶμαι καὶ τὸ ἔμπαλιν. Οὐ γὰρ ἐν τῷ μὴ ὄντι ποτὲ τὸ ἀεὶ καὶ ὡσαύτως ὂν καταθρήσαιμεν ἄν.*

*Β. Ἀληθές.*

*Α. Τί οὖν ἐστι τὸ ἀξιάγαστον ἐν ἡμῖν ἔκ γε τοῦ μεμορφῶσθαι πρὸς τὸν Υἱόν; Ποῦ δὲ τὸ θεῖον ταῖς τῶν πιστευσάντων ψυχαῖς ἐνήστραψε κάλλος, ὡς ἀηθές τε καὶ ξένον; Καίτοι γενητῷ παντὶ πρὸς γενητόν, καθόπερ ἂν γεγενῆσθαι νοοῖντο, τὸ ταυτοειδὲς οὐκ εἰσκεκριμένον, φύσεως δὲ μᾶλλον ἐγχαράττει θεσμός. Ἦν οὖν ἄρα σύμμορφος ἀεὶ γενητῷ κατ' ἐκείνους ὄντι τῷ Υἱῷ καὶ ἡ λοιπὴ κτίσις. Ποῖον οὖν ἔτι ταῖς ἡμετέραις ψυχαῖς ἐνσημαίνεται κάλλος διὰ τοῦ Πνεύματος; Περιττοποιός, ὡς ἔοικεν, ἀναφανεῖται λοιπόν, προστιθεὶς εἰκαίως, ὃ καὶ εἰ μή τις ἕλοιτο τυχόν, τὸ γοῦν κατὰ φύσιν διακεκτῆσθαι μέτα, καὶ οἴκοθεν ἔχει παρ' ἑτέρου μὴ λαβών. Ἀλλ', οἶμαί γε δή, τουτωνὶ παστισοῦν ὀρθός τε καὶ ἀπλανὴς καταμειδιάσειε λόγος. Θείας γὰρ φύσεως κοινωνοί, σχέσει τῇ πρὸς Υἱὸν διὰ Πνεύματος, οὐκ ἐν ψιλῇ δοκήσει μᾶλλον, ἀλλ' ἐν ἀληθείᾳ πάντες ἐσμὲν οἱ πεπιστευκότες, καὶ μεμορφώμεθα πρὸς Θεόν, πρὸς τὸ ὑπὲρ κτίσιν κάλλος ἀναστοιχειούμενοι. Μορφοῦται γὰρ ἐν ἡμῖν ἀρρήτως Χριστός, οὐχ ὡς γενητὸς ἐν γενητοῖς, ἀλλ' ὡς ἀγένητος καὶ Θεὸς ἐν γενητῇ καὶ πεποιημένῃ φύσει, πρὸς ἰδίαν εἰκόνα μεταχαράττων διὰ τοῦ Πνεύματος καὶ πρὸς τὸ ὑπὲρ κτίσιν ἀξίωμα τὴν κτίσιν μετατιθείς, τουτέστιν ἡμᾶς.*

*Β. Οὐδὲν οὖν ἄρα τὸ ἀποσοβοῦν ἢ μεθιστῶν τῆς ἀληθοῦς υἱότητος τὸν Μονογενῆ, γεγεννῆσθαι δὲ μᾶλλον αὐτὸν καὶ οὐ γεγενῆσθαι δώσομεν.*

*Α. Ναί, εἴπερ αὐτὸν εἰς Θεὸν ὄντως παραδεξόμεθα, καὶ προσκυνήσει τῇ πρὸς ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων ἐκτετιμῆσθαι*

ταν ὅτι ἡ ἄκτιστη καὶ ἀδημιούργητη φύση εἶναι πρότυπο κάποιου κτιστοῦ· οὔτε βέβαια θὰ μποροῦσε, μέσα σ' αὐτὸ ποὺ ὑπάρχει πάντοτε καὶ εἶναι ἀμετάβλητο, νὰ δεῖ τὴ φύση ποὺ κάποτε δὲν ὑπῆρχε, καὶ δημιουργήθηκε ἀργότερα.

Β. Ἔτσι εἶναι.

Α. Νομίζω ὅμως ὅτι καὶ τὸ ἀντίθετο εἶναι ἀληθινό. Γιατὶ δὲν μποροῦμε μέσα σ' αὐτὸ ποὺ κάποτε δὲν ὑπῆρχε, νὰ παρατηρήσουμε αὐτὸ ποὺ ὑπῆρχε πάντοτε ἀμετάβλητο.

Β. Εἶναι ἀλήθεια.

Α. Ποιὸ λοιπὸν εἶναι τὸ ἄξιο θαυμασμοῦ μέσα μας ἀπὸ τὸ ὅτι γίναμε σύμμορφοι πρὸς τὸν Υἱό; Καὶ ποῦ ἄστραψε ἡ θεϊκὴ ὡραιότητα στὶς ψυχὲς αὐτῶν ποὺ πίστεψαν, ὡς κάτι τὸ ἀσυνήθιστο καὶ παράξενο· ἂν καὶ βέβαια σὲ κάθε κτιστὸ πρὸς ἄλλο κτιστό, ὅπως καὶ ἂν νοοῦμε ὅτι ἔγιναν, τὸ ὅτι ἔχουν ἀπόλυτη ὁμοιότητα, δὲν εἶναι εἰσαγόμενο ἀπ' ἔξω, ἀλλὰ τὸ ἐγχαράσσει ὁ νόμος τῆς φύσεως. Ἄρα καὶ ἡ λοιπὴ κτίση ἦταν πάντοτε ἀπόλυτα ὅμοια πρὸς τὸν Υἱό, ὁ ὁποῖος, κατ' ἐκείνους, ἦταν κτιστός. Ποιὸ λοιπὸν κάλλος χαράσσεται ἀκόμα στὶς ψυχές μας διὰ τοῦ Πνεύματος; Ἐμφανίζεται περιττός, ὅπως φαίνεται, προσθέτοντας ἄσκοπα, αὐτὸ ποὺ καὶ νὰ μὴ τὸ ἔπαιρνε κάποιος, τὸ εἶχε ἤδη κατὰ φύση, καὶ τὸ εἶχε ἀπὸ τὸν ἑαυτό του, χωρὶς νὰ τὸ πάρει ἀπὸ ἄλλον. Ὅμως νομίζω μὲ αὐτὰ θὰ μειδίαζε κάθε ὀρθὸς καὶ σταθερὸς λόγος. Γιατὶ ὅλοι ὅσοι πιστέψαμε γίναμε κοινωνοὶ τῆς θείας φύσεως, μὲ τὴ σχέση μας πρὸς τὸν Υἱὸ μέσω τοῦ ἁγίου Πνεύματος, ὄχι φαινομενικά, ἀλλὰ ἀληθινά, καὶ ἐλάβαμε τὴ μορφὴ τοῦ Θεοῦ ἀναπλασμένοι πρὸς τὴν ὡραιότητα ποὺ εἶναι ἀνώτερη ἀπὸ τὴν κτίση. Γιατὶ μορφώνεται μέσα μας ὁ Χριστὸς κατὰ τρόπο ἀπερίγραπτο, ὄχι σὰν κτιστὸς μέσα σὲ κτιστούς, ἀλλὰ ὡς ἄκτιστος καὶ Θεὸς μέσα σὲ φύση κτιστὴ καὶ δημιουργημένη, μεταπλάθοντας αὐτὴν πρὸς τὴ δική του εἰκόνα διὰ τοῦ Πνεύματος, καὶ μεταθέτοντας τὴν κτίση, δηλαδὴ ἐμᾶς, στὴν πάνω ἀπὸ τὴν κτίση θέση.

Β. Δὲν ὑπάρχει ἑπομένως τίποτε ποὺ νὰ ἀποκλείει ἢ νὰ ἀπομακρύνει τὸν Μονογενῆ ἀπὸ τὴν ἀληθινὴ υἱότητα, καὶ πρέπει νὰ δεχθοῦμε ὅτι γεννήθηκε, καὶ ὄχι ὅτι δημιουργήθηκε.

Α. Ναί, ἐὰν βέβαια τὸν παραδεχόμαστε ἀληθινὸν Θεὸ καὶ πιστεύουμε ὅτι πρέπει νὰ τιμᾶται ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέ-

*πρέπειν οἰόμεθα δεῖν, καὶ ταῖς τῆς θεότητος ὑπεροχαῖς τε καὶ δόξαις στεφανοῦν ἀξιώσομεν, ἵνα μή, παρέντες τὸν Ποιητὴν καὶ τὴν ὄντως βασιλίδα τῶν ὅλων παραθέοντες φύσιν, τῇ κτίσει λατρεύωμεν, καὶ τὴν τοῦ ἀγενήτου δόξαν τῷ γενητῷ δωρούμενοι, δικαίως ἀκούωμεν· «Ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος».*

*Β. Οὐ γὰρ δὴ κἀκεῖνοι φαῖεν ἂν ὅτι καὶ Υἱός ἐστι καὶ Θεός.*

*Α. Καὶ πῶς οὐκ ἀπόπληκτον καὶ καταγέλαστον κομιδῇ τὸ ψιλοῖς μὲν ὀνόμασι καὶ ταῖς τῶν κλήσεων διαφοραῖς καθάπερ ἐν εἰκόνι καὶ γραφῇ καταχρίειν αὐτόν, παραιρεῖσθαι δὲ δόξης τῆς θεοπρεποῦς, κατατιθέντας ἐν γενητοῖς; Ἢ οὐκ ἀκαλλὲς ἄγαν τὸ πεποιῆσθαι λέγειν αὐτόν, εἴπερ ἐστὶ Θεός, ὡς προσκυνητός;*

*Β. Εὖ λέγεις.*

*Α. Εἰ μὲν οὖν τὸ δεῖν οἴεσθαι χρηστοῖς ἡμᾶς καταγοητεύειν λόγοις μεθέντες, ὡς ἀπωτάτω τῆς ἀληθοῦς θεότητος ἐκπέμπουσι τὸν Υἱόν, ἀπημφιεσμένῃ τοῦτο λεγόντων φωνῇ, καὶ δυσφημούντων ἀναφανδόν. Ἀντακούσονται γὰρ εὐθὺς πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε». Τετραψόμεθα γὰρ ἡμεῖς εἰς οἶμον τὴν ἀπλανῆ, Θεὸν εἶναι καὶ ἀληθῆ πιστεύοντες τὸν ἐκ Θεοῦ πεφηνότα Λόγον κατὰ τὴν ἄρρητον γέννησιν. Εἰ δὲ εἰς νοῦν ἰόντες τὸν οὐ σφόδρα δυσμαθῆ καὶ ἠλίθιον, ἄπαρνοι μὲν οὐκ ἔσονται, καταναρκῶντες, οἶμαί που, τὴν δυσφημίαν, Θεὸν δὲ αὐτὸν ὁμολογεῖν ἐγνωκότες, τῆς μὲν τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ὑποβιβάζουσι, ἀμείνονα δέ πως ἢ κατὰ κτίσιν εἶναί φασι, καθάπερ ἐν μεταιχμίῳ τιθέντες φύσεως ἀγενήτου καὶ γενητῆς, ἀκουόντων ὅτι θεότητος φύσις πῶς ἂν νοοῖτο διάφορος; Θεὸς γὰρ ὡς πρὸς Θεὸν οὐκ ἂν ἑτεροίως ἔχοι κατά γε τὸ εἶναι Θεός, καθάπερ ἀμέλει καὶ ἐφ' ἡμῶν αὐτῶν καταθρῆσαι τις ἄν. Μίαν γὰρ εἶναί φαμεν τὴν τῆς ἀνθρωπότητος φύσιν, καὶ ὁ τῆς οὐσίας ὅρος εἷς ἂν εἴη, καὶ ἐν παντὶ καὶ ἐν τῷ καθέκαστον οὐκ ἐξηλλαγμένος. Ἢ τοίνυν Θεὸν εἶναι πιστεύοντες, ἀπαλλαττέτωσαν παντελῶς τοῦ τελεῖν ἐν γενητοῖς· ἤ, εἰ μὴ τοῦτο φρονεῖν ἀναπείθοιντο, μηδὲ Θεὸν ὅλως ὁμολογούντων ἔτι. Πλατὺ*

---

56. Ἱερ. 5, 21.     57. Ἡσ. 50, 11.

λους μὲ προσκύνηση, καὶ ἐὰν τοῦ ἀποδίδουμε τιμὲς καὶ δόξες θεϊκές, ὥστε νὰ μὴ συμβεῖ, λατρεύοντας τὴν κτίση καὶ ἀφήνοντας τὸν Δημιουργό, καὶ παραβλέποντας τὴ φύση ποὺ εἶναι ἀνώτερη ὅλων καὶ ἀποδίδοντας τὴ δόξα τοῦ ἄκτιστου στὸ κτιστό, νά ἀκούσουμε δίκαια· «Νά, λαὸς μωρὸς καὶ χωρίς καρδιά»[56].

Β. Οὔτε ἐκεῖνοι ἄλλωστε θὰ ἔλεγαν ὅτι εἶναι καὶ Υἱὸς καὶ Θεός.

Α. Καὶ πῶς δὲν εἶναι ἀσυνάρτητο καὶ γελοῖο, νὰ τὸν ἐπιχρίουμε βέβαια μὲ κενὰ ὀνόματα καὶ μὲ ποικίλες προσφωνήσεις, σὰν νὰ εἶναι εἰκόνα καὶ ζωγραφιά, νὰ τοῦ ἀφαιροῦμε ὅμως τὴ δόξα ποὺ ταιριάζει στὸν Θεό, τοποθετώντας τον στὰ κτιστά; Ἢ μήπως δὲν εἶναι πάρα πολὺ ἄσχημο νὰ λέμε ὅτι ἔχει δημιουργηθεῖ, ἐφόσον εἶναι Θεός, ὡς προσκυνητός;

Β. Σωστὰ μιλᾶς.

Α. Ἐὰν λοιπὸν νομίζουν ὅτι πρέπει, ἂς πάψουν νὰ προσπαθοῦν νὰ μᾶς ἐξαπατήσουν μὲ ὡραῖα λόγια, τὰ ὁποῖα ἀπομακρύνουν τὸν Υἱὸ ἀπὸ τὴν ἀληθινὴ θεότητα, ἀφοῦ αὐτὸ τὸ λένε ξεκάθαρα καὶ βλασφημοῦν ὁλοφάνερα. Ἀλλιῶς θὰ ἀκούσουν ἀμέσως ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους· «Πηγαίνετε στὸ φῶς τῆς φωτιᾶς σας καὶ στὴ φλόγα ποὺ ἀνάψατε»[57]. Γιατὶ ἐμεῖς θὰ ἀκολουθήσουμε τὸν ἴσιο δρόμο, πιστεύοντας ὅτι εἶναι Θεὸς ἀληθινὸς ὁ Λόγος ποὺ προῆλθε ἀπὸ τὸν Θεὸ μὲ γέννηση ἀπερίγραπτη. Ὅταν ὅμως βρίσκουν τὸν νοῦ τους, τὸν ὄχι τόσο πολὺ χοντροκέφαλο καὶ ἠλίθιο, καταναρκώνοντας, κατὰ τὴ γνώμη μου, τὴ βλασφημία, δὲν γίνονται βέβαια ἀρνητές, ἀλλά, ἐνῶ ὁμολογοῦν ὅτι ὁ Υἱὸς εἶναι Θεός, τὸν τοποθετοῦν ὅμως πιὸ κάτω ἀπὸ τὴν οὐσία τοῦ Θεοῦ, καὶ λένε ὅτι εἶναι κάπως ἀνώτερος ἀπὸ αὐτὸ ποὺ εἶναι ἡ κτίση, τοποθετώντας τον κατά κάποιο τρόπο στὸ μεταίχμιο τῆς ἄκτιστης καὶ κτιστῆς φύσεως, ἂς ἀκούσουν, ὅτι ἡ φύση τῆς θεότητας δὲν μπορεῖ νὰ νοηθεῖ διαφορετική· γιατὶ ὁ Θεὸς δὲν μπορεῖ νὰ εἶναι διαφορετικὸς ἀπὸ τὸν Θεό, ὡς πρὸς τὸ ὅτι εἶναι Θεός, ὅπως μπορεῖ κανεὶς νὰ παρατηρήσει ὅτι συμβαίνει καὶ σὲ μᾶς τοὺς ἴδιους. Γιατὶ λέμε, ὅτι μία εἶναι ἡ φύση τῆς ἀνθρωπότητας, καὶ ὁ ὁρισμὸς τῆς οὐσίας εἶναι ἕνας, καὶ δὲν ἀλλάζει σὲ τίποτε. Ἢ λοιπόν, πιστεύοντας ὅτι εἶναι Θεός, ἂς πάψουν ἐντελῶς νὰ τὸν κατατάσσουν μεταξὺ τῶν κτισμάτων, ἤ, ἐὰν δὲν πείθονται νὰ μὴ πιστεύουν σ' αὐτό, τότε νὰ μὴ τὸν ὁμολογοῦν οὔτε καὶ Θεό. Γιατὶ στὴν περίπτωση αὐτὴ

*γὰρ δὴ τότε γελῶντες ἐροῦμεν· «Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται».⁵⁸ Ἢ γὰρ οὐχ ἕκαστον τῶν ὄντων τὸ τί κατὰ φύσιν ἐστὶν ἐξ ὧν ἀληθῶς εἶναι πεπίστευται, σαφῶς τε καὶ ἀπλανῶς εἰδείημεν ἄν, ὦ ἑταῖρε;*

*Β. Καὶ μάλα.*

*Α. Φέρε δὴ οὖν, ἥτις ποτέ ἐστι, τὴν τοῦ Υἱοῦ φύσιν διασκεπτώμεθα, κἀκεῖνο προσενθυμούμενοι ὡς, εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστί, πεποίηται δὲ μᾶλλον καὶ παρῆκται μεθ' ἡμῶν πρὸς γένεσιν, κατά γε τὸν παρ' ἐκείνοις μεθύοντά τε καὶ ἐξεστηκότα λόγον, πῶς ἄρα διώλισθεν ὁ κόσμος αὐτοῦ καὶ διέστη τὸ ποιηθέν; Ἆρα τοῖς κατὰ τόπον καὶ μετρητοῖς διαστήμασι; Καίτοι πῶς οὐ τερθρεία τοῦτό γε; Ποῦ γὰρ ἢ πῶς διεστήξει τὸ ἀσώματον, ἢ ποῖος αὐτὸ περιγράψει τόπος; Καὶ γοῦν ὁ μακάριος Ἰωάννης μεμαρτύρηκεν ὅτι, «Καὶ ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω».⁵⁹ Ἆρα οὖν, ὦ Ἑρμεία, φρονοῦντες ὀρθῶς, τῆς ἀποστασίας τὸν τρόπον καὶ τῆς μεταξὺ πεσούσης διακοπῆς οὐχ ἕτερόν τινα παρὰ τοῦτον εἶναι δώσομεν, τὸ μὴ ἐγνωκέναι φημὶ τὸν κόσμον τὸν ἀεὶ συνόντα Δημιουργόν;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Δραπέτης οὖν ἄρα ὁ κόσμος ἦν, τῆς πρὸς αὐτὸν κοινωνίας ἀποδραμών, διά γε τοῦ μὴ εἰδέναι τὸν ὑπὲρ κτίσιν Δημιουργὸν καὶ τὴν διὰ τοῦ Πνεύματος σχέσιν, ἐκ παρατροπῆς τῆς εἰς τὸ φαῦλον ἀποβαλών. Ἅμα τε γὰρ τοῖς τοῦ τεχνουργοῦντος ἀρρήτοις νεύμασι παρήχθη πρὸς ὕπαρξιν ἡ ἀνθρώπου φύσις καὶ τῇ πρὸς τὸ Πνεῦμα σχέσει κατεκαλλύνετο. «Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς»,⁶⁰ οὐχ ἑτέρως, οἶμαι, τοῦ ζώου τὸ ἐν ἁγιασμῷ καὶ οἰκειότητι τῇ πρὸς Θεὸν διαφανὲς ἕξοντος ἄν, εἰ μὴ τῇ τοῦ ἁγίου Πνεύματος καταλλύνοιτο μετουσίᾳ. Τοιγάρτοι καὶ ὅτε γέγονεν ἄνθρωπος ὁ Μονογενής, ἐρήμην τοῦ πάλαι καὶ ἐν ἀρχαῖς ἀγαθοῦ τὴν ἀνθρώπου φύσιν εὑρών, πάλιν αὐτὴν εἰς ἐκεῖνο μεταστοιχειοῦν ἠπείγετο, καθάπερ ἀπὸ πηγῆς τοῦ ἰδίου*

---

58. Ματθ. 12,33. 59. Ἰω. 1,10. 60. Γέν. 2,7.

γελώντας παρατεταμένα θὰ τοὺς ποῦμε· «Ἢ κάνετε τὸ δένδρο καλό, ὁπότε θὰ εἶναι καὶ ὁ καρπός του καλός, ἢ κάνετε τὸ δένδρο κακό, ὁπότε καὶ ὁ καρπός του θὰ εἶναι κακός· γιατὶ τὸ δένδρο ἀναγνωρίζεται ἀπὸ τὸν καρπό του»[58]. Ἢ μήπως, φίλε, τὸ καθένα ἀπὸ τὰ κτίσματα, τὸ τί εἶναι ὡς πρὸς τὴ φύση του, δὲν τὸ ἀναγνωρίζουμε μὲ σαφήνεια καὶ χωρὶς πλάνη ἀπὸ αὐτὰ ποὺ πιστεύεται ὅτι πραγματικὰ εἶναι;

Β. Καὶ βέβαια.

Α. Ἐμπρὸς λοιπόν, ἂς ἐξετάσουμε τί ἀκριβῶς εἶναι ἡ φύση τοῦ Υἱοῦ, ἔχοντας στὸν νοῦ μας καὶ τοῦτο, ὅτι, ἐὰν δὲν εἶναι Θεὸς κατὰ φύση, ἀλλ' ἔγινε καὶ ἦρθε στὴν ὕπαρξη μαζὶ μὲ μᾶς, σύμφωνα μὲ τὰ μεθυσμένα καὶ παράλογα λόγια ἐκείνων, πῶς ἄραγε τοῦ ξέφυγε ὁ κόσμος καὶ χώρισε τὸ κτίσμα; Μήπως λόγω τῆς τοπικῆς καὶ τῆς ἀνυπολόγιστης ἀποστάσεώς τους; Καὶ πῶς αὐτὸ δὲν εἶναι φιλοσοφικὴ λεπτολογία; Γιατὶ ποῦ ἢ μὲ ποιὸν τρόπο διαχωρίζεται τὸ ἀσώματο, ἢ ποιὸς τόπος μπορεῖ νὰ τὸ περιλάβει; Ἐξάλλου ὁ μακάριος Ἰωάννης βεβαιώνει ὅτι· «Καὶ στὸν κόσμο ἦταν, καὶ ὁ κόσμος ἔγινε δι' αὐτοῦ, καὶ ὁ κόσμος δὲν τὸν ἀναγνώρισε»[59]. Ἑπομένως, Ἑρμεία, σκεπτόμενοι σωστά, τὸν τρόπο τῆς ἀποστασίας καὶ τῆς ἀποκοπῆς ποὺ συνέβη, δὲν μποροῦμε νὰ τὸν ἀποδώσουμε σὲ ἄλλον λόγο, παρὰ μόνο σ' αὐτόν, στὸ ὅτι δηλαδὴ ὁ κόσμος δὲν ἀναγνώρισε τὸν Δημιουργὸ ποὺ ὑπῆρχε πάντοτε μαζί του.

Β. Πῶς δηλαδὴ ὄχι;

Α. Ἄρα ὁ κόσμος ἔγινε δραπέτης, ἀφοῦ ἔφυγε ἀπὸ τὴν ἐπικοινωνία μὲ αὐτόν, ἐπειδὴ δὲν ἀναγνώρισε τὸν ἀνώτερο ἀπὸ τὴν κτίση Δημιουργό, καὶ ἐπειδὴ ἀπὸ παρέκκλιση πρὸς τὸ κακὸ ἀπέβαλε τὴ σχέση του πρὸς τὸν Δημιουργὸ μέσω τοῦ Πνεύματος. Γιατὶ μόλις μὲ τὸ ἀπερίγραπτο νεῦμα τοῦ Δημιουργοῦ ἦρθε στὴν ὕπαρξη ἡ φύση τοῦ ἀνθρώπου, ταυτόχρονα κοσμίθηκε καὶ μὲ τὴ σχέση του πρὸς τὸ Πνεῦμα. Γιατὶ λέγει, «φύσηξε στὸ πρόσωπό του πνοὴ ζωῆς»[60], γιατί, ὅπως νομίζω, τὸ ζωντανὸ ὂν δὲν μποροῦσε νὰ ἔχει μὲ ἄλλο τρόπο πάντοτε τὴ διαφάνεια τοῦ ἁγιασμοῦ καὶ τὴν οἰκειότητα πρὸς τὸν Θεόν, ἐὰν δὲν στολιζόταν μὲ τὴ μέθεξη τοῦ ἁγίου Πνεύματος. Γιατὶ καὶ ὅταν ὁ Μονογενὴς ἔγινε ἄνθρωπος, βρίσκοντας τὴ φύση τοῦ ἀνθρώπου ἔρημη ἀπὸ τὸ ἀγαθὸ ποὺ τῆς εἶχε δοθεῖ ἀπὸ παλιὰ καὶ στὴν ἀρχὴ τῆς δημιουργίας της, βιάσθηκε νὰ τὴν μεταστοιχειώσει σ' ἐκεῖνο,

*πληρώματος ἐνιείς τε καὶ λέγων· «Λάβετε Πνεῦμα ἅγιον», τῷ διὰ σαρκὸς καὶ ἐμφανεστέρῳ φυσήματι τὴν τοῦ Πνεύματος φύσιν εὖ μάλα σκιαγραφῶν. Ἔσται δὴ οὖν ἐν ἴσῳ ταῖς ἐν ἀρχῇ πρὸς τὸ εἶναι παρόδοις τὸ ἀνακαινίζεσθαι πρὸς τὸ ἀπ' ἀρχῆς, καὶ τόν γε τοῦ κεχωρίσθαι τρόπον ᾗ γενητὴ νενόσηκε φύσις, οὐχὶ τοῖς κατὰ τόπον νοουμένοις διαστήμασι, πολλοῦ γε καὶ δεῖ· ἐξωθουμένη δὲ μᾶλλον καὶ διεκπίπτουσα Θεοῦ, καὶ τῆς πρὸς Υἱὸν συναφείας τῆς διὰ τοῦ Πνεύματος. Καὶ γοῦν ἀναθεῖ πρὸς τὸ ἐν ἀρχαῖς εἰ βούλοιτο, πνευματικὴν λαχοῦσα τὴν ἀναμόρφωσιν, καὶ τῆς θείας αὐτοῦ φύσεως κεκλημένη πρὸς μετουσίαν διὰ τοῦ Πνεύματος. Εἴπερ οὖν ἔτι κατ' ἐκείνους ἐν γενητοῖς ὁ Υἱός, κατὰ τίνα δὴ τρόπον ἐξέθορέ τε αὐτοῦ καὶ διέστη ἡ κτίσις; Ἀεὶ γὰρ φίλον τὸ συγγενές, καὶ οὐκ ἂν ἀπονοσφίζοιτο γενητὸν γενητοῦ, κατά γε τὸ εἶναι γενητά. Τὸ γὰρ ὀθνεῖον ἀεί πως ἐν τοῖς ἑτερογενέσιν, ἤγουν ἑτεροειδέσιν, οὐκ ἐν τοῖς ἕνα καὶ τὸν αὐτὸν τῆς φύσεως ὅρον ἀποτεμομένοις ὁρᾶσθαι φιλεῖ. Πῶς οὖν ἐνοικίζεται τῇ κτίσει διὰ τοῦ Πνεύματος ὁ Υἱός; τί προστιθεὶς ἢ δωρούμενος, ἢ πρὸς ποῖον ὕψος ἀνακομίζων τὸ νοητόν, ἢ τί τὸ ἄμεινον ἐγχαράττων αὐτῇ; Πῶς δὲ οὐκ ὢν αὐτὸς ἐν ἀμείνοσι (πεποίηται γὰρ μεθ' ἡμῶν, ὥς γοῦν ἐκεῖνοί φασιν), ἑαυτὸν κενῶσαι λέγεται, ἢ ποίας ἂν ἐδεήθη συγκαταβάσεως, ἵνα καθεὶς ἑαυτὸν ὡς ἐξ ὑψωμάτων τῶν ὑπὲρ τὴν κτίσιν, κόσμῳ συναφθῇ καὶ κόσμου γένηται μέρος, εἰ μὴ ὑπὲρ κόσμον ἐστὶ καὶ κτίσιν;*

*Β. Ἀπορήσειν οἶμαι πρὸς τοῦτο αὐτούς*

*Α. Ἀνθότου δὲ δὴ μόνος αὐτὸς ἐλεύθερός τε καὶ ἐλευθερωτής, καίτοι τῆς ὅλης κτίσεως δοῦλον ὑποτιθείσης τῷ Θεῷ τὸν αὐχένα; Ἀνούστατοι δὲ καὶ λεληρηκότες εἴημεν ἄν, ὦ φιλότης, εἰ τὸν ἐκ Θεοῦ κατὰ φύσιν καὶ τῷ Θεῷ καὶ Πατρὶ συναΐδιον Υἱὸν ἐν τοῖς κατὰ χάριν θήσομεν. Ποῦ γὰρ ἡμῶν ἢ ποῖον ἔσται λοιπὸν τὸ ἀρχέτυπον, εἰ καθίκοιτο μεθ' ἡμῶν καὶ ὁ πρὸς ὃν μεμορφώμεθα πρὸς τὸ κατὰ θέσιν καὶ μίμησιν;*

*Β. Εὐκρινέστατα μὲν ἡμῖν καὶ μάλα σαφῶς τὸν περὶ τούτου δοκεῖς διαπερᾶναι λόγον. Οἶμαι δὲ ἔγωγε τοὺς δι' ἐναντίας, Οὐ*

---

61. Ἰω. 20,22. 22. Φιλιππ. 2,7.

φυσώντας της ἀπὸ τὸ δικό του πλήρωμα, σὰν ἀπὸ πηγή, καὶ λέγοντας· «Λάβετε ἅγιο Πνεῦμα»[61], μὲ τὸ αἰσθητὸ καὶ πολὺ φανερὸ φύσημά του φανερώνοντας τὴν πνοὴ τοῦ Πνεύματος. Ἡ ἀνακαίνιση δηλαδὴ πρὸς τὴν ἀρχέγονη κατάσταση εἶναι ἀντίστοιχη πρὸς τὶς παραδόσεις τῆς ἀρχῆς τῆς δημιουργίας, ἐνῶ ὁ χωρισμὸς τῆς κτιστῆς φύσεως δὲν νοεῖται ὡς διάσταση τοπική, κάθε ἄλλο, ἀλλ᾽ εἶναι ἔξωση μᾶλλον καὶ ἔκπτωση τῆς κτιστῆς φύσεως ἀπὸ τὸν Θεὸ καὶ τὴν κοινωνία πρὸς τὸν Υἱὸ τοῦ Πνεύματος. Γι᾽ αὐτὸ καὶ ἀνατρέχει στὴν ἀρχικὴ κατάσταση, ἂν θέλει, ἀφοῦ ἔλαχε τὴν πνευματικὴ ἀναγέννηση καὶ εἶναι καλεσμένη νὰ μετάσχει στὴ θεϊκὴ φύση του διὰ τοῦ ἁγίου Πνεύματος. Ἐὰν λοιπὸν ἀκόμα, σύμφωνα μ᾽ ἐκείνους, ὁ Υἱὸς συγκαταλέγεται μεταξὺ τῶν κτιστῶν, μὲ ποιὸν τρόπο λοιπὸν ἔφυγε καὶ χωρίσθηκε ἀπὸ αὐτὸν ἡ κτίση; Γιατὶ τὰ συγγενῆ ἀγαπιοῦνται πάντοτε καὶ δὲν θὰ ἀποχωριζόταν ποτὲ ἕνα κτιστὸ ἀπὸ ἄλλο κτιστό, κατὰ τὸ ὅτι εἶναι κτιστά. Ἐνῶ τὸ ξένο πάντοτε στὰ ἑτερογενῆ, δηλαδὴ σ᾽ αὐτὰ ποὺ ἀνήκουν σὲ διαφορετικὸ εἶδος, δὲν συνηθίζουν νὰ ἐμφανίζονται στὸν ἴδιο ὁρισμὸ τῆς φύσεως ἐπειδὴ εἶναι ἀποχωρισμένα. Πῶς λοιπὸν ἐγκαθίσταται μέσα στὴν κτίση διὰ τοῦ Πνεύματος; Τί προσθέτει ἢ δωρίζει, ἢ σὲ ποιὸ νοητὸ ὕψος τὴν ἀνεβάζει, ἢ τί τὸ ἀνώτερο χαράσσει μέσα σ᾽ αὐτήν; Καὶ πῶς, ἀφοῦ αὐτὸς δὲν συγκαταλέγεται μεταξὺ τῶν ἀνωτέρων (γιατὶ δημιουργήθηκε μαζὶ μὲ μᾶς, ὅπως ἰσχυρίζονται ἐκεῖνοι), λέγεται ὅτι ταπείνωσε τὸν ἑαυτό του[62], ἢ ποιὰ συγκατάβαση χρειάσθηκε, ὥστε, κατεβάζοντας τὸν ἑαυτό του ἀπὸ τὰ πάνω ἀπὸ τὴν κτίση ὕψη, νὰ ἑνωθεῖ μὲ τὸν κόσμο καὶ νὰ γίνει ἕνα μέρος τοῦ κόσμου, ἐὰν δὲν εἶναι ἀνώτερος ἀπὸ τὸν κόσμο καὶ τὴν κτίση;

Β. Νομίζω πὼς θὰ δυσκολευθοῦν νὰ ἀπαντήσουν σ᾽ αὐτό.

Α. Γιὰ ποιὸ λόγο ὅμως μόνο αὐτὸς εἶναι ἐλεύθερος καὶ λυτρωτής, ἀφοῦ ὅλη ἡ κτίση σκύβει δουλικὰ τὸν αὐχένα της στὸν Θεό; Θὰ ἤμασταν ἄμυαλοι καὶ φλύαροι, φίλε μου, ἐὰν τοποθετούσαμε στοὺς κατὰ χάρη υἱοὺς τὸν Υἱὸ ποὺ προῆλθε ἀπὸ τὸν Θεὸν κατὰ φύση καὶ εἶναι συναιώνιος μὲ τὸν Θεὸ καὶ Πατέρα. Ποῦ λοιπὸν βρίσκεται καὶ ποιὸ εἶναι τὸ πρότυπό μας, ἐὰν κατεβαίνει μαζὶ μὲ μᾶς, ὡς πρὸς τὴ θέση καὶ τὴν μίμηση, καὶ αὐτὸς πρὸς τὸν ὁποῖο μεταμορφωνόμαστε;

Β. Νομίζω ὅτι ἔκανες πολὺ εὐκρινῆ καὶ σαφῆ τὸν λόγο γιὰ τὸ θέμα αὐτό. Πιστεύω ὅμως ὅτι οἱ ἀντίθετοι θὰ ποῦν· Δὲν ὑμνοῦν ὡς

*γάρ, ὦ γενναῖοι, φράσαι, ποίημα τὸν Υἱὸν ἱεροὶ μὲν ἄνωθεν ὑμνήκασι λόγοι, θεῖος δὲ καὶ μέγας ὁ τῶν ἀποστόλων ἔγνω χορός; Καίτοι Σολομῶν μέν φησι, τὸ τοῦ Υἱοῦ πρόσωπον ἐν προαγορεύσει ζωγραφῶν· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ». Ὅ γε μὴν τῶν ἄλλων ἔκκριτος Πέτρος· «Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός». Τί δὴ οὖν ἄρα φαῖμεν ἂν εἰ καὶ τοιοῖσδε πάλιν ἡμᾶς ἐκπολιορκοῖεν λόγοις;*

*Α. Τί δὲ δὴ ἕτερον, ἢ ὅπερ ἐστὶν ἀληθὲς εἰπεῖν, «Οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι»; Νοῦς γὰρ σοφίᾳ τῇ ἄνωθεν, ἣ ἐκ τοῦ τῶν φώτων καταχεῖται Πατρός, οὐ καταλαμπόμενος παχύς τέ ἐστι καὶ μέλας, καὶ τὴν ἐκ τῆς δυσμαθείας ἀχλὺν διεκδραμεῖν οὐχ οἷός τε. Καί μοι δοκεῖ τὴν οὕτως ἀπηχθημένην καταναρκῆσαι νόσον, ἀναμέλψαι τε οὕτω πρὸς Θεὸν τὸν θεσπέσιον Δαβίδ· «Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον». Ἄγε δὴ οὖν, γοργῷ τε καὶ ἀνανήφοντι νῷ, τὴν τῶν προκειμένων ἐκβασανίζοντες γνῶσιν, καὶ καθάπερ αἱ κυνῶν εὔρινοί τε καὶ καλαὶ τὴν ἄποπτον ἔτι καὶ τοῖς πονηροῖς οὐχ ἁλώσιμον ἰχνηλατῶμεν ἀλήθειαν. Ἐκτίσθαι μὲν γὰρ ὁμολογουμένως ἑαυτὸν εἴρηκεν ὁ Υἱός, οὐ μὴν ἀναιτίως τοῦτό γε ἔφη παθεῖν, πρὸς ἔργα δὲ μᾶλλον αὐτοῦ, καὶ «ἀρχὴν ὁδῶν αὐτοῦ», δῆλον δὲ ὅτι τοῦ Θεοῦ καὶ Πατρός. Οὐκοῦν ἡ κτίσις ἐν τούτοις κατασημήνειεν ἄν, οὐ τὴν ἐξ οὐκ ὄντων ποθέν, ἀλλὰ τὴν τοῦ ὄντος τε καὶ ὑφεστηκότος ἐπὶ τοιοῖσδέ τισι τοῖς πραχθησομένοις παραγωγήν, καθάπερ ἀμέλει καὶ τὸν ὑφαντήν, ἤγουν σιδηρέα τυχόν, ἔξω τοῦ τι δρᾶν ἑστῶτάς τε καὶ νοουμένους, ἡ τοῦ πρὸς ἔργα διανιστάντος θέλησις, ἐνεργὸν μὲν γενέσθαι ποιεῖ πρὸς ὅπερ ἂν ἑκάτερος ἐπιτηδείως ἔχοι, ὑπονοηθείη δ' ἂν οὐδαμῶς καὶ πρὸς τὸ εἶναι παρενεγκεῖν. Εἰ μὲν οὖν ἐπενηνεγμένου τὸ παράπαν οὐδενὸς τὸ «Κύριος ἔκτισέ με», φησὶν ὁ Υἱός, οὐκ ἀπίθανον κομιδῇ, τό γε ἧκον εἰς ὑποψίαν, ἦν ἂν αὐτοῖς τὸ θρυλλούμενον. Ἐπειδὴ δὲ οὐχ ἁπλῶς οὐδὲ ἀσυμπλόκως ἐκτίσθαι φησίν, ἀλλ' εἰς ἔργα καὶ ἀρχὴν ὁδῶν, τί μή, παρέντες τὸ ἀκαλλές,*

63. Παροιμ. 8, 22. 64. Πράξ. 2, 36. 65. Ψαλμ. 93, 22.

ποίημα τὸν Υἱὸ ἀπὸ πολὺ παλιὰ οἱ ἱεροὶ λόγοι, καὶ τὸν γνωρίζει ἔτσι ὁ θεῖος καὶ μεγάλος χορὸς τῶν ἀποστόλων; Ἀφοῦ ὁ Σολομών, προεικονίζοντας τὸ πρόσωπο τοῦ Υἱοῦ, λέγει· «Ὁ Κύριος μὲ ἔκτισε στὴν ἀρχὴ τῆς δημιουργίας ὡς δημιουργὸ τῶν ἔργων του»[63]. Ἀλλὰ καὶ ὁ πιὸ διακεκριμένος ἀπὸ τοὺς ἄλλους Πέτρος· «Ἂς γνωρίζει λοιπὸν καλὰ ὅλος ὁ Ἰσραηλιτικὸς λαός, ὅτι ὁ Θεὸς ἔκανε αὐτὸν καὶ Κύριο καὶ Χριστό»[64]. Τί θὰ μπορούσαμε λοιπὸν νὰ ποῦμε, ἐὰν μᾶς ξαναπολιορκήσουν καὶ μὲ τέτοιου εἴδους λόγια;

Α. Τί ἄλλο νὰ ποῦμε, παρὰ μόνο αὐτὸ ποὺ εἶναι ἡ ἀλήθεια; Γιατὶ ὁ νοῦς ποὺ δὲν φωτίζεται ἀπὸ τὴν οὐράνια σοφία, ἡ ὁποία παρέχεται μὲ ἀφθονία ἀπὸ τὸν Πατέρα τῶν φώτων, εἶναι παχὺς καὶ μαῦρος, καὶ δὲν μπορεῖ νὰ διαπεράσει τὴν ὁμίχλη τῆς δυσκολίας γιὰ μάθηση. Καὶ νομίζω ὅτι εὑρισκόμενος στὴν κατάσταση αὐτῆς τῆς τόσο μισητῆς νόσου τῆς ναρκώσεως ὁ θεόπνευστος Δαβὶδ ἔψαλε τὰ ἑξῆς πρὸς τὸν Θεό· «Φώτισε τὰ μάτια μου, γιὰ νὰ μὴ καταληφθῶ ἀπὸ τὸν θανατηφόρο ὕπνο»[65]. Ἐμπρὸς λοιπόν, μὲ γρήγορο καὶ νηφάλιο μυαλό, ἐρευνώντας προσεκτικὰ τὴ σημασία τῶν χωρίων αὐτῶν, καὶ σὰν τὰ καλὰ καὶ μὲ δυνατὴ ὄσφρηση σκυλιά, ἂς ἀκολουθήσουμε τὰ ἴχνη τῆς ἀόρατης ἀκόμα καὶ στοὺς πολλοὺς ἄπιαστης ἀλήθειας. Γιατὶ ὁμολογουμένως ὁ Υἱὸς εἶπε ὅτι κτίσθηκε, ἀλλὰ δὲν εἶπε ὅτι αὐτὸ τὸ ἔπαθε χωρὶς λόγο, ἀλλὰ γιὰ τὰ ἔργα αὐτοῦ καὶ τὴν ἀρχὴ τῶν ὁδῶν αὐτοῦ, δηλαδὴ τοῦ Θεοῦ καὶ Πατέρα. Ἑπομένως ἡ κτίση στὴν περίπτωση αὐτὴ δὲν μπορεῖ νὰ σημαίνει τὴν δημιουργία του ἀπὸ τὸ μηδέν, ἀλλὰ τὴν παραγωγὴ αὐτοῦ ποὺ ὑπῆρχε καὶ ὑφίστατο γι' αὐτὰ τὰ συγκεκριμένα ἔργα ποὺ ἐπρόκειτο νὰ γίνουν, ὅπως ἀκριβῶς καὶ τὸν εἰδικὸ στὴν ὑφαντικὴ τεχνίτη, ἢ τὸν σιδηρουργό, ἐνῶ ὑπάρχουν καὶ νοοῦνται ἔξω ἀπὸ τοῦ νὰ κάνουν κάτι, ἡ θέληση ἐκείνου ποὺ ἀποφάσισε νὰ κάνει ἔργα, ἐνεργοποιεῖ τὸν καθένα ἀνάλογα μὲ τὴν τέχνη στὴν ὁποία εἶναι εἰδικός, ἀλλ' αὐτὸ δὲν σημαίνει ὅτι τοὺς φέρνει στὴν ὕπαρξη. Ἐὰν λοιπὸν δὲν εἶχε προστεθεῖ τίποτε ἀπολύτως, τὸ «Ὁ Κύριος μὲ ἔκτισε», ποὺ λέγει ὁ Υἱός, δὲν θὰ ἦταν ἀπίθανο νὰ προκαλέσει τὴν ὑπόνοια, ὅτι μπορεῖ νὰ σήμαινε αὐτὸ ποὺ διαδίδουν. Ἐπειδὴ ὅμως δὲν λέγει ἁπλῶς καὶ χωρὶς προσθήκη ὅτι κτίσθηκε, ἀλλὰ ὅτι κτίσθηκε γιὰ τὰ ἔργα καὶ γιὰ τὴν ἀρχὴ τῶν ὁδῶν του, γιατί, ἀφήνοντας αὐτὸ τὸ ἄχαρο, δὲν προτιμοῦν τὸ καλύτερο, σκεπτόμενοι ὅτι ἔχει

*αἱροῦνται τὸ ἄμεινον, ἐννοοῦντες ὅτι γέγραπται περὶ Θεοῦ, «Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν»· Δοίης ἂν οὖν ἄρα γενητὸν εἶναι τὸν Θεόν, εἰ καί τῳ διαφημίζοιτο γενέσθαι καταφυγή;*

*Β. Οὐδ' ὁπωστιοῦν.*

*Α. Τί οὖν, εἰπέ μοι, μαθόντες ἑτεροκλινῆ καὶ δυσήνιον ἔχουσι τὸν νοῦν, καὶ πολυπλόκοις φενακισμοῖς οἱονεί τινι παντευχίᾳ χρώμενοι, κατακρούουσιν οἱ διεστραμμένοι, καίτοι δέον ἀπορθοῦν εἰς ἀλήθειαν εὖ μάλα φιλεῖν καὶ τὸ μὴ σφόδρα θεοπρεπῶς εἰρῆσθαι δοκοῦν, διὰ τὸ ἀνθρώπινον καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν τοῦ Υἱοῦ; Ἄλλως τε (φάναι γὰρ δὴ οἶμαι κἀκεῖνο πρέπειν), ὡς ἐκτίσθαι λέγων, προστέθεικεν ὅτι καὶ γεγέννηται. «Πρὸ γάρ τοι βουνῶν ἁπάντων γεννᾷ με», φησίν. Ἢ τοίνυν τὴν γέννησιν διὰ τὸ ἐκτίσθαι λέγειν ἀναιρήσομεν, ἢ τὸ ἐκτίσθαι μεθέντες γεγεννῆσθαι δώσομεν. Ἀντεξάγουσι γὰρ ἀλλήλαιν αἱ λέξεις τὰ δι' ἀμφοῖν δηλούμενα, ἀλλ' ἔχει τὸ ἀψευδὲς ἐν ἀμφοῖν ὁ λόγος. Οὐκοῦν ὁ αὐτὸς γεγέννηται μὲν ἐκ Πατρὸς ὡς Θεός, ἔκτισται δὲ αὖ κατὰ τὴν σάρκα. Καὶ ἀναπείθει πρὸς τοῦτο λόγος ἡμᾶς ἱερός· «Ἰδοὺ γάρ», φησίν, «ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός». Πῶς γὰρ ἂν γένοιτο μεθ' ἡμῶν Θεὸς ὢν ὁ Λόγος; Μῶν ἐγγύτητί τε καὶ σχέσει τῇ κατὰ τόπον καὶ νόμῳ σωμάτων; Εἶτα πῶς τοῦτο οὐκ ἀπηχές; Οὐκοῦν, ὅτε τὴν πρὸς ἡμᾶς εἰσδέδεκται συμμορφίαν καὶ τὸ τῆς δουλείας σμικροπρεπές, καὶ καθίκετο μεθ' ἡμῶν ἐν γενητοῖς ὁ ἀγένητος, τότε γέγονε μεθ' ἡμῶν, καίτοι τοσοῦτον ἀνεστηκώς τε καὶ ὑπερκείμενος, ὅσον ἂν νοοῖτο θεότητος φύσις πρὸς κτίσμα καὶ ποίημα. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Δαβὶδ ἀμετρήτοις τισὶ καὶ ἀσυγκρίτοις ὑπεροχαῖς τῶν καθ' ἡμᾶς ἠρμένον καὶ ἐν ἀρρήτοις ὄντα ταῖς δόξαις ἐκάλει πρὸς συμμορφίαν τὴν πρὸς ἡμᾶς τὸν ἐκ Θεοῦ πεφηνότα Μονογενῆ, ψάλλων τε καὶ λέγων· «Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν;». Ὁ γάρ τοι φύσεως νόμῳ διεστηκὼς καὶ τοῖς ἄλλοις ἅπασιν ἀσυμφυᾶ καὶ ἀνέμβατον ἀποτεμόμενος ἰδιότητα καὶ ὑπεροχὴν γέγονε μεθ' ἡμῶν, ὅτε τὴν ἑκού-*

---

66. Ψαλμ. 93,22. 67. Παρμ. 8,25. 68. Ἠσ. 7,14. Ματθ. 1,23. 69. Ψαλμ. 9,22.

γραφεῖ γιὰ τὸν Θεό, «Καὶ ἔγινε ὁ Κύριος καταφυγή μου»[66]; Θὰ μποροῦσες νὰ δεχθεῖς λοιπὸν ὅτι ὁ Θεὸς εἶναι κτιστός, ἐπειδὴ ἀπὸ κάποιον διαφημίζεται ὅτι ἔγινε καταφυγή;

Β. Μὲ κανένα τρόπο.

Α. Γιὰ ποιὸν λόγο λοιπὸν ἔχουν τὸν νοῦ τους κατηφορικὸ καὶ ἀνυπότακτο, καὶ χρησιμοποιώντας πολύπλοκες ἀπάτες σὰν κάποια πανοπλία, γκρεμίζουν, οἱ διεστραμμένοι, ἐνῶ ἔπρεπε νὰ προτιμοῦν νὰ ἐπανορθώνουν πρὸς τὴν ἀλήθεια μᾶλλον καὶ αὐτὸ ποὺ φαίνεται ὅτι δὲν ἔχει λεχθεῖ ὅπως ταιριάζει στὸν Θεό, ἐξαιτίας τῆς ἀνθρώπινης φύσεως καὶ τῆς ὁμοιώσεως τοῦ Υἱοῦ μὲ ἐμᾶς; Ἐξάλλου, πρέπει, νομίζω, νὰ πῶ καὶ ἐκεῖνο· ὅτι λέγοντας πὼς κτίσθηκε, πρόσθεσε καὶ ὅτι γεννήθηκε· γιατὶ λέγει· «Πρὶν ἀπὸ ὅλα τὰ βουνὰ μὲ γέννησε»[67]. Ἢ λοιπὸν πρέπει νὰ καταργήσουμε τὴ γέννηση, ἐπειδὴ λέγει ὅτι κτίσθηκε, ἤ, ἀφήνοντας τὸ ὅτι κτίσθηκε, νὰ δεχθοῦμε ὅτι γεννήθηκε. Γιατὶ ἀντιμάχονται οἱ λέξεις ἡ μιὰ τὴν ἄλλη μὲ αὐτὰ ποὺ δηλώνουν· ὅμως ὁ λόγος εἶναι ἀληθινὸς καὶ στὶς δύο. Ἑπομένως ὁ ἴδιος γεννήθηκε βέβαια ἀπὸ τὸν Πατέρα ὡς Θεός, ἀλλὰ καὶ κτίσθηκε ὡς πρὸς τὴ σάρκα του. Καὶ μᾶς πείθει γι' αὐτὸ ὁ ἱερὸς λόγος· γιατὶ λέγει· «Νά, ἡ Παρθένος θὰ μείνει ἔγκυος, καὶ θὰ γεννήσει υἱό, καὶ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ, τὸ ὁποῖο μεταφραζόμενο σημαίνει· Ὁ Θεὸς εἶναι μαζί μας»[68]. Πῶς λοιπὸν μποροῦσε νὰ ἔρθει μαζί μας ὁ Λόγος ἐνῶ ἦταν Θεός, παρὰ μόνο μὲ τὴν τοπικὴ ἐγγύτητα καὶ σχέση σύμφωνα μὲ τὸν νόμο τῶν σωμάτων; Καὶ πῶς αὐτὸ δὲν εἶναι ἀταίριαστο; Λοιπόν, ὅταν δέχθηκε τὴ δική μας μορφὴ καὶ τὴν ταπείνωση τοῦ δούλου, καὶ κατέβηκε μαζὶ μὲ μᾶς μεταξὺ τῶν κτιστῶν ὁ ἄκτιστος, τότε ἦρθε μαζί μας, ἂν καὶ ἦταν τόσο πιὸ πάνω καὶ ἀνώτερος, ὅσο νοεῖται ὅτι εἶναι ἡ φύση τῆς θεότητας πρὸς τὸ κτίσμα καὶ τὸ δημιούργημα. Γιατὶ καὶ ὁ θεσπέσιος Δαβίδ, αὐτὸν ποὺ ἦταν μὲ ἀμέτρητες καὶ ἀσύγκριτες ὑπεροχὲς πιὸ πάνω ἀπὸ μᾶς καὶ βρισκόταν μέσα σὲ ἀπερίγραπτα μεγαλεῖα, τὸν Μονογενῆ ποὺ προῆλθε ἀπὸ τὸν Θεό, τὸν καλοῦσε νὰ ἔρθει καὶ νὰ γίνει σὰν ἐμᾶς, ψάλλοντας καὶ λέγοντας· «Γιατί, Κύριε, στέκεσαι μακριά, καὶ μᾶς παραβλέπεις στὶς κρίσιμες περιστάσεις καὶ στὶς θλίψεις μας;»[69]. Γιατὶ αὐτὸς ποὺ διέφερε ὡς πρὸς τὸν νόμο τῆς φύσεως, καὶ εἶχε ἀπὸ ὅλα τὰ ἄλλα διαφορετικῆς φύσεως καὶ ἀπλησίαστα ἰδιώματα καὶ ὑπεροχή, ἦρθε μαζί μας, ὅταν δέχθηκε τὴν

σιον δι' ἡμᾶς ὑπέστη κένωσιν. Εἰ δὲ μὴ οὕτως ἔχειν ἐροῦσι, τὸ ἀπεῖργον ἔτι, καθάπερ ἐγῷμαι, παντελῶς οὐδὲν ἀνυποστόλως εἰπεῖν ὡς ἐρραψῴδηκε μάτην ὁ θεῖος ἡμῖν ἔν γε τουτῳὶ λόγος, μεθ' ἡμῶν γεγενῆσθαι λέγων τὸν Υἱὸν ὅτε γέγονεν ἄνθρωπος. Πότε γὰρ ἦν οὐ μεθ' ἡμῶν, εἴπερ ἐστὶ γενητός;

Β. Εὖ λέγεις

Α. Εἰ δὲ δὴ καὶ λέγοιτο Χριστὸς γενέσθαι καὶ Κύριος, ἐννοήσεις ὅτι κεκένωκεν ἑαυτόν, μέτρον ὑποδὺς τὸ δουλοπρεπὲς διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. Καὶ ἦν, οἶμαί που, σοφόν τε καὶ ἀναγκαῖον, οὐχὶ τοῖς καθ' ἡμᾶς, οὐδὲ τῇ τῆς σαρκὸς ἀδοξίᾳ τὴν θείαν ἡττᾶσθαι φύσιν, ἀναπότριπτον ἔχουσαν τῆς δουλείας τὸ κατηγόρημα καὶ τὴν εἰσποίητον ἀδοξίαν, ἀλλὰ τὸ ἐκ τῆς δουλείας σμικροπρεπὲς τῇ τῆς θεότητος δόξῃ παραχωρεῖν. Οὐκοῦν ἐπείπερ ἐν δούλοις κεχρημάτικε δι' ἡμᾶς, ἀνεφοίτησε δὲ αὖ εἰς τὴν ἐνοῦσαν αὐτῷ καὶ ἀναπόβλητον κυριότητα, καὶ φύσεως νόμοις ἐρηρεισμένην, Κύριος κεκλῆσθαι λέγεται, καὶ μεθ' ἡμῶν γενέσθαι διὰ τὸ ἀνθρώπινον. Εἰ δὲ δὴ μέλλοιμεν, τῆς ἀληθοῦς θεωρίας ἠφειδηκότες, ἐπιπλέκειν τῷ Λόγῳ πάντα τὰ σαρκός, ἤτοι διὰ τὴν σάρκα πεπραγμένα τε καὶ εἰρημένα, δυσσεβήσομεν οὐ μετρίως. Γέγονε γὰρ ὑπὸ νόμον· καὶ μὴν ὁρατός τε καὶ ἁπτὸς καὶ βραχύ τι παρ' ἀγγέλους, «καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη», καὶ τὸν οὕτως οἰκτρὸν ὑπέστη θάνατον. Ἀναθετέον οὖν ἄρα τῇ τοῦ Λόγου φύσει, καὶ εἰ δίχα νοοῖτο σαρκός, τὸ καὶ ἐν τούτοις εἶναι τυχὸν τοῖς ὧδε χθαμαλωτάτοις καὶ πολὺ νοσοῦσι τὸ δυσκλεές. Καὶ τί τὸ ἐντεῦθεν; Ἀπώλισθεν ὁ ἀγαπητὸς καὶ σύνεδρος τῷ Πατρὶ παντός, οἶμαι, λοιπὸν τοῦ πρὸς δόξαν αὐτὸν ἀνέχοντος τὴν θεοπρεπῆ, μᾶλλον δὲ κἂν γοῦν ἐν ἴσῳ τιθέντος τοῖς ἁγίοις ἀγγέλοις. Ἀνθότου δὴ οὖν, ὁ μὲν τοῖς θείοις ἐναγλαΐζεται θώκοις καὶ συνεδρεύει τῷ Πατρί, οἱ δὲ παρεστᾶσιν ἐν κύκλῳ, τὸ τῆς ὑπ' αὐτῷ δουλείας οὐκ ἀτιμάζοντες μέτρον; Καὶ ὁ μὲν ἔστι τε καὶ λέγεται Κύριος Σαβαώθ, οἱ δὲ ταῖς εἰς κυριότητα κα-

70. Ἑβρ. 2, 7. 71. Ἠσ. 53, 12. Λουκᾶ 22, 37. 72. Ἠσ. 53, 7. Πράξ. 8, 32.

ἑκούσια ταπείνωση. Καὶ ἐὰν ποῦν ὅτι δὲν εἶναι ἔτσι, τότε πιὰ δὲν τοὺς ἐμποδίζει τίποτε, ὅπως ἐγὼ νομίζω, νά ποῦν χωρὶς ντροπή, ὅτι ἄδικα ἔψαλε πρὸς ἐμᾶς ὁ θεῖος λόγος, λέγοντας ὅτι ἦρθε μαζί μας ὁ Υἱὸς ὅταν ἔγινε ἄνθρωπος. Γιατὶ πότε δὲν ἦταν μαζί μας, ἐὰν εἶναι κτιστός;

Β. Μιλᾶς σωστά.

Α. Καὶ ὅταν λοιπὸν λέγεται ὅτι ἔγινε Χριστὸς καὶ Κύριος, νὰ ἐννοεῖς ὅτι ταπείνωσε τὸν ἑαυτό του ὑποδυόμενος τὸ δουλοπρεπὲς μέτρο, ἐξαιτίας τῆς ὁμοιώσεώς του μὲ μᾶς. Καὶ ἦταν σοφό, νομίζω, καὶ ἀπαραίτητο, νὰ μὴ ἡττηθεῖ ἡ θεία φύση μὲ τὰ δικά μας, οὔτε μὲ τὴν ταπείνωση τῆς σάρκας, ἐπειδὴ ἔχει ἀνεξάλειπτη τὴν ἰδιότητα τῆς δουλείας καὶ τὴν πρόσθετη ταπείνωση, ἀλλὰ τὸ ὅτι παραχώρησε τὴ μικροπρέπεια τῆς δουλείας στὴ δόξα τῆς θεότητας. Ἑπομένως, ἐπειδὴ ἔγινε δοῦλος γιὰ χάρη μας καὶ ξαναγύρισε πάλι στὴν κυριαρχικὴ ἐξουσία ποὺ εἶχε καὶ ποὺ δὲν εἶχε ἀποβάλει, ἡ ὁποία ἦταν στηριγμένη στοὺς νόμους τῆς φύσεως, λέγεται ὅτι ὀνομάσθηκε Κύριος, καὶ ἦρθε μαζί μας διὰ τῆς ἐνανθρωπήσεώς του. Ἐὰν λοιπὸν πρόκειται, ἀψηφώντας τὴν ἀληθινὴ διδασκαλία, νὰ ἀναμίξουμε στὸν Λόγο ὅλα ὅσα ἀνήκουν στὴ σάρκα, δηλαδὴ ὅλα ὅσα ἔγιναν καὶ εἰπώθηκαν ἐξαιτίας τῆς σάρκας, θὰ ἀσεβήσουμε πάρα πολύ. Γιατὶ ὑποτάχθηκε στὸν νόμο, καὶ ἔγινε καὶ ὁρατὸς καὶ ψηλαφητός, καὶ κατά τι κατώτερος ἀπὸ τοὺς ἀγγέλους[70], «καὶ συγκαταλέχθηκε ἀνάμεσα στοὺς παρανόμους»[71], καὶ «ὁδηγήθηκε στὴν σφαγὴ σὰν πρόβατο»[72], καὶ ὑπέστη τὸν τόσο οἰκτρὸ θάνατο. Πρέπει λοιπὸν νὰ ἀποδώσουμε στὴ φύ-ση τοῦ Λόγου, καὶ ὅταν ἀκόμα νοεῖται χωρὶς σάρκα, ὅτι ἔχει ὑποστεῖ καὶ αὐτὰ ἐδῶ τὰ τόσο ταπεινὰ καὶ ἄτιμα. Καὶ τί βγαίνει ἀπὸ αὐτά; Ἀπομακρύνθηκε ὁ ἀγαπητός, αὐτὸς ποὺ καθόταν μαζὶ μὲ τὸν Πατέρα, ἀπὸ κάθε τι, νομίζω, ποὺ τὸν κρατοῦσε στὴ δόξα ποὺ ταιριάζει σὲ Θεό, ἢ μᾶλλον δὲν τοποθήθηκε οὔτε σὲ ἴση μοῖρα μὲ τοὺς ἁγίους ἀγγέλους. Τότε ὅμως γιὰ ποιὸν λόγο αὐτὸς βέβαια δοξάζεται καθισμένος σὲ θεϊκοὺς θρόνους καὶ συνεδριάζει μὲ τὸν Πατέρα, ἐνῶ ἐκεῖνοι παραστέκονται γύρω του, χωρὶς νὰ ἀτιμάζουν τὴ θέση τῆς δουλικῆς ὑποταγῆς τους σ᾽ αὐτόν; Καὶ αὐτὸς βέβαια εἶναι καὶ λέγεται Κύριος τῶν Δυνάμεων, ἐνῶ ἐκεῖνοι τὸν δοξάζουν μὲ ἐπευφημίες ποὺ ἀναφέρονται στὴν κυριαρχικὴ ἐξουσία, λέγοντας ὅτι ὁ οὐρανὸς

*ταγεραίρουσιν εὐφημίαις, πλήρη τε εἶναί φασι τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ;*[73] *Ἆρ᾽ οὖν οὐχὶ τὸ πεποιῆσθαι λέγειν τὸν ὧδε τεθαυμασμένον καὶ πρὸς τῶν ἐχόντων λῆξιν εὐκλείας, τῆς ἀνωτάτω ψυχρᾶς καὶ ἑώλου νόσημα φρενός;*

*Β. Παντάπασι μὲν οὖν· τἀμὰ γὰρ ἐν τούτοις. Φασὶ δ᾽ οὖν ὅμως εἰς ἔργα τοῦ Πατρὸς προβεβλῆσθαι τὸν Υἱὸν οὐχὶ μόνον ὅτε τὴν καθ᾽ ἡμᾶς ὑπέδυ μορφήν, ἀλλ᾽ ἐξ οὗ καὶ πέφηνεν, ἵνα δι᾽ αὐτοῦ τὰ πάντα ἐργάσαιτο, καθάπερ ὀργανικήν τινα τὴν ὑπουργίαν ἐν τοῖς κτίσμασι τὴν παρ᾽ ἑαυτοῦ κίνησιν συνεισφέροντος.*

*Α. Βαβαὶ τῆς οὕτω δεινῆς καὶ ἀκράτου θρασυστομίας! Ποίων γὰρ ἂν ἔτι φείσαιντο λόγων οἱ καὶ αὐτοῦ καταχέοντες τοῦ Θεοῦ καὶ Πατρὸς τὸ εἰκαιουργόν, καὶ τὸ ἥκιστα διαρκῆ πρὸς πᾶν ὁτιοῦν διακεκτῆσθαι δύναμιν τὴν δημιουργόν, ἀλλ᾽ ὁμοῦ μὲν τοῦ πρέποντος ἁμαρτεῖν, ἡττᾶσθαι δὲ οὕτω καὶ εὐσθενείας τῆς ἀνωτάτω;*

*Β. Πῶς;*

*Α. Ἢ οὐκ ἐννοεῖς καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο, ὡς εἴπερ ἦν ἄμεινον ταῖς ἑαυτοῦ κινήσεσιν ὀργανικὴν ὑπουργίαν ἀεὶ συνεισάγοντα δημιουργὸν ὁρᾶσθαι τὸν Θεὸν καὶ Πατέρα, πεφυκέναι τε οὕτως ἃ ἂν βούλοιτο κατορθοῦν, ἤγουν τὴν ἐκ ψόγου μὴ διαδρᾶναι γραφήν, εἴπερ ἴοι πρὸς ἔργα καθ᾽ ἕτερον τρόπον· πῶς οὐκ ἠδίκηκε τὸν Υἱόν, οὐκ ἐν ὀργάνῳ καὶ μεσιτείᾳ τινὸς ἑτέρου παρακομίζων εἰς ὕπαρξιν, ψιλὴν δὲ αὐτῷ καὶ μόνην τῆς ἑαυτοῦ δυνάμεως τὴν αὐτουργίαν δωρούμενος; Καὶ τὰ μὲν ἕτερα τῶν κτισμάτων, ἃ καὶ τῆς Υἱοῦ δόξης ἡττᾶσθαί φασι, τὸν ἄριστόν τε καὶ προὔχοντα τοῦ παρῆχθαι πρὸς ὕπαρξιν διεκληρώσατο τρόπον· ὁ δέ, καίτοι τοῖς οὕτω ὑπερκειμένοις πλεονεκτήμασιν ἐκτετιμημένος, τὸν αἰσχίω τε καὶ ἐν δευτέροις. Ἀλλ᾽ ἦν δήπου τυχόν, ἐροῦσί τινες, ἀμείνων ἡ αὐτουργία, καὶ ταύτης ἔλαχεν ὁ Υἱός. Εἶτα τί τὸ ἀναπεῖθον, ἀποκρινάσθων ἐκεῖνοι, τὴν ὑπερτάτην οὕτω καὶ ὑπὲρ θαῦμα βουλὴν τοῦ Πατρὸς μὴ οὐχὶ τὸν ἀμείνω τοῦ χείρονος ἀνθελέσθαι τρόπον ἕν γε τῷ χρῆναι δημιουργεῖν, ἀφαμαρτεῖν δὲ οὕτω τοῦ λίαν πρεπωδεστάτου, παραλόγως κατωκνηκότα πρὸς τὸ δεῖν ἑλέσθαι περαίνειν ἃ χρῆν;*

---

73. Ἠσ. 6,3.

καὶ ἡ γῆ εἶναι γεμᾶτα ἀπὸ τὴ δόξα του[73]; Ἄραγε τὸ νὰ λένε ὅτι δημιουργήθηκε αὐτὸς ποὺ θαυμάζεται μὲ τὸν τρόπο αὐτὸν ἀκόμα καὶ ἀπὸ τοὺς ἀγγέλους ποὺ βρίσκονται στὴν ψηλότερη δόξα, δὲν ἀποτελεῖ ἀσθένεια ψυχροῦ καὶ μεθυσμένου μυαλοῦ;

Β. Ἔτσι ἀκριβῶς εἶναι· γιατὶ κι᾽ ἐγὼ αὐτὴ τὴ γνώμη ἔχω. Λένε ὅμως ὅτι ὁ Υἱὸς ἔγινε γιὰ τὰ ἔργα τοῦ Πατέρα, ὄχι μόνο ὅταν φόρεσε τὴ δική μας μορφή, ἀλλὰ ἔγινε ἀπὸ ἐκεῖνον ποὺ προῆλθε, γιὰ νὰ κάνει μέσω αὐτοῦ ὅλα τὰ ἔργα του, προσφέροντας σὰν κάποια ὀργανικὴ ὑπηρεσία στὰ κτίσματα τὴν κίνηση ἀπὸ τὸν ἑαυτό του.

Α. Ἀλήθεια, πόσο τρομερὴ καὶ ἀχαλίνωτη αὐθάδεια! Ποιὰ λόγια θὰ μποροῦσαν νὰ ἀποφύγουν ἄραγε αὐτοὶ ποὺ ρίχνουν ἐναντίον τοῦ Θεοῦ καὶ Πατέρα τὸ ἄσκοπο τῆς δημιουργίας, καὶ ὅτι ἡ δημιουργική του δύναμη εἶναι μικρότερης διάρκειας ἀπὸ κάθε τι, ἀλλὰ καὶ ὅτι ἔκανε λάθος γι᾽ αὐτὸ ποὺ ἔπρεπε, καὶ στερεῖται ἔτσι τὴν ἀνώτατη δύναμη;

Β. Πῶς;

Α. Μὰ δὲν καταλαβαίνεις, πρὶν ἀπὸ ὅλα τὰ ἄλλα τοῦτο, ὅτι, ἐὰν ἦταν ἀνώτερο στὸν Θεὸ καὶ Πατέρα μὲ τὶς δικές του ἐνέργειες προσφέροντας πάντοτε ὀργανικὴ ὑπηρεσία, νὰ ἐμφανίζεται ὡς δημιουργὸς καὶ νὰ εἶναι ἔτσι ἀπὸ τὴ φύση του, καὶ νὰ κάνει ὅλα ὅσα ἤθελε, νὰ ἀποφύγει δηλαδὴ τὴν κατηγορία τῆς μομφῆς, ἐφόσον προχωροῦσε σὲ ἔργα μὲ ἄλλο τρόπο, πῶς δὲν ἀδίκησε τὸν Υἱὸ φέρνοντάς τον στὴν ὕπαρξη χωρὶς νὰ χρησιμοποιήσει ὡς ὄργανο καὶ μεσίτη κάποιον ἄλλον, ἀλλὰ χαρίζοντάς του τὴν ὕπαρξη μὲ μόνη τὴ δική του δημιουργικὴ ἐνέργεια; Καὶ τὰ ἄλλα βέβαια κτίσματα, τὰ ὁποῖα λένε ὅτι εἶναι κατώτερα σὲ δόξα ἀπὸ τὸν Υἱό, ἦρθαν στὴν ὕπαρξη μὲ τὸν καλύτερο καὶ ἐξέχοντα τρόπο, ἐνῶ αὐτός, ἂν καὶ ἦταν τιμημένος μὲ τόσο ἀνώτερα προτερήματα, ἦρθε στὴν ὕπαρξη κατὰ τρόπο χειρότερο καὶ ἄξιο γιὰ δευτερότερα. Ἀλλ᾽ ἴσως ποῦν κάποιοι, ὅτι ἡ προσωπικὴ ἐργασία τοῦ Πατέρα ἦταν ἀνώτερη, καὶ μὲ αὐτὴν ἔγινε ὁ Υἱός. Τότε ἂς ἀπαντήσουν ἐκεῖνοι, τί ἦταν ἐκεῖνο ποὺ ἔπεισε τὴν ὕψιστη καὶ ἀνώτερη ἀπὸ θαῦμα θέληση τοῦ Πατέρα νὰ μὴ προτιμήσει τὸν ἀνώτερο ἀπὸ τὸν χειρότερο τρόπο, ὅταν ἔπρεπε νὰ δημιουργήσει, ἀλλὰ νὰ ἀστοχήσει τόσο πολὺ ἀπὸ αὐτὸ ποὺ ἦταν τὸ πιὸ σωστό, ἀποφεύγοντας, χωρὶς λόγο, νὰ φέρει εἰς πέρας αὐτὰ ποὺ ἔπρεπε;

*Β. Ἄμεσον οὖν ἔδει, φησί, τοῖς κτίσμασιν ἐπαφεῖναι τὴν ἐνέργειαν τὸν τῶν ὅλων Πατέρα;*

*Α. Τί μήν, ὦ ἑταῖρε; Ὀργανικὴν δέ, εἰπέ μοι, καὶ ὑπουργικὴν τὴν ἐπικουρίαν εἰσδέχεσθαι λῷον ἦν αὐτῷ; Καίτοι τῶν ἐκτόπων ἐννοιῶν πάμπολυς ἡμῖν ἐντεῦθεν ἀνατελεῖ καὶ ἀναφανεῖται δῆμος. Τίς γὰρ ἂν γένοιτο τοῦ συνεργαζομένου χρεία τῷ Θεῷ καὶ Πατρί, ὀργάνου δὲ καὶ μεσίτου τίς ἡ ὄνησις οὐχ ὁρῶ. Εἰ μὲν γὰρ ἀληθῶς ἀναγκαίαν οἶδεν ἑαυτῷ τοῦ συγκτίζοντος τὴν συνεισδρομήν, καὶ χρειωδῶς παρεκόμισεν ἔν γε τουτῳὶ τὸν ἐπίκλην Υἱόν, τελοῦντά γε μὴν κατ' αὐτοὺς ἐν κτίσμασι, πῶς ἂν ἔχοι τὸ τελείως εὐσθενές, ἔν γε τῷ εἶναι δημιουργός, δι' ὀργάνου καὶ μόλις συλλέγων ἐν ἑαυτῷ τὸ ἀπηρτίσθαι τελείως πρὸς ὃ πεφυκέναι λέγεται; Καὶ τὸ ἔτι δύσφημον οὐκ ἐρῶ. Πλήρωμα γὰρ θεότητος πέφηνεν ἤδη τὸ γενητόν, καὶ τὸ ἐν τάξει παραληφθὲν τῇ ὑπουργικῇ, τῆς δημιουργικῆς δυνάμεως τοῦ Πατρὸς ἐπικούρημα χρειωδέστατον. Εἶτα πῶς, εἰπέ μοι, μεσολαβοῦντος οὐδενός, ἐξήρκεσεν ἂν εἰς τὴν Υἱοῦ ποίησιν, εἴπερ ἐστὶ γενητός, καίτοι μειζόνως τε καὶ ἀσυγκρίτως ὑπερκειμένου; Τιμαῖς γὰρ αὐτὸν ταῖς οὕτως ἀπατηλαῖς καταγοητεύειν ὑποκρίνονται, τὸ τῆς δυσφημίας ἀκαλλὲς κατερυθριῶντες, οἶμαί που. Ὁ δὲ δὴ πρὸς τὸ οὕτως ὑπερφερές τε καὶ ὑπερθρῶσκον ἀνεπικούρητός τε καὶ μόνος ἀρκέσας, πῶς ἂν ἠτόνησεν εἰς τὴν τῶν ὑποβεβηκότων ὑπόστασιν τὸν συνεργάτην οὐκ ἔχων; Ἆρ' οὖν οὐχὶ κατοιμώζειν ἄξιον τοὺς οἵ γε ταυτὶ καὶ διανοεῖσθαι μόνον οὐ καταπεφρίκασιν;*

*Β. Πῶς γὰρ οὔ; πλὴν ἀκούοις ἂν ἔτι. Μικρὸν γὰρ εἶναί φασι τῷ Θεῷ καὶ Πατρὶ τὸ ἐφ' ἅπασιν αὐτουργικόν.*

*Α. Ἄπαγε τῆς δυσφημίας, ἄνθρωπε· Λέγοις δ' ἂν εἰκότως, ὡς ἀπωτάτω τιθεὶς τῆς ἐπὶ τούτοις αἰτίας τὴν σεαυτοῦ ψυχήν· «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου· μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, σὺν ἀνθρώποις ἐργαζο-*

Β. Ἔπρεπε, λέγει, νὰ ἐμπιστευθεῖ ὁ Πατέρας τῶν ὅλων τὴν ἐνέργεια αὐτὴ ἄμεσα στὰ κτίσματα.

Α. Γιατί, φίλε μου; Ἦταν καλύτερο σ' αὐτόν, πές μου, νὰ δεχθεῖ καὶ τὴ βοήθεια κάποιων ὀργάνων καὶ συνεργατῶν; Ἀλλὰ ἀπὸ αὐτὸ ἐδῶ θὰ μποροῦσε νὰ προκύψει μεγάλο πλῆθος παράλογων σκέψεων. Τί τὸν χρειαζόταν δηλαδὴ τὸν συνεργάτη ὁ Θεὸς καὶ Πατέρας, καὶ δὲν βλέπω ποιὰ ἦταν ἡ ὠφέλεια ἀπὸ τὸ ὄργανο καὶ τὸν μεσίτη. Γιατί, ἐὰν θεωροῦσε πραγματικὰ ἀναγκαία γιὰ τὸν ἑαυτό του τὴ βοήθεια καὶ ἀπὸ ἀνάγκη ἔφερε γιὰ τὸν σκοπὸ αὐτὸ τὸν ἐπονομαζόμενο Υἱό, ὁ ὁποῖος ὅμως, σύμφωνα μ' αὐτούς, συγκαταλεγόταν μεταξὺ τῶν κτισμάτων, πῶς εἶναι δυνατὸν νὰ ἔχει τὴν πλήρη δύναμη, καὶ στὸ νὰ εἶναι δημιουργός, ὅταν μέσω κάποιου ὀργάνου, καὶ τὴν τελευταία στιγμή, συγκεντρώνει στὸν ἑαυτό του γιὰ νὰ συμπληρώσει τελείως αὐτὸ ποὺ λέγεται ὅτι εἶναι ἀπὸ τὴ φύση του; Καὶ δὲν θὰ πῶ τὸ πιὸ βλάσφημο. Γιατὶ τὸ κτιστὸ ἐμφανίζεται ἤδη ὡς συμπλήρωμα τῆς θεότητας, καὶ αὐτὸ ποὺ προσλήφθηκε σὲ θέση ὑπηρετική, ἀποδείχθηκε πάρα πολὺ ἀπαραίτητο βοήθημα τῆς δημιουργικῆς δύναμης τοῦ Πατέρα. Καὶ ἔπειτα, πές μου, πῶς, χωρὶς νὰ μεσολαβεῖ τίποτε, θὰ μποροῦσε νὰ κάνει τὸν Υἱό, ἐὰν βέβαια εἶναι κτιστός, ἀφοῦ ὑπερέχει πολὺ καὶ ἀσύγκριτα ἀπὸ τὰ κτίσματα; Γιατὶ νομίζω ἀπὸ μεγάλη ντροπὴ γιὰ τὴν ἀσχήμια τῆς βλασφημίας, ὑποκρίνονται ὅτι τοῦ προσδίδουν γοητεία περιβάλλοντάς τον μὲ τόσο ἀπατηλὲς τιμές. Αὐτὸς λοιπὸν ποὺ ἦταν ἱκανὸς νὰ δημιουργήσει μόνος αὐτὸ ποὺ ὑπερεῖχε καὶ ἦταν τόσο πολὺ ψηλά, χωρὶς βοήθεια, πῶς ἦταν δυνατὸν νὰ δείξει ἀδυναμία στὴ δημιουργία ἐκείνων ποὺ ἦταν κατώτερα χωρὶς νὰ ἔχει συνεργάτη; Δὲν εἶναι ἄραγε ἄξιοι γιὰ κλάματα αὐτοὶ ποὺ δὲν ἔφριξαν καὶ μόνο ποὺ ἔφτασαν νὰ τὸ σκεφθοῦν αὐτό;

Β. Πῶς δηλαδὴ ὄχι; Ὅμως εἶναι δυνατὸ νὰ ἀκούσεις καὶ ἄλλα. Γιατὶ λένε ὅτι εἶναι ταπεινωτικὸ γιὰ τὸν Θεὸ καὶ Πατέρα νὰ δημιουργήσει τὰ πάντα ὁ ἴδιος.

Α. Μακριὰ ἀπὸ τὴ βλασφημία, ἄνθρωπέ μου! Θὰ ἦταν πιὸ σωστό, ἀπομακρύνοντας τὴν ψυχή σου ἀπὸ τὴν αἰτία γι' αὐτά, νὰ λές· «Βάλε, Κύριε, φρουρὰ στὸ στόμα μου, καὶ πόρτα γύρω ἀπὸ τὰ χείλη μου· μὴ ἐπιτρέψεις νὰ ἐκτραπεῖ ἡ καρδιά μου σὲ λόγια πονηρά, ὥστε νὰ παρασυρθῶ σὲ προφάσεις ἁμαρτωλές, μαζὶ μὲ ἀνθρώπους ποὺ

*μένοις τὴν ἀνομίαν». Ὁ γάρ τοι σμικρὸν εἶναι λέγων τῷ Θεῷ καὶ Πατρὶ τὸ ἐφ᾿ ἅπασιν αὐτουργικὸν τύφου καὶ ἀλαζονείας αὐτὸν οὐκ ἀπηλλάχθαι φησί, ξυνωρίδα δὲ ταύτην αὐτῷ τῶν ὅτι μάλιστα βδελυρῶν καὶ ἀπηχθημένων ἀναθήσει παθῶν. Εἴη δ᾿ ἂν καὶ ἑτέρως ἀμαθής, ἀλλ᾿ οὐδὲ ὅποι πρόεισιν ὁ λόγος ἐννοῶν. Βουλοίμην δ᾿ ἂν ἔγωγε διαπυθέσθαι σου.*

*Β. Τὸ τί δή;*

*Α. Οὐ γὰρ γενητὸν εἶναί φασι τὸν Υἱόν;*

*Β. Ναί, ἀλλὰ τί μήν;*

*Α. Εἴπερ οὖν ὁρῷτο πρὸς ἡμῶν, κατά γε τὸ ἐγχωροῦν, ὅ τί ποτέ ἐστιν ἡ τῶν ὅλων κατάρχουσα φύσις, οὐ σμικρὸν ὀψόμεθα πᾶν αὐτῇ γενητόν;*

*Β. Σμικρὸν ὁμολογουμένως.*

*Α. Εἶτα τὸν μὲν Υἱὸν ἠξίου μόνον τε καὶ μόνως δημιουργεῖν, κατερυθριάσας δὲ ὥσπερ τὸ χρῆμα, μέτεισιν εὐθὺς καὶ ταῖς ἑτέρου δίδωσιν ἐνεργείαις τὸ καλεῖν εἰς ὕπαρξιν τὰ οὐκ ὄντα ποτέ. Καίτοι δόξης τε καὶ εὐφημίας ἡ παγκάλη τε καὶ παναρίστη μοῖρα τὸ δημιουργεῖν δύνασθαι τῷ Θεῷ, ὅτε καὶ διὰ τούτου τίς τε καὶ ὅσος ἐστὶ πρὸς ἡμῶν γινώσκεται. «Ἀπὸ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται», κατὰ τὸ γεγραμμένον. Εἰ δὲ δι᾿ ὧν γινώσκεται σμικρὰ λογιεῖται καὶ κατερριμμένα ταυτί, τὴν ἰδίαν αὐτὸς αἰσχυνεῖται φύσιν, ἀκαλλέστατά που, κατὰ τὸ εἰκός, ἔχουσαν εἰδώς. Καίτοι λίαν εὐκλεὲς παντὶ μὲν ἀνθρώπῳ, παντὶ δὲ ἀγγέλῳ, τὰ δι᾿ ὧν ἑκάτερον ὁρᾶσθαι πέφυκε τοῦθ᾿ ὅπερ ἐστὶ διακεκτῆσθαι τελείως, καὶ οὐδὲν ἂν οἷς ἔλαχεν ἐπερυθριάσοι ποτέ, τὸ τί κατὰ φύσιν ἐστὶν εἴπερ ἐθέλοι γινώσκεσθαι. Ἀνθότου δὴ οὖν ἐπαισχυνεῖται λοιπὸν οἷς ἂν ἔχοι Θεός, ἢ μῶμον ἡγήσαιτο τὰ δι᾿ ὧν ἂν νοοῖτο Θεός; Εἰ δὲ δὴ σμικρὸν αὐτῷ καὶ λόγου τοῦ μηδενὸς ἄξιον τὸ ποιῆσαι τὰ Σεραφὶμ καὶ παραγαγεῖν ἀγγέλους, τῆς ἰδίας φύσεως ἀναμετροῦντι τὸ μέγεθος καὶ τὴν ἐκπρεπεστάτην ὑπεροχήν, ἆρ᾿ οὐχὶ κατὰ τὸν ἴσον τρόπον σμικρὸν ἂν εἴη τὸ πρὸς αὐτῶν προσκυνεῖσθαί τε καὶ δοξολογεῖσθαι θέλειν; Ὧν γὰρ οὐκ εἶναι δημιουργὸς ἀξιοῖ, πῶς*

---

74. Ψαλμ. 140, 3-4.

75. Σοφ. Σολ. 13, 5.

κάνουν συστηματικὰ τὴν παρανομία»[74]. Γιατί ἐκεῖνος ποὺ λέγει ὅτι εἶναι ταπεινωτικὸ γιὰ τὸν Θεὸ καὶ Πατέρα τὸ νὰ δημιουργεῖ τὰ πάντα μόνος του, λέγει ὅτι ὁ Θεὸς δὲν εἶναι ἀπαλλαγμένος ἀπὸ ἔπαρση καὶ ἀλαζονεία, καὶ τοῦ ἀποδίδει αὐτὰ τὰ δύο σιχαμερὰ καὶ ἀπεχθῆ πάθη. Ἀλλὰ εἶναι καὶ κατὰ ἄλλον τρόπο ἀμαθής, μὴ κατανοώντας ποῦ πηγαίνει ὁ λόγος. Θὰ ἤθελα ὅμως ἐγὼ νὰ σὲ ρωτήσω.

Β. Ποιὸ δηλαδή;

Α. Δὲν λένε ὅτι ὁ Υἱὸς εἶναι κτιστός;

Β. Ναί, ἀλλὰ τί μ' αὐτό;

Α. Ἐὰν λοιπὸν βλεπόταν ἀπὸ μᾶς, ὅσο εἶναι δυνατόν, αὐτὸ ποὺ εἶναι ἡ φύση ἡ ὁποία τὰ ἐξουσιάζει ὅλα, δὲν θὰ βλέπαμε ὅτι εἶναι μικρὸ κάθε τι ποὺ εἶναι κτιστὸ ἀπὸ αὐτήν;

Β. Ὁμολογουμένως μικρό.

Α. Καὶ γι' αὐτὸ ζήτησε ἀπὸ τὸν Υἱὸ νὰ δημιουργεῖ μόνος καὶ κατὰ τρόπο μοναδικό, καὶ σὰν νὰ ἔννοιωσε ντροπὴ γιὰ τὸ ταπεινωτικὸ αὐτὸ ἔργο, πηγαίνει ἀμέσως καὶ ἀναθέτει στὶς ἐνέργειες ἄλλου τὸ νὰ καλεῖ στὴν ὕπαρξη αὐτὰ ποὺ δὲν ὑπῆρξαν ποτέ; Καὶ μάλιστα ὅταν ἡ ὡραιότερη καὶ ἄριστη σὲ δόξα καὶ τιμὴ πρόνοια, ἡ δύναμη δηλαδὴ τοῦ Θεοῦ νὰ δημιουργεῖ, γιὰ τὸ ποιὸς καὶ πόσος μεγάλος εἶναι αὐτός, γίνονται γνωστὰ σὲ μᾶς καὶ μέσω αὐτοῦ. Γιατί, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, «Ἀπὸ τὸ μεγαλεῖο καὶ τὴν ὡραιότητα τῶν δημιουργημάτων, κατ' ἀναλογία βλέπεται ὁ δημιουργός τους»[75]. Καὶ ἐὰν αὐτὰ μέσα ἀπὸ τὰ ὁποῖα γνωρίζεται θεωροῦνται μικρὰ καὶ περιφρονημένα, θὰ ντρέπεται ὁ ἴδιος τὴ φύση του γνωρίζοντας, ὅπως εἶναι φυσικό, ὅτι εἶναι ἄσχημη. Ἀλλ' ὅμως σὲ κάθε ἄνθρωπο καὶ σὲ κάθε ἄγγελο εἶναι πολὺ ὡραῖα αὐτὰ μέσω τῶν ὁποίων ἀπὸ τὴ φύση του τὸ καθένα φαίνεται αὐτὸ ποὺ πραγματικὰ εἶναι, ὅτι δηλαδὴ εἶναι τέλειο, καὶ τίποτε δὲν θὰ ντρεπόταν γι' αὐτὸ ποὺ εἶναι κατὰ φύση, ἐὰν θέλει νὰ γνωρισθεῖ. Γιὰ ποιὸ λόγο λοιπὸν θὰ ντραπεῖ ὁ Θεὸς γι' αὐτὰ ποὺ ἔχει, ἢ νὰ θεωρήσει ὡς ἐλάττωμα αὐτὰ μέσω τῶν ὁποίων κατανοεῖται ὁ Θεός; Καὶ ἂν εἶναι ταπεινωτικὸ γι' αὐτὸν καὶ ἀνάξιο λόγου τὸ ὅτι ἔκανε τὰ Σεραφὶμ καὶ δημιούργησε τοὺς ἀγγέλους, συγκρίνοντάς τους πρὸς τὸ μεγαλεῖο καὶ τὴν ἔξοχη ὑπεροχή του, ἄραγε γιὰ τὸν ἴδιο λόγο δὲν εἶναι μικρὸ νὰ θέλει νὰ προσκυνεῖται καὶ νὰ δοξολογεῖται ἀπὸ αὐτούς; Γιατὶ αὐτῶν ποὺ ἀπαξιώνει

*ἂν ἕλοιτο νοεῖσθαι Θεός; Ἐφίεται δὲ ἀνθότου τῆς πρὸς ἡμῶν τιμῆς καὶ λατρείας, εἰ μηδὲ παράγειν ἡμᾶς εἰς γένεσιν ἀξιοῖ; Πῶς δ' ἂν οὐχὶ τὴν ἰδίαν αὐτὸς κατασίνοιτο δόξαν, εἰ σμικρὸν ἡγήσαιτο τὸ δι' ὃ δοξάζεται;*

*Β. Πῶς δὴ οὖν ἄρα, φασίν, ἔκτισεν ὁ Πατὴρ τὰ πάντα δι' Υἱοῦ;*

*Α. Ὡς διὰ Λόγου καὶ σοφίας καὶ τῆς ἐνούσης ἰσχύος αὐτῷ. Πάντα γὰρ ταῦτά ἐστιν ὁ Υἱὸς τῷ Πατρί· ἀλλ' ὧδέ πῃ τόδε διαγυμνάζωμεν, οἶμον ἰόντες τὴν βασιλικὴν καὶ κατ' εὐθὺ τῆς ἀληθείας διάττοντες. Ἦ γὰρ οὐχὶ συννεύσειας ἄν, καὶ λίαν ἑτοίμως, ὡς εἴπερ εἶναί φαμεν τὸν Πατέρα δημιουργόν, ἕψεταί που πάντως καὶ τὸ χρῆναι νοεῖν ὡς οὔτε ἄναλκις οὔτε ἄσοφος ὤν, οὔτε μὴν Λόγου δίχα δημιουργεῖ;*

*Β. Ἕψεται γὰρ οὖν. Τοιγάρτοι φησὶ μὲν ὁ Μελῳδός· «Πάντα ἐν σοφίᾳ ἐποίησας». Τὴν δὲ τοῦ παντὸς γένεσιν τρανότερον ἐξηγούμενος, ἀνεκεκράγει λέγων ὁ προφήτης Ἱερεμίας· «Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανόν».*

*Α. Τί δέ; Οὐχὶ σοφίᾳ τε καὶ ἰσχύϊ καὶ μὴν καὶ φρονήσει Θεοῦ τὰ πάντα ἐκτίσθαι διαρρήδην ἡμῖν ἀναγράφοντος Ἠσαΐου, πάντα δι' Υἱοῦ γενέσθαι φησὶν ὁ σοφὸς Ἰωάννης; «Πάντα», γάρ, ἔφη, «δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν».*

*Β. Ναί. Τί οὖν τοῦτό γε;*

*Α. Ὅτι σοφία καὶ δύναμις ὢν τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς ἡμῖν ἀναπέφανται.*

*Β. Πῶς γὰρ ἢ πόθεν τοῦτο ἀμφίλογον;*

*Α. Οὐκοῦν, ἄγε δὴ φράσον, πότερα, τὸν Υἱὸν ἐν σοφίᾳ καὶ συνέσει καὶ δυνάμει τοῦ Πατρὸς παρῆχθαι πρὸς ὕπαρξιν, ἤγουν ἀσόφως τε καὶ ἀσυνέτως καὶ ἀσθενῶς ἡγώμεθα; Γενητὸν γὰρ εἶναί φασι.*

*Β. Καὶ μὴν τοῦτό γέ ἐστι παντάπασιν ἀμαθές. Οὐ γὰρ ἦν ὅτε σοφίας ἦν δίχα καὶ δυνάμεως ὁ Πατήρ.*

*Α. Εὖ λέγεις. Ἐπαινέσομαι γὰρ οὖν ὀρθὰ καὶ δίκαιά σε φρονεῖν ᾑρημένον. Ἀλλὰ τί πρὸς ταῦτα φαῖεν ἂν οἱ τοῖς γενητοῖς*

---

76. Ψαλμ. 103,24. 77. Ἰερ. 10,12. 78. Ἰω. 1,4. 78α. Α' Κορ. 1,24.

νὰ εἶναι δημιουργός, πῶς θέλει νὰ θεωρεῖται Θεός τους; Καὶ γιὰ ποιὸ λόγο ἐπιθυμεῖ τὴ δική μας τιμὴ καὶ λατρεία, ἐφόσον ἀπαξιώνει νὰ μᾶς φέρει στὴν ὕπαρξη; Καὶ πῶς δὲν βλάπτει τὴ δική του δόξα, ἐὰν θεωρεῖ ταπεινό αὐτό γιὰ τὸ ὁποῖο δοξάζεται;

Β. Τότε γιατί, λένε, ὁ Πατέρας ἔκτισε τὰ πάντα διὰ τοῦ Υἱοῦ;

Α. Ἐπειδὴ τὰ ἔκτισε διὰ τοῦ Λόγου καὶ τῆς σοφίας καὶ τῆς δύναμης ποὺ ὑπάρχει μέσα σ' αὐτόν. Γιατὶ ὅλα αὐτὰ εἶναι γιὰ τὸν Πατέρα ὁ Υἱός. Ἀλλὰ ἂς τό ἐρευνήσουμε αὐτὸ κατὰ τὸν ἑξῆς τρόπο, ἀκολουθώντας τὴ βασιλικὴ ὁδό, καὶ πηγαίνοντας κατ' εὐθεῖαν στὴν ἀλήθεια. Ἢ μήπως δὲν θὰ συμφωνήσεις, καὶ πολὺ πρόθυμα μάλιστα, ὅτι, ἀφοῦ λέμε ὅτι ὁ Πατέρας εἶναι δημιουργός, κατ' ἀνάγκην πρέπει νὰ σκεφθοῦμε, ὅτι δὲν δημιουργεῖ οὔτε χωρὶς δύναμη, οὔτε χωρὶς σοφία, οὔτε χωρὶς Λόγο;

Β. Φυσικά, κατ' ἀνάγκη. Γι' αὐτὸ ἄλλωστε ὁ Ψαλμωδὸς λέγει· «Ὅλα τὰ ἔκανες μὲ σοφία»[76], ἐνῶ ὁ προφήτης Ἱερεμίας, διηγούμενος κατὰ τρόπο μεγαλοπρεπέστερο, ἀναφωνεῖ λέγοντας· «Ὁ Κύριος εἶναι ἐκεῖνος ποὺ δημιούργησε τὴ γῆ μὲ τὴν ἄπειρη δύναμή του, ἀνόρθωσε τὴν οἰκουμένη μὲ τὴ σοφία του, καὶ μὲ τὴ σύνεσή του ἅπλωσε τὸν οὐρανό»[77].

Α. Τί λοιπόν; δὲν μᾶς λέγει ὁ Ἱερεμίας ὁλοκάθαρα, ὅτι μὲ τὴ σοφία καὶ δύναμη, ἀλλὰ καὶ μὲ σύνεση τοῦ Θεοῦ ἔγιναν τὰ πάντα, καὶ ὁ σοφὸς Ἰωάννης, ὅτι ὅλα ἔγιναν διὰ τοῦ Υἱοῦ; Γιατὶ «ὅλα», εἶπε, «ἔγιναν δι' αὐτοῦ, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε»[78].

Β. Ναί. Καὶ τί σημαίνει αὐτό;

Α. Δίνεται ἡ ἐπιβεβαίωση σὲ μᾶς, ὅτι ὁ Υἱὸς εἶναι σοφία καὶ δύναμη τοῦ Θεοῦ[78α].

Β. Πῶς ὅμως καὶ ἀπὸ ποῦ αὐτὸ εἶναι ἀμφίβολο;

Α. Ἐμπρὸς λοιπόν, πές μου, ποιὸ ἀπὸ τὰ δύο· πιστεύουμε ὅτι ὁ Υἱὸς ἦρθε στὴν ὕπαρξη μὲ τὴ σοφία καὶ σύνεση καὶ δύναμη τοῦ Πατέρα, ἢ χωρὶς σοφία καὶ σύνεση καὶ δύναμη; Γιατὶ λένε ὅτι εἶναι κτιστός.

Β. Μὰ αὐτό εἶναι πλήρης ἀμάθεια· γιατὶ ποτὲ ὁ Πατέρας δὲν ἦταν χωρὶς σοφία καὶ δύναμη.

Α. Σωστὰ μιλᾶς. Σὲ ἐπαινῶ λοιπὸν ἐπειδὴ προτίμησες νὰ πιστεύεις ὀρθὰ καὶ δίκαια. Τί θὰ ἔλεγαν ὅμως γι' αὐτὰ ἐκεῖνοι ποὺ κατατάσ-

*ἐναρίθμιον καταγράφοντες τὸν Υἱόν; Εἰ γὰρ ἦν μὲν οὐκ ἀεί, νόμῳ δὲ κτίσεως χρόνῳ παρήχθη πρὸς ὕπαρξιν, καίτοι σοφία καὶ δύναμις καὶ σύνεσις ὢν τοῦ Πατρός, ἀσθενῆ καὶ ἄναλκιν ἄσοφόν τε καὶ ἀσύνετον ὁμολογήσουσιν εἶναι πρὸ αὐτοῦ τὸν Πατέρα, πεποιῆσθαί τε δώσουσι τὸν Υἱὸν ἀσόφως τε καὶ ἀνάνδρως, καίτοι πλουσίῳ περιχεόμενον θαύματι, καὶ οὐκ ἐν οἷς ἡ κτίσις, ἀλλ' ἐν ἀσυγκρίτοις ὄντα ταῖς ὑπεροχαῖς. Εἰ δὲ δὴ καταμειδιῶντος αὐτῶν παντός, οἶμαι, λόγου, τὸ τῆς δυσφημίας αἶσχος παρωθούμενοι, καὶ αὐτὸν ἐν σοφίᾳ καὶ δυνάμει τοῦ Πατρὸς παρῆχθαι πρὸς γένεσιν οἰήσονται δεῖν, ἀναγκαῖον ὁμολογεῖν ὡς αὐτὸς ἑαυτοῦ πρεσβύτερος ἔσται λοιπὸν καὶ πρός γε τούτῳ δημιουργός. Ὑπέστησε γὰρ ἑαυτὸν ὁ Υἱός, εἴπερ ὢν αὐτὸς ἡ πᾶσα σοφία καὶ ἡ δύναμις τοῦ Πατρός, ἐν δυνάμει τῇ ἑαυτοῦ καὶ σοφίᾳ γέγονε. Συνίῃς οὖν ὅπως πανταχῇ καταρρεῖ πρὸς τὸ ἀκαλλὲς ὁ λόγος;*

*Β. Καὶ πάνυ.*

*Α. Παραδειχθείη δ' ἂν οὐ σὺν ἱδρῶτι πολλῷ καὶ καθ' ἕτερον τρόπον ἠλίθιον κομιδῇ τὸ δόγμα αὐτοῖς. Φέρε γὰρ δή, τὴν τοῦ Θεοῦ φύσιν ταῖς ἐγχωρούσαις ἐννοίαις ὡς ἔνι διαμετρήσαντες, τίς τε καὶ ὁπόση καὶ ἅπερ ἂν αὐτῇ πρέποι πολυπραγμονῶμεν, ὦ τᾶν. Πότερα δὲ χρῆναι δημιουργεῖν πιστεύωμεν, ἀφορμὴν εἰς ὕπαρξιν τοῖς γενητοῖς τὸ εἶναι θέλειν αὐτὰ διανέμουσαν, καὶ τὸ δεῖν ὑπάρξαι μόνον τοῖς οὐκ οὖσί ποτε κατανεύουσαν, διαπεραίνειν τε οὕτω τὴν σύμπασαν κτίσιν, ἤγουν ὑπουργίαν ἔχοντα τὴν ὀργανικήν, καὶ τὴν ἐκ τοῦ μεσιτεύοντος ἐπικουρίαν ὡς ἀναγκαίαν παρειλημμένην, οἷον εἴ καί τις ἀνδρὶ λιθουργῷ τὰ δι' ὧν ἔσται λιθουργὸς καὶ ποιητὴς ὧν οἶδε παρατεθεῖσθαι λέγοι;*

*Β. Εἶτα τίς, εἰπέ μοι, καταρνήσαιτ' ἂν ὅτι πάμπολυ τὸ θεοπρεπὲς ἔν γε τῷ θελήσει μόνῃ δημιουργεῖν;*

*Α. Ἄριστα ἔφης· ἐπείτοι καὶ ὁ θεῖος Μωσῆς ὧδέ πη καὶ οὐχ ἑτέρως παρέδειξεν ἡμῖν δημιουργοῦντα Θεόν. Εἶπε γάρ, φησίν, ὁ Θεός· «Γενηθήτω στερέωμα, καὶ ἐγένετο οὕτως», συνεκφαινομένης τάχα που τῇ τῶν λόγων ἐκδρομῇ τῆς τῶν ἔργων πληρώσεως, μελλησμοῦ τε μηδενὸς τὸν μεσίτην, κατ' ἐκείνους, καὶ ὑπουργὸν*

79. Γέν. 1,6.

σουν τὸν Υἱὸ μεταξὺ τῶν κτιστῶν; Γιατί, ἐὰν δὲν ὑπῆρχε πάντοτε, καὶ ἦρθε στὴν ὕπαρξη σύμφωνα μὲ τὸν νόμο τῆς δημιουργίας, μολονότι ἦταν σοφία καὶ δύναμη καὶ σύνεση τοῦ Πατέρα, πρέπει νὰ ὁμολογήσουν, ὅτι πρὶν ἀπὸ αὐτὸν ὁ Πατέρας ἦταν ἐξασθενημένος καὶ ἀνίσχυρος, καὶ ἄσοφος καὶ ἀσύνετος, καὶ νὰ δεχθοῦν ὅτι ἔκανε τὸν Υἱὸ χωρὶς σοφία καὶ κατὰ τρόπο ἀνάρμοστο σὲ ἄνδρα, ἂν καὶ περιβάλλεται ἀπὸ πολλὰ θαύματα καὶ δὲν εἶναι ἴδιος μὲ τὰ κτιστά, ἀλλὰ ὑπερέχει ἀσύγκριτα. Ἐὰν πάλι, ἐνῶ εἶναι καταγέλαστος κάθε λόγος τους, ὅπως νομίζω, ἐπιμένοντας στὸ αἶσχος τῆς βλασφημίας, πιστεύούν ὅτι εἶναι ἀναγκαῖο νὰ ὁμολογήσουν ὅτι καὶ αὐτὸς ἦρθε στὴν ὕπαρξη μὲ τὴ σοφία καὶ τὴ δύναμη τοῦ Πατέρα, τότε ὁ ἴδιος θὰ εἶναι μεγαλύτερος τοῦ ἑαυτοῦ του, ἀλλὰ καὶ δημιουργός. Δημιούργησε δηλαδὴ ὁ Υἱὸς τὸν ἑαυτό του, ἀφοῦ, ὄντας αὐτὸς ὅλη ἡ σοφία καὶ δύναμη τοῦ Πατέρα, ἔγινε μὲ τὴ δική του δύναμη καὶ σοφία. Καταλαβαίνεις λοιπὸν ὅτι ἀπὸ παντοῦ καταρρέει ὁ λόγος σὲ ἀσχήμια;

Β. Καὶ πολὺ μάλιστα.

Α. Μπορεῖ ὅμως χωρὶς πολὺν κόπο νὰ ἀποδειχθεῖ καὶ μὲ ἄλλον τρόπο πολὺ ἠλίθιο τὸ δόγμα τους. Ἐμπρὸς λοιπόν, ἀφοῦ μὲ τὶς ἐπιτρεπόμενες ἔννοιες ἐρευνήσαμε τὴ φύση τοῦ Θεοῦ, ἂς ἀσχοληθοῦμε, φίλε μου, διεξοδικὰ μὲ τὸ ποιὰ καὶ πόσο μεγάλη καὶ ποιὰ ἰδιώματα ἁρμόζουν σ᾽ αὐτήν. Γιὰ ποιὸ ἀπὸ τὰ δύο πιστεύουμε ὅτι ἔπρεπε νὰ δημιουργήσει· δίνοντας ἀφορμὴ στὰ κτιστὰ νὰ θέλουν νὰ ἔρθουν στὴν ὕπαρξη, καὶ δίνοντας τὴ συγκατάθεσή της νὰ ὑπάρξουν μόνο σ᾽ αὐτὰ ποὺ δὲν ὑπῆρξαν ποτέ, καὶ νὰ ὁλοκληρώσει ἔτσι τὴ δημιουργία ὅλης τῆς κτίσεως, ἢ ἔχοντας ὀργανικὴ ὑπηρεσία καὶ παίρνοντας ὡς ἀπαραίτητη τὴ βοήθεια τοῦ μεσίτη, ὅπως, γιὰ παράδειγμα, λέγει κάποιος σ᾽ ἕναν λιθοξόο, ὅτι τοῦ παραδίνει τὰ ἐργαλεῖα μὲ τὰ ὁποῖα θὰ γίνει λιθοξόος καὶ κατασκευαστὴς αὐτῶν ποὺ γνωρίζει;

Β. Καὶ ποιὸς θὰ ἀρνιόταν, πές μου, ὅτι ταιριάζει πάρα πολὺ στὴ θεία φύση τὸ νὰ θέλει μόνη νὰ δημιουργεῖ;

Α. Πάρα πολὺ σωστὰ μίλησες· γιατὶ καὶ ὁ θεῖος Μωϋσῆς κάπως ἔτσι μᾶς ἀπέδειξε ὅτι δημιουργεῖ ὁ Θεός, καὶ ὄχι μὲ ἄλλον τρόπο. Γιατὶ λέγει· «Εἶπε ὁ Θεός· ἂς γίνει ὁ οὐράνιος θόλος, καὶ ἔγινε ἔτσι»[79], ποὺ φαίνεται ὅτι μαζὶ μὲ τὴν ἐκφορὰ τῶν λόγων ἐκπληρώθηκε καὶ τὸ ἔργο, χωρὶς καμμιὰ χρονοτριβὴ νὰ ὑποδηλώνει, ὅπως ἰσχυρίζονται

*ἐνεργοῦντά τε καὶ ὀργανικῶς κινούμενον ὑποφαίνοντος. Ἔργου γὰρ ὥσπερ ὑπόστασις ὁ λόγος ἦν, καὶ ψιλὸν τὸ νεῦμα τοῦ μὴ ὄντος ἡ πῆξις, καὶ ἐν μόνῳ τῷ θέλειν τῶν ποιουμένων ἡ γένεσις. Ὅτε τοίνυν ἄριστόν τε καὶ πρεπωδέστατον τῷ Θεῷ καὶ Πατρὶ τὸ ὧδε δημιουργεῖν, τί τήν, οὐκ οἶδ' ὅπως, μᾶλλον δὲ φληνάφως ἐξευρημένην ἐπικουρίαν αὐτῷ τοῦ μεσίτου καὶ ὑπουργοῦ προσνέμουσι, χρειωδέστατον Υἱὸν πεποιῆσθαι λέγοντες, ἵνα ὑπηρετοῖτο δι' αὐτοῦ πρὸς τὰ λοιπὰ τῶν κτισμάτων; Ἠγνοήκασι γάρ, ὡς ἔοικεν, ὅτι, καίτοι γενητὸν καὶ τελεῖν ἐν κτίσμασι διαβεβαιούμενοι τὸν Υἱόν, ἀμείνω τε καὶ ἀξιολογώτερον ἀποφαίνουσι τοῦ Πατρός.*

*Β. Τίνα τρόπον;*

*Α. Εἰ διὰ μεσίτου μὲν ἀναγκαίως ὁ Πατήρ, ἐν δέ γε μόνῳ τῷ θέλειν καὶ νεύμασιν ὁ Υἱὸς ἃ ἂν βούλοιτο κατορθοῖ, λεπρῷ μὲν λέγων ἐπ' ἐξουσίας, «Θέλω, καθαρίσθητι», θανάτῳ δὲ ἤδη κατισχημένους ἀνακομίζων εἰς ζωήν, καὶ μὴν τυφλοῖς ἐνιεὶς τὸ τριπόθητόν τε καὶ ἄηθες φῶς, ἆρ' οὖν οὐχὶ τὸν μεσίτην καὶ ὑπουργόν, ἤγουν τὸν φύσει δημιουργὸν ἐν εὐκλείαις ὄντα ταῖς ἄγαν περιφανεστέραις καταθρήσαι τις ἄν, οὐχ ὑπερεστήξει δὲ οὕτω τοῦ τεχνίτου τὸ ὄργανον;*

*Β. Ἔοικεν.*

*Α. Καίτοι τί δή ποτε τὴν ἐπὶ τῷ χρῆναι φρονεῖν ὀρθῶς σκέψιν τε καὶ θέλησιν ὡς ἕωλον ἀτιμάζοντες, ἀπροβούλευτον ποιοῦνται τὴν ἐπὶ τὰ χείρω ῥοπήν, καὶ ἐπὶ μόνον ἵενται τὸ σφίσι δοκοῦν, οὐδὲ ἐκεῖνό που τάχα διενθυμούμενοι, ὡς οὐκ ἂν ἐργάσαιτό ποτε τὸ ἀνθρώπου ποίημα τὰ ὧνπερ ἂν αὐτὸς εἴη δημιουργός, οὐδ' ἂν τὸ ὑπό του τεχνουργούμενον τῆς τοῦ τεχνουργοῦντος οὐσίας τὸ φύσει τε καὶ ἀληθῶς ἴδιον εὖ μάλα διακεκτήσεται, καὶ τοῦτο ἀπαραλλάκτως;*

*Β. Πῶς γάρ; Ἐπεί τοι καὶ τὸ ἔμπαλιν ἀληθές. Τέκτων γὰρ ἤ, φέρε εἰπεῖν, χαλκουργός, οὐκ ἂν γένοιντό ποτε τὰ τέχνης ἔργα, χαλκουργικῆς ἢ τεκτονικῆς.*

*Α. Ὀρθῶς ἔφης· καί σε τῆς ἄγαν ἀγχινοίας ἄγαμαί τε καὶ ἐπαινέσας ἔχω. Τίνα δὴ οὖν τρόπον, εἴπερ ἐστὶ γενητὸς ὁ Υἱός,*

---

80. Λουκᾶ 5, 13.

ἐκεῖνοι, κάποιον μεσίτη καὶ βοηθὸ ποὺ ἐνεργεῖ καὶ κινεῖται ὀργανικά. Γιατὶ ὁ λόγος ἔδινε ὑπόσταση καὶ τὸ ἁπλὸ νεῦμα τοῦ Θεοῦ τὴν κατασκευὴ αὐτοῦ ποὺ δὲν ὑπῆρχε, καὶ ἡ δημιουργία τῶν κτισμάτων γινόταν μόνο μὲ τὴ θέληση τοῦ Θεοῦ. Ὅταν λοιπὸν εἶναι ἄριστο καὶ πάρα πολὺ ταιριαστὸ στὸν Θεὸ καὶ Πατέρα τὸ νά δημιουργεῖ μὲ τὸν τρόπο αὐτόν, γιατί τοῦ ἀποδίδουν τὴ βοήθεια τοῦ μεσίτη καὶ ὑπηρέτη, τὴν ὁποία δὲν ξέρω πῶς τὴν ἔχουν ἐφεύρει κατὰ τρόπο φλύαρο, λέγοντας ὅτι ὁ Υἱὸς ἦταν ἀπαραίτητος, γιὰ νὰ ὑπηρετεῖται δι' αὐτοῦ ὁ Πατέρας στὴ δημιουργία τῶν ὑπόλοιπων κτισμάτων; Γιατὶ φαίνεται πὼς ἀγνοοῦν, ὅτι, ἂν καὶ διακηρύττουν ὅτι ὁ Υἱὸς εἶναι κτιστὸς καὶ ἀνήκει στὰ κτίσματα, τὸν παρουσιάζουν ἀνώτερον καὶ ἀξιολογώτερον ἀπὸ τὸν Πατέρα.

Β. Μὲ ποιὸν τρόπο;

Α. Ἐὰν ὁ Πατέρας δημιουργεῖ ἀναγκαστικὰ μέσω μεσίτου, ἐνῶ ὁ Υἱός κάνει μόνο μὲ τὴ θέληση καὶ τὰ νεύματά του αὐτά ποὺ θέλει νὰ κάνει, λέγοντας στὸν λεπρὸ μὲ ἐξουσία, «Θέλω, καθαρίσου»[80], καὶ φέρνοντας στὴ ζωὴ ἐκείνους ποὺ εἶχαν νικηθεῖ ἤδη ἀπὸ τὸν θάνατο, ἀλλὰ καὶ δίνοντας στοὺς τυφλοὺς τὸ πολυπόθητο καὶ ἀσυνήθιστο φῶς, ἄραγε δὲν θὰ παρατηρήσει κανεὶς ὅτι ὁ μεσίτης καὶ ὑπηρέτης, καὶ ὄχι ὁ κατὰ φύση δημιουργός, βρίσκεται σὲ περίοπτη δόξα, καὶ δὲν θὰ ὑπερέχει ἔτσι τὸ ὄργανο ἀπὸ τὸν τεχνίτη;

Β. Ἔτσι φαίνεται.

Α. Γιατί λοιπόν, περιφρονώντας σὰν ἄσκοπη τὴν ἀνάγκη νὰ σκέφτονται καὶ νά θέλουν σωστά, τρέπονται ἀπερίσκεπτα πρὸς τὰ χειρότερα καὶ ἀκολουθοῦν αὐτὸ ποὺ μόνο σ' αὐτοὺς φαίνεται σωστό, χωρὶς νὰ θυμοῦνται οὔτε αὐτό, ὅτι δηλαδὴ δὲν θὰ μποροῦσε τὸ δημιούργημα τοῦ ἀνθρώπου νὰ κατασκευάσει αὐτὰ τῶν ὁποίων δημιουργὸς εἶναι αὐτός, οὔτε ὅτι αὐτὸ ποὺ κατασκευάζεται ἀπὸ κάποιον, ἔχει κατὰ φύση καὶ πραγματικὰ τὸ ἰδίωμα τῆς οὐσίας τοῦ τεχνίτη, καὶ μάλιστα κατὰ τρόπο ἀπαράλλακτο;

Β. Πῶς δηλαδὴ; Ἄλωστε εἶναι ἀλήθεια καὶ τὸ ἀντίθετο. Γιατὶ ποτέ, λόγου χάρη, δὲν μποροῦν τὰ ἔργα τῆς χαλκουργικῆς ἢ τῆς ξυλουργικῆς τέχνης νὰ γίνουν ξυλουργοὶ ἢ χαλκουργοί.

Α. Σωστὰ τὸ εἶπες· καὶ σὲ θαυμάζω γιὰ τὴ μεγάλη ἑτοιμότητα τοῦ πνεύματός σου, καὶ σὲ ἔχω ἐπαινέσει γι' αὐτό. Μὲ ποιὸ τρόπο λοι-

*ἰσουργήσει μὲν ἀπαραλλάκτως τῷ Θεῷ καὶ Πατρί, καὶ τὸ τῆς ἀνωτάτω πασῶν οὐσίας ἴδιον καὶ ἐξαίρετον ἐν ἰδίᾳ φύσει λαχών, καλεῖ μὲν ὡς ὄντα τὰ οὐκ ὄντα ποτέ, παραφέρει δὲ οὕτως εὐσθενέστατα καὶ ἀμογητὶ πρὸς ὕπαρξιν, ὡς ἔν γε τῷ βεβουλῆσθαι μόνον ἀποπεραίνεσθαι τὴν δημιουργίαν; Ἢ οὐχ ὧδε δημιουργήσειεν ἂν καὶ αὐτὸς ὁ Πατήρ, ἀποχρῶσαν ἔχων εἰς τοῦτο τὴν ἰδίαν φύσιν, καὶ ἀνεπικούρητον παντελῶς ὑπό του τῶν γενητῶν τὴν ἐνέργειαν;*

*Β. Ὧδε ἔχει.*

*Α. Ὥσπερ οὖν οὐχ οἷά τε τὰ ἐξ ἀνθρωπείας χειρός τε καὶ ἐπιστήμης ἐκτετεχνημένα δρᾶν τε καὶ ἐνεργεῖν τὰ αὐτοῦ, κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον τε καὶ λόγον οὐκ ἂν ἐργάσαιτο τὰ Θεοῦ τὰ θείας ἔργα χειρός. Ἐπειδὴ δὲ δεδημιούργηκέ τε καὶ ἐνήργηκεν ὁ Υἱός, οὐ τοῖς ἄλλοις ἅπασιν ἀναμὶξ φιλοτέχνημα καὶ αὐτὸς θείας ἔσται χειρός, οὔτε μὴν ἐξ οὐκ ὄντων παρῆκται δημιουργός, οὐσιωδῶς δὲ μᾶλλον τὸ χρῆμα διεκληρώσατο, καὶ οὐ μεῖον ἢ ὥσπερ ἂν ἔχοι καὶ αὐτὸς ὁ Πατήρ.*

*Β. Ἀλλ' ἐνεργούμενος, φησίν, ὑπὸ τοῦ Πατρὸς ἐνεργεῖ τὰ περὶ τὴν κτίσιν. Ἔφη γάρ που καὶ αὐτός· «Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός». Καὶ πάλιν· «Τὰ ἔργα ἃ ἐγὼ ποιῶ οὐκ ἔστιν ἐμά, ἀλλὰ τοῦ πέμψαντός με».*

*Α. Ταυτὶ μὲν οἶδ' ὅτι προσθεῖεν ἂν ἡμῖν οἱ δι' ἐναντίας· πεπαύσονται γὰρ οὐδαμῶς παρασημαίνοντες τὴν ἀλήθειαν καὶ τὰ οἷσπερ ἂν ἕποιτο νοεῖσθαι σοφῶς, εἰ περιτρέποιντο πρὸς οἰκονομίαν τὴν μετὰ σαρκός, κακουργότατα κιβδηλεύοντες. Εἰ μὲν οὖν ἄπαρνοί τε καὶ ἀπόψηφοι παντελῶς περὶ τὸ Χριστοῦ μυστήριον μειρακιωδῶς γεγονότες, παρωθοῖντο τοῦ Λόγου τὴν μετὰ σαρκὸς οἰκονομίαν, μεταπλαττόντων ἀβούλως ἐπὶ τὸ σφίσι δοκοῦν ἃς ἂν βούλοιντο φωνάς. Εἰ δὲ δὴ συννεύσειαν ὀρθὰ φρονεῖν ᾑρημένοις, ὅτι, Θεὸς ὢν ὁ Λόγος, γέγονε σὰρξ καὶ κεχρημάτικεν ἄνθρωπος, τί τὸ τῆς οἰκονομίας ἀδικοῦσι σοφόν, καὶ τοὺς ὅτι μάλιστα πρεπωδεστάτους αὐτῇ μεταρυθμίζουσι λόγους ἐφ' ὅπερ ἂν*

81. Ἰω. 14, 10. 82. Ἰω. 14, 12.

πόν, ἐὰν ὁ Υἱὸς εἶναι κτιστός, μπορεῖ νὰ κάνει ἔργα ἴσα πρὸς ἐκεῖνα τοῦ Θεοῦ καὶ Πατέρα; Καὶ πῶς ἔχοντας τὸ ἐξαίρετο ἰδίωμα τῆς ἀνώτατης ἀπὸ ὅλα οὐσίας στὴ δική του φύση, καλεῖ σὰν νὰ εἶναι ὑπαρκτὰ αὐτὰ ποὺ ποτὲ δὲν ὑπῆρξαν, καὶ τὰ φέρνει στὴν ὕπαρξη μὲ τόσο μεγάλη δύναμη καὶ χωρὶς κόπο, ὥστε μόνο μὲ τὴ θέλησή του νὰ συντελεῖται ἡ δημιουργία; Ἢ μήπως δὲν θὰ μποροῦσε μὲ τὸν ἴδιο τρόπο καὶ ὁ ἴδιος ὁ Πατέρας νὰ τὰ δημιουργήσει, ἀφοῦ εἶχε ἐπαρκῆ γιὰ τὸν σκοπὸ αὐτὸν τὴ φύση του καὶ ἡ ἐνέργειά του δὲν εἶχε ἀνάγκη ἀπὸ τὴ βοήθεια τῶν κτιστῶν;

Β. Ἔτσι εἶναι.

Α. Ὅπως λοιπὸν τὰ ἔργα τοῦ ἀνθρώπινου χεριοῦ καὶ τῆς τέχνης δὲν θὰ μποροῦσαν νὰ κάνουν καὶ νὰ ἐνεργήσουν αὐτὰ ποὺ κάνει ἐκεῖνο, κατὰ τὸν ἴδιο, πιστεύω, τρόπο καὶ λόγο, οὔτε τὰ ἔργα τοῦ θεϊκοῦ χεριοῦ θὰ μποροῦσαν νὰ κάνουν ὅσα κάνει ὁ Θεός. Ἐπειδὴ ὅμως καὶ ὁ Υἱὸς δημιούργησε καὶ ἐνήργησε, δὲν μπορεῖ καὶ αὐτὸς νὰ εἶναι ἔργο τοῦ θεϊκοῦ χεριοῦ, ἕνας μέσα σὲ ὅλα τὰ ἔργα, οὔτε ἔγινε δημιουργὸς ἀπὸ τὸ μηδέν, ἀλλὰ τὸ ἰδίωμα αὐτὸ τὸ ἔχει κατ' οὐσία, καὶ ὄχι σὲ μικρότερο βαθμὸ ἀπὸ ὅ,τι τὸ ἔχει καὶ ὁ ἴδιος ὁ Πατέρας.

Β. Λέγει ὅμως, ὅτι ἐνεργούμενος ἀπὸ τὸν Πατέρα δημιουργεῖ τὴν κτίση. Γιατὶ καὶ ὁ ἴδιος λέγει κάπου· «Τὰ λόγια ποὺ σᾶς λέγω, δὲν τὰ λέγω ἀπὸ τὸν ἑαυτό μου, ἀλλὰ ὁ Πατέρας ποὺ μένει μέσα μου, αὐτὸς κάνει τὰ ἔργα»[81]. Καὶ πάλι· «Τὰ ἔργα ποὺ κάνω ἐγώ, δὲν εἶναι δικά μου, ἀλλὰ ἐκείνου ποὺ μὲ ἔστειλε»[82].

Α. Γνωρίζω βέβαια ὅτι αὐτὰ θὰ μᾶς τὰ προβάλουν οἱ ἀντίθετοι· γιατὶ δὲν θὰ παύσουν ποτὲ παρερμηνεύοντας τὴν ἀλήθεια, καὶ αὐτὰ ποὺ εἶναι ἑπόμενο νὰ σκεφθοῦν μὲ σωφροσύνη, ἐὰν στραφοῦν πρὸς τὴν ἔνσαρκο οἰκονομία, νοθεύοντάς τα μὲ πολλὴ κακουργία. Ἐὰν λοιπὸν ἔγιναν κατηγορηματικὰ ἀρνητὲς καὶ ἀπορρίπτουν μὲ τὴν ψῆφο τους ἐντελῶς τὸ μυστήριο τοῦ Χριστοῦ κατὰ τρόπο ἀνόητο, ἀποκρούοντας τὴν ἔνσαρκο οἰκονομία τοῦ Λόγου, ἑρμηνεύουν χωρὶς νὰ θέλουν ὅπως τοὺς ἀρέσει ὅσα λόγια θέλουν. Ἐὰν πάλι συμφωνοῦν μὲ αὐτοὺς ποὺ προτιμοῦν νὰ πιστεύουν ὀρθά, ὅτι ὁ Λόγος, ὄντας Θεός, ἔλαβε σάρκα καὶ ἔγινε ἄνθρωπος, τότε γιατί ἀδικοῦν τὴ σοφία τῆς θείας οἰκονομίας, καὶ μεταστρέφουν τὸ νόημα τῶν λόγων, ποὺ ταιριάζουν πάρα πολὺ σ' αὐτήν, ἐκεῖ ὅπου θέλουν, καὶ ὅσο ἐξαρτᾶται

*ἕλοιντο, καὶ τό γε εἰς αὐτοὺς ἧκόν τε καὶ βλέπον ἀντιφέρεσθαι παραπείθουσι τῇ τοῦ Μονογενοῦς φύσει τε καὶ δόξῃ; Ἰουδαῖοι μὲν γὰρ οἱ τάλανες, ταῖς ὑπὲρ νόμον εἰσηγήσεσι καὶ Μωσαϊκὴν στενολεσχίαν διαπρέποντα τὸν Χριστόν, καὶ προσέτι τοῖς ὑπὲρ λόγον τερατουργήμασιν, ὑπεράγασθαι δέον, καὶ κατακροτεῖν ἐπαίνοις, καὶ δοξολογεῖν ὡς Θεόν, τοῦτο μὲν οὐκ ἔδρων, παραθηγόμενοι πρὸς ὀργάς· φθόνῳ δὲ ὥσπερ πάντα σείοντες κάλων, ἐπὶ τὸ δεῖν ἑλέσθαι συκοφαντεῖν ἀφιλοθέως διώλισθον. Τοιγάρτοι καὶ ἔφασκον, ὁτὲ μὲν ὅτι, «Οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων», ὁτὲ δὲ αὖ· «Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις;». Ἀλλ' ἦν πως ἔτι σκληρὸν καὶ τῆς ἐντέχνου οἰκονομίας ὡς ἀπωτάτω τοῖς οὕτω διακειμένοις ὡς εἴη μὲν ἀληθῶς ἐκ Θεοῦ Θεός, πέφηνε δὲ δι' ἡμᾶς καθ' ἡμᾶς καὶ γέγονεν ἄνθρωπος, ἀναφανδὸν εἰπεῖν· Εἰμὶ μέν, ὦ οὗτοι, σοφία καὶ δύναμις, ἐγὼ δὲ τῶν παραδόξων ὁ τεχνουργός, καὶ οὐκ εἰσποίητον ἔχων τὴν ἐξουσίαν, οὔτε μὴν ὀθνείοις ἐπαυχῶν ἀξιώμασιν, ἀλλ' ἰδικῶς τοῖς ἐμοῖς. Οὐ γὰρ ἂν εἰ τάδε ἔφη διεκαρτέρουν οἵ γε καὶ τοῖς οὕτω μετρίοις ἐπέτριζον λόγοις, καὶ κυνηδὸν ἐπιθρώσκοντες, καθυλακτεῖν ἐπετόλμων, εἴ πού τι καὶ παρεφθέγξατο τῶν τῆς ἀνθρωπότητος ἐπέκεινα μέτρων. Ὑποτεμνόμενος τοίνυν αὐτῶν τῆς ἀβελτηρίας τὸ πολύ, καὶ παρακομίζων κατὰ βραχὺ πρὸς ἀμείνω διάσκεψιν, καὶ ἀστείως ἀποφέρων τοῦ μὴ δεῖν οἴεσθαι τὸν τῶν ὅλων Δεσπότην καὶ Θεὸν ἐν Βεελζεβοὺλ ἐνεργεῖν, τὴν τῶν ἀποτελεσμάτων λαμπρότητα τῇ ἀφράστῳ δυνάμει προσνέμει τοῦ Πατρός, καὶ τῇ θείᾳ μᾶλλον ἀνάπτει φύσει τὰ αὐτῇ μάλιστα πρεπωδέστατα. Ὡς δὲ ὑπάρχων αὐτὸς ἐν Πατρὶ καὶ τὸν ἴδιον ἔχων ἐν ἑαυτῷ γεννήτορα, διά γε τὸ ταὐτὸν ἀπαραποιήτως καὶ οὐσιωδῶς, τὸν Πατέρα ἔφασκεν ἐν ἑαυτῷ μένοντα τὰ ἔργα πληροῦν. Οὐ γάρ τοι κατὰ τὸ ἀληθὲς οἴοιτό τις ἄν, εἴ γε νοῦν ἔχοι, τὸ Θεῷ πρέπον τε καὶ ἰδικῶς ἀνακείμενον ἔργον εἶναι σαρκός, ἤγουν ἀνθρωπότητος, εἰ νοοῖτο μόνη καὶ καθ' ἑαυτήν. Οἶμαι*

83. Κάλως, ω· χονδρὸ σχοινί, παλαμάρι. Φράση παροιμιακή, ποὺ σημαίνει ἐχρικὴ διάθεση.

84. Ματθ. 12,24.

85. Ματθ. 13,54.

ἀπὸ αὐτοὺς παρασύρουν τοὺς ὀπαδούς τους νὰ ἀντιστέκονται στὴ φύση καὶ τὴ δόξα τοῦ Μονογενοῦς; Γιατὶ οἱ ταλαίπωροι Ἰουδαῖοι, ἐνῶ ἔπρεπε νὰ θαυμάζουν τὸν Χριστὸ καὶ νά τὸν ἐπιδοκιμάζουν μὲ ἐπευφημίες καὶ νὰ τὸν δοξολογοῦν ὡς Θεόν, ποὺ διέπρεπε μὲ τὴν ἀνώτερη ἀπὸ τὸν νόμο καὶ τὴ μωσαϊκὴ λεπτολογία διδασκαλία του, ἀλλὰ καὶ μὲ τὰ θαύματά του, ποὺ ξεπερνοῦσαν τὴ λογική, αὐτὸ βέβαια δὲν τὸ ἔκαναν, παρακινούμενοι σὲ ὀργισμένες ἐκδηλώσεις, καὶ ἐπισείοντες ἐναντίον του ἀπὸ φθόνο κάθε κάλω[83], ἔφτασαν νὰ νομίζουν ὅτι πρέπει νὰ τὸν συκοφαντοῦν ἀσεβῶς. Γι᾽ αὐτὸ καὶ ἔλεγαν, ἄλλοτε, ὅτι «αὐτὸς ἐκδιώκει τὰ δαιμόνια μὲ τὸν ἄρχοντα τῶν δαιμονίων Βεελζεβούλ»[84], καὶ ἄλλοτε πάλι· «Ἀπὸ ποῦ προέρχονται αὐτὴ ἡ σοφία του καὶ οἱ θαυματουργικὲς δυνάμεις του;»[85]. Ἀλλ᾽ ἦταν κάπως σκληρὸ ἀκόμα καὶ ἀπόμακρο τῆς θείας οἰκονομίας γι᾽ αὐτοὺς ποὺ βρίσκονταν σ᾽ ἐκείνη τὴν κατάσταση, τὸ ὅτι ἦταν πραγματικὰ Θεὸς ποὺ προῆλθε ἀπὸ τὸν Θεό, καὶ φανερώθηκε γιὰ χάρη μας σὰν ἐμᾶς, καὶ ἔγινε ἄνθρωπος, γιὰ νὰ πεῖ ὁλοφάνερα· Εἶμαι βέβαια, φίλοι μου, σοφία καὶ δύναμη ἐγὼ καὶ τεχνίτης ὅλων τῶν παραδόξων, καὶ δὲν ἔχω ἐπίκτητη τὴν ἐξουσία, οὔτε καυχῶμαι γιὰ ξένα ἀξιώματα, ἀλλὰ ἀποκλειστικὰ γιὰ τὰ δικά μου. Γιατί, ἐὰν τὰ ἔλεγε αὐτά, δὲν θὰ τὸν ἀνέχονταν, αὐτοὶ ποὺ καὶ γιὰ τὰ τόσο μέτρια λόγια του ἔτριζαν ἐναντίον του τὰ δόντια καὶ ὁρμοῦσαν σὰν σκυλιά, τολμώντας νὰ γαυγίζουν κάθε φορὰ ποὺ ἔλεγε κάτι ποὺ ἦταν πέρα ἀπὸ τὰ ἀνθρώπινα μέτρα. Ἀποκόπτοντας λοιπὸν τὴ μεγάλη βλακεία τους καὶ ὁδηγώντας τους λίγο λίγο πρὸς ἀνώτερη διανοητικὴ κατανόηση καὶ ἀπομακρύνοντας τους μὲ τρόπο εὐφυῆ ἀπὸ τὸ νὰ πιστεύουν ὅτι ὁ Δεσπότης τῶν ὅλων καὶ Θεὸς ἐνεργεῖ στὸ ὄνομα τοῦ Βεελζεβούλ, τὰ ἐντυπωσιακὰ ἀποτελέσματα τῶν ἐνεργειῶν του τὰ ἀποδίδει στὴν ἀπερίγραπτη δύναμη τοῦ Πατέρα, καὶ ἀνάγει στὴ θεία φύση αὐτὰ ποὺ τῆς ταιριάζουν. Καὶ ἐπειδὴ αὐτὸς ὑπάρχει μέσα στὸν Πατέρα, καὶ ἔχει μέσα του ἐκεῖνον ποὺ τὸν γέννησε, καὶ ἀπὸ τὸ γεγονὸς ὅτι ταυτίζονται ἀπαράλλακτα καὶ οὐσιαστικά, ἔλεγε ὅτι ὁ Πατέρας μένει μέσα του καὶ κάνει τὰ ἔργα. Γιατὶ δὲν πρέπει νὰ νομίζει κανεὶς ἀληθινά, ἂν ἔχει μυαλό, ὅτι αὐτὸ ποὺ ταιριάζει στὸν Θεὸ καὶ ἀποτελεῖ ἰδιαίτερο γνώρισμά του, εἶναι ἔργο τῆς σάρκας, δηλαδὴ ἀνθρώπινης φύσεως, νοουμένης μόνης καὶ καθεαυτήν. Καὶ δὲν νομίζω ὅτι ὁ

*δὲ οὔτι που τῆς ἀναγκαίας τε ἅμα καὶ ἀληθοῦς ἐννοίας ἀφαμαρτεῖν τὸν λόγον.*

*Β. Οὐ γὰρ οὖν· ἔχει γὰρ ὀρθῶς*

*Α. Φαίην δ' ἄν, ὅτι καὶ τοῖς σφῶν αὐτῶν διαμαχοῦνται λόγοις, ἐνεργούμενον ἐνεργεῖν εἴπερ οἴονται τὸν Υἱόν, καὶ πρός γε δὴ τούτῳ καὶ εἰς αὐτὸν τὸν Πατέρα δυσσεβήσειν ἔτι.*

*Β. Φράσον ὅπως· νοεῖν γὰρ οὐκ ἔχω.*

*Α. Οὐ γάρ, ὦ φιλότης, τὸ δοτὸν ὁτῳοῦν ὑπὸ ὁτουοῦν, καὶ ἀφαιρετέον εἴη ἄν, εἰ καὶ μὴ ἀφαιροῖτο τυχόν, ἐννενοηκότος οὔπω τινὸς τὸ ἀφελέσθαι δεῖν, ὃς ἐὰν οἷός τε ᾖ τοῦτο δρᾶν; Τὸ δὲ δὴ τοῖς τῆς φύσεως νόμοις οὐκ ἐρηρεισμένον, εἰσποίητον δὲ καὶ θύραθεν, οὐκ ἀπόβλητον ἔσται τισὶ τῷ παθεῖν δύνασθαι τὴν ἀποβολήν, καὶ εἰ μὴ πάθοι τυχόν;*

*Β. Καὶ μάλα.*

*Α. Θέα δὴ οὖν ὅσον ἔν γε τουτῳὶ κατὰ τοῦ Μονογενοῦς τὸ δυσσέβημα. Εἰ γὰρ ἐνεργούμενος ἐνεργεῖ καὶ δοτὸν αὐτῷ παρὰ τοῦ Πατρὸς τὸ ἰσχῦσαι δημιουργεῖν, τί τὸ λυποῦν ἔτι μεθ' ἡμῶν εἰπεῖν, «Χάριτι Θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη», καὶ «Χάρις δὲ ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ»; πῶς ἂν ἔτι διακηρύξειεν, εἴπερ ἕλοιτο μὴ ψευδομυθεῖν ὁ σοφώτατος Παῦλος; Πῶς γὰρ ἂν γένοιτο χάριτος τῷ Πατρὶ συνδοτὴρ ὁ χάριν ἔχων ἐφ' ἑαυτῷ; Λογισμοῦ δέ, οἶμαι, τοῦ καθήκοντός τε καὶ ἀληθοῦς ἀφεστήξειεν ἂν οὔτι που, τὸν Μονογενῆ καὶ Υἱὸν εἴπερ οἴοιτό τις ὅτι τὸ δημιουργεῖν εἰκαῖον αὐτῷ, καὶ ἀπρακτήσει ποτέ, παρελέσθαι τὸ δοτὸν ἐθελήσαντος τοῦ Πατρὸς καὶ τῆς Υἱοῦ φύσεως ἀποσοβῆσαι τὴν ἐνέργειαν, ὑφ' ἧς, ὥς φασι, κινούμενος, δέδεικται ποιητής. Τὸ γὰρ ὑπό του κινούμενον, κατηρεμήσειεν ἄν, εἰ μὴ κινοῖτο τυχόν, ὅτε δὴ φύσεως ἰδίας καρπὸν οὐκ ἔχει τὴν κίνησιν.*

*Β. Ἀληθές.*

*Α. Καὶ πρός γε δὴ τούτῳ, τὸ δεινὸν αὐτοῖς καὶ πικρὸν ἕωλον ἔσται σόφισμα.*

---

86. Α' Κορ. 15, 10.

87. Α' Κορ. 1, 3.

λόγος αὐτὸς ξεφεύγει ἀπὸ τὴν ἀναγκαία καὶ συγχρόνως ἀληθινὴ σκέψη.

Β. Καθόλου· γιατὶ εἶναι σωστός.

Α. Θὰ ἔλεγα μάλιστα, ὅτι ἀντιμάχονται καὶ τὰ ἴδια τους τὰ λόγια, ἐὰν νομίζουν ὅτι ὁ Λόγος ἐνεργεῖ ὄχι ἀπὸ δική του βούληση, καὶ ἀσεβοῦν καὶ πρὸς τὸν ἴδιο τὸν Πατέρα ἀκόμα.

Β. Πές μου πῶς· γιατὶ δὲν μπορῶ νὰ τὰ καταλάβω.

Α. Αὐτὸ ποὺ δίνεται ἀπὸ κάποιον σὲ κάποιον, φίλε μου, δὲν μπορεῖ καὶ νὰ ἀφαιρεθεῖ, ἔστω καὶ ἂν δὲν ἀφαιρεῖται τυχόν, ἐπειδὴ κάποιος σκέφθηκε ὅτι δὲν πρέπει ἀκόμα νὰ ἀφαιρεθεῖ, ἂν μποροῦσε νὰ τὸ κάνει αὐτό; Καὶ αὐτὸ ποὺ δὲν στηρίζεται στοὺς νόμους τῆς φύσεως καὶ εἶναι πρόσθετο καὶ ἔρχεται ἀπ᾽ ἔξω, δὲν μπορεῖ νὰ ἀποβληθεῖ ἀπὸ κάποιους, ἀφοῦ μπορεῖ νὰ πάθει αὐτὴ τὴν ἀποβολή, ἔστω καὶ ἂν αὐτὸ δὲν γίνει ποτέ;

Β. Καὶ βέβαια.

Α. Πρόσεχε λοιπὸν πόσο μεγάλη εἶναι ἡ ἀσέβεια ἐναντίον τοῦ Μονογενοῦς. Γιατί, ἐὰν ἐνεργεῖ ὄχι ἀπὸ μόνος του καὶ ἔχει δοτὴ ἀπὸ τὸν Πατέρα τὴ δύναμη νὰ δημιουργεῖ, τί εἶναι αὐτὸ ποὺ τοὺς στενοχωρεῖ ἀκόμα νὰ ποῦν μαζὶ μὲ μᾶς, «Μὲ τὴ χάρη τοῦ Θεοῦ εἶμαι αὐτὸ ποὺ εἶμαι, τὴ χάρη του, ποὺ σὲ μένα δὲν ὑπῆρξε χωρὶς ἀποτέλεσμα»[86]; καὶ πῶς θὰ μποροῦσε νὰ διακηρύξει, ἐὰν ἤθελε νὰ μὴ ψεύδεται ὁ σοφότατος Παῦλος, «Νὰ ἔχετε χάρη καὶ εἰρήνη ἀπὸ τὸν Θεὸ Πατέρα μας καὶ ἀπὸ τὸν Κύριο Ἰησοῦ Χριστό»[87]; Πῶς θὰ μποροῦσε νὰ γίνει χορηγὸς τῆς χάριτος μαζὶ μὲ τὸν Πατέρα, αὐτὸς ποὺ ἔχει χάρη ἐπάνω του; Καὶ νομίζω ὅτι δὲν θὰ ἔχει ἔλλειψη ἀπὸ τὸ σωστὸ καὶ ἀληθινὸ μυαλό, ἐὰν κάποιος πιστεύει, ὅτι ὁ Μονογενὴς καὶ Υἱὸς ἔχει τὸ δημιουργικὸ ἀξίωμα ἄσκοπα, καὶ κάποτε θὰ ἀδρανήσει, ὅταν θελήσει ὁ Πατέρας νὰ τοῦ ἀφαιρέσει αὐτὸ ποὺ τοῦ ἔδωσε, καὶ νὰ διώξει ἀπὸ τὴ φύση τοῦ Υἱοῦ τὴν ἐνέργεια μὲ τὴν ὁποία, ὅπως λένε, κινούμενος ἀποδείχθηκε δημιουργός. Γιατὶ αὐτὸ ποὺ κινεῖται ἀπὸ κάποιον, εἶναι δυνατὸν νὰ ἠρεμήσει, ἐὰν δὲν κινεῖται, ὅταν ἡ κίνηση δὲν εἶναι καρπὸς τῆς φύσεώς του.

Β. Εἶναι ἀλήθεια αὐτό.

Α. Καὶ μαζὶ μ᾽ αὐτὸ θὰ ἀποδειχθεῖ ἀνούσιο τὸ φοβερὸ καὶ πικρόχολο σόφισμά τους.

*Β. Τὸ τί δή;*

*Α. Οὐ γὰρ δὴ διεπυνθάνου σεμνολογούντων ἡμῖν ἀρτίως τὰ περὶ τοῦ Πατρός, καὶ ἐξαιρόντων ἐπέκεινα τοῦ κατὰ σφᾶς ταπεινοῦ τε καὶ καταβεβλημένου τὸν περὶ αὐτοῦ λόγον; Παρῆχθαι γὰρ ἔφασκον χρειωδῶς τε καὶ ἀναγκαίως εἰς ὕπαρξιν τὸν Υἱόν, ἵν' ἐπείπερ ἐστὶ τὸ ἐφ' ἅπασιν αὐτουργικὸν ἀκαλλὲς τῷ Πατρὶ καὶ τὸ εἶναι τῇ κτίσει προσεχῆ τὸ μεῖόν πως ἢ κατ' αὐτόν, τουτέστιν ὁ Υἱός, ἐργάσαιτο τὰ λοιπά.*

*Β. Ἐπυθόμην.*

*Α. Ποῖ δὴ οὖν ἄρα τὸ σοφὸν αὐτοῖς διοίχεται πλάσμα εἴπερ ὅλως ἐνήργηκεν ὁ Πατὴρ δι' Υἱοῦ τὰ περὶ τὴν κτίσιν; Τὸ γὰρ ἐνεργεῖν διὰ μέσου τινός, κίνησιν μὲν οὐκ ἔχοντος τὴν ἐπὶ τὸ τυχὸν αὐτοκέλευστόν τε καὶ ἰδικήν, οἱονεὶ δέ πως τὴν ὀργανικὴν ὑπομένοντος, φαίην ἂν ἔγωγε τὸ αὐτουργεῖν ὅτι καὶ ἀναμφιλόγως ἐστίν. Εὔηθες δὲ ἤδη καὶ τὸ ἀκαλλὲς εἶναι λέγειν τῷ Θεῷ καὶ Πατρὶ τὸ προσεχῆ μὲν εἶναι τοῖς ἄλλοις, ὡς μικροῖς, ἐφ' Υἱῷ γε μὴν οὐκ ἔτι. Τί γὰρ οὐ βραχὺ πρὸς Θεοῦ φύσιν, τῶν γε ἅπαξ τελούντων ἐν γενητοῖς; Ἢ ἴστωσαν ἀναμετροῦντες τὴν ἀμέτρητον φύσιν, σμικρὰ μὲν ὡς πρὸς αὐτὴν ἀναγράφοντές τινα, τὸ δὲ ὅτι μέγα καὶ ὑπερφυές, καὶ οὐ λίαν ἀφεστηκός, οὐκ οἶδ' ὅπως πεφλυαρηκότες.*

*Β. Ἄριστα ἔφης.*

*Α. Μεθέντες δὴ οὖν, ὦ Ἑρμεία, τὸ σοφίζεσθαι περιττὰ καὶ οἱονεὶ τὸ σεμνοληρεῖν, ἐπ' αὐτὸ δὴ καὶ μόνον ἴωμεν ἤδη τὸ ἀληθές, ὁμολογεῖν ἐγνωκότες, ὡς ἔστι Θεός, πέφηνέ τε κατὰ φύσιν ἐκ Θεοῦ καὶ Πατρὸς ὁ Μονογενής. Καὶ εἴπερ ἐστὶ τὸ ὂν ἀληθῶς ἡ ἄναρχός τε καὶ πρεσβυτάτη καὶ ἀγένητος φύσις, ἐρρέτω συκοφαντία καὶ φενακισμός. Τὸν γὰρ ὄντως ὄντα τοῦ Θεοῦ Λόγον ὀψιγενῆ καὶ πεποιημένον πῶς ἂν ἔτι παραδεξαίμεθα, καὶ οὐχὶ τῶν ἀρίστων ἡμᾶς ἀπολισθεῖν βουλευμάτων, πᾶς ὁστισοῦν, οἶμαι, τῶν εὖ φρονούντων ἐρεῖ· Ἢ ἐκεῖνο φράσον (ἐρήσομαι γάρ), ἆρ' οὐκ ἀληθὲς ὁμολογήσαις ἂν ὅ φημι; Υἱὸν γὰρ εἴπερ τις ὀνομάσαι Θε-*

Β. Ποιὸ δηλαδή;

Α. Δὲν ἄκουσες ὅταν τελευταῖα συζητοῦσαν μαζί μας σοβαρὰ τὰ σχετικὰ μὲ τὸν Πατέρα καὶ τὸν ἐξύψωναν πέρα ἀπὸ τὸν κατ' ἐκείνους ταπεινὸ καὶ ἐξευτελιστικὸ γι' αὐτὸν λόγο; Ἔλεγαν λοιπὸν τότε, ὅτι ὁ Υἱὸς ἦρθε στὴν ὕπαρξη ὡς ἀπαραίτητος καὶ ἀναγκαῖος, ὥστε, ἐπειδὴ δὲν ἦταν ἀρκετὴ ἡ δημιουργικὴ δύναμη τοῦ Πατέρα γιὰ ὅλα τὰ κτίσματα, καὶ ἐπειδὴ ἡ δημιουργία τῆς κτίσεως ἦταν ἐπικείμενη, νὰ δημιουργήσει τὰ ὑπόλοιπα αὐτὸ ποὺ ἦταν κατώτερο ἀπὸ αὐτόν, δηλαδὴ ὁ Υἱός.

Β. Τὸν ἄκουσα.

Α. Ποῦ λοιπὸν ἐξαφανίσθηκε ἡ σοφὴ ἐπινόησή τους, ἐὰν ὁ Πατέρας δημιούργησε ὅλα τὰ κτίσματα διὰ τοῦ Υἱοῦ; Γιατὶ τὸ νὰ ἐνεργεῖ κανεὶς μέσω κάποιου, ὁ ὁποῖος δὲν ἔχει τὴ δυνατότητα νὰ ἐνεργεῖ μὲ δική του βούληση καὶ ἀπὸ μόνος του, καὶ κατὰ κάποιο τρόπο διαδραματίζει τὸν ρόλο ὀργάνου, ἐγὼ τοὐλάχιστον θὰ ἔλεγα ὅτι αὐτὸ χωρὶς ἀμφιβολία εἶναι αὐτουργία. Καὶ εἶναι μωρία νὰ λέμε ὅτι ὑπῆρχε ἀνεπάρκεια στὸν Θεὸ καὶ Πατέρα, ὅτι ἦταν κοντὰ βέβαια στὰ ἄλλα, ὡς ταπεινά, ἀλλὰ ὄχι καὶ στὸν Υἱό. Γιατὶ τί δὲν εἶναι μικρό, σὲ σύγκριση μὲ τὴ φύση τοῦ Θεοῦ, ἀπὸ αὐτὰ ποὺ ἀνήκουν στὴν τάξη τῶν κτιστῶν; Ἐκτὸς ἐάν, καταμετρώντας τὴν ἀμέτρητη φύση, χαρακτηρίζουν κάποια ἀπὸ τὰ κτίσματα μικρά, ὡς πρὸς αὐτήν, ἐνῶ αὐτὸ ποὺ εἶναι μεγάλο καὶ ὑπερφυσικὸ καὶ δὲν ἀπέχει πολὺ ἀπὸ τὴ θεία φύση, δὲν ξέρω πῶς τὸ βλέπουν φλυαρώντας.

Β. Τὰ εἶπες πάρα πολὺ καλά.

Α. Ἀφήνοντας λοιπόν, Ἑρμεία, τὸ νὰ ἐπινοοῦμε περιττὰ σοφίσματα καὶ κατὰ κάποιο τρόπο νὰ φλυαροῦμε σοβαρολογώντας, ἂς πᾶμε σ' αὐτὸ τὸ μόνο ἀληθινό, τὸ ὁποῖο μάθαμε νὰ ὁμολογοῦμε, ὅτι ὁ Μονογενὴς εἶναι Θεὸς καὶ προῆλθε κατὰ φύση ἀπὸ τὸν Θεὸ Πατέρα. Καὶ ἐὰν ὑπάρχει πραγματικὰ τὸ ὄν, ἡ χωρὶς ἀρχὴ καὶ ἡ πιὸ παλιὰ καὶ ἄκτιστη φύση, τότε ἂς πάει στὸν ἀγύριστο ἡ συκοφαντία καὶ ἡ ἀπάτη. Γιατὶ πῶς μποροῦμε νὰ παραδεχθοῦμε ὅτι ὁ πραγματικὸς Λόγος τοῦ Θεοῦ ἔγινε ἀργότερα καὶ εἶναι δημιούργημα, καὶ δὲν θὰ πεῖ ὁ καθένας, νομίζω, ἀπὸ αὐτοὺς ποὺ σκέπτονται σωστά, ὅτι ἔχουμε ξεφύγει ἀπὸ τὶς ἄριστες σκέψεις; Ἢ πές μου ἐκεῖνο (γιατὶ θὰ σὲ ρωτήσω), δὲν θὰ ὁμολογήσεις ἄραγε ὅτι εἶναι σωστὸ αὐτὸ ποὺ λέ-

*οὗ, οὐχ ἕτερον, οἶμαι, τὶ ἐννοήσειεν ἄν, καίτοι πλείστων ὅσων εἰσπεποιημένων εἰς υἱοθεσίαν, ἀλλ' ἐπ' ἐκεῖνον αὐτὸν τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς τῶν ἀκροωμένων ὁ νοῦς ὀξεῖ καὶ ἀναμφιλόγῳ φέρεται δρόμῳ. Ἦ οὐκ ἀληθὲς εἶναί σοι τὸ χρῆμα δοκεῖ;*

*Β. Ναί.*

*Α. Ὥσπερ οὖν ἑνὸς ὄντος ἐν ἡμῖν τοῦ κατὰ φύσιν τε καὶ ἀληθινοῦ Θεοῦ, εἴπερ τῳ τῶν καθ' ἡμᾶς Θεὸν ὀνομάσαι δοκεῖ προσθέντι μηδέν, οὐδ' ὅσον εἰς νοῦν εἰσδεξαίμεθα ἂν τὴν ἑτέρου δήλωσιν, καίτοι πληθύος οὕτω πολλῆς εἰς τὴν τοῦ Θεοῦ κλῆσιν εἰσδεδεγμένης ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καθὰ γέγραπται, οὕτω τὸν ἕνα καὶ ἀληθῶς Υἱὸν ὀξύτατα διασκέψαιτ' ἂν τῶν φιλοθέων ὁ νοῦς, εἴπερ τις ὅλως Υἱὸν ὀνομάσαι Θεοῦ, προσθεῖεν δ' ἂν ἔτι τοῖς εἰρημένοις καὶ τόδε.*

*Β. Τὸ ποῖόν τι φής;*

*Α. Οὐ γάρ, ὦ βέλτιστε, φαίης ἂν τὸ ἀληθῶς ὂν ἓν εἶναί τι καὶ οὐ πολλά; Τοῦτο δέ ἐστι Θεός, ἤτοι Θεοῦ φύσις.*

*Β. Φαίην ἄν.*

*Α. Ἆρ οὖν οὐκ ὄντα ἐστὶ τὰ πεποιημένα καὶ κεκλημένα πρὸς ὕπαρξιν δι' αὐτοῦ;*

*Β. Ὄντα μέν· πῶς γὰρ οὔ; τά γε ὅλως ὑφεστηκότα. Πλὴν κατὰ μίμησιν τοῦ ὄντος ἀληθῶς.*

*Α. Ἐπιψηφιοῦμαι τὸ ἀληθὲς ἄριστά σοι διεγνωκότι. Παρακλέπτει γάρ πως ἀεὶ τὴν τοῦ φύσει δόξαν τὸ κατὰ μίμησιν. Ὥσπερ οὖν καὶ εἰ πολλὰ νοοῖτο τυχὸν κατὰ μίμησιν τοῦ ἀληθῶς ὄντος τὰ ὄντα, τὸ γοῦν ἀληθῶς ὄν ἐστιν ἕν, κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον, καὶ εἰ πολλοὶ καλοῖντο θεοὶ καὶ υἱοί, ἀλλ' εἷς ὁ φύσει καὶ ἀληθῶς Υἱὸς καὶ Θεός, ῥίζαν ἔχων ὥσπερ τινὰ τῆς ἀφράστου γεννήσεως τὴν τοῦ Πατρὸς φύσιν. Τοιγάρτοι καὶ συναΐδιος πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων ὁμολογοῖτο ἂν εἰκότως, καὶ οὐχὶ παρῆχθαι δημιουργικῶς μετὰ τῶν κτισμάτων, καθὰ φρονεῖν ἔδοξε τοῖς διεστραμμένοις, οἳ τὴν ἀληθῶς ἀλήθειαν ἠγνοήκασι, τουτέστι Χριστόν, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

γω; Γιατὶ ὅταν κάποιος λέγει Υἱὸς τοῦ Θεοῦ, νομίζω ὅτι δὲν εἶναι δυνατὸν νὰ ἐννοεῖ τίποτε ἄλλο, ἂν καὶ εἶναι πάρα πολλοὶ αὐτοὶ ποὺ ἀπέκτησαν τὴν υἱοθεσία, καὶ ὁ νοῦς αὐτῶν ποὺ τὸν ἀκοῦν πηγαίνει γρήγορα καὶ χωρὶς ἀμφιβολία σ' ἐκεῖνον τὸν ἕνα καὶ κατὰ φύση ἀληθινὸν Υἱό. Ἢ μήπως σοῦ φαίνεται ὅτι τὸ πρᾶγμα δὲν εἶναι ἀληθές;

Β. Ναί.

Α. Ὅπως λοιπόν, ἐνῶ εἶναι ἕνας γιὰ μᾶς ὁ κατὰ φύση καὶ ἀληθινὸς Θεός, ἐὰν κάποιος θελήσει νὰ ὀνομάσει τὸν Θεό μας χωρὶς νὰ προσθέσει τίποτε, οὔτε σὰν ἁπλῆ σκέψη εἶναι δυνατὸν νὰ δεχθοῦμε τὸ ὄνομα τοῦ ἄλλου, ἂν καὶ πάρα πολλὰ ὀνόματα τοῦ Θεοῦ ὑπάρχουν στὸν οὐρανὸ καὶ στὴ γῆ, ὅπως ἔχει γραφεῖ, ἔτσι καὶ ὁ νοῦς αὐτῶν ποὺ ἀγαποῦν τὸν Θεὸ θὰ σκεφθεῖ ἀμέσως τὸν ἕνα καὶ ἀληθινὸ Υἱό, ἐὰν κάποιος ἀναφέρει τὸ ὄνομα Υἱὸς τοῦ Θεοῦ, καὶ θὰ προσθέσει ἀκόμα κοντὰ στὰ ἄλλα καὶ αὐτό.

Β. Ποιὸ ἐννοεῖς;

Α. Δὲν συμφωνεῖς, φίλε, ὅτι αὐτὸ ποὺ ὑπάρχει πραγματικὰ εἶναι ἕνα καὶ ὄχι πολλά; Αὐτὸ εἶναι ὁ Θεός, δηλαδὴ ἡ φύση τοῦ Θεοῦ.

Β. Συμφωνῶ.

Α. Ἄρα λοιπὸν δὲν εἶναι ὄντα αὐτὰ ποὺ δημιουργήθηκαν καὶ ἦρθαν στὴν ὕπαρξη δι' αὐτοῦ;

Β. Εἶναι· πῶς ὄχι; Ὅμως αὐτὰ ποὺ ὑπάρχουν, ἀποτελοῦν μίμηση τοῦ ἀληθινοῦ ὄντος.

Α. Ἐπιβεβαιώνω ὅτι ἔχεις γνωρίσει ἄριστα τὴν ἀλήθεια. Γιατὶ πάντοτε τὸ κατὰ μίμηση ὑποκλέπτει κάπως τὴ φυσικὴ δόξα τοῦ ἀληθινοῦ ὄντος. Τὸ ἀληθινὸ λοιπὸν ὂν εἶναι ἕνα. Κατὰ τὸν ἴδιο τρόπο, πιστεύω, ἔστω καὶ ἂν πολλοὶ ὀνομάζονται θεοὶ καὶ υἱοί, ὅμως ἕνας εἶναι ὁ κατὰ φύση καὶ ἀληθινὸς Υἱὸς καὶ Θεός, ἔχοντας σὰν κάποια ρίζα τῆς ἀπερίγραπτης γέννησής του τὴ φύση τοῦ Πατέρα. Γι' αὐτὸ καὶ πολὺ εὔλογα ὁμολογεῖται ἀπὸ μᾶς καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους συναιώνιος, καὶ ὄχι ὅτι δημιουργήθηκε μαζὶ μὲ τὰ κτίσματα, ὅπως θεωροῦν σωστὸ νὰ πιστεύουν οἱ κακότροποι, οἱ ὁποῖοι ἀγνοοῦν τὴν πραγματικὴ ἀλήθεια, δηλαδὴ τὸν Χριστό, διὰ τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο ἡ δόξα ἀνήκει στὸν Θεὸ Πατέρα μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

## *(ΔΙΑ)ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ*

### ***Ὅτι τὰ τῆς θεότητος ἴδια καὶ ἡ δόξα φυσικῶς ἐν τῷ Υἱῷ καθὰ καὶ ἐν τῷ Πατρί.***

*Α. Εἶεν· ἐκ παντὸς ἡμῖν, ὡς ἔοικε, συμβήσεται λόγου πιθανοῦ τε καὶ ἀναγκαίου, τὸ ὀψιγενῆ μὲν οὔτι που καὶ τὸν ἐπὶ τῷ πεποιῆσθαι μῶμον ἀνεξίτητον ἔχοντα τὸν Υἱόν, ἀναφῦναι δὲ μᾶλλον ἐξ αὐτῆς ὁμολογεῖν τῆς οὐσίας τοῦ Πατρός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὑψηλὴν καὶ ὑπερφυᾶ λαχόντα τὴν δόξαν καὶ ταῖς ἐπέκεινα μέτρου καὶ ἀσυγκρίτοις ὑπεροχαῖς παντὸς γενητοῦ διάττοντα φύσιν, ὑπερενεγκεῖν τε τοσοῦτον ὁπόσον ἂν οἴοιτό τις καὶ αὐτὸν τὸν Πατέρα.*

*Β. Σύμφημι· φρονεῖς γὰρ ὀρθῶς. Ἀτάρ, εἴ τοι φίλον, ἐρῶ δή τι πάλιν.*

*Α. Καὶ μήν, ὦ ἑταῖρε, καθικοίμην ἂν ὡς ἥδιστά τε καὶ ἀοκνότατα πρός γε τὸ χρῆναι γεννικῶς τοῖς διακυκῶσι τἀληθὲς ἀντιφέρεσθαι λόγοις. «Ὁ γὰρ πραΰς, ἔστω καὶ μαχητής», ἱερὸς ἡμῖν ἀναπεφώνηκε λόγος, σὺ δὲ ἀλλὰ πέραινε τὸ δοκοῦν, εἰς νοῦν ἔχων τὸ γεγραμμένον· «Ἄμελγε γάλα, καὶ ἔσται βούτυρον».*

*Β. Ἴσθι δὴ οὖν ὡς, εἰ διαπύθοιντό σου, Θεὸν ἀληθινὸν καὶ ὁμοούσιον τῷ Πατρὶ κατονομάζοντος τὸν Υἱόν, αὐτίκα δὴ μάλα ἐροῦντας τοὺς δι᾽ ἐναντίας· Τὸν ἔν γε δὴ τούτοις, ὦ πανάριστε, κατὰ σέ, πῶς οὐκ ἰδίοις ἐπαυχεῖν ἀγαθοῖς πρέποι ἂν μᾶλλον, καὶ οὐχὶ τοῖς θύραθεν ἐναγλαΐζεσθαι δεῖν; Θεὸς γὰρ ὁ ἀληθῶς, ἐξ ἑαυτοῦ παντέλειος, ἄρτιός τε καὶ ἀπροσδεὴς πρὸς ὁτιοῦν, οἶμαι, τῶν τῇ τοιᾷδε φύσει προσπεφυκότων.*

*Α. Τί φής; Ὡς θρασὺς ὁ λόγος καὶ ἀπονένευκε μὲν ἀσχέτως*

---

1. Παροιμ. 30, 33.

## ΔΙΑΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

### Ὅτι τὰ ἰδιώματα καὶ ἡ δόξα τῆς θεότητας ὑπάρχουν κατὰ φύση καὶ στὸν Υἱό, ὅπως καὶ στὸν Πατέρα.

Α. Ἄρα λοιπὸν ἀπὸ ὅλον, ὅπως φαίνεται, τὸν λόγο μας συνάγεται τὸ πειστικὸ καὶ ἀναγκαῖο συμπέρασμα, ὅτι ὁ Υἱὸς δὲν ἔγινε ἀργότερα, ἢ μομφὴ ὅτι δημιουργήθηκε εἶναι ἀνυπόστατη, καὶ ὅτι πρέπει νὰ ὁμολογοῦμε ὅτι προῆλθε ἀπὸ τὴν ἴδια τὴν οὐσία τοῦ Πατέρα, εἶναι Θεὸς ἀληθινὸς ποὺ προῆλθε ἀπὸ Θεὸν ἀληθινό, ἔχει μεγάλη καὶ ὑπερφυσικὴ δόξα, καὶ μὲ τὴν πέρα ἀπὸ κάθε μέτρο καὶ ἀσύγκριτη ὑπεροχή του ξεπερνᾶ τὴ φύση κάθε κτιστοῦ, καὶ ὑπερέχει τόσο πολύ, ὅσο θά μποροῦσε κανεὶς νὰ σκεφθεῖ ὅτι ὑπερέχει καὶ ὁ ἴδιος ὁ Πατέρας.

Β. Συμφωνῶ· γιατὶ σκέπτεσαι σωστά. Ὅμως, ἂν μοῦ ἐπιτρέπεις, θὰ σὲ ρωτήσω πάλι κάτι.

Α. Καὶ βέβαια, φίλε μου, κατεβαίνω μὲ πολλὴ εὐχαρίστηση καὶ πρόθυμα στὴν ἀνάγκη νά ἀντιμετωπίσω γενναῖα τοὺς λόγους ποὺ ἀντιπαρατίθενται στὴν ἀλήθεια. Γιατὶ ὁ πρᾶος πρέπει νὰ εἶναι καὶ μαχητής, μᾶς φωνάζει κάποιος ἱερὸς λόγος, καὶ σὺ ὅμως ὁλοκλήρωσε αὐτὸ ποὺ θέλεις, ἔχοντας στὸν νοῦ σου αὐτὸ ποὺ ἔχει γραφεῖ· «Ἄρμεγε γάλα, καὶ θὰ γίνει βούτυρο»[1].

Β. Γνώριζε λοιπόν, ἐὰν σὲ ρωτήσουν, ὅτι ὀνομάζοντας τὸν Υἱὸ Θεὸ ἀληθινὸ καὶ ὁμοούσιο πρὸς τὸν Πατέρα, θὰ σὲ ρωτήσουν οἱ ἀντίθετοι· αὐτὸς πού, σύμφωνα μὲ σένα, πανάριστε, βρίσκεται σὲ τέτοια θέση, δὲν θὰ ἔπρεπε νὰ καυχιέται γιὰ τὰ δικά του ἀγαθά, καὶ ὄχι νὰ λαμπρύνεται μὲ τὰ ξένα; Γιατὶ ὁ ἀληθινὸς Θεὸς εἶναι τέλειος σὲ ὅλα ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του, καὶ ἀκέραιος, καὶ δὲν τοῦ λείπει, νομίζω, τίποτε ἀπὸ αὐτὰ ποὺ ἀπὸ τὴ φύση τους συνοδεύουν τὴ φύση αὐτή.

Α. Τί λές; Εἶναι πολὺ θρασὺς ὁ λόγος σου καὶ μὲ κάνει νὰ λυ-

*εἰς τὸ λυποῦν! Φράζε δ᾽ οὖν ὅμως ἀναφανδόν, τίνα δὴ τρόπον ἡμῖν ἀκρίτων οὕτω δυσφημιῶν ὄχλον τὸ σκαιὸν τῶν διεστραμμένων κεκαινούργηκε στῖφος;*

*Β. Εἰ Θεός, φησίν, ἀληθινὸς καὶ ὁμοούσιός ἐστιν ὁ Υἱὸς τῷ Πατρί, οἴκοθεν ἐχέτω τὰ δι᾽ ὧν ἐστι Θεός, καὶ ἰδίοις μᾶλλον, ἤγουν τοῖς παρὰ Πατρὸς ἐπαυχείτω πλεονεκτήμασιν. Ὃ γὰρ ἂν ἔχων ὁρῷτο, τοῦτό ἐστι παρὰ Πατρὸς καὶ θεόσδοτον. Ζῆν γὰρ ἔφη διὰ τὸν Πατέρα, καὶ δοξάζεται καὶ ἁγιάζεται παρ᾽ αὐτοῦ, καὶ ἀνεβίω τριήμερος τῇ δυνάμει τοῦ Πατρός, καὶ αὐτὸ δὲ τὸ τῆς θεότητος ὄνομα πεπλούτηκε μεθεκτῶς, καὶ προσκυνεῖ μεθ᾽ ἡμῶν καὶ ὑποτάττεται τῷ Πατρί, καὶ βασιλείαν δέχεται καὶ ἐξουσίαν· ἱεροὶ γὰρ ἡμῖν καὶ θεῖοι ταυτὶ παρέδοσαν λόγοι.*

*Α. Ἰού, ὦ Ἑρμεία! ὡς πάμπολυς καὶ δεινὸς βλασφημιῶν ἀριθμὸς οἱονεί πως ἐν κύκλῳ περισχὼν τὴν ἀλήθειαν ἀνοσίως καθυλακτεῖ! Καὶ καιρός, ὡς ἔοικεν, ἐναρμόσασθαι καὶ ἡμᾶς τῇ τοῦ Θεοῦ παντευχίᾳ, καὶ τὴν τοῦ Πνεύματος μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ, παρεξάγειν ἀνδρικῶς, κατορρωδοῦντας οὐδέν, κἂν εἰ τοῖς αἰσχίοσιν ἔτι καὶ ἀγριωτέροις ἡμᾶς καταπαίοιεν λόγοις. Ἀλλ᾽ εἰ μὲν ἴοι χύδην τε καὶ οὐκ ἐν τάξει τὰ θεωρήματα, διολισθήσειεν ἂν εὐκόλως ὁ λόγος ἡμῖν ἔκ γε τουτουὶ πρὸς ἐκεῖνο καὶ αὖ ἐξ ἐκείνου πρὸς τοῦτο, δυσειδῆ καὶ δυσκάτοπτον τὴν ἐφ᾽ ἑκάστῳ γνῶσιν ἀποτελῶν. Παραδείξειε δ᾽ ἂν εὖ μάλα τὸ ἀληθὲς καὶ ἀδιαβλήτως ἔχον εἰ διεσταλμένην τε καὶ ἀναμέρος τὴν ἐφ᾽ ἑκάστῃ τῶν δυσφημιῶν ποιοῖτο βάσανον. Φέρε δὴ οὖν εὐκρινέστατά τε καὶ ἀναμέρος καὶ ἐν τάξει λέγωμεν. Προαναπυθέσθαι δέ σου βουλοίμην ἂν τόδε, πότερα, τὰς τῶν θεηγόρων φωνὰς ταῖς ἐπ᾽ ἀληθείᾳ καὶ ὀρθότητι στεφανοῦσι ψήφοις, ἤγουν ἀνούστατα διωσάμενοι, ποιήσονται παρ᾽ οὐδέν;*

*Β. Ἀψευδεῖν ἐροῦσιν, οἶμαί που.*

*Α. Γράφει τοίνυν ὁ ἱερώτατός τε καὶ πανάριστος Παῦλος περὶ τοῦ Μονογενοῦς· «Τοῦτο φρονείσθω ἕκαστος ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λα-*

πᾶμαι ἀφάνταστα! Πές μου ὅμως καθαρά, μὲ ποιὸν τρόπο τὸ ἀπαίδευτο στῖφος τῶν διεστραμμένων σχεδίασε τόσο μεγάλο πλῆθος ἀπερίσκεπτων βλασφημιῶν ἐναντίον μας;

Β. Ἐὰν ὁ Υἱός, λέγει, εἶναι Θεὸς ἀληθινὸς καὶ ὁμοούσιος πρὸς τὸν Πατέρα, πρέπει νὰ ἔχει ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του αὐτὰ διὰ τῶν ὁποίων εἶναι Θεός, καὶ πρέπει νὰ καυχιέται γιὰ τὰ δικά του καί ὄχι γιὰ τοῦ Πατέρα τὰ πλεονεκτήματα. Γιατὶ αὐτὸ ποὺ φαίνεται ὅτι ἔχει, αὐτὸ προέρχεται ἀπὸ τὸν Πατέρα καὶ εἶναι θεόσδοτο. Εἶπε δηλαδὴ ὅτι ζεῖ ἐξαιτίας τοῦ Πατέρα καὶ δοξάζεται καὶ ἁγιάζεται ἀπὸ αὐτόν, καὶ ἀναστήθηκε μετὰ ἀπὸ τρεῖς μέρες μὲ τὴ δύναμη τοῦ Πατέρα, ἀκόμα καὶ τὸ ἴδιο τὸ ὄνομα τῆς θεότητας τὸ ἔλαβε κατὰ μέθεξη, καὶ προσκυνεῖ μαζὶ μὲ μᾶς καὶ ὑποτάσσεται στὸν Πατέρα, ὅπως καὶ ἀναγνωρίζει τὴ βασιλεία καὶ τὴν ἐξουσία του· γιατὶ αὐτὰ μᾶς τὰ παρέδοσαν ἱερὰ καὶ θεῖα λόγια.

Α. Ἀλλοίμονο, Ἑρμεία! Πόσο πολὺ καὶ τρομερὸ πλῆθος βλασφημιῶν περικύκλωσε κατὰ κάποιο τρόπο τὴν ἀλήθεια καὶ γαυγίζει μὲ τρόπο ἀνίερο! Καὶ εἶναι καιρός, ὅπως φαίνεται, νὰ φορέσουμε κι᾽ ἐμεῖς τὴν πανοπλία τοῦ Θεοῦ καὶ τὸ ξίφος τοῦ Πνεύματος, δηλαδὴ τὸν λόγο τοῦ Θεοῦ, καὶ νὰ βαδίσουμε μὲ γενναιότητα, χωρὶς νὰ φοβόμαστε καθόλου, ἀκόμα καὶ ἂν μᾶς χτυποῦν μὲ τὰ πιὸ αἰσχρὰ καὶ ἄγρια λόγια. Ἀλλὰ ἐὰν τὰ θέματα συζητήσεως ἔρχονται ἀνακατεμένα καὶ ὄχι μὲ τάξη, εὔκολα ὁ λόγος μας θὰ γλιστρᾶ ἀπὸ αὐτὸ σ᾽ ἐκεῖνο, καὶ πάλι ἀπὸ ἐκεῖνο σ᾽ αὐτό, ἀποδεικνύοντας ὅτι ἡ γνώση γιὰ τὸ καθένα εἶναι δυσδιάκριτη καὶ δυσκολονόητη. Ὅμως ὁ λόγος μας θὰ καταδείξει εὔκολα αὐτὸ ποὺ εἶναι ἀληθινὸ καὶ ἀδιάβλητο, ἐὰν τὴν ἐξέταση τῆς καθεμιᾶς βλασφημίας τὴν κάνει χωριστὰ καὶ ἐπὶ μέρους. Ἐμπρὸς λοιπὸν ἂς μιλήσουμε καθαρὰ καὶ κατὰ μέρος καὶ μὲ τάξη. Θὰ ἤθελα ὅμως προηγουμένως νὰ μάθω ἀπὸ σένα τὸ ἑξῆς· ποιὸ ἀπὸ τὰ δύο· τὰ λόγια τῶν θεόπνευστων τὰ ἀναγνωρίζουν ὡς ἀληθινὰ καὶ ὀρθά, ἢ περιφρονώντας τα ἀπερίσκεπτα, δὲν τὰ ὑπολογίζουν;

Β. Νομίζω πὼς θὰ ποῦν ὅτι εἶναι ἀληθινά.

Α. Γράφει λοιπὸν ὁ ἱερότατος καὶ πανάριστος Παῦλος γιὰ τὸν Μονογενῆ· «Ἂς ἐπικρατεῖ μεταξύ σας τὸ ἴδιο φρόνημα, αὐτὸ ποὺ ὑπῆρχε καὶ στὸν Ἰησοῦ Χριστόν, ὁ ὁποῖος, ἂν καὶ εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε κάτι σὰν ἁρπαγὴ τὸ ὅτι ἦταν ἴσος πρὸς τὸν Θεό, ἀλλὰ

*βών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός».*

*Β. Τί οὖν τοῦτο; λέγε.*

*Α. Οὐ γὰρ δυσίν, ὦ φιλότης, διανέμει καιροῖς τὴν ἀφήγησιν καὶ διττὴν εἰσφέρει τοῦ μυστηρίου τὴν γνῶσιν; Ἕνα μὲν γὰρ ὁρίζει καιρόν, τὸν ἐν ἀρχαῖς τε καὶ πρῶτον, καθ' ὃν ἦν ὁ Λόγος ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρός· δεύτερον δὲ καὶ ἐν ὑστέροις, καθ' ὃν οἱονεί πως μεθεὶς τὸ εἶναι ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρός, κεκένωκεν ἑαυτόν, μορφὴν δούλου λαβὼν καὶ αὐτὸν ἀνατλὰς τὸν ἐπὶ σταυροῦ θάνατον. Τότε γὰρ δὴ καὶ τὸ φύσει μετὸν αὐτῷ καὶ οὐσιωδῶς εἰσποιήτως ἑλεῖν καὶ ὡς ἐν χάριτος τάξει νενόμισται, φημὶ δὴ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ τὸ προσκυνεῖσθαι δεῖν πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων.*

*Β. Ὧδε ἔχει.*

*Α. Ἅπας τοίνυν ἡμῖν τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος ἐπ' ἄμφω βλέπει. Ὁτὲ μὲν γὰρ οὔπω καθιγμένον εἰς κένωσιν θεολογεῖ τὸν Υἱόν, ἀλλ' ἐν τῷ τῆς θεότητος ὕψει καὶ ἐν οἷς ὁ Πατήρ, ὁτὲ δὲ αὖ, ῥοπαῖς ταῖς ἐθελουσίοις φειδοῖ τε τῇ πρὸς ἡμᾶς κεκλημένον εἰς κένωσιν, καὶ εἰς τὴν τῆς σαρκὸς ἀδοξίαν τῶν ἄνω καταφοιτήσαντα παρίστησιν ἐναργῶς. Ἆρ' οὖν (ἐρήσομαι γάρ) σοφοὶ καὶ ἀγχίνοι καταλογισθεῖεν ἂν οἱ διφυᾶ καὶ διπλοῦν τὸν ἕν γε τουτοισὶ προσιέμενοι λόγον, καὶ καιροῖς διανέμοντες τοῖς καθήκουσι τὴν μυσταγωγίαν, ἢ οἵπερ ἂν δόξειαν ἀνάχυσίν τινα καὶ ἀναφυρμὸν πραγμάτων τε ἅμα καὶ καιρῶν ἐπινοεῖν, ὡς ἀνάπτειν οὐ διεσταλμένως τὰ μὲν σαρκὸς καὶ διὰ τὴν σάρκα τῷ ἐκ Πατρὸς φύντι Λόγῳ, τὰ δὲ τοῦ Μονογενοῦς ἴδια καὶ ἐξαίρετα καταγράφειν σαρκὶ καὶ χρόνῳ τῷ κατ' αὐτήν.*

---

2. Φιλιπ. 2, 5-11.

ἐκένωσε τὸν ἑαυτό του παίρνοντας μορφὴ δούλου, γενόμενος ὅμοιος πρὸς τοὺς ἀνθρώπους, καὶ ἀφοῦ κατὰ τὸ σχῆμα βρέθηκε ὡς ἄνθρωπος, ταπείνωσε τὸν ἑαυτό του, γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ. Γι' αὐτὸ καὶ ὁ Θεὸς τὸν ὑπερύψωσε καὶ τοῦ χάρισε ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε στὸ ὄνομα τοῦ Ἰησοῦ νὰ κάμψει κάθε γόνατο τῶν ἐπουράνιων καὶ τῶν ἐπίγειων καὶ τῶν καταχθόνιων, καὶ κάθε γλώσσα νὰ ὁμολογήσει, ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι Κύριος, γιὰ τὴ δόξα τοῦ Θεοῦ Πατέρα»[2].

Β. Καὶ τί σημαίνει αὐτό; Πές μου.

Α. Δὲν κατανέμει, φίλε, τὴ διήγηση σὲ δύο ἐποχές; Γιατὶ ὡς πρώτη ἐποχὴ ὁρίζει τὴν ἀρχική, ἐκείνη κατὰ τὴν ὁποία ὁ Λόγος εἶχε τὴ μορφὴ καὶ ἰσότητα τοῦ Πατέρα, ἐνῶ δεύτερη καὶ κατοπινὴ ἐκείνη κατὰ τὴν ὁποία, ἀφήνοντας κατὰ κάποιο τρόπο τὴ μορφὴ καὶ ἰσότητα τοῦ Πατέρα, ταπείνωσε τὸν ἑαυτό του, παίρνοντας τὴ μορφὴ δούλου, ὑπομένοντας ἀκόμα καὶ αὐτὸν τὸν σταυρικὸ θάνατο. Τότε ἀκριβῶς καὶ αὐτὸ ποὺ ὑπῆρχε σ' αὐτὸν κατὰ φύση καὶ κατ' οὐσία θεωρήθηκε ὅτι τὸ ἔλαβε μὲ υἱοθεσία καὶ ὑπὸ μορφὴ χαρίσματος, ἐννοῶ τὸ ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, καὶ τὸ νὰ προσκυνεῖται καὶ ἀπὸ μᾶς τοὺς ἴδιους καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους.

Β. Ἔτσι εἶναι πραγματικά.

Α. Ὁλόκληρη λοιπὸν ἡ θεόπνευστη Γραφή μας προσβλέπει σ' αὐτὰ τὰ δύο. Ἄλλοτε δηλαδὴ μιλάει γιὰ τὸν Λόγο πρὶν ἀπὸ τὴν κένωση, τότε ποὺ βρισκόταν στὸ ὕψος τῆς θεότητας καὶ ὅπου βρίσκεται ὁ Πατέρας, κι ἄλλοτε πάλι μὲ ἐνέργειες θεληματικὲς καὶ ἀπὸ ἐνδιαφέρον γιὰ μᾶς, τὸν παρουσιάζει μὲ σαφήνεια περιορισμένον σὲ κένωση καὶ κατεβασμένον ἀπὸ τὰ ἄνω στὴν ἀδοξία τῆς σάρκας. Ἄρα λοιπὸν (γιατὶ θὰ τὸ πῶ) σοφοὶ καὶ εὔστροφοι τὸ πνεῦμα θὰ μποροῦσαν νὰ θεωρηθοῦν αὐτοὶ ποὺ δέχονται ὅτι ὁ λόγος στὰ θέματα αὐτὰ ἔχει δύο ἔννοιες καὶ εἶναι διπλός, καὶ κατανέμουν στὸν κατάλληλο χρόνο τὴ διδασκαλία, καὶ ὄχι ἐκεῖνοι οἱ ὁποῖοι ἐμφανίζονται νὰ ἐπινοοῦν κάποια σύγχυση καὶ ἀνάμιξη τῶν πραγμάτων καὶ τῶν καιρῶν, ὥστε αὐτὰ ποὺ ἀναφέροντα στὴ σάρκα καὶ ὀφείλονται στὴ σάρκα νὰ τὰ ἀποδίδουν ἀδιακρίτως στὸν Λόγο ποὺ βλάστησε ἀπὸ τὸν Πατέρα, ἐνῶ τὰ ἰδιαίτερα γνωρίσματα τοῦ Μονογενοῦς νὰ τὰ καταλογίζουν στὴ σάρκα καὶ στὸν χρόνο κατὰ τὸν ὁποῖο ἔγινε αὐτή.

*Β. Καὶ πῶς ἀμφίλογον, ὡς ἄμεινον δήπου, Χριστὸν μὲν ἕνα καὶ Υἱὸν ὁμολογεῖν κατὰ τὰς Γραφάς, ἐπινοίαις γε μὴν καὶ τῇ θεωρίᾳ τῇ κατὰ τὸν λόγον, ἕως μὲν ἦν τῆς πρὸς σάρκα καθ' ἕνωσιν συνδρομῆς ἀφεστηκὼς ὁ Μονογενής, τοῖς τῆς θεότητος ἀξιώμασιν ἐπαυχεῖν ἐκπρεπῶς, ὡς ἰδικοῖς τε καὶ φυσικοῖς· ἐπεὶ δὲ σαρκὶ συνηνέχθη καὶ γέγονεν ἄνθρωπος, τότε δὴ τότε καὶ τὰ ἐκ τοῦ κεκενῶσθαι λαβεῖν;*

*Α. Ἀναγκαῖος τοιγαροῦν ὁ ἐπ' ἀμφοῖν ἐστι λόγος, εἰ τὰ ἑκάστῳ πρέποντα βασανίζοι καιρῷ.*

*Β. Καὶ μάλα.*

*Α. Τὸ δὲ δὴ καὶ φύρδην ἀναχεῖσθαι τὰ ἐπ' ἀμφοῖν ἐᾶν, ἠλίθιον παντελῶς. Παραιρήσεται γὰρ κατασκοτίζον ἡμᾶς καὶ ἐπιθολοῦν τὸ ὀρθῶς ἔχον εἰς γνῶσιν.*

*Β. Ἀληθές.*

*Α. Ὁ δή, ποτὲ μὲν ὡς Λόγος ὢν ἔτι καὶ Μονογενὴς ἐκ Πατρός, ποτὲ δὲ ὡς ἄνθρωπος, καὶ ὅτι τοῦτο πρωτότοκος καὶ ἐν πολλοῖς ἀδελφοῖς, ἆρ' οὐχὶ πρεπωδέστατά τε καὶ ἐντεχνέστατα δι' ἀμφοῖν ἂν ἴοι τοῖν λόγοιν, καὶ τοῦ πρὸς λῆξιν τὴν ἀνωτάτω διέρποντος καὶ τοῦ πρὸς τὰ κάτω καὶ εἰς ἡμᾶς καθιγμένου τε καὶ ὑφιζάνοντος, εἴπερ ἦν αὐτῷ θέλησίς τε καὶ σκοπὸς τὸ ἀναπείθειν τοὺς ἐπὶ τῆς γῆς ὡς εἴη μὲν ἀληθῶς ἐκ Θεοῦ Θεός, καθίκοιτο δὲ δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς καὶ τὸ τῆς κενώσεως οὐκ ἀτιμάζοι μέτρον, ἤγουν αὐτὸς ἑαυτοῦ καταψηφιεῖται τὸ ἄσοφον καὶ τὸ μὴ ἄγαν βεβουλεῦσθαι καλῶς, τὸ μὲν καθ' ἡμᾶς γενέσθαι μὴ παρωθούμενος, ἐπερυθριῶν δὲ λόγοις οἷς ἂν οὐδαμῶς τὸ τῆς ἀνθρωπότητος ἐπαισχύνοιτο μέτρον; Τί γὰρ ὅλως ἔδει, φήσαιμ' ἂν ἔγωγε, καὶ μάλα εἰκότως, καθικέσθαι πρὸς φύσιν, ἧς τὸ ἄδοξόν τε καὶ σμικροπρεπὲς ὑποδῦναι φορτικὸν καὶ δυσδιακόμιστον ἦν τῷ γε ἅπαξ ἐκ Θεοῦ φύντι Θεῷ; Καὶ τῶν καθ' ἡμᾶς λόγων ἡ παραίτησις εἴπερ ἦν αὐτῷ πρέπουσά τε καὶ ἀναγκαία, πρὸς τὸ ἀσινὲς καὶ ἀκίβδηλον διασῶσαι δύνασθαι τὸ ἐν θεότητι κάλλος, πῶς ἂν οὐχὶ καὶ πρό γε τούτου πολὺ τὸ ἑνωθῆναι σαρκὶ καὶ τὴν οὕτως ἀκαλλεστάτην ἀνατλῆναι ταπείνωσιν; Ἀλλ' οὐκ ἄν, οἶμαι, τὶς ἐμβροντησίας εἰς τοῦτο προήκοι ποτὲ*

---

3. Ρωμ. 8, 29.

Β. Καὶ πῶς ὑπάρχει ἀμφιβολία, ὅτι εἶναι καλύτερα νὰ ὁμολογοῦμε ἕνα Χριστὸ καὶ Υἱό, σύμφωνα μὲ τὶς Γραφές, ποὺ μὲ ἐπινοήσεις καὶ θεωρητικοὺς συλλογισμούς, ὅσο καιρὸ ὁ Μονογενὴς δὲν εἶχε ἀκόμα ἑνωθεῖ μὲ τὴν σάρκα καυχόταν γιὰ τὰ θεϊκὰ ἀξιώματά του ὡς δικά του καὶ κατὰ φύση, κι ὅταν ἑνώθηκε μὲ τὴ σάρκα κι ἔγινε ἄνθρωπος, τότε ἀκριβῶς προσέλαβε καὶ τὰ ἰδιώματα τῆς κενώσεώς του;

Α. Εἶναι λοιπὸν ἀναγκαῖο νὰ γίνει λόγος καὶ γιὰ τὰ δύο, ἐφόσον πρέπει νὰ ἐξετάζονται ἀνάλογα μὲ τὸν καιρὸ αὐτὰ ποὺ ταιριάζουν σὲ κάθε περίπτωση.

Β. Καὶ βέβαια.

Α. Τὸ νὰ ἀφήνουμε καί τὰ δύο νὰ ἀναμιγνύονται εἶναι τελείως ἠλίθιο. Γιατὶ θὰ μᾶς ἀπομακρύνει, σκοτίζοντας καὶ θολώνοντας, ἀπὸ τοῦ νὰ γνωρίσουμε τὸ σωστό.

Β. Εἶναι ἀλήθεια.

Α. Αὐτὸς λοιπὸν ποὺ ἄλλοτε ὡς Λόγος καὶ Μονογενὴς προέρχεται ἀπὸ τὸν Πατερα, καὶ ἄλλοτε ὡς ἄνθρωπος καὶ ὡς πρὸς αὐτὸ Πρωτότοκος καὶ μεταξὺ πολλῶν ἀδελφῶν[3], δὲν θὰ μποροῦσε ἄραγε νὰ προφέρεται πάρα πολὺ ταιριαστὰ καὶ ἔντεχνα καὶ μὲ τοὺς δύο χαρακτηρισμούς, καὶ ἐκεῖνον ποὺ ἀναφέρεται στὸ ὕψιστο ἀξίωμα, καὶ ἐκεῖνον ποὺ κατεβαίνει πρὸς τὰ κάτω φθάνοντας σὲ μᾶς, ἐφόσον βέβαια θέληση καὶ σκοπός του ἦταν νὰ μεταπείσει τοὺς ἀνθρώπους, ὅτι εἶναι πράγματι Θεὸς προερχόμενος ἀπὸ τὸν Θεὸ καὶ κατέβηκε γιὰ χάρη μας στὰ δικά μας, καὶ δὲν τὸν ταπεινώνει ὁ τρόπος τῆς κενώσεως, παρὰ νὰ ἀποδοκιμάζει ὁ ἴδιος τὴν καθόλου σοφὴ καὶ καλὴ ἀπόφασή του, χωρὶς νὰ ἀπορρίπτει βέβαια τὸ νὰ γίνει σὰν ἐμᾶς, ἀλλὰ νὰ κοκκινίζει γιὰ λόγια γιὰ τὰ ὁποῖα δὲν ντρέπεται ἡ ἀνθρώπινη φύση; Γιατί δηλαδὴ ἔπρεπε, θὰ ἔλεγα ἐγώ, καὶ πολὺ δίκαια, νὰ κατεβεῖ σὲ μιὰ φύση τῆς ὁποίας τὸ νὰ ὑποδυθεῖ τὴν ἀσημότητα καὶ εὐτέλεια ἦταν προσβλητικὸ καὶ ἀνυπόφορο στὸν Θεὸ ποὺ εἶχε γεννηθεῖ ἀπὸ τὸν Θεό; Καὶ ἡ παραίτησή του ἀπὸ τὰ δικά μας πράγματα, ἐὰν ἦταν σ' αὐτὸν πρέπουσα καὶ ἀναγκαία, γιὰ νὰ μπορέσει νὰ διαφυλάξει ἀβλαβῆ καὶ ἀνόθευτη τὴν ὡραιότητα τῆς θεότητας, γιατί δὲν ἔγινε πολὺ πρὶν νὰ ἑνωθεῖ μὲ τὴν σάρκα καὶ ὑποστεῖ τὴν ἀσυμβίβαστη ταπείνωση; Ἀλλὰ δὲν νομίζω ὅτι κανεὶς ποτὲ ἔφτασε σὲ τέτοιο βαθμὸ παραλογισμοῦ, ὥστε νὰ μὴ θαυμάζει πάρα πολὺ τὸν Μονο-

*ὡς μὴ ὑπεράγασθαι σφόδρα τοῦ Μονογενοῦς, οὐχ ἁρπάσαντος μὲν δι᾽ ἡμᾶς τὸ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ἐκπρεπὲς ἀξίωμα καὶ ὑπέρτατον, ἑλομένου δὲ παθεῖν τὴν ἐν σαρκὶ κένωσιν, καὶ σὺν αὐτῇ τοὺς αὐτῇ πρέποντάς τε καὶ ἐοικότας λόγους, καὶ τὸ χρῆμα ἡγεῖσθαι παρ᾽ οὐδέν, ὅτ᾽ ἂν ἡμῖν εὖ μάλα διαπεραίνοιτο τὸ ἀλωβήτως ἔχειν, ἀναφοιτώσης εἰς τὸ ἐν ἀρχαῖς τῆς φύσεως καὶ ἀνακτιζομένης ἐν αὐτῷ πρὸς καινότητα ζωῆς δι᾽ ἁγιασμοῦ ἐν Πνεύματι.*

*Διατρανοῖ γοῦν ὁ Παῦλος τῆς ἐνανθρωπήσεως τὴν αἰτίαν, οὐκ ἀγγέλων ἐπειλῆφθαι τὸν τοῦ Θεοῦ Λόγον εἰπών, ἀλλὰ σπέρματος Ἀβραάμ, «ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν». Καὶ πάλιν· «Ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον». Καὶ τί τοῦτο λέγω, καίτοι τοῖς ἐθέλουσι μετὸν ἀναφανδὸν ἐπαΐειν ἀνακεκραγότος Χριστοῦ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα Θεόν, «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας, τότε εἶπον· Ἰδοὺ ἥκω, τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου». Καὶ ποῖον ἦν ἄρα τὸ σοφὸν εἰς ἡμᾶς καὶ σωτήριον θέλημα τοῦ Πατρός; Τὸ καταργεῖσθαι θάνατον ἐν θανάτῳ Χριστοῦ, καὶ πρός γε τούτῳ τὴν ἁμαρτίαν καὶ τὸν τῆς ἁμαρτίας εὑρετὴν καὶ τεχνίτην ἐν ἀρχαῖς, καὶ δι᾽ αἵματος τοῦ ἁγίου τὴν ἁπάντων γενέσθαι λύτρωσιν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει πάλιν ὡδὶ περὶ τοῦ Υἱοῦ· «Καὶ διὰ τοῦτο Διαθήκης Καινῆς μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ Διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας· Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μή ποτε ἰσχύει ἕως ἂν ζῇ ὁ διατιθέμενος». Τεθνάναι δὲ εἴπερ ἔδει τὸν Υἱὸν πρὸς τὴν τῆς οἰκονομίας κατόρθωσιν, οὐκ ὄντος ἀσυντελοῦς τοῦ δεῖν ἑλέσθαι τὸν θάνατον, πῶς οὐκ ἀναγκαῖον καὶ χρειῶδες ἦν αὐτῷ καὶ εἰς τὴν τοῦ θανάτου δεκτικὴν καθικέσθαι φύσιν, ἧς ἂν εἴη καὶ τὸ*

4. Ρωμ. 6,4. 5. Ἑβρ. 2,16. 6. Ἑβρ. 2,17.
7. Ἑβρ. 2,14. 8. Ψαλμ. 39,7-9. 9. Ἑβρ. 9,15-17.

γενῆ, ὁ ὁποῖος γιὰ χάρη μας δὲν ἄρπαξε τὸ ἔξοχο καὶ ὑπέρτατο ἀξίωμα τοῦ νὰ ἔχει τὴ μορφὴ καὶ νά εἶναι ἴσος μὲ τὸν Πατέρα, ἀλλὰ προτίμησε νὰ ὑποστεῖ τὴν σαρκικὴ κένωση, καί μαζί μὲ αὐτὴν ὅλα ὅσα ταιριάζουν καὶ εἶναι ὅμοια μὲ αὐτήν, καὶ νὰ μὴ θεωρεῖ τὸ πρᾶγμα ἀξιόλογο, ὅταν θά ἔφερνε εἰς πέρας τό ἔργο τῆς σωτηρίας μας, ἐπαναφέροντας τὴ φύση στὴν ἀρχική της κατάσταση καὶ ἀνακαινίζοντάς την μὲ αὐτὸν σὲ νέα ζωὴ[4] μὲ τὸν ἁγιασμὸ τοῦ Πνεύματος.

Ὁ Παῦλος λοιπὸν διακηρύσσοντας περίλαμπρα τὸν σκοπὸ τῆς ἐνανθρωπήσεως, λέγει ὅτι ὁ Λόγος τοῦ Θεοῦ δὲν ἦρθε νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ[5]· «Γι' αὐτὸ ἔπρεπε νὰ γίνει ὅμοιος καθόλα μὲ τοὺς ἀδελφούς του, γιὰ νὰ εἶναι σπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας στὴν ὑπηρεσία τοῦ Θεοῦ»[6]. Καί πάλι· «Ἐπειδὴ λοιπὸν τὰ παιδιὰ ἔχουν αἷμα καὶ σάρκα, γι' αὐτὸ καὶ αὐτὸς ἔγινε κατά παρόμοιο τρόπο μέτοχος τῶν ἴδιων, γιὰ νὰ καταργήσει μὲ τὸν θάνατό του ἐκεῖνον ποὺ ἔχει τὴ δύναμη τοῦ θανάτου, δηλαδὴ τὸν διάβολο»[7]. Ἀλλὰ γιατί τὸ λέγω αὐτό, ἀφοῦ ὅσοι ἤθελαν μποροῦσαν νὰ γνωρίσουν καθαρὰ ὅτι ὁ Χριστὸς φώναζε πρὸς τὸν οὐράνιο Πατέρα καὶ Θεό· «Δὲν θέλεις θυσία οὔτε ἀναίμακτη προσφορά· θυσίες ποὺ κατακαίονται πάνω στὸ θυσιαστήριο, καὶ ἄλλες ποὺ προσφέρονται γιὰ τὶς ἁμαρτίες δὲν σοῦ ἀρέσουν· καὶ τότε εἶπα· Νά, ἔρχομαι, Θεέ, γιὰ νὰ κάνω τὸ θέλημά σου»[8]. Καὶ ποιὸ ἦταν ἄραγε τὸ σοφὸ σὲ μᾶς καὶ σωτήριο θέλημα τοῦ Πατέρα; Τὸ νὰ καταργηθεῖ ὁ θάνατος μὲ τὸν θάνατο τοῦ Χριστοῦ, καὶ μαζὶ μ' αὐτὸν νὰ καταργηθεῖ καὶ ἡ ἁμαρτία καὶ ὁ ἐφευρέτης καὶ τεχνίτης τῆς ἁμαρτίας στὴν ἀρχὴ τῆς δημιουργίας, καὶ μὲ τό αἷμα τοῦ ἁγίου νὰ γίνει ἡ λύτρωση ὅλων. Γι' αὐτό καὶ ὁ θεσπέσιος Παῦλος γράφει πάλι τὰ ἑξῆς γιὰ τὸν Υἱό· «Καὶ γι' αὐτὸ εἶναι μεσίτης Διαθήκης Νέας, ὥστε τώρα ποὺ συνέβη ὁ θάνατος γιὰ τὴν ἀπολύτρωση ἀπὸ τὶς παραβάσεις ποὺ ἔγιναν κατὰ τὸν χρόνο τῆς πρώτης Διαθήκης, νὰ λάβουν ὅσοι εἶναι καλεσμένοι τὴν ὑπόσχεση τῆς αἰώνιας κληρονομίας. Γιατὶ ἡ διαθήκη ἔχει κύρος ὅταν πεθάνουν οἱ διαθέτες, ἐπειδὴ δὲν ἰσχύει ὅσο διάστημα ζεῖ ὁ διαθέτης»[9]. Ἀφοῦ λοιπὸν ἔπρεπε νὰ πεθάνει ὁ Χριστὸς γιὰ νὰ ἐκπληρωθεῖ τὸ σχέδιο τῆς θείας οἰκονομίας, ἐπειδὴ δὲν μποροῦσε νὰ μὴ δεχθεῖ τὸν θάνατο, πῶς δὲν ἦταν γι' αὐτὸν ἀναγκαῖο καὶ ὠφέλιμο νὰ κατεβεῖ στὴ φύση ποὺ εἶναι δεκτικὴ τοῦ θανάτου, ἀπὸ τὴν ὁποία δὲν λεί-

*ἐν λόγοις σμικροπρεπὲς οὐκ ἀπόβλητον τῷ γε ἅπαξ αὐτὴν ἑλομένῳ παθεῖν; Μῶν εἶναί σοι δοκεῖ θρασὺς ἢ ἐξίτηλος ὁ ἔν γε τουτοισὶ λόγος, ἢ πρὸς ἥντιναοῦν ἀποκλίνων ἀναισχυντίαν;*

*Β. Οὐδαμῶς.*

*Α. Ἦν μὲν γὰρ καὶ ἔστιν ὁ Λόγος καὶ ἐν σαρκὶ γεγονώς, ὅσα καὶ πρὸ σαρκός, ἃ δέ γε προσειληφὼς ὁρᾶται διὰ τὴν σάρκα οὐκ ἦν ἐν ἀρχαῖς.*

*Β. Οἷον δή τί· βαθὺς γὰρ ὁ λόγος, καὶ οὐ πρόχειρος ἑλεῖν.*

*Α. Οὐ γάρ, ὦ φιλότης, Θεὸς ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν; Οὐχὶ δὲ «φῶς ἦν τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον»; Οὐ Μονογενὴς καὶ εἰς τὸν κόλπον τοῦ Πατρός; Οὐκ ἄνωθεν ἔρχεται καὶ ἐπάνω πάντων ἐστίν; Οὐχὶ δὲ αὐτὸς περὶ ἑαυτοῦ φησιν, «Ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου»;*

*Β. Ναί· λέγεις γὰρ ἡμῖν ἃ καὶ ἡ θεία Γραφή.*

*Α. Ἆρ' οὖν οἴει τὴν κένωσιν ζημίαν τῶν ἐν ἀρχαῖς φυσικῶν τε καὶ ἰδικῶν ἐνεργάσασθαι τῷ Λόγῳ, ὡς παρατροπῆς τε καὶ ἀλλοιώσεως τῆς ἐπὶ τὸ λυποῦν εἰς πεῖραν ἐλθεῖν;*

*Β. Οὐκ ἂν οἰηθείην πώποτε. Τροπῆς γὰρ ἀμείνω τὸν Υἱὸν ἴσμεν τε καὶ πεπιστεύκαμεν, γεγραφότος ἡμῖν τοῦ Παύλου· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας».*

*Α. Ὀρθῶς, ὦ ἑταῖρε, καὶ μάλα σοφῶς. Εἰ γὰρ εἰσδέξαιτο τὸ λυποῦν καὶ ἀδικοῦν εἰς δόξαν καὶ φύσιν αὐτὴν διὰ τῆς παρατροπῆς, πῶς ἡμῖν ὁ αὐτὸς νοοῖτ' ἂν ἔτι; Ἐρηρεῖσθαι δὴ οὖν ἐν οἷς ἦν ἀεὶ δοξάζειν ἀνάγκη τὸν Μονογενῆ, καὶ εἰ γέγονε σὰρξ καὶ ἐσκήνωσεν ἐν ἡμῖν.*

*Β. Ἀνάγκη.*

*Α. Ἰτέον οὖν ἤδη καὶ πρὸς τὰ σαρκός, ἤτοι διὰ τὴν σάρκα. Ἁπτὸς γέγονεν ὁ ἀναφής· τοιγάρτοι καὶ ὁ Θωμᾶς, χειρὶ καὶ δακτύλοις τοὺς τῶν ἥλων τύπους ἐπαφώμενος, ἔλεγεν· «Ὁ Κύριός μου καὶ ὁ Θεός μου». Ὁρατὸς πέφηνεν ὁ ἀόρατος, καὶ λιγυρὸν ἀνιεὶς ἐπὶ τούτῳ μέλος ὁ θεῖος ἔφη Δαβίδ· «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν. Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυ-*

---

10. Ἰω. 1, 1. 11. Ἰω. 1, 9. 12. Ἰω. 1, 18. 13. Ἰω. 3, 31.

πει βέβαια καὶ ἡ εὐτέλεια στὰ λόγια γι' αὐτὸν ποὺ προτίμησε νὰ τὴν ὑποστεῖ; Μήπως λοιπὸν σοῦ φαίνεται ὅτι ὁ λόγος γι' αὐτὰ εἶναι θρασὺς ἢ ξεπερασμένος, ἢ ἀποκλίνει πρὸς ὁποιαδήποτε ἀδιαντροπιά;

Β. Καθόλου.

Α. Ἦταν βέβαια καὶ εἶναι ὁ Λόγος καὶ κατὰ τὴ σάρκωσή του αὐτὰ ποὺ ἦταν καὶ πρὶν ἀπὸ τὴ ἐνανθρώπησή του, αὐτὰ ὅμως ποὺ φαίνεται ὅτι προσέλαβε λόγω τῆς σάρκας δὲν ὑπῆρχαν στὴν ἀρχή.

Β. Ποιά δηλαδή; γιατὶ ὁ λόγος εἶναι βαθὺς καὶ δυσκολονόητος.

Α. Δὲν ἦταν, φίλε, ὁ Λόγος Θεός, καὶ ὁ Λόγος δὲν ἦταν μαζὶ μὲ τὸν Θεό[10]; Δὲν ἦταν ἐπίσης «τὸ ἀληθινὸ φῶς, ποὺ φωτίζει κάθε ἄνθρωπο ποὺ ἔρχεται στὸν κόσμο[11]; Δὲν ἦταν Μονογενὴς καὶ στὸν κόλπο τοῦ Πατέρα[12]; Δὲν ἔρχεται ἀπὸ πάνω καὶ βρίσκεται πάνω ἀπὸ ὅλους[13]; Δὲν λέγει ὁ ἴδιος γιὰ τὸν ἑαυτό του, «Ἐγὼ δὲν εἶμαι ἀπὸ τὸν κόσμο αὐτόν»[14];

Β. Ναί· γιατὶ λὲς αὐτὰ ποὺ λέγει καὶ ἡ ἁγία Γραφή.

Α. Μήπως νομίζεις ὅτι ἡ κένωση ἐπέφερε ζημιὰ στὶς ἀρχικὲς φυσικὲς καὶ ἰδιαίτερες ἰδιότητες τοῦ Λόγου, ὥστε νὰ ὑποστεῖ μεταβολὴ καὶ ἀλλοίωση ἐπειδὴ ἔλαβε πεῖρα τοῦ κακοῦ;

Β. Δὲν θὰ τὸ πίστευα ποτέ. Γιατὶ γνωρίζουμε καὶ πιστεύσαμε ὅτι ὁ Υἱὸς εἶναι ὑπεράνω μεταβολῆς, ἀφοῦ ὁ Παῦλος μᾶς γράφει· «Ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ ἴδιος χθὲς καὶ σήμερα καὶ στοὺς αἰῶνες»[15].

Α. Σωστά, φίλε, καὶ πολὺ καθαρά. Γιατί, ἐὰν εἶχε δεχθεῖ κάτι ποὺ στενοχωρεῖ καὶ ἀδικεῖ σὲ δόξα καὶ τὴν ἴδια τὴ φύση του μὲ τὴν μεταβολή, τότε πῶς μποροῦσε νὰ θεωρεῖται ἀκόμα γιὰ μᾶς ἴδιος; Εἶναι σταθερὰ λοιπὸν αὐτὰ μὲ τὰ ὁποῖα εἶναι ἀνάγκη νὰ δοξάζουμε τὸν Μονογενῆ, ἔστω καὶ ἂν ἐνανθρώπησε καὶ κατασκήνωσε μαζί μας.

Β. Ναί, εἶναι ἀνάγκη.

Α. Ἂς ἔρθουμε λοιπὸν τώρα καὶ στὰ τῆς σάρκας, δηλαδὴ αὐτὰ ποὺ δέχθηκε λόγω τῆς σάρκας. Ὁ ἀψηλάφητος ἔγινε ψηλαφητός· γι' αὐτὸ καὶ ὁ Θωμᾶς, ἀγγίζοντας μὲ τὸ χέρι καὶ τὰ δάκτυλά του τὰ σημάδια τῶν καρφιῶν, ἔλεγε· «Ὁ Κύριός μου καὶ ὁ Θεός μου»[16]. Ὁ ἀόρατος ἔγινε ὁρατός, καὶ γι' αὐτὸ ὁ θεῖος Δαβίδ, ἀπευθύνοντας ἐξαιτίας αὐτοῦ εὐάρεστο μέλος, εἶπε· «Ὁ Θεὸς τῶν κατὰ χάρη θεῶν, ὁ Κύριος μίλησε καὶ προσκάλεσε αὐτοὺς ποὺ κατοικοῦν στὴ γῆ· ἀπὸ

14. Ἰω. 8,23. 15. Ἑβρ. 13,8. 16. Ἰω. 20,28.

σμῶν, ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ· ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται». Πότε γὰρ ἢ ποῦ, τίνα τε τρόπον ἐμφανῶς ἡμῖν ἀφῖκται Θεός, ὃς καὶ πᾶσαν ἐκάλεσε τὴν γῆν, εἰ μὴ ὅτε γέγονεν ἄνθρωπος ὁ Μονογενής, καὶ ὁ μηδενὶ τῶν κτισμάτων ὁρώμενος ἐμφανῶς ἐδείχθη διὰ τὴν σάρκα καὶ κεκοπίακεν ἐκ τῆς ὁδοιπορίας ὅτε τὴν Σαμαρειτῶν διέθει πόλιν, καὶ μὴν καὶ τροφῆς ἐδεῖτο σωματικῆς, καίτοι «διδοὺς τοῖς πεινῶσιν ἰσχύν», κατὰ τὴν τοῦ προφήτου φωνήν; Ὁ ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν μεθ' ἡμῶν γενέσθαι λέγεται καὶ ἐν θανάτῳ σαρκός. Περιθείης ἂν οὖν, ὦ ἑταῖρε, ταυτὶ τῷ Μονογενεῖ καὶ πρὸ σαρκός, καὶ οὐκ ἂν ἀσυνέτως καταλωβήσαιο τὸν ὑγιᾶ τε καὶ εὐσεβῆ περὶ αὐτοῦ λόγον;

Β. Κινδυνεύομεν.

Α. Ἀποσκευασώμεθα δὴ οὖν ἀνοσιότητός τε γραφὴν καὶ δυσσεβείας ἐγκλήματα, τὰ μὲν ὅσαπέρ ἐστι θεοπρεπέστερα καὶ ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς οὔπω καθ' ἡμᾶς γεγονότι προσνέμοντες τῷ Υἱῷ, τὰ δὲ ὅσα πως χθαμαλωτέραν καὶ καθ' ἡμᾶς τὴν ὑπόληψιν ἔχει περιτρέποντες οἰκονομικῶς καὶ «αἰχμαλωτίζοντες», κατὰ τὰς Γραφάς, «εἰς ὑπακοὴν αὐτοῦ». Οὐ γὰρ δή τι παθόντες τῶν ἔξω λόγου καὶ φρενὸς ὅταν μὲν λέγῃ Χριστός· «Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου», καὶ αὐτὴν ἐξ οὐρανοῦ τὴν σάρκα κατοίσομεν, καίτοι τοῦ προφήτου σαφῶς τὴν ἁγίαν ἡμῖν καταδεικνύντος Παρθένον καὶ βοῶντος ἀναφανδόν· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ». Οὐδ' αὖ ἐν μήτρᾳ σωματικῇ τῆς ἐν ἀρχαῖς ὑπάρξεως τὴν καταβολὴν ἐσχηκέναι νομιοῦμεν τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, ὅταν αὐτὸν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τοῦ Πατρὸς ὁ Παῦλος ἀποκαλῇ, τὴν ἀσώματόν τε καὶ ἄφραστον γέννησιν ταῖς ὑπὲρ λόγον ἡμῖν κατασημαίνων ἐννοίαις.

Β. Παντάπασι μὲν οὖν.

Α. Ὁμοῦ τοιγαροῦν τοῖς πράγμασι καὶ τὰ ἑκατέρῳ πρέποντα

17. Ψαλμ. 49, 1-3. 18. Ψαλμ. 145, 7. 19. Πράξ. 17, 28.
20. Β' Κορ. 10, 5. 21. Ἰω. 3, 13. 22. Ἠσ. 7, 14. 23. Ἑβρ. 1, 3.

τὴν ἀνατολὴ μέχρι τὴ Δύση, ἀπὸ τὴ Σιὼν ἔλαμψε ἡ μεγαλόπρεπη ὡραιότητά του. Ὁ Θεὸς θὰ ἔρθει φανερά, ὁ Θεός μας θὰ ἔρθει καὶ δὲν θὰ σιωπήσει πιά»[17]. Πότε λοιπὸν ἢ ποῦ καὶ μὲ ποιὸν τρόπο ἦρθε ὁ Θεός, ὁ ὁποῖος μάλιστα κάλεσε ὅλη τὴ γῆ, ἂν ὄχι ὅταν ὁ Μονογενὴς ἔγινε ἄνθρωπος, καὶ αὐτὸς ποὺ δὲν ἦταν ὁρατὸς σὲ κανένα κτίσμα, παρουσιάσθηκε φανερὰ ἐξαιτίας τῆς σάρκας, καὶ κουράσθηκε ἀπὸ τὴν ὁδοιπορία ὅταν περνοῦσε ἀπὸ τὴν πόλη τῶν Σαμαρειτῶν, ἀλλὰ καὶ ἀπὸ τροφὴ σωματικὴ εἶχε ἀνάγκη, ἂν καὶ ἔδινε σ' αὐτοὺς ποὺ πεινοῦσαν δύναμη, σύμφωνα μὲ τὰ λόγια τοῦ προφήτη[18]; Αὐτὸς «μέσα στὸν ὁποῖο ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε[19], λέγεται ὅτι ἦρθε μαζί μας, καὶ ὑπέμεινε τὸν θάνατο τῆς σάρκας. Θὰ τὰ ἀπέδιδες λοιπόν, φίλε, ὅλα αὐτὰ ἐδῶ στὸν Μονογενῆ καὶ πρὶν τὴ σάρκωσή του, καὶ δὲν θὰ ἔβλαπτες ἀπερίσκεπτα τὴν εὐσεβῆ καὶ ὑγιᾶ διδασκαλία γι' αὐτόν;

Β. Κινδυνεύουμε.

Α. Ἂς ξεφορτωθοῦμε λοιπὸν τὴν κατηγορία τῆς ἀνοσιότητας καὶ τὰ ἐγκλήματα τῆς ἀσέβειας, ἀποδίδοντας στὸν Υἱό, πρὶν γίνει σὰν ἐμᾶς, ὅσα ἀνήκουν στὸν Θεὸ καὶ εἶναι ἀνώτερα ἀπὸ τὴ δική μας φύση, ἐνῶ ὅσα εἶναι κατώτερα καὶ ἀναφέρονται σὲ μᾶς, μεταβάλλοντας κατ' οἰκονομία καὶ αἰχμαλωτίζοντας, σύμφωνα μὲ τὶς Γραφές, κάθε νόημα, γιὰ νὰ τὸ κάνουμε νὰ ὑπακούσει σ' αὐτὸν[20]. Δὲν θὰ φτάσουμε βέβαια σὲ κάτι ἀπὸ τὰ ἐκτὸς λογικῆς καὶ νοῦ, ὥστε ὅταν ὁ Χριστὸς λέγει, «Καὶ κανένας δὲν ἀνέβηκε στὸν οὐρανό, παρὰ μόνο αὐτὸς ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανό, ὁ Υἱὸς τοῦ ἀνθρώπου»[21], νὰ κατεβάσουμε καὶ τὴν ἴδια τὴ σάρκα ἀπὸ τὸν οὐρανό, ἂν καὶ βέβαια ὁ προφήτης, δείχνοντας τὴν ἁγία μας Παρθένο, φωνάζει ὁλοκάθαρα· «Νά, ἡ Παρθένος θὰ συλλάβει, καὶ θὰ γεννήσει υἱό, καὶ θὰ τὸν ὀνομάσουν Ἐμμανουήλ.[22]. Οὔτε ἐπίσης νὰ νομίζουμε ὅτι ὁ Θεὸς Λόγος, ποὺ προῆλθε ἀπὸ τὸν Θεό, εἶχε τὴν καταβολὴ τῆς ἀρχικῆς ὑπάρξεώς του μέσα σὲ μήτρα σωματική, ἀφοῦ ὁ Παῦλος τὸν ὀνομάζει ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς ὑποστάσεως τοῦ Πατέρα[23], δηλώνοντας μὲ σαφήνεια τὴν ἀσώματη καὶ ἀπερίγραπτη γέννηση σὲ μᾶς μὲ τὶς ἔννοιες ποὺ εἶναι πάνω ἀπὸ κάθε λόγο.

Β. Ἐξ ὁλοκλήρου ἔχεις δίκαιο.

Α. Πρέπει λοιπὸν νὰ νοοῦμε μαζὶ αὐτὰ ποὺ ταιριάζουν στὸν

*νοητέον. Εὐθὺ γὰρ οὕτω τῆς ἀληθείας ἕξομεν, οὔτε τοῦ λόγου τὸ ὑψηλὸν εἰς τὸ ἀκλεὲς καταστρέφοντες διὰ τὴν σάρκα καὶ τὰ αὐτῆς, οὔτε τὰ σαρκός τε καὶ δι᾿ αὐτήν, τῶν καθ᾿ ἡμᾶς εἰσάπαν ἀνακομίζοντες διὰ τὴν οἰκονομίαν, διεκσῴζοντες δὲ μᾶλλον τῷ Μονογενεῖ τὸ ἀναλλοιώτως ἔχειν, τὸν αὐτὸν ὄντα γινώσκομεν καὶ πρὸ τῆς εἰς σάρκα συνδρομῆς καὶ ὅτε γέγονε σάρξ, εἰ καί τι τῶν ὅσα ἐστὶ σμικροπρεπέστερά τε καὶ ὑφειμένα λαλοῖτο περὶ αὐτοῦ διὰ τὸ ἀνθρώπινον.*

*Β. Ἀλλ᾿ εἰ μέλλοις ἅπαντα, φησί, κατὰ τὸ αὐτῷ σοι δοκοῦν περιτρέπειν εἰς οἰκονομίαν τὴν μετὰ σαρκός, διὰ ποίων ἔτι τὴν τοῦ Λόγου φύσιν ὅ τί ποτέ ἐστιν εὑρήσομεν;*

*Α. Οὐκοῦν, ὦ γενναῖε, φαίην ἂν ἤδη σοι καὶ αὐτὸς ἐγώ· εἰ δὴ μέλλοις ἅπαντα περιτρέπειν εἰς τὸ ὅ τί ποτέ ἐστιν ἡ τοῦ Λόγου φύσις, διερμηνεῦσαι δεῖν, ὅτι γέγονεν ἄνθρωπος, πῶς ἂν εἰδείης ἢ πόθεν; Οὐ γὰρ τοῖς τῆς θεότητος ἰδιώμασιν ἐκμάθοι τις ἂν τὰ ἀνθρώπινα. Τὸ δὲ ἀσυγκρίτως ὑπερτεροῦν, καὶ ὅλῃ τῇ φύσει διενεγκεῖν ἀνενδοιάστως πεπιστευμένον, πῶς ἄν, εἰπέ μοι, τὴν τῶν οὕτω μειονεκτουμένων ἐμποιῆσαι δήλωσιν; Τὸ δὲ δὴ διειδέναι μὲν εὖ μάλα καὶ σαφῶς ὅτι Θεὸς ἦν ὁ Λόγος, μὴ μὴν ὅτι καὶ γέγονεν ἄνθρωπος, οὐκ ἂν ἀποχρῶσαν ἔχοι τὴν ὄνησιν· ἀλλ᾿ εἰ προσκέοιτο τῷ πρώτῳ καὶ ἡ θατέρου πίστις, ἄρτιοι πρὸς σύνεσιν εἶεν ἂν οἱ πεπιστευκότες. Καὶ γοῦν ὁ σοφὸς καὶ θεηγόρος Ἰωάννης, «Τίς ἐστι», φησίν, «ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;». Ὄνομα γὰρ καινὸν τῷ Λόγῳ τὸ Ἰησοῦς, καὶ τῇ τῆς σαρκὸς γενέσει σύνδρομον. Προφητικὸν δὲ ἡμῖν χρησμῴδημα πάλιν ἐπαγωνιεῖται, λέγον· «Καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ τὸ καινόν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό». Οὐ γάρ, ὦ φιλότης, ὁ Γαβριὴλ τῇ Παρθένῳ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἐπὶ τούτῳ θέλησιν ἐμφανῆ καθίστη λέγων, «Μὴ φοβοῦ, Μαριάμ· ἰδοὺ γὰρ συλλήψῃ ἐν γαστρὶ καὶ τέξεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν»;*

*Β. Ἀληθές.*

*Α. Ἀνθότου δὴ οὖν (πυθοίμην γὰρ ἂν ὡς ἥδιστά σου) τὸ χρῆναι νοεῖν μεθέντες ὀρθῶς καὶ τὸ ὡς ἔνι μάλιστα σοφῶς καὶ*

---

24. Α' Ἰω. 5,5. 25. Ἠσ. 62,2. 26. Λουκᾶ 1,30.

καθένα σύμφωνα μὲ τὴ Γραφή. Γιατὶ ἔτσι θὰ φτάσουμε κατ᾽ εὐθεῖαν στὴν ἀλήθεια, χωρὶς νὰ κατεβάζουμε τὶς ὑψηλὲς ἔννοιες στὰ ταπεινά, ἐξαιτίας τῆς σάρκας καὶ ὅσα ἀνήκουν σ᾽ αὐτήν, οὔτε πάλι ὅλα ὅσα εἶναι τῆς σάρκας καὶ λέγονται ἐξαιτίας αὐτῆς, παίρνοντάς τα ἀπὸ μᾶς νὰ τὰ μεταφέρουμε στὴ θεία φύση ἐξαιτίας τῆς θείας οἰκονομίας, ἀλλὰ νὰ διασώζουμε τὸ ἀναλλοίωτο στὸν Μονογενῆ, ἀναγνωρίζοντας ὅτι ἦταν ὁ ἴδιος καὶ πρὶν ἀπὸ τὴ σάρκωσή του, καὶ ὅταν ἔγινε ἄνθρωπος, ἂν καὶ κάποια, ἀπὸ ὅσα εἶναι μικροπρεπῆ καὶ κατώτερα, λέγονται γι᾽ αὐτὸν ἐξαιτίας τῆς ἀνθρώπινης φύσεώς του.

Β. Ἐὰν ὅμως, λέγει, φτάνεις ὅλα νὰ τὰ ἀποδίδεις στὴν ἔνσαρκο οἰκονομία σύμφωνα μ᾽ αὐτὸ ποὺ ἀρέσει σὲ σένα, τότε πῶς θὰ βροῦμε τί τέλος πάντων εἶναι ἡ φύση τοῦ Λόγου;

Α. Θὰ μποροῦσα λοιπὸν νὰ σοῦ πῶ καὶ ἐγώ, γενναῖε, μὲ τὴ σειρά μου· ἐὰν ὅλα τὰ ἑρμηνεύεις προσαρμόζοντάς τα σ᾽ αὐτὸ ποὺ κατὰ κάποιο τρόπο εἶναι ἡ φύση τοῦ Λόγου, τότε μὲ ποιὸν τρόπο καὶ ἀπὸ ποῦ θὰ μάθεις ὅτι ἔγινε ἄνθρωπος; Γιατὶ δὲν μπορεῖ κανεὶς νὰ μάθει τὰ ἀνθρώπινα μὲ τὰ ἰδιώματα τῆς θεότητας. Ἐκεῖνο ἄλλωστε ποὺ ὑπερτερεῖ ἀσύγκριτα καὶ τοῦ ἔχει ἐμπιστευθεῖ χωρὶς ἐνδοιασμὸ νὰ φέρει εἰς πέρας ὅλη τὴν κτίση, πῶς εἶναι δυνατόν, πές μου, νὰ φανερώσει τὴ φύση αὐτῶν ποὺ εἶναι τόσο πολὺ κατώτερα; Ὅμως καὶ τὸ νὰ γνωρίσεις καλὰ καὶ καθαρὰ ὅτι ὁ Λόγος ἦταν Θεός, ἀλλ᾽ ὄχι καὶ ὅτι ἔγινε ἄνθρωπος, δὲν παρέχει ἐπαρκῆ ὠφέλεια. Ἐνῶ ἐὰν στὸ πρῶτο προστεθεῖ καὶ ἡ πίστη τοῦ ἄλλου, τότε θὰ εἶναι τέλειοι σὲ σύνεση ὅλοι ὅσοι ἔχουν πιστέψει. Ἄλλωστε καὶ ὁ σοφὸς καὶ θεόπνευστος Ἰωάννης λέγει· «Ποιὸς εἶναι αὐτὸς ποὺ νικᾶ τὸν κόσμο, παρὰ ἐκεῖνος ποὺ πιστεύει, ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Υἱὸς τοῦ Θεοῦ;»[24]. Γιατὶ τὸ ὄνομα Ἰησοῦς εἶναι νέο ὄνομα τοῦ Λόγου, καὶ συνδέεται μὲ τὴν ἐνσάρκωσή του. Ἀλλὰ καὶ προφητικὴ ρήση συμφωνεῖ μαζί μας λέγοντας· «Καὶ θὰ τὸν ὀνομάζουν μὲ καινούργιο ὄνομα, αὐτὸ ποὺ ὁ Κύριος θὰ τοῦ δώσει»[25]. Ὁ Γαβριήλ, ἀγαπητέ, δὲν ἔκανε γνωστὴ στὴν Παρθένο τὴ θέληση τοῦ Θεοῦ καὶ Πατέρα, λέγοντας, «Μὴ φοβᾶσαι Μαρία· γιατὶ θὰ μείνεις ἔγκυος, καὶ θὰ τὸν ὀνομάσεις Ἰησοῦ»[26];

Β. Σωστά.

Α. Γιὰ ποιὸ λόγο λοιπὸν (θὰ ἄκουα εὐχαρίστως ἀπὸ σένα), παραβλέποντας τὸ ὅτι πρέπει νὰ νοοῦμε σωστὰ καὶ ἀποφεύγοντας νὰ

ἀτέχνως τῇ τῶν ἱερῶν εἰδήσει Γραμμάτων προσφέρεσθαι διαπτύσαντες, τοῖς εὐπαραφόροις ἐν ἴσῳ δόναξιν ἐς τὸ ἀεὶ προσωθοῦν εὐκόλως μετακεκλίμεθα, καίτοι τοῦ μακαρίου Παύλου διακεκραγότος ὡδί· «Ἀδελφοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι»· καὶ μὴν καὶ Θεοῦ τὸ λίαν εὐπάρσιστον καὶ εὐδιαπτόητον τοῦ τρόπου, τὴν ἀνωτάτω τοῖς ἔχουσι τιθέντος διαβολήν, καὶ δίκην ὁρίζοντος τῇ νόσῳ τὴν ἀποστροφήν. Ἔφη γὰρ ὧδε περί τινων· «Ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο, καὶ ὁ Θεὸς οὐκ εὐδόκησεν ἐν αὐτοῖς». Τὸ γάρ τοι βεβαίως τε καὶ ἀκλινῶς ἱδρυμένον πρὸς πᾶν ὁτιοῦν τῶν τελούντων εἰς ὄνησιν ἀσφαλές τε καὶ ἄσυλον.

Β. Πῶς οὖν ἄρα διωσαίμεθα ἂν τοὺς παρ' ἐκείνων λόγους, εἰ κατὰ μέθεξιν ἐν Υἱῷ φαῖεν εἶναι τὰ θεοπρεπῆ;

Α. Οὐκ ἀκονιτὶ μέν, ὦ 'γαθέ· τὸ γάρ τοι χρῆμα δυσδιεξίτητον μέν, πλὴν ἐξ ἀναγκαίων συλλογισμῶν, φιλοθηρεῖν εὖ μάλα παρέσται τἀληθές. Πρῶτον μὲν γάρ, εἰ τῇδε φρονεῖν ἐγνώκασιν, ἀφαιρούντων αὐτοῦ, καὶ πρό γε τῶν ἄλλων, τὴν τῆς θεότητος δόξαν, καὶ ἥκιστα μὲν Υἱόν, πάντα δὲ μᾶλλον ὁμολογούντων ἢ τοῦτο, Ἰουδαίοις δὲ ὡς πεπωρωμένοις ἀναδεικνύμενοι σύμφρονες, καὶ καταλευόντων ἤδη, τῆς εἰς αὐτὸν εὐσεβείας εἰσάπαν ἠφειδηκότες. Ἑλομένῳ δὲ τὰς αἰτίας ἀναπυνθάνεσθαι τῆς οὕτως ἀκράτου καὶ δεινῆς ἀπονοίας, φάσκοντί τε· «Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἀπὸ τοῦ Πατρός μου· διὰ ποῖον αὐτῶν ἐμὲ λιθάζετε;», βοώντων ἀφιλοθέως· «Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σύ, κτίσμα ὤν, ποιεῖς σεαυτὸν Υἱὸν Θεοῦ». Προσεκτέον δὲ ἡμῖν οὐχὶ τοῖς εἰς τοῦτο πεσοῦσιν ἐμβροντησίας, οὐδὲ τοῖς ὧδε τὸν νοῦν κατηρρωστηκόσι καὶ παρειμένοις τὴν φρένα καὶ κατεφθορόσι τὸν λογισμόν, ἀλλ' οἷς ἂν αὐτὸς ἐναυλίζοιτο διὰ τοῦ Πνεύματος ὁ Χριστός, τὴν τοῦ μυστηρίου γνῶσιν ἀκαπήλευτον ἐντιθείς. Υἱὸν δὲ ἡμῖν ὁ θεοκλυτήσας Παῦλος ὠνόμασε τὸν Μονογενῆ, καὶ μὴν καὶ εἰκόνα καὶ ὁμοίωσιν τοῦ Πατρός, καὶ ἐν χαρακτῆρος δέχεται τάξει, διὰ τὸ εἰσάπαν, οἶμαί που, περικαλ-

---

27. Α' Κορ. 15, 58. 28. Ἱερ. 14, 10. 29. Ἰω. 10, 32. 30. Ἰω. 10, 33.

ἐμπιστευόμαστε ὅσο εἶναι δυνατὸν κατὰ τρόπο σοφὸ καὶ ἐπιδέξιο στὴ γνώση τῶν ἁγίων Γραφῶν, νὰ μεταστρεφόμαστε σὰν τὶς εὔκολα παρασυρόμενες σανίδες ποὺ διαρκῶς μετακινοῦνται; Ἂν καὶ βέβαια ὁ μακάριος Παῦλος διακηρύττει τὸ ἑξῆς· «Ἀδελφοί, νὰ εἴσαστε σταθεροί, ἀμετακίνητοι»[27]· ἀλλὰ καὶ ὁ Θεὸς τὴν εὔκολη μετακίνηση καὶ μετάπτωση τὴν τοποθετεῖ μεταξὺ τῶν μεγαλυτέρων κατηγοριῶν, καὶ δίκαια ὁρίζει τὴν ἀποστροφὴ πρὸς αὐτὴ τὴ νόσο. Γιατὶ λέγει τὰ ἑξῆς γιὰ κάποιους· «Ἀρέσκονται νὰ τρέχουν ἐδῶ κι' ἐκεῖ, χωρὶς νὰ κουράζονται, γι' αὐτὸ καὶ ὁ Θεὸς δὲν εὐαρεστεῖται μὲ αὐτούς»[28]. Γιατὶ αὐτὸ ποὺ εἶναι σταθερὰ καὶ ἀμετακίνητα στερεωμένο, εἶναι ἀσφαλὲς καὶ ἀπαραβίαστο σὲ κάθε τι ποὺ συντελεῖ σὲ ὠφέλεια.

Β. Μὲ ποιὸ τρόπο λοιπὸν θὰ μπορούσαμε νὰ ἀντικρούσουμε τὰ λόγια ἐκείνων, ἐὰν λένε ὅτι αὐτὰ ποὺ ταιριάζουν στὸν Θεὸ τὰ ἔχει ὁ Υἱὸς κατὰ μέθεξη;

Α. Ὄχι βέβαια, φίλε μου, χωρὶς ἀγώνα· γιατὶ τὸ πρᾶγμα εἶναι δύσκολο νὰ τὸ διεξέλθει κανείς, ἀλλὰ μὲ ἀπαραίτητους συλλογισμούς, ἐὰν τὸ ἐπιδιώξουμε μὲ ἀγάπη πρὸς τὴν ἔρευνα, θὰ ἔρθει ἡ ἀλήθεια. Γιατὶ κατὰ πρῶτον, ἐὰν ἔτσι ἐπιμένουν νὰ πιστεύουν, ἀφαιρώντας ἀπὸ αὐτόν, ἐκτὸς ὅλων τῶν ἄλλων, τὴ δόξα τῆς θεότητας, καὶ ὁμολογώντας γι' αὐτὸν μᾶλλον τὰ πάντα, καὶ ὄχι ὅτι εἶναι Υἱός, ἀποδεικνύονται ὁμόφρονες τῶν πωρωμένων Ἰουδαίων, καὶ λιθοβολώντας τον, παραμελοῦν τελείως τὸν σεβασμὸ πρὸς αὐτόν. Καὶ ὅταν ἤθελε νὰ μάθει τὶς αἰτίες αὐτῆς τῆς τόσο ἀσυγκράτητης καὶ τρομερῆς παράνοιάς τους καὶ ἔλεγε, «Πολλὰ καλὰ ἔργα σᾶς ἔδειξα ἀπὸ τὸν Πατέρα μου· γιὰ ποιὸ ἀπὸ αὐτὰ μὲ λιθοβολεῖτε;»[29], φώναζαν μὲ ἀσέβεια· «Δὲν σὲ λιθοβολοῦμε γιὰ κάποιο καλὸ ἔργο, ἀλλὰ γιὰ βλασφημία, ἐπειδὴ ἐσύ, ἐνῶ εἶσαι κτίσμα, κάνεις τὸν ἑαυτό σου Υἱὸ τοῦ Θεοῦ»[30]. Πρέπει λοιπὸν νὰ μὴ προσέχουμε σ' ἐκείνους ποὺ ἔχουν πέσει σὲ τέτοιο παραλογισμό, οὔτε σ' ἐκείνους ποὺ ἔχουν κατ' αὐτὸν τὸν τρόπο ἀρρωστήσει στὸν νοῦ, εἶναι ἐλαφρόμυαλοι καὶ ἔχουν βλαμμένο τὸ λογικό τους, ἀλλὰ σ' ἐκείνους ποὺ κατοικεῖ ὁ ἴδιος ὁ Χριστὸς διὰ τοῦ Πνεύματος, βάζοντας μέσα τους ἀνόθευτη τὴ γνώση τοῦ μυστηρίου. Καὶ ὁ θερμὸς ἱκέτης τοῦ Θεοῦ γιὰ μᾶς Παῦλος ὀνόμασε Υἱὸ τὸν Μονογενῆ, ἀλλὰ καὶ εἰκόνα καὶ ὁμοίωμα τοῦ Πατέρα, καὶ τὸν κατατάσσει στὴ θέση σφραγίδας, ἐξαιτίας τῆς μεγάλης ὡραιότη-

*λές, καὶ ὡς ἔνι μάλιστα λεπτὸν καὶ ἠκριβωμένον εἰς ἐμφέρειαν. Ἐνσωμάτῳ δὲ πρὸς ἀσώματον, τί ἂν γένοιτο τὸ ἰσοτυποῦν, νοοῖτο δ' ἂν ὅπως τὸ ταὐτοειδές, πῶς οὐκ ἄξιον ἰδεῖν; Τὸ γὰρ ἀπωτάτω σώματος σχηματισμῶν οὐκ ἀνέχεται καὶ διαμορφώσεων ἀποφοιτᾷ· καὶ ἁπαξαπλῶς τὰ σωμάτων ἴδια πῶς ἂν εἰσδέξαιτο; Ὥσπερ γάρ, κατά γε τὸ αὐτῷ μοι καλῶς ἔχειν δοκοῦν, οὐκ ἂν ἐνυπάρξαι πώποτε τὰ τῶν ἀσωμάτων ἴδια σώμασι τοῖς ἁπτοῖς τε καὶ αἰσθητοῖς, οὕτως ἀνεπίδεκτα παντελῶς εἶεν ἂν τοῖς αἰσθήσεως ἀνωτέρω, καὶ ἐν ἀσωμάτῳ φύσει τὰ ὅσαπερ ἂν τοῖς αἰσθητοῖς ἐπισυμβαίνῃ σώμασιν. Ἦ διανοῇ τι καὶ λέγειν ἂν ἔχοις αὐτὸς παρὰ τοῦτο ἕτερον;*

*Β. Οὐκ ἂν ἔχοιμι· πῶς γάρ;*

*Α. Φέρε δὴ οὖν, ἐπείπερ ἡμῖν ἀσώματος ὁ Πατήρ, ταῖς ὑπὲρ κτίσιν ἐννοίαις εἰδοποιοῦντες ὡς ἔνι τὴν ἄφραστόν τε αὐτοῦ καὶ ἀκήρατον φύσιν, καὶ τὰς τῶν ἀρχαιοτέρων πολυπραγμονῶμεν δόξας. Εἴη γὰρ ἂν οὕτω χαλεπὸν οὐδὲν καὶ ἐπ' αὐτὴν ἰέναι λοιπὸν τὴν εἰκόνα τὴν ἀπαράλλακτον αὐτοῦ, φημὶ δὴ τὸν Υἱόν.*

*Β. Ἴωμεν· ἔφης γὰρ ὀρθῶς*

*Α. Οὐκοῦν, κατέθορε μὲν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, τῆς παιδαγωγίας τῆς πρὸς Ἰουδαίους ἀρχόμενος, ὅτε καὶ σαλπίγγων ὀρθρία τε καὶ διαπρύσιος ἠχὴ πρὸς τὸ ἄνω διάττουσα, δύσοιστον ἐτίθει τοῖς ἀκροωμένοις τὸ δεῖμα. Ἀλλ' οἱ μικρὰ φρονοῦντες περὶ Θεοῦ καὶ σπιθαμῇ μετροῦντες τὸν οὐρανόν, τὴν τοῦ Θεοῦ δόξαν τοῖς ἐν τύπῳ πεφηνόσιν ἐγκατακλείοντες μόνοις, ᾤοντο κατὰ σφᾶς αὐτοὺς αὐτὴν ἤδη τὴν τοῦ Θεοῦ καταθρῆσαι φύσιν, ὡς οὐδὲν οὖσαν ἕτερον, ἢ πῦρ καὶ φωνὴν εἰς οὖς εἰσδεδέχθαι τὴν ὀργανικήν. Ταύτῃτοι καὶ μέγα φρονοῦντες ἐπὶ Μωσεῖ, τὰ Χριστοῦ παιδεύματα διαγελᾶσθαι δεῖν ᾤοντό τε καὶ ἔφασκον· Μωσῆς ὁ θεσπέσιος ταῖς δι' ὀμμάτων αἰσθήσεσι τὴν θείαν ἡμῖν παρέθηκε φύσιν, καὶ φωνῆς τῆς ἄνωθεν ἀκοῦσαι δεδώρηται· πῶς οὖν ἀμαθαίνοντας καὶ πολὺ τοῦ πρέποντος ἀπονενευκότας καὶ τῆς ἀληθείας ἀπεσφαλμένους διήλεγξεν ὁ Χριστός; «Ἀμὴν ἀμήν»,*

τάς του, νομίζω, καὶ τῆς ὅσο εἶναι δυνατὸν λεπτῆς καὶ ἀκριβοῦς ὁμοιώσεώς του. Πῶς δὲν ἀξίζει λοιπὸν νὰ δοῦμε τί θὰ μποροῦσε σὲ ἕνα σωματικὸ νὰ γίνει ἀντίτυπο ἑνὸς ἀσωμάτου, καὶ πῶς θὰ μποροῦσε νὰ νοηθεῖ τὸ ταυτόσημο; Γιατὶ αὐτὸ ποὺ βρίσκεται πολὺ μακριὰ ἀπὸ τὸ σῶμα, δὲν ἐπιδέχεται σχηματισμοὺς καὶ διαμόρφωση· πῶς λοιπὸν θὰ μποροῦσε νὰ δεχθεῖ αὐτὰ ποὺ εἶναι ἰδιαίτερα γνωρίσματα τῶν σωμάτων; Γιατὶ ὅπως, κατὰ τὴν ὀρθὴ γνώμη μου, δὲν εἶναι δυνατὸ νὰ ὑπάρξουν ποτὲ τὰ ἰδιώματα τῶν ἀσωμάτων σὲ σώματα χειροπιαστὰ καὶ αἰσθητά, ἔτσι καὶ αὐτὰ ποὺ εἶναι ἀνώτερα ἀπὸ τὰ αἰσθητὰ καὶ ἔχουν φύση ἀσώματη, εἶναι τελείως ἀνεπίδεκτα ὅλων ὅσων συμβαίνουν στὰ αἰσθητὰ σώματα. Ἢ μήπως σκέπτεσαι καὶ θὰ ἤθελες νὰ πεῖς κάτι ἄλλο διαφορετικὸ ἀπὸ αὐτό;

Β. Δὲν ἔχω· πῶς δηλαδὴ θὰ εἶχα;

Α. Ἐμπρὸς λοιπόν, ἀφοῦ γιὰ μᾶς ὁ Πατέρας εἶναι ἀσώματος, περιγράφοντας μὲ τὶς ἀνώτερες ἀπὸ τὴν κτίση ἔννοιες, ἂς ἐξετάσουμε ὅσο εἶναι δυνατὸ τὴν ἀπερίγραπτη καὶ ἀκηλίδωτη φύση του, καὶ τὶς γνῶμες τῶν παλαιοτέρων. Γιατὶ ἔτσι δὲν θὰ εἶναι καθόλου δύσκολο νὰ φτάσουμε καὶ σ᾽ αὐτὴ τὴν ἀπαράλλακτη εἰκόνα του, δηλαδὴ τὸν Υἱό.

Β. Ἂς προχωρήσουμε· γιατὶ μίλησες σωστά.

Α. Ἀρχίζοντας λοιπὸν τὴν διαπαιδαγώγηση τῶν Ἰουδαίων κατέβαινε πάνω στὸ ὄρος Σινᾶ μὲ τὴ μορφὴ φωτιᾶς, καὶ σὰν πρωινὸς καὶ διαπεραστικὸς ἦχος σαλπίγγων ποὺ ἀνέβαινε πρὸς τὰ ἐπάνω, προκαλοῦσε ἀνυπόφορο φόβο σὲ ἐκείνους ποὺ τὸν ἄκουαν. Ἀλλὰ ἐκεῖνοι ποὺ εἶχαν μικρὴ ἰδέα γιὰ τὸν Θεὸ καὶ μετροῦσαν τὸν οὐρανὸ μὲ τὴ σπιθαμή, περικλείοντας τὴ δόξα τοῦ Θεοῦ μόνο σ᾽ αὐτὰ ποὺ μὲ προεικονίσεις εἶχαν φανερωθεῖ, νόμιζαν ὅτι ἐμφανίσθηκε σ᾽ αὐτοὺς ἡ ἴδια ἡ φύση τοῦ Θεοῦ, ἡ ὁποία δὲν ἦταν τίποτε ἄλλο, παρὰ μόνο φωτιὰ καὶ ἦχος ὀργάνων, τὸν ὁποῖο εἶχαν δεχθεῖ στὰ αὐτιά τους. Ἐξαιτίας αὐτοῦ, ὑπερηφανευόμενοι γιὰ τὸν Μωυσῆ, νόμιζαν ὅτι πρέπει νὰ περιγελοῦν τὰ διδάγματα τοῦ Χριστοῦ, καὶ ἔλεγαν· Ὁ θεσπέσιος Μωυσῆς μᾶς παρουσίασε στὰ ἴδια μας τὰ μάτια τὴ φύση τοῦ Θεοῦ, καὶ μᾶς ἀξίωσε νὰ ἀκούσουμε τὴν οὐράνια φωνή του· πῶς λοιπὸν ὁ Χριστὸς τοὺς ἤλεγξε ὅτι βρίσκονται σὲ ἄγνοια κι ἔχουν ἀποκλίνει ἀπὸ τὸ σωστὸ καὶ λοξοδρόμησαν ἀπὸ τὴν ἀλήθεια; «Σᾶς λέγω ἀλήθεια»,

*φησί, «λέγω ὑμῖν, οὔτε φωνὴν αὐτοῦ πώποτε ἀκηκόατε οὔτε εἶδος αὐτοῦ ἑωράκατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε». Καίτοι γὰρ ἐνὸν ἐν Υἱῷ τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὖ μάλα καταθεᾶσθαι φύσιν, τοῦτο μὲν οὐκ ἔδρων οἱ δείλαιοι, πυρὶ δὲ καὶ γνόφῳ καὶ καπνοῖς τὸ τῆς θεότητος εἶδος ἀνάπτειν τεθαρσήκασι. Διὸ δὴ κατὰ βραχὺ μεταπαιδεύων ἐπὶ τὸ ἄμεινον χρησίμως, καὶ ἀναπλέκων τῷ θεοπρεπεῖ τὸ ἀνθρώπινον, ἔφασκεν ὁ Σωτήρ· «Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με. Καὶ ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με».*

*Ὅτι μὲν γὰρ οὐκ εἰς ἄνθρωπον ἁπλῶς ἡ πίστις, ἀλλ' εἰς Θεοῦ φύσιν, εἰ καὶ ἦν ὁ Λόγος ἐν σαρκί, διὰ τοῦ μὴ εἰς αὐτὸν πράττεσθαι τὴν πίστιν εὖ μάλα διαμεμήνυκεν. Ὅτι δὲ ἐστιν ἐν ταὐτότητι τῇ κατὰ πᾶν τῷ Θεῷ καὶ Πατρί, διὰ τὴν φυσικὴν ἐμφέρειαν καὶ τὸ τῆς οὐσίας οἱονεὶ ταὐτοειδές, διεσάφει λέγων· «Ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με». Ἐπειδὴ δὲ ὁ Πατὴρ ἐν Υἱῷ λαμπρῶς καὶ ἀπαραλλάκτως ὁρᾶται καὶ γινώσκεται, κοινὰ πως ἤδη τὰ πάντα αὐτοῖς, μᾶλλον δὲ τῆς μιᾶς θεότητος ἴδια νοοῖτ' ἂν εἰκότως τὰ ἐν ἀμφοῖν. Τοιγάρτοι καὶ ἔφασκε πρὸς τὸν ἑαυτοῦ Πατέρα καὶ Θεόν, ὅτι «Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά». Εἰκόνι μὲν γὰρ πρὸς τὸ ἀκριβῶς ἰσότυπον, ἰσοτύπῳ δὲ αὖ πρὸς ἐμφερεστάτην εἰκόνα τὸ διαλλάττον οὐδέν, κατά γε, φημί, τὸ ἐν ὁμοιώσει τε καὶ ὡς ἐν εἴδει ταὐτόν. Καὶ γοῦν οὐκ ἐξ ἀκριβοῦς ἐννοίας φιλοπευστοῦντί ποτε τῶν μαθητῶν ἑνὶ (Φίλιππος οὗτος ἦν), λέγοντί τε· «Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν», οὐκ ἀμώμητον ἀφεὶς τὴν ἐρώτησιν, «Τοσούτῳ χρόνῳ», φησί, «μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν». Ὅτι γὰρ οἱονεὶ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρός ἐστιν ὁ Υἱὸς ἐκπαιδεύσειεν ἂν εὐκόλως ὁ Ψαλμῳδός, ποτὲ μὲν λέγων, «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;», ποτὲ δὲ αὖ, ὡς ἐκ προσώπου*

---

31. Ἰω. 5, 37-38. 32. Ἰω. 12, 44-45. 33. Ἰω. 17, 10. 34. Ἰω. 14, 8-10. 35. Ψαλμ. 138, 7.

εἶπε, «ὅτι οὔτε τὴ φωνή του ἀκούσατε ποτέ, οὔτε τὴ μορφή του εἴδατε, οὔτε ὁ λόγος του μένει μέσα σας, γιατὶ δὲν πιστεύετε σ᾽ αὐτὸν ποὺ ἔστειλε ἐκεῖνος»[31]. Γιατί, ἂν καὶ ἦταν δυνατὸ νὰ δοῦν στὸν Υἱὸ καθαρὰ τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα, αὐτὸ βέβαια δὲν τὸ ἔκαναν οἱ δυστυχεῖς, ἀλλὰ τολμοῦσαν νὰ συνδέουν τὴ μορφὴ τῆς θεότητας μὲ φωτιὰ καὶ ἀντάρα καὶ καπνούς. Γι᾽ αὐτὸ λοιπόν, ξαναδιδάσκοντάς τους μὲ συντομία τὸ ἀνώτερο καὶ χρήσιμο καὶ συμπλέκοντας τὸ ἀνθρώπινο μὲ αὐτὸ ποὺ ταιριάζει στὸν Θεό, ἔλεγε ὁ Σωτήρας· «Αὐτὸς ποὺ πιστεύει σὲ μένα, δὲν πιστεύει σὲ μένα, ἀλλὰ σ᾽ ἐκεῖνον ποὺ μὲ ἔστειλε. Καὶ αὐτὸς ποὺ βλέπει ἐμένα, βλέπει ἐκεῖνον ποὺ μὲ ἔστειλε»[32].

Ὅτι λοιπὸν ἡ πίστη δὲν ἀναφέρεται ἁπλῶς σὲ ἄνθρωπο, ἀλλὰ στὴ φύση τοῦ Θεοῦ, μολονότι ὁ Λόγος ἦταν σαρκωμένος, μὲ τὸ νὰ μὴ στρέφεται ἡ πίστη σ᾽ αὐτόν, τὸ διακήρυξε πολὺ καλά. Ὅτι ὅμως εἶναι ταυτόσημος σὲ ὅλα μὲ τὸν Θεὸ καὶ Πατέρα, λόγω τῆς φυ-σικῆς ὁμοιότητας καὶ τῆς ταυτότητας τῆς οὐσίας τους, τὸ ξεκαθάρισε λέγοντας· «Αὐτὸς ποὺ βλέπει ἐμένα, βλέπει ἐκεῖνον ποὺ μὲ ἔστειλε». Καὶ ἐπειδὴ ὁ Πατέρας βλέπεται καὶ γνωρίζεται ὁλοκάθαρα καὶ ἀπαράλλακτα, εἶναι ἤδη κάπως κοινὰ σ᾽ αὐτοὺς ὅλα, ἢ μᾶλλον θὰ μποροῦσαν εὔλογα νὰ θεωροῦνται ὅτι εἶναι ἰδιώματα τῆς μιᾶς θεότητας ὅσα ὑπάρχουν καὶ στοὺς δύο. Γι᾽ αὐτὸ καὶ ἔλεγε στὸν Πατέρα του καὶ Θεό· «Ὅλα τὰ δικά μου εἶναι δικά σου, καὶ τὰ δικὰ σου δικά μου»[33]. Γιατὶ σὲ μιὰ εἰκόνα δὲν ὑπάρχει τίποτε διαφορετικὸ ἀπὸ τὸ ἀκριβὲς ἀντίγραφο, οὔτε στὸ ἀντίγραφο ἀπὸ μιὰ πανομοιότυπη εἰκόνα, ἐννοῶ φυσικὰ ὡς πρὸς τὴν ταυτότητα τῆς ὁμοιότητας καὶ τῆς μορφῆς. Γι᾽ αὐτό, ὅταν κάποιος ἀπὸ τοὺς μαθητὲς (αὐτὸς ἦταν ὁ Φίλιππος), χωρὶς νὰ ἔχει σαφῆ ἔννοια αὐτοῦ, ρωτοῦσε νὰ μάθει καὶ ἔλεγε, «Κύριε, δεῖξε μας τὸν Πατέρα, καὶ μᾶς εἶναι ἀρκετό», κάνοντας ὄχι καὶ τόσο ἄμεμπτη ἐρώτηση, «Τόσον χρόνο», λέγει, «εἶμαι μαζί σας, καὶ δὲν μὲ γνώρισες, Φίλιππε; Ἐκεῖνος ποὺ εἶδε ἐμένα, ἔχει δεῖ τὸν Πατέρα. Δὲν πιστεύεις ὅτι ἐγὼ εἶμαι μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα σὲ μένα; Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[34]. Ὅτι βέβαια κατὰ κάποιο τρόπο ὁ Υἱὸς εἶναι τὸ πρόσωπο τοῦ Θεοῦ καὶ Πατέρα, μᾶς τὸ διδάσκει εὔκολα ὁ Ψαλμωδὸς λέγοντας, ἄλλοτε, «Ποῦ νὰ μεταβῶ μακριὰ ἀπὸ τὸ Πνεῦμά σου, καὶ ποῦ νὰ φύγω, ὥστε νὰ μὴ παρακολουθοῦμαι ἀπὸ τὸ πρόσωπό σου;»[35], καὶ ἄλλοτε πάλι, ὡς ἐκπρόσωπους ἐκείνων

τῶν εἰς αὐτὸν πεπιστευκότων· «Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε». Κατεσφραγίσμεθα γὰρ τῷ ἁγίῳ Πνεύματι πρὸς ἐμφέρειαν καὶ ὁμοίωσιν τοῦ προσώπου τοῦ Πατρός, τουτέστι τοῦ Υἱοῦ. Καὶ μαρτυρήσει γράφων ὁ Παῦλος· «Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος».

Β. Ἀλλ᾽ εἰ καὶ πρόσωπον, φησί, καὶ εἰκὼν καὶ ὁμοίωσις ὀνομάζοιτο πρὸς ἡμῶν τοῦ Πατρὸς ὁ Υἱός, διαλυμανεῖται τοῦτο τοῖς παρ᾽ ἡμῶν προβλήμασιν οὐδέν. Οὐ γὰρ τῆς οὐσίας τοῦ Πατρός, ἀλλὰ τῆς βουλήσεως εἰκόνα καὶ ὁμοίωσιν αὐτὸν εἶναί φαμεν. Οὐκοῦν, κατά γε τὸ ἐν θελήσει ταὐτόν, εἴ τις ἴδοι τὸν Υἱόν, αὐτὸν ἤδη πως ἐκτεθέαται τὸν Πατέρα.

Α. Ὡς εὔηθες λίαν καὶ ἀβελτηρίας αὐτοῖς τῆς ἐσχάτης τὸ σκέμμα μεμέστωται, μειρακιωδῶς δὲ ὅτι καὶ τοῦτό φασιν, ἀταλαίπωρον ἰδεῖν. Ἆρα γὰρ βούλησιν εἶναί φασι τὸν Πατέρα, καὶ ὅ τί ποτέ ἐστιν ἡ θέλησις τοῦτο νοεῖσθαι δεῖν ἀξιοῦσιν αὐτόν, ἢ ἐν ὑπάρξει τιθέντες ἰδικῇ, προσεπάγουσι τότε τὴν βούλησιν αὐτῷ;

Β. Καὶ πῶς ἂν εἴη τὸ θεῖον ἁπλοῦν εἰ καὶ ἐν ὑπάρξει νοοῖτο, φησί, καὶ ἐν θελήσει διωρισμένως; Σύνθετον γὰρ ἤδη καὶ οἱονεί πως ἐκ μερῶν εἰς ἓν τὸ ἀρτίως ἔχον συνδεδραμηκότων.

Α. Οὐκοῦν, ἐπειδήπερ ἁπλοῦν τὸ Θεῖον καὶ ἄμεινον ἢ κατὰ σύνθεσιν εἶναί σοι δοκεῖ (δοκεῖ δὲ ὀρθῶς), οὐχ ἑτέρα παρ᾽ αὐτὸ εἴη ἂν ἡ βούλησις αὐτοῦ· Θέλησιν δέ τις εἰπών, τὴν τοῦ Θεοῦ καὶ Πατρὸς κατεσήμηνε φύσιν.

Β. Ἔοικεν.

Α. Ἡ δὲ θέλησις ἐν ὑποκειμένῳ καθὰ καὶ τὰ τῶν τεχνητῶν εἴδη. Τὸ γάρ τοι θέλειν ἢ μή, προσγένοιτο ἂν οὐκ αὐτῷ τῷ θέλειν, ἀλλ᾽ ἑτέρῳ μᾶλλον, ἐν ᾧ τὸ θέλειν ἐστίν· ἢ πῶς;

Β. Οὕτως

Α. Ἔστι τοίνυν ἐν ἑτέρῳ τὸ εἶναι τοῦ Πατρός, καὶ συμβέβηκέ

---

36. Ψαλμ. 4,7.
37. Β΄ Κορ. 3,18.

ποὺ πιστεύουν σ' αὐτόν· «Τυπώθηκε σὲ μᾶς, Κύριε, τὸ φῶς τοῦ προσώπου σου»[36]. Γιατὶ ἔχουμε σφραγισθεῖ μὲ τὸ ἅγιο Πνεῦμα γιὰ ν' ἀποκτήσουμε τὴν ὁμοιότητα τοῦ προσώπου τοῦ Πατέρα, δηλαδὴ τοῦ Υἱοῦ. Τὸ βεβαιώνει βέβαια καὶ ὁ Παῦλος γράφοντας· «Ὅλοι ἐμεῖς μὲ ἀκάλυπτο τὸ πρόσωπο, ἀντανακλώντας τὴ λαμπρότητα τοῦ Κυρίου, μεταμορφωνόμαστε, ἀποκτώντας τὴν ὁμοιότητα μὲ αὐτόν, ἀπὸ λαμπρότητα σὲ λαμπρότητα, ποὺ προέρχεται ἀπὸ τὸ Πνεῦμα τοῦ Κυρίου»[37].

Β. Ὅμως, λέγει, ἂν καὶ ὁ Υἱὸς ὀνομάζεται ἀπὸ μᾶς πρόσωπο καὶ εἰκόνα καὶ ὁμοίωμα τοῦ Πατέρα, αὐτὸ δὲν ζημιώνει σὲ τίποτε τὰ προβλήματά μας. Γιατὶ δὲν λέμε, ὅτι εἶναι εἰκόνα καὶ ὁμοίωμα τῆς οὐσίας τοῦ Πατέρα, ἀλλὰ τῆς θελήσεως. Ἑπομένως, σύμφωνα μὲ τὴν ταυτότητα του ὡς πρὸς τὴ θέληση, ἐὰν κανεὶς δεῖ τὸν Υἱό, βλέπει ἤδη κατὰ κάποιο τρόπο τὸν ἴδιο τὸν Πατέρα.

Α. Πόσο πολὺ μωρὸ καὶ γεμᾶτο παραλογισμὸ εἶναι τὸ σκεπτικό, καὶ ὅτι καὶ αὐτὸ τὸ λένε κατὰ τρόπο ἐπιπόλαιο, εἶναι πολὺ εὔκολο νὰ τὸ δοῦμε. Ἄρα λοιπὸν λένε ὅτι ὁ Πατέρας εἶναι βούληση, καὶ αὐτὸ ποὺ εἶναι ἡ θέληση, αὐτὸ ἀξιώνουν ὅτι πρέπει νὰ νοεῖται καὶ αὐτός, ἤ, θεωρώντας την ὡς ἰδιαίτερη ὕπαρξη, προσθέτουν ἔπειτα τὴ βούληση σ' αὐτόν;

Β. Καὶ πῶς μπορεῖ τὸ θεῖο νὰ εἶναι ἁπλό, λέγει, ἐὰν νοεῖται μὲ τοὺς ὁρισμοὺς τῆς ὑπάρξεως καὶ τῆς θελήσεως; Γιατὶ θὰ εἶναι σύνθετο καὶ θὰ ἀποτελεῖται κατὰ κάποιο τρόπο ἀπὸ δύο μέρη, τὰ ὁποῖα συνέβαλαν στὸ νὰ εἶναι ἄρτιο.

Α. Ἑπομένως, ἀφοῦ τὸ θεῖο εἶναι ἁπλό, καὶ νομίζεις ὅτι εἶναι ἀνώτερο ἀπὸ σύνθετο (καὶ εἶναι σωστὴ ἡ γνώμη σου), τότε ἡ θέλησή του δὲν εἶναι διαφορετικὴ ἀπὸ αὐτό. Καὶ λέγοντας κανεὶς θέληση, φανερώνει τὴ φύση τοῦ Θεοῦ καὶ Πατέρα.

Β. Ἔτσι φαίνεται.

Α. Καὶ ἡ θέληση ὑπάρχει στὸ ὑποκείμενο, ὅπως ἀκριβῶς καὶ οἱ ἰδέες τῶν τεχνητῶν. Γιατὶ τὸ νὰ θέλει κανεὶς κάτι ἢ ὄχι, δὲν γίνεται στὴν ἴδια τὴ θέληση, ἀλλὰ μᾶλλον σὲ ἄλλον, στὸν ὁποῖο ὑπάρχει ἡ θέληση, ἢ μὲ ποιὸ τρόπο;

Β. Ἔτσι.

Α. Ὑπάρχει λοιπὸν σὲ ἄλλον ἡ ὕπαρξη τοῦ Πατέρα, καὶ ἡ

*τινι τὸ ὑπάρχειν αὐτόν, καὶ συντέθειταί σοι παχύτερόν τε καὶ ἀκαλλέστερον νυνὶ μᾶλλον ἢ τότε. Ἑτέρῳ γάρ ἐστιν ὅ ἐστιν, οὐχ ἑαυτῷ, εἴπερ ἐμὴ μὲν θέλησις ἡ ἐμή, ἡ δέ γε τοῦ δεῖνος ἡ αὐτοῦ τε καὶ ἐν αὐτῷ.*

*Β. Πῶς οὖν ἐν ἁπλοῖς τε καὶ ἀσυνθέτοις ἕτερα παρ' αὐτὰ τὰ αὐτῶν εἶεν ἄν;*

*Α. Ὥσπερ ἂν εἰ καὶ ἐκ νοῦ νοοῖτο θέλησις πηγὴν ἔχουσα τὸν ἀναβράττοντα νοῦν, καὶ ῥίζαν ὥσπερ τινὰ προϋποκειμένην τὸ ἐν ᾧ στρέφεται νοηματικῶς. Νοῦς μὲν γὰρ τῶν ἐν αὐτῷ κινήσεών τε καὶ ἐννοιῶν προκαταρκτικός, ποιότης δὲ κινημάτων, ἡ ἐφ' ὁτῳοῦν καὶ ἐφ' ἑκάστῳ θέλησις, πολλή τις οὖσα, καὶ ταῖς τῶν πραγμάτων ποιότησι καὶ διαφοραῖς, οἱάπερ τισὶ βαφαῖς καταχρωννυμένη πρὸς τὸ ἄλλοτε ἄλλως καὶ ἑτεροίως ἔχειν· πλείστη γὰρ ὅση θελημάτων ἐν ἡμῖν ἡ διαφορά, καὶ διεστηκότων ἔσθ' ὅτε πρὸς τὸ ἔχον ἐναντίως. Οὐ γὰρ ᾧ θέλομεν τὸ καλὸν τούτῳ καὶ τὸ φαῦλον· οὐδὲ ᾧπερ ἂν ἕλοιτό τις τὸ εἶναι σοφός, αὐτῷ δὴ τούτῳ καὶ τὸ ἐναντίον. Οἶμαι δὴ οὖν ἀπόπληκτον παντελῶς τὸ θέλησιν εἶναι λέγειν τὴν ὕπαρξιν τοῦ Πατρός.*

*Β. Ναί.*

*Α. Οὐκοῦν, εἴπερ ἐστὶν ἡ θέλησις ἐν διαφοραῖς αὐτὴ καθ' ἑαυτήν, ὧδε δὲ ἔχειν τὴν τοῦ Θεοῦ φύσιν οὐκ ἂν οἴοιτό τις εὖ φρονῶν· οὐκ ἄρα θέλησις ὁ Πατήρ, ἀλλ' ἐν ὑπάρξει νοούμενος ἰδικῇ, συμφυᾶ καὶ συνάναρχον οἱονεὶ θέλησιν ἔχει τὸν ἴδιον Υἱόν, οὐ συντεθειμένος κατ' ἐκείνους, ἔχων δὲ οὕτως ὡς ἂν εἶναι νοοῖτο τυχὸν τὰ ἐν ἁπλῇ φύσει καὶ σοφῇ, καὶ ἠρεμείτω λοιπὸν τὸ περίεργον ἔτι. Νοῦ δὲ ἐπέκεινα καὶ λόγου παντὸς τὸ Θεῖον, ὦ τᾶν. Ἦ οὐχ οὕτως;*

*Β. Φημὶ δή. Βουλὴν δὲ καὶ θέλησιν ἐπείπερ ἡμῖν ὠνόμασας τοῦ Πατρὸς τὸν Υἱόν, ἆρα ἂν ἔχοις ἐξ ἱερῶν καὶ τοῦτο παραστῆσαι Γραμμάτων;*

*Α. Πῶς γὰρ οὔ; Καὶ οἶμαι μὲν ὅτι μάλιστα διαρκῶς ἀναπείσειν, καὶ ἀποχρῶσαν ἡμῖν ἐμποιῆσαι τὴν πληροφορίαν ἀναμέλ-*

ὕπαρξή του προστέθηκε σὲ κάποιον ἄλλο, καὶ ἔτσι τώρα εἶναι, σύμφωνα μὲ σένα, πιὸ παχὺς καὶ χωρὶς κάλλος, παρὰ τότε. Γιατὶ εἶναι σὲ ἄλλον αὐτό ποὺ εἶναι, ὄχι στὸν ἑαυτό του, ἀφοῦ ἡ δική μου θέληση εἶναι δική μου, ἐνῶ τοῦ κάποιου ἄλλου, εἶναι δική του καὶ εἶναι μέσα σ' αὐτόν.

Β. Τότε πῶς γίνεται στὰ ἁπλᾶ καὶ ἀσύνθετα νὰ εἶναι διαφορετικὰ ἀπὸ αὐτὰ τὰ δικά τους;

Α. Ὅπως ἡ θέληση, ἂν καὶ νοεῖται ἀπὸ τὸν νοῦ, ἀφοῦ ἔχει ὡς πηγή της τὸν κοχλάζοντα νοῦ, καὶ σὰν κάποια ρίζα ποὺ προϋπῆρχε, αὐτὸ στὸ ὁποῖο στρέφεται νοηματικά. Γιατὶ ὁ νοῦς εἶναι ἡ πρώτη αἰτία τῶν κινήσεων καὶ ἐννοιῶν ποὺ γίνονται μέσα του, ἐνῶ ἡ ποιότητα τῶν κινήσεων, δηλαδὴ ἡ θέληση γιὰ ὁποονδήποτε καὶ γιὰ τὸν καθένα, ἐπειδὴ εἶναι πολλὴ καὶ χρωματίζεται μὲ τὶς ποιότητες καὶ διαφορὲς τῶν πραγμάτων, σὰν μὲ διάφορα χρώματα, ὥστε νὰ ἐμφανίζεται κάθε φορὰ ἡ διαφορὰ τους ἀλλιώτικη, καὶ νὰ ξεχωρίζουν κάποτε ἀπὸ αὐτὸ ποὺ εἶναι ἀντίθετες. Γιατὶ γι' αὐτὸν ποὺ θέλουμε τὸ καλό του, δὲν θέλουμε καὶ τὸ κακό· οὔτε ἐκεῖνος γιὰ τὸν ὁποῖο θέλει κανεὶς νὰ εἶναι σοφός, γιὰ τὸν ἴδιο θέλει καὶ τὸ ἀντίθετο. Νομίζω λοιπὸν ὅτι εἶναι τελείως παραλογισμὸς τὸ νὰ λέμε, ὅτι ἡ ὕπαρξη τοῦ Πατέρα εἶναι ἡ θέληση.

Β. Ναί, εἶναι.

Α. Ἄρα λοιπόν, ἐὰν ἡ θέληση καθ' ἑαυτὴν ἔχει διαφορές, καὶ κανένας ἀπὸ αὐτοὺς ποὺ σκέπτονται ὀρθὰ δὲν θὰ πίστευε ὅτι εἶναι τέτοια καὶ ἡ φύση τοῦ Θεοῦ, τότε ὁ Πατέρας δὲν εἶναι θέληση, ἀλλὰ νοούμενος σὲ ἰδιαίτερη ὕπαρξη, ἔχει τῆς αὐτῆς φύσεως καὶ ἀρχῆς θέληση κατὰ κάποιο τρόπο τὸν Υἱό του, χωρὶς νὰ εἶναι σύνθετος, ὅπως λένε ἐκεῖνοι, ἀλλὰ ὄντας ἔτσι, ὅπως εἶναι δυνατὸ νὰ νοηθοῦν αὐτὰ ποὺ ἔχουν ἁπλῆ καὶ σοφὴ φύση, καὶ ἂς παύσει στὸ ἑξῆς ἡ περαιτέρω περιέργεια. Τὸ Θεῖο βρίσκεται, φίλε, πέρα ἀπὸ κάθε νοῦ καὶ λόγο. Ἢ μήπως δὲν εἶναι ἔτσι;

Β. Συμφωνῶ βέβαια. Ὅμως, ἀφοῦ ὀνόμασες τὸν Υἱὸ βουλὴ καὶ θέληση τοῦ Πατέρα, μπορεῖς ἄραγε νὰ τὸ ἀποδείξεις αὐτὸ καὶ μὲ μαρτυρίες τῶν ἁγίων Γραφῶν;

Α. Πῶς δηλαδὴ ὄχι; Καὶ νομίζω βέβαια ὅτι ἀρκεῖ νὰ μᾶς πείσει μιὰ γιὰ πάντα καὶ νὰ καταστήσει ἱκανοποιητικὴ τὴ βεβαιότητα ὁ

*ποντα τὸν Δαβὶδ πρὸς τὸν Θεὸν καὶ Πατέρα· «Ἐν τῇ βουλῇ σου ὡδήγησάς με». Δείξει δὲ ἡμῖν ὁ λόγος καὶ δι᾽ ἐννοιῶν ἑτέρων ἐκβασανίζων τὸ ἀληθές. Ἢ γὰρ οὐχὶ «πάντα γέγονε δι᾽ Υἱοῦ, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», κατὰ τὴν Ἰωάννου φωνήν;*

*Β. Ὧδε ἔχει.*

*Α. Ψάλλει δέ που Δαβίδ, καὶ τὸν τῶν ὅλων δημιουργὸν Πατέρα καὶ Θεὸν καταθαυμάζων, φησίν· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, Πάντα ἐν σοφίᾳ ἐποίησας», σοφίαν, οἶμαί που, τὸν Υἱὸν ἀποκαλῶν.*

*Β. Τί οὖν τοῦτό γε;*

*Α. Ὅτι, ὦ φιλότης, ἡ τοῦ Πατρὸς θέλησις, εἴπερ ἐστὶ παρ᾽ αὐτὸν οὐχ ἑτέρα, καὶ οὐκ ἄσοφός γε, σοφία δὲ ὁ Υἱός, πῶς ἂν ἐν ὑπάρξει νοοῖτο τῇ καθ᾽ ἑαυτὸν ὁ Πατήρ; Μετακεχώρηκε γὰρ ἤδη πως εἰς τὸν Υἱόν, καὶ οἱονεί πως ἤδη μεθεὶς τὸ εἶναι λοιπὸν τοῦθ᾽ ὅπερ ἐστί, σοφία γέγονεν, εἴπερ ἐστὶ θέλησις οὐ κατὰ μέθεξιν ἔχουσα τὸ σοφόν, ἀλλ᾽ αὐτόχρημα καὶ σοφία τὸ πᾶν. Προσθείην δ᾽ ἂν ὅτι καὶ εἰκὼν καὶ ὁμοιότης ἑαυτῷ πέφηνεν ὁ Υἱός, εἴπερ ὢν αὐτὸς σοφία καὶ θέλησις, καὶ εἰκών ἐστι τοῦ Πατρός, καίτοι βουλῆς καὶ σοφίας ὠνομασμένου.*

*Β. Ἄπαγε τῆς τῶν λογισμῶν ἀτοπίας!*

*Α. Μυσαρωτάτη γὰρ ἀληθῶς καὶ πολὺ λίαν ἔχουσα τὸ διεστραμμένον. Εἰκόνα δὴ οὖν καὶ ὁμοίωσιν ἀκριβῆ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας παραδεξόμεθα τὸν Υἱόν, καὶ οὐχὶ μόνην αὐτῷ προσάπτοντες τὴν ταὐτοβουλίαν, τῆς ὑπὲρ κτίσιν ὑπεροχῆς ἀξιώσομεν, ἀλλ᾽ ἐν μορφῇ τῇ ἐμφερεστάτῃ καταλογιούμεθα τοῦ Θεοῦ καὶ Πατρός, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκείνῳ προσπεφυκότων ἀνακομίζοντες φυσικῶς. Εἰ δέ, ἐπείπερ ἐστὶ συνεθελητής, ταύτῃ τοί φασιν ὑπάρχειν αὐτὸν καὶ εἰκόνα τοῦ Πατρός, ὧδε δὲ ἔχων φύσεώς τε καὶ μέτρων, οὐ κατέδεισεν εἰπεῖν· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα. Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»· οὐκ ἀπίθανον οἶμαί που τὸ χρῆναι νοεῖν, τὴν οὕτως ὑπερφυᾶ καὶ ὑπέρκομπον ἀληθῶς καὶ μόνῳ πρέπουσαν τῷ Υἱῷ φωνήν τε καὶ παρρησίαν, οἷά τινα στέφανον*

---

38. Ψαλμ. 72, 23. 39. Ἰω. 1, 3. 40. Ψαλμ. 103, 24. 91, 6.

Δαβίδ, ὁ ὁποῖος ψάλλει πρὸς τὸν Θεὸ καὶ Πατέρα· «Μὲ τὴ βουλή σου μὲ καθοδήγησες»[38]. Θὰ μᾶς τὸ ἀποδείξει καὶ ὁ λόγος ἐρευνώντας τὴν ἀλήθεια μὲ ἄλλες σκέψεις. Ἢ μήπως δηλαδὴ δὲν ἔγιναν ὅλα διὰ τοῦ Υἱοῦ, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε τίποτε, σύμφωνα μὲ τὰ λόγια τοῦ Ἰωάννη[39];

Β. Ἔτσι εἶναι.

Α. Ψάλλει ὅμως κάπου ὁ Δαβίδ, καὶ θαυμάζοντας τὸν δημιουργὸ τῶν ὅλων Πατέρα καὶ Θεό, λέγει· «Πόσο μεγάλα εἶναι τὰ ἔργα σου, Κύριε! Ὅλα τὰ δημιούργησες μὲ σοφία»[40], ὀνομάζοντας, νομίζω, σοφία ὁπωσδήποτε τὸν Υἱό.

Β. Καὶ τί σημαίνει αὐτό;

Α. Σημαίνει, φίλε μου, ὅτι, ἐφόσον ἡ θέληση τοῦ Πατέρα δὲν εἶναι κοντὰ σ' αὐτὸν ἄλλη, οὔτε εἶναι ἄσοφη, καὶ σοφία εἶναι ὁ Υἱός, πῶς εἶναι δυνατὸν ὁ Θεὸς νὰ νοεῖται ὅτι ὑπάρχει ξεχωριστά; Γιατὶ μετακινήθηκε ἤδη κατὰ κάποιο τρόπο στὸν Υἱό, καὶ σὰν νὰ ἐγκατέλειψε τὸ νὰ εἶναι αὐτὸ ποὺ εἶναι, ἔγινε σοφία, ἐὰν εἶναι θέληση ποὺ δὲν ἔχει κατὰ μέθεξη τὴ σοφία, ἀλλ' εἶναι ταυτόχρονα καὶ σοφία τὸ σύμπαν. Θὰ πρόσθετα ἀκόμα, ὅτι ὁ Υἱὸς ἔγινε καὶ εἰκόνα καὶ ὁμοιότητα τοῦ ἑαυτοῦ του, ἐφόσον αὐτός, ὄντας σοφία καὶ θέληση, εἶναι καὶ εἰκόνα τοῦ Πατέρα, ἂν καὶ ὀνομάζεται βουλὴ καὶ σοφία.

Β. Μακριὰ ἀπὸ τοὺς παράλογους αὐτοὺς συλλογισμούς!

Α. Γιατὶ πραγματικὰ εἶναι σιχαμεροὶ καὶ πολὺ διεστραμμένοι. Παραδεχόμαστε λοιπὸν τὸν Υἱὸ εἰκόνα καὶ ἀκριβῆ ὁμοίωση τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατέρα, καὶ χωρὶς νὰ τοῦ προσάπτουμε μόνο τὴν κοινὴ θέληση, ἰσχυριζόμαστε ὅτι εἶναι ἀνώτερος ἀπὸ τὴν κτίση, τοῦ καταλογίζουμε τὴν πανομοιότατη μορφὴ τοῦ Θεοῦ καὶ Πατέρα, ἀποδίδοντάς του κατὰ φύση ὅλα ὅσα ἰδιώματα ἔχει κατὰ φύση ἐκεῖνος. Ἐὰν ὅμως, ἐπειδὴ ἔχει κοινὴ θέληση, γι' αὐτὸ λένε ὅτι εἶναι καὶ εἰκόνα τοῦ Πατέρα, καὶ ἔτσι ἔχοντας ὡς πρὸς τὴ φύση καὶ τὶς ἀναλογίες, δὲν δίστασε νὰ πεῖ, «Αὐτὸς ποὺ εἶδε ἐμένα, εἶδε τὸν Πατέρα. Ἐγὼ εἶμαι μέσα στὸν Πατέρα καὶ ὁ Πατέρας μέσα σὲ μένα. Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[41], δὲν νομίζω ὅτι εἶναι ἀπίθανο τὸ νὰ πρέπει νὰ σκεφθοῦμε, ὅτι αὐτὰ τὰ τόσο ἐξαίσια καὶ πραγματικὰ ἔκτακτα καὶ θαρραλέα λόγια, ποὺ ταιριάζουν μόνο στὸν Υἱό, τὰ ἔδεσε σὰν κάποιο

41. Ἰω. 14, 9-10.

*ἀναδήσασθαι τὸν Δαβὶδ καὶ μεαλαυχεῖν ἐφ' ἑαυτῷ λέγοντα σαφῶς «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ δὲ ἐν ἐμοί ἐστιν. Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα»· καί, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν». Ἦ γὰρ οὐχὶ συνθελητὴν γεγονότα τὸν ἄνδρα Θεῷ καταθρήσαιμεν ἄν; Ἔφη γάρ που περὶ αὐτοῦ πρὸς τὸν μακάριον Σαμουήλ· «Εὗρον Δαβίδ, τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου».*

*Β. Πιθανὸς ὁ λόγος, πλὴν οὐκ ἀσφαλής.*

*Α. Κομιδῇ μὲν οὖν ἀπίθανος, ὦ ἑταῖρε, τερθρείας δ' οὖν τῆς ἐκτόπου παραδεικτικός, ἧς οὐκ οἶδ' ὅπως προεστηκότες οὐκ ἐρυθριῶσιν οἱ δι' ἐναντίας. Οὐδὲ γὰρ ἂν ἡμᾶς τὸ συνθελῆσαι μόνον καὶ ταὐτὰ βούλεσθαι τῷ Πατρὶ πρὸς εἰκόνα καὶ ὁμοίωσιν φυσικὴν ἐξεργάσαιτο τὴν αὐτοῦ, δρῴη δ' ἂν τοῦτο καὶ μόνη φύσεως ὁμοιότης, καὶ ἡ κατὰ πᾶν ὁτιοῦν ἐξ αὐτῆς ἰοῦσα τῆς οὐσίας ἐμφέρεια.*

*Β. Κατ' εἰκόνα δὴ οὖν τὴν θείαν πῶς ἂν εἴημεν αὐτοί;*

*Α. Ὡς ἔναυλον ἔχοντες τὸν Υἱόν, καὶ χαρακτῆρα τὸν θεῖον εἰσοικισάμενοι καὶ πεπλουτηκότες ἐν ἑαυτοῖς. Μεμορφώμεθα γὰρ δι' αὐτοῦ πρὸς Θεόν. Εἶδος δὲ τὸ πάντων ἐπέκεινα καὶ ὑπέρτατον, τουτέστιν ὁ Υἱός, διὰ Πνεύματος ἐνσημαίνεται ταῖς ἡμετέραις ψυχαῖς. Καὶ γοῦν ἐπιστέλλει Γαλάταις ὁ Παῦλος, ἐξ ἐλαφρίας ὠλισθηκόσιν ἐπὶ τὸ ἀκαλλέστερον· «Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν».*

*Β. Ἄριστα ἔφης.*

*Α. Εὔηθες δὲ καὶ ἑτέρως καὶ ἀκατάσκεπτον κομιδῇ τὸ μὴ οὐχὶ τῆς οὐσίας τοῦ Πατρός, βουλῆς δὲ καὶ θελημάτων εἰκόνα λέγεσθαι τὸν Υἱόν. Ὁ γάρ τοι Φίλιππος, «Δεῖξον ἡμῖν τὸν Πατέρα», καὶ οὐχὶ τὴν θέλησιν ἔφασκε τοῦ Πατρός. Ἑαυτὸν δὲ παριστὰς εἰς εἰκόνα τοῦ Πατρὸς ὁ Υἱός, «Ὁ ἑωρακὼς ἐμέ», φησίν, οὐχὶ τὴν θέλησιν τοῦ Πατρός· αὐτὸν δὲ μᾶλλον τεθέαται τὸν Πατέρα. Καίτοι ἐχρῆν δήπου τὸν ἀψευδεῖν ἠρημένον, μᾶλλον δὲ οὐκ ἔχοντα δόλον ἐν τῷ στόματι αὐτοῦ, τό γε ἐκείνοις δοκοῦν, ἀλλὰ μὴ τοῦτο εἰπεῖν, εἴπερ ἦν οὐχ ὧδε ἔχων. Ἀλλ' ὁ μόνος εἰδὼς τὸν Πατέρα καὶ ὑπὸ μόνου διεγνωσμένος τοῦ Πατρὸς οὐ ψι-*

42. Πράξ. 13, 22. 43. Γαλ. 4, 19. 44. Α' Πέτρ. 2, 22.

στεφάνι στὸ κεφάλι του ὁ Δαβίδ, καὶ καυχώμενος γιὰ τὸν ἑαυτό του νὰ λέγει καθαρά· «Ἐγὼ εἶμαι μέσα στὸν Πατέρα, καὶ ὁ Πατέρας μέσα σὲ μένα. Αὐτὸς ποὺ εἶδε ἐμένα, εἶδε τὸν Πατέρα», καὶ «Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα». Ἢ μήπως θὰ θεωρήσουμε ὅτι ὁ ἄνδρας δὲν ἔγινε συνθελητὴς μὲ τὸν Θεό; Γιατὶ εἶπε κάποτε γι' αὐτὸν στὸν μακάριο Σαμουήλ· «Βρῆκα τὸν Δαβίδ, τὸν υἱὸ τοῦ Ἰεσσαί, ἄνθρωπο ὅπως τὸν θέλει ἡ καρδιά μου, ὁ ὁποῖος θὰ κάνει ὅλα τὰ θελήματά μου»[42].

Β. Εἶναι πιθανὸ αὐτό, ἀλλὰ ὄχι καὶ σίγουρο.

Α. Εἶναι ἐντελῶς ἀπίθανο, φίλε, καὶ δεῖγμα παράδοξης σοφιστικῆς λεπτολογίας, τὴν ὁποία δὲν ξέρω πῶς ὑπερασπίζονται χωρὶς νὰ κοκκινίζουν οἱ ἀντίθετοι. Γιατὶ οὔτε καὶ ἐμᾶς τὸ νὰ θέλουμε καὶ νὰ σκεφτόμαστε μόνο αὐτὰ ποὺ θέλει ὁ Πατέρας μπορεῖ νὰ μᾶς κάνει φυσικὴ εἰκόνα καὶ ὁμοίωση δική του, ἐνῶ αὐτὸ μπορεῖ νὰ τὸ κάνει μόνο ἡ ἴδια φύση καὶ ἡ ὁμοιότητα τῆς οὐσίας, ποὺ ἀπορρέει ἀπὸ αὐτὴν πρὸς κάθε τι.

Β. Τότε πῶς μποροῦμε νὰ γίνουμε ἐμεῖς κατ' εἰκόνα Θεοῦ;

Α. Μὲ τὸ νὰ ἔχουμε ζωηρὰ στὴ μνήμη μας τὸν Υἱό, καὶ νὰ δεχθοῦμε μέσα μας κάνοντας κάτοικό μας τὴ σφραγίδα τοῦ Θεοῦ. Γιατὶ μέσω αὐτοῦ παίρνουμε τὴ μορφὴ τοῦ Θεοῦ. Ἡ μορφὴ ὅμως αὐτή, ποὺ εἶναι πέρα καὶ πάνω ἀπὸ ὅλα, δηλαδὴ ὁ Υἱός, χαράσσεται διὰ τοῦ Πνεύματος στὶς ψυχές μας. Γι' αὐτὸ ὁ Παῦλος γράφει στοὺς Γαλάτες, οἱ ὁποῖοι ἀπὸ ἐπιπολαιότητα ὀλίσθησαν πρὸς τὸ κακό· «Παιδιά μου, γιὰ τὰ ὁποῖα πάλι δοκιμάζω πόνους γέννας, μέχρι ποὺ νὰ μορφωθεῖ μέσα σας ὁ Χριστός»[43].

Β. Πολὺ καλὰ τὰ εἶπες.

Α. Εἶναι μάλιστα καὶ κατὰ ἄλλον τρόπο ἀνόητο καὶ πάρα πολὺ ἀπερίσκεπτο τὸ νὰ λέγεται ὁ Υἱὸς εἰκόνα τῆς βουλῆς καὶ τῶν θελημάτων τοῦ Πατέρα, καὶ ὄχι τῆς οὐσίας του. Γιατὶ ὁ Φίλιππος εἶπε, «Δεῖξε μας τὸν Πατέρα», καὶ ὄχι τὴ θέληση τοῦ Πατέρα. Ἀλλὰ καὶ ὁ Υἱός, παρουσιάζοντας τὸν ἑαυτό του ὡς εἰκόνα τοῦ Πατέρα, εἶπε, «αὐτὸς ποὺ εἶδε ἐμένα», καὶ ὄχι τὴ θέληση τοῦ Πατέρα, ἀλλὰ μᾶλλον εἶδε τὸν ἴδιο τὸν Πατέρα. Ἐνῶ θὰ ἔπρεπε, αὐτὸς γιὰ τὸν ὁποῖο εἰπώθηκε ὅτι εἶναι ἀψευδής, ἢ μᾶλλον ὅτι δὲν ἔχει δόλο στὸ στόμα του[44], ὅπως ἐκεῖνοι θεωροῦν σωστό, νὰ μὴ πεῖ αὐτό, ἐὰν δὲν ἦταν ἔτσι. Ὅμως ὡς τὸν μόνο ποὺ γνωρίζει τὸν Πατέρα, καὶ γνωρίζεται μόνο

*λῆς ἡμῖν καὶ ἀνυπάρκτου θελήσεως εἰκόνα, χαρακτῆρα δὲ μᾶλλον τῆς ὑποστάσεως τοῦ γεγεννηκότος ἑαυτὸν ἀπέφηνεν εἰπών· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα».*

*Β. Ἀλλ' εἴπερ ὧδε φρονεῖν ἔκ τε τοῦ εἰκότος καὶ πρὸς αὐτῆς ὄντως τῆς ἀληθείας ἀναπεπείσμεθα, τρίβον μὲν ἴμεν τὴν ἀγαθήν· πλὴν ἴσθι τοι κἀκεῖνο ἐροῦντας· ὅ τινος, ὦ βέλτιστοι, χαρακτὴρ εἴη δήπου πάντως ἂν οὐκ ἐν ὑποστάσει τῇ καθ' ἑαυτόν, ἀλλ' οὐδ' ἂν ἰδίαν ἔχοι τὴν ὕπαρξιν, νοοῖτο δ' ἂν μᾶλλον ἐν ὑποκειμένῳ καὶ ὡς ἐν τάξει συμβεβηκότος, εἰ καὶ ἀχωρίστως ἐνείη τυχόν, καθάπερ ἀμέλει τὰ εἴδη τοῖς σώμασιν. Ἀνύπαρκτος οὖν ὁ Υἱός, εἴπερ ἐστὶ καθ' ὑμᾶς ὡς χαρακτὴρ ἐν τῷ Πατρί.*

*Α. Ἀχρεῖον, ὡς ἔοικε, καὶ τοῖς ἄγαν αἰσχροῖς ἐναρίθμιον τὸ βούλεσθαί τι νοεῖν ἄριστά τε καὶ ἀδιαπτώτως, πάρα γε τοῖς οὕτω διεστραμμένοις· τὸ δὲ ἀρρωστοῦν εἰς σύνεσιν ἐντετίμηταί που· καὶ παρατροπῆς μὲν ἀεὶ τῆς ἐπὶ τὸ λίαν εὐηθικός, τὸ ἰσοστατοῦν οὐδέν, ἐν μοίρᾳ δὲ τῇ αἰσχίονι τὸ εὖ ἔχειν ὑπειλημμένον. Ἢ οὐκ ἄμεινον ἐννοεῖν ὡς τὴν μὲν τοῦ Υἱοῦ φύσιν, ἥτις ποτέ ἐστι, νῷ μὲν ἐπαθρῆσαι τῷ καθ' ἡμᾶς ἀνέφικτον παντελῶς, μεῖζον δὲ εἰπεῖν ἢ κατὰ δύναμιν λόγου; «Δόξα γὰρ Κυρίου κρύπτει λόγον», κατὰ τὸ γεγραμμένον. Ἐκ πλείστων δὲ ὅσων θεωρημάτων, τὴν ὡς ἐν ἐσόπτρῳ γνῶσιν οὐκ ἀνιδρωτὶ καὶ μόλις ἐρανιζόμεθα, ἰσχναῖς δὲ δὴ λίαν καὶ οἱονεὶ κατερρινημέναις φαντασίαις ἐννοιῶν τὴν ὡς ἐν αἰνίγμασι θέαν εἰς νοῦν συναγείροντες, τὸ ἀκλινὲς ἐν πίστει κερδαίνομεν. Ἐπειδὴ δὲ ἐν κτίσμασι καὶ τοῖς ὑπὸ γένεσιν καὶ φθορὰν οὐδὲν ἀκριβῶς καὶ μοναδικῶς ἐξήσκηται πρὸς ἐμφέρειαν τῆς ἀνωτάτω φύσεώς τε καὶ δόξης, συνίεμεν μόλις τὰ περὶ αὐτῆς, τὸ τελοῦν εἰς δήλωσιν ἀφ' ἑκάστου τῶν ὄντων χρειωδῶς ἁρπάζοντες· σπιθαμῇ δὲ ὥσπερ μετροῦντες τὸν οὐρανόν, βραχεῖ*

---

45. Παροιμ. 25, 2.
46. Πρβλ. Α΄ Κορ. 13, 12.

ἀπὸ τὸν Πατέρα, ὀνόμασε τὸν ἑαυτό του, ὄχι εἰκόνα τῆς ἁπλῆς καὶ ἀνύπαρκτης θέλησης, ἀλλὰ σφραγίδα τῆς ὑποστάσεως ἐκείνου ποὺ τὸν γέννησε, λέγοντας· «Αὐτὸς ποὺ εἶδε ἐμένα, εἶδε τὸν Πατέρα».

Β. Ὅμως, ἐὰν βέβαια ἔχουμε πεισθεῖ νὰ πιστεύουμε μὲ τὸν τρόπο αὐτό, καὶ ἀπὸ τὸ ὅτι εἶναι λογικό, ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴν ἀλήθεια, βαδίζουμε τὸν σωστὸ δρόμο. Ὡστόσο γνώριζε ὅτι θὰ ρωτήσουν καί ἐκεῖνο· Αὐτό, φίλτατοι, ποὺ εἶναι χαρακτήρας κάποιου, βρίσκεται ὁπωσδήποτε ὄχι στὴν ἴδια του τὴν ὑπόσταση, οὔτε μπορεῖ νὰ ἔχει δική του ὑπόσταση, ἀλλὰ πρέπει νὰ νοεῖται σὲ ὑποκείμενο, καί ὅτι ἀνήκει στὴν κατηγορία τοῦ συμβεβηκότος (τοῦ προσωρινοῦ γνωρίσματος), ἔστω καὶ ἂν μπαίνει ἐνδεχομένως μέσα του κατὰ τρόπο ἀχώριστο, ὅπως ἀκριβῶς συμβαίνει μὲ τὰ εἴδη στὰ σώματα. Ὁ Υἱὸς λοιπὸν εἶναι ἀνύπαρκτος, ἐάν, σύμφωνα μὲ σᾶς, ὑπάρχει στὸν Πατέρα ὡς χαρακτήρας.

Α. Εἶναι ἐλεεινό, ὅπως φαίνεται, καὶ συγκαταλέγεται μεταξὺ τῶν πολὺ αἰσχρῶν, τὸ νὰ θέλει κανεὶς νὰ κατανοήσει κάτι ἄριστα καὶ σωστὰ ἀπὸ τοὺς τόσο διαστρεβλωμένους, καὶ νὰ ἐκτιμᾶται κατὰ κάποιο τρόπο αὐτὸ ποὺ πάσχει ἀπὸ ἔλλειψη σύνεσης, καὶ νὰ μὴ ὑπάρχει βέβαια τίποτε τὸ ἰσόβαρο γιὰ τὴν παρέκκλιση πάντοτε πρὸς αὐτὸ ποὺ εἶναι πολὺ ἀνόητο, ἐνῶ αὐτὸ ποὺ εἶναι σωστὸ νὰ τοποθετεῖται σὲ ἴση μοῖρα μὲ τὸ αἰσχρότερο. Ἢ μήπως δὲν εἶναι προτιμότερο νὰ καταλάβουμε, ὅτι τὸ νὰ συλλάβουμε μὲ τὸν νοῦ μας τί τέλος πάντων εἶναι ἡ φύση τοῦ Υἱοῦ εἶναι τελείως ἀκατόρθωτο καὶ ἀνώτερο ἀπὸ τὸ νὰ τὸ ποῦμε μὲ τὴ δύναμη τοῦ λόγου; Γιατὶ σύμφωνα μὲ αὐτὸ ποὺ ἔχει γραφεῖ, «Εἶναι ἀνεξερεύνητη ἡ δόξα τοῦ Κυρίου ἀπὸ τὸν λόγο»[45]. Μὲ πάρα πολλὲς σκέψεις ὅμως καὶ μὲ ἱδρώτα μόλις κατορθώνουμε νὰ συλλέξουμε τὴ γνώση σὰν μέσα ἀπὸ καθρέπτη[46], καὶ συγκεντρώνοντας στὸν νοῦ μας μὲ πολὺ ἰσχνὲς καὶ ἀμυδρὲς παραστάσεις ἐννοιῶν τὴν εἰκόνα σὰν μέσα ἀπὸ αἰνίγματα, κερδίζουμε τὴ σταθερότητα τῆς πίστης. Ἐπειδὴ ὅμως μεταξὺ τῶν κτισμάτων καὶ αὐτῶν ποὺ ὑπόκεινται σὲ δημιουργία καὶ φθορά, δὲν προσφέρεται τίποτε μὲ ἀκρίβεια καὶ ἀποκλειστικὰ σὲ ὁμοιότητα πρὸς τὴν ἀνώτατη φύση καὶ δόξα, κατανοοῦμε μόλις μὲ δυσκολία τὰ γύρω ἀπὸ αὐτήν, παίρνοντας κατανάγκη ἀπὸ κάθε ὂν αὐτὸ ποὺ συντελεῖ στὴ φανέρωσή της. Καὶ σὰν νὰ μετρᾶμε τὸν οὐρανὸ μὲ τὴ σπιθαμή μας,

*κομιδῇ τῷ γε ἐν ἡμῖν ὄντι νῷ πρὸς τὰ ἐπέκεινα νοῦ παντὸς ἀναμύειν οὐ παραιτούμεθα, φῶς τε καὶ ζωὴν καὶ σοφίαν καὶ δύναμιν καὶ ἕτερα ἄττα πρὸς τούτοις φαμὲν εἶναι τὸν Υἱόν.*

*Ὠνόμασται γὰρ οὕτω παρά γε τῇ θεοπνεύστῳ Γραφῇ, ἀλλ' οὐχ ἑκάστῳ τῶν ὀνομάτων τὴν ἄρρητον αὐτοῦ φύσιν ἐγκατακλείοντες, ἐκ διαφόρων αὐτὸν συγκεῖσθαί φαμεν, καὶ εἰς ἕν τι τὸ ἀρτίως ἔχον ἀναπεπλέχθαι μόλις. Ἁπλοῦς γάρ ἐστι καὶ μονοειδής, ἀλλ' ἐκ πλείστων ὅσων τῶν αὐτῷ προσπεφυκότων οὐσιωδῶς, εἰς αὐγὰς ὥσπερ ἴμεν ἰσχνὰς τῆς ἐπ' αὐτῷ θεωρίας καὶ συμμέτρου περιωπῆς. Εἰ τοίνυν λέγοιτο χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατρός, ἀχωρίστως τε ἅμα καὶ προσπεφυκότως συνυπάρχοντα νόει, καὶ οἱονεὶ τὸ εἶδος αὐτοῦ τοῦ γεγεννηκότος. Ἡνίκα δ' ἂν καὶ ἀπαύγασμα μονονουχὶ φωτὸς προέντος τε καὶ ἀπαστράψαντος, εἰς νοῦν ἔχε τὴν ἐκ Πατρὸς οἱονεί πως εἰς τὸ ἔξω διεκδρομήν, οὔτε εἰσάπαν ἀπηλλαγμένως τῆς ὅθεν ἐστὶν ὑποστάσεως, οὔτε μὴν εἰσάπαν συνεσταλμένως, προεκκύπτουσαν δὲ ὥσπερ εἰς τὸ ὑφεστάναι καθ' ἑαυτὴν καὶ εἰς ὕπαρξιν ἰδικήν. Ἐμφιλοχωρεῖ μὲν γὰρ τῇ τοῦ Πατρὸς φύσει, μονονουχὶ ῥίζαν ἔχων αὐτὴν ὁ Υἱὸς καὶ τομῆς τῆς εἰσάπαν οὐκ ἀνεχόμενος, πλὴν ὑφέστηκεν ἰδικῶς, καὶ ἔστιν Υἱὸς ἀληθῶς, οὐκ ἀνυπόστατος χαρακτήρ, οὐδὲ ἀνυπάρκτως ἐπερριμμένος, ἢ συμβεβηκώς, ὡς εἶδος ἐν σώματι. Ζωὴ γὰρ ὢν κατὰ φύσιν, πῶς ἂν νοοῖτο μὴ ὑφεστάναι; Ἢ οὐ διεπύθου λέγοντος, «Ἐγώ εἰμι ὁ ὤν, τοῦτό μού ἐστιν ὄνομα, καὶ μνημόσυνον αἰώνιον γενεαῖς γενεῶν»;*

*Β. Εὖ λέγεις. Εἰς καιρὸν δὲ ἡμῖν ὄντα τε ἔφης καὶ ζωὴν τὸν Υἱόν, ὡς χαρακτῆρά που πάντως καὶ ὁμοίωσιν ἀκριβῆ τοῦ ὄντος τε καὶ ζῶντος Πατρός. Ἀλλὰ τί δῆτα, φασίν, εἴπερ ὧδε ἔχει, ζωὴν δέχεται παρὰ τοῦ Πατρός; Ἔφη γὰρ αὐτός· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ». Καὶ μὴν καὶ ἑτέρωθι, καταναρκήσας οὐδέν· «Καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατήρ, κἀγὼ ζῶ διὰ τὸν Πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσει δι' ἐμέ». Πρὸς ἡμᾶς δὲ ὁ Παῦλος, «Ὁ δὲ Θεός», ἔφη, «πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς,*

---

47. Ἑβρ. 1, 3. 48. Ἔξ. 3, 14-15. 49. Ἰω. 5, 26. 50. Ἰω. 6, 58.

μὲ τὸν πολὺ μικρὸ μυαλὸ ποὺ ἔχουμε, δὲν παύουμε νά στρέφουμε τὰ μάτια μας πρὸς ἐκεῖνα ποὺ βρίσκονται πέρα ἀπὸ κάθε νοῦ, λέγοντας ὅτι ὁ Υἱὸς εἶναι φῶς καὶ ζωὴ καὶ σοφία. Γιατὶ ἔτσι ὀνομάσθηκε ἀπὸ τὴ θεόπνευστη Γραφή, ὅμως χωρὶς νὰ περιορίζουμε τὴν ἀπερίγραπτη φύση του μέσα σὲ καθένα ἀπό τὰ ὀνόματα αὐτά, λέμε ὅτι αὐτὸς συνίσταται ἀπὸ διάφορα γνωρίσματα, τὰ ὁποῖα ἔχουν πρόσφατα συμπλεχθεῖ σὲ ἕνα, τὸ ὁποῖο εἶναι ἄρτιο. Γιατὶ εἶναι ἁπλὸς καὶ μονοειδής, ἀλλὰ ἀπὸ τὰ πάρα πολλὰ γνωρίσματα τὰ ὁποῖα συνδέονται μὲ αὐτὸν κατ᾽ οὐσία ὁδηγούμαστε κατὰ κάποιο τρόπο στὴν ἀμυδρὴ γι᾽ αὐτὸν παράσταση καὶ ἀνάλογη θέση του. Ὅταν λοιπὸν λέγεται σφραγίδα τῆς ὑποστάσεως τοῦ Πατέρα[47], νὰ ἐννοεῖς ὅτι εἶναι ἀχώριστος καὶ στενὰ συνδεδεμένος μαζί του, καὶ ἔχει τὴ μορφὴ τοῦ ἴδιου τοῦ γεννήτορά του. Ὅταν πάλι λέγεται καὶ ἀκτινοβολία[47] ποὺ ἀνέτειλε καὶ ἄστραψε σὰν φῶς, νὰ ἔχεις στὸν νοῦ σου τὴν κατὰ κάποιο τρόπο ἔξοδό του πρὸς τὰ ἔξω, χωρὶς νὰ ἀπαλλάσσεται καθόλου ἀπὸ τὴν ὑπόσταση ἀπὸ τὴν ὁποία συνίσταται, οὔτε ὅμως καὶ νὰ περιορίζεται καθόλου, σὰν νὰ προβάλλει ἔξω γιὰ νὰ ὑπάρξει μόνος καὶ ἰδιαίτερα. Γιατὶ ὑπεισέρχεται στὴ φύση τοῦ Πατέρα ὁ Υἱός, σὰν νὰ τὴν ἔχει ρίζα, χωρὶς νὰ ἀνέχεται καμμιὰ ἀποκοπὴ ἀπὸ αὐτήν, ἀλλὰ ὑπῆρξε ἰδιαίτερα καὶ εἶναι Υἱὸς πραγματικά, ὄχι χαρακτήρας χωρὶς ὑπόσταση, οὔτε πεταμένος χωρὶς νὰ ὑπάρχει, ἢ νὰ εἶναι τυχαῖο προσωρινὸ γνώρισμα, ὅπως ἡ μορφὴ στὸ σῶμα. Γιατί, ὄντας ζωὴ κατὰ φύση, πῶς θὰ μποροῦσε νὰ νοηθεῖ ἀνύπαρκτος; Ἢ μήπως δὲν ἔμαθες ὅτι λέγει, «Ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ὑπάρχει, αὐτὸ εἶναι τὸ ὄνομά μου, καὶ θὰ τὸ θυμοῦνται αἰώνια ὅλες οἱ γενεές»[48];

Β. Τὰ λὲς ὡραῖα. Καὶ εἶπες ὅτι στὸν κατάλληλο καιρὸ ἔγινε γιὰ μᾶς ὁ Υἱὸς καὶ ζωή, ὡς σφραγίδα ὁπωσδήποτε καὶ ὁμοίωση ἀκριβὴς τοῦ Πατέρα ποὺ ὑπάρχει καὶ ζεῖ. Ἀλλὰ γιατί, λένε, ἐὰν ἔτσι εἶναι, δέχεται ζωὴ ἀπὸ τὸν Πατέρα; Γιατὶ εἶπε ὁ ἴδιος· «ὅπως ὁ Πατέρας ἔχει ζωὴ μέσα του, ἔτσι ἔδωσε καὶ στὸν Υἱὸ νὰ ἔχει ζωὴ μέσα του»[49]. Ἀλλὰ καὶ κάπου ἀλλοῦ, χωρὶς νὰ διστάσει καθόλου λέγει· «Ὅπως μὲ ἔστειλε ὁ ζωντανὸς Πατέρας, καὶ ἐγὼ ζῶ γιὰ τὸν Πατέρα, καὶ ὅποιος μὲ τρώει, καὶ αὐτὸς θὰ ζήσει ἐξαιτίας μου»[50]. Καὶ ὁ Παῦλος εἶπε σὲ μᾶς· «Ὁ Θεός, ἐπειδὴ εἶναι πλούσιος σὲ εὐσπλαχνία, ἐξαιτίας τῆς μεγάλης ἀγάπης του μὲ τὴν ὁποία μᾶς ἀγάπησε, ἂν καὶ ἤμασταν

*καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ, οὗ χάριτί ἐστε σεσωσμένοι, καὶ συνήγερκε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ». Καὶ ὅλως διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς θεοπνεύστου Γραφῆς, ζωοποιούμενός τε παρὰ τοῦ Πατρὸς καὶ ζωῆς ὁρᾶται μέτοχος. Τίνα δὴ οὖν ἄρα τρόπον τἀληθὲς ἀντεξοίσομεν τοῖς δι᾽ ἐναντίας, ὡς ἥδιστα ἄν σου διαπυθοίμην.*

*Α. Καὶ μὴν ἄριστά σοι καὶ οὐκ ἀποσκόπως που λέγειν ἐδόκουν, οὐχὶ τῆς βουλήσεως τοῦ Πατρός, ἀλλ᾽ οὐσίας καὶ ὑποστάσεως χαρακτῆρα τὸν Υἱὸν νοεῖσθαι δεῖν, καὶ οὐκ ἀπᾳδόντως τῇ θείᾳ Γραφῇ.*

*Β. Ἄριστα μὲν οὖν· ἀποφήσαιμι γὰρ ἂν οὐδαμῶς τό γε ὀρθῶς ἔχον τε καὶ εἰρημένον.*

*Α. Ἐν δέ γε τοῖς οὖσιν, ὅσα μὴ μόνον εἰς σχῆμα καὶ εἶδος μεμόρφωται τό τινος, οὐσιώδη δὲ μᾶλλον διεκληρώσατο τὴν ἐμφέρειαν, ὁμοφυῆ δήπου πάντως εἶεν ἄν, καὶ τῆς κατὰ πᾶν ὁτιοῦν ὁμοιότητος ἀνενδεῶς ἐξημμένα.*

*Β. Πῶς δὴ φής; Οὐ γάρ μοι μάλα σαφὴς ὁ λόγος.*

*Α. Τὸ χαλκοῦ, φέρε εἰπεῖν, ἢ λίθου πεποιημένον ἀνδροειδὲς ἄγαλμα, πότερα, τῆς τοῦ δεῖνος οὐσίας, ἤγουν εἴδους καὶ μορφῆς ἐξεικονισμὸς εἴη ἄν;*

*Β. Εἴδους δηλονότι.*

*Α. Ὅ γε μὴν τοῦ δεῖνος υἱός, πρὸς αὐτῆς εἰς τοῦτο πλαστουργηθεὶς τῆς φύσεως καὶ ἄκρως ἐξησκημένος πρὸς ὁμοίωσιν τοῦ γεννήσαντος, λόγοις δὲ δή φημι τοῖς κατὰ τὴν φύσιν, ἆρ᾽ οὐκ ἂν νοοῖτο λοιπὸν φυσική τε καὶ οὐσιώδης εἰκών;*

*Β. Ναί.*

*Α. Ὄντος δὴ οὖν ἤδη σαφοῦς τε καὶ ἐναργοῦς ὅτι τῆς τοῦ Θεοῦ καὶ Πατρὸς ὑποστάσεως χαρακτὴρ ὑπάρχων ὁ Υἱός, ἀδιαλώβητόν τε καὶ ἀπαράσημον τὸ θεῖον ἐν ἑαυτῷ παρέδειξε κάλλος, διαρρήδην εἰπών· «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι», καὶ «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα», πῶς οὐκ ἀναγκαῖον ἐννοεῖν ὡς τοῖς τῆς θεότητος ἰδιώμασιν ὑπάρχων διαπρεπής, καθάπερ ἀμέλει καὶ ὁ Πατήρ, κατ᾽ οὐδένα τρόπον ἀπολισθήσειεν ἂν*

νεκροὶ μὲ τὰ παραπτώματά μας, μᾶς ζωοποίησε μὲ τὸν Χριστό, μὲ τὴ χάρη τοῦ ὁποίου εἴσαστε σωσμένοι, καὶ μᾶς ἀνέστησε μαζὶ καὶ μᾶς κάθισε στὰ ἐπουράνια μαζὶ μὲ τὸν Χριστό»[51]. Καὶ γενικά, μποροῦμε νὰ ποῦμε, σὲ ὅλη τὴ θεόπνευστη Γραφὴ ἐμφανίζεται νὰ ἔχει λάβει τὴ ζωὴ ἀπὸ τὸν Πατέρα καὶ νὰ μετέχει τῆς ζωῆς. Θὰ ἄκουα λοιπὸν μὲ πολλὴ εὐχαρίστηση ἀπὸ σένα μὲ ποιὸ τρόπο θὰ ἀντιτάξουμε τὴν ἀλήθεια στοὺς ἀντίθετους.

Α. Ναί, πάρα πολὺ καλὰ καὶ ὄχι ἄσκοπα νομίζω εἶπες, ὅτι ὁ Υἱὸς δὲν πρέπει νὰ θεωρεῖται χαρακτήρας τῆς θελήσεως τοῦ Πατέρα, ἀλλὰ τῆς οὐσίας καὶ τῆς ὑποστάσεώς του, σύμφωνα καὶ μὲ τὴν ἁγία Γραφή.

Β. Πάρα πολὺ καλά, γιατὶ δὲν θὰ ἀρνιόμουν μὲ κανένα τρόπο αὐτὸ ποὺ εἶναι καὶ ἔχει εἰπωθεῖ σωστά.

Α. Τὰ ὄντα, ὅσα δὲν ἔχουν σχηματισθεῖ σύμφωνα μὲ τὸ σχῆμα καὶ τὴ μορφὴ κάποιου ἄλλου, ἀλλ᾽ ἔχουν οὐσιώδη ὁμοιότητα πρὸς αὐτό, ἀνήκουν ὁπωσδήποτε στὴν ἴδια φύση καὶ εἶναι ἀπαραιτήτως ὅμοια μὲ αὐτὸ σὲ ὅλα.

Β. Πῶς τὸ ἐννοεῖς; Γιατὶ δὲν τὰ κατάλαβα καλὰ τὰ λόγια σου.

Α. Τὸ χάλκινο ἢ πέτρινο ἄγαλμα, γιὰ παράδειγμα, ποὺ παριστάνει κάποιον ἄνδρα, ποιὸ ἀπὸ τὰ δύο· παριστάνει τὴν οὐσία τοῦ ἄνδρα αὐτοῦ, ἢ τὸ σχῆμα καὶ τὴ μορφή του;

Β. Τὴ μορφή του ὁπωσδήποτε.

Α. Ὁ υἱὸς λοιπὸν τοῦ τάδε, ποὺ πλάσθηκε ἀπὸ τὴν ἴδια τὴ φύση καὶ εἶναι καμωμένος γιὰ νὰ μοιάζει ἀπόλυτα αὐτὸν ποὺ τὸν γέννησε, καὶ ἐννοῶ τοὺς λόγους τῆς φύσεως, δὲν μπορεῖ νὰ θεωρηθεῖ φυσικὴ καὶ οὐσιώδης εἰκόνα του;

Β. Καὶ βέβαια.

Α. Ἀφοῦ λοιπὸν εἶναι σαφὲς καὶ φανερό, ὅτι ὁ Υἱός, ὄντας ἀποτύπωμα τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατέρα, ἔδειξε στὸν ἑαυτό του ἀμείωτη καὶ ἀνόθευτη τὴ θεϊκὴ ὡραιότητα, λέγοντας καθαρά, «Ἐγὼ εἶμαι μέσα στὸν Πατέρα, καὶ ὁ Πατέρας μέσα σὲ μένα»[52], καὶ «ὅποιος εἶδε ἐμένα, εἶδε τὸν Πατέρα»[53], δὲν εἶναι ἀπαραίτητο νὰ ἐννοήσουμε, ὅτι, ἀφοῦ διακρίνεται μὲ τὰ ἰδιώματα τῆς θεότητας, ὅπως ἀκριβῶς καὶ ὁ Πατέρας, δὲν εἶναι δυνατὸν μὲ κανένα τρόπο νὰ ξεφύ-

51. Ἐφ. 2, 4-6. 52. Ἰω. 14, 10. 53. Ὅπ. π.

*τοῦ εἶναι ζωὴ καὶ ζωοποιός, ἵνα μὴ διὰ τῆς εἰκόνος ὑβρίζηταί πως ὁ οὗπέρ ἐστιν εἰκών; Συμβήσεται γάρ, εἴπερ οὐχ ὧδε ἔχει, τό γε ἧκον εἰς τὸν Υἱόν, ὅς ἐστιν εἰκὼν τοῦ Πατρός, ζωὴν μὲν οὐκ ἔτι, ζωῆς δὲ μᾶλλον ἐπιδεᾶ καὶ τῆς παρ᾽ ἑτέρου μέτοχον, καὶ αὐτὸν ἤδη πως ὑποπτεύεσθαι τὸν Πατέρα. Ἢ πῶς ἂν γένοιτο τοῦ ζωογονοῦντος εἰκὼν ἀπαράλλακτος τὸ ζωογονούμενον, τοῦ πλουσίως ἔχοντος τὸ ἐπιδεές, τοῦ διανέμειν ἑτέροις οἵου τε τὸ καὶ ἰδίᾳ φύσει μὴ ἐπαρκοῦν;*

*Β. Εὖ λέγεις.*

*Α. Οἱ δὲ δὴ ζωῆς μέτοχον καὶ οὐκ αὐτὸ κατὰ φύσιν ὑπάρχειν ζωὴν πεφλυαρηκότες τὸν Υἱόν, ὅποι ποτὲ θεῖεν ἂν τὴν αὐτοῦ φύσιν, ὡς ἑτέραν οὖσαν παρὰ τὴν ἐν αὐτῷ ζωήν, ἐννοεῖν οὐκ ἔχω. Ἢ οὐκ ἀνάγκη τὸ ἐν μεθέξει τινὸς γενέσθαι πεπιστευμένον ἑτεροφυὲς εἶναι παρ᾽ αὐτό, ἵνα μὴ αὐτό τι ἑαυτοῦ λέγοιτό τε καὶ ὁρῷτο μέτοχον, εἴπερ ἐστὶν ὁμοφυές;*

*Β. Ἀνάγκη.*

*Α. Οὐκοῦν, εἰ μή ἐστι ζωὴ κατὰ φύσιν ὁ Υἱός, ἐν ἰδίᾳ που πάντως ἔσται φύσει, μεταλαχὼν ὡς ἑτέρας, ἢ ὅπερ ἐστὶν αὐτὸς τῆς ἐν αὐτῷ ζωῆς. Ἀποκρινάσθων δὴ οὖν οἱ τοσούτῳ παρεφθαρμένοις συναθλοῦντες δόγμασιν, ὑπὸ ποῖον ἡμῖν ἔσται κατ᾽ ἐκείνους γένος· προαπέδειξε γὰρ ἡμῖν ὁ λόγος ὅτι μὴ γενητός.*

*Β. Ζωή, φησί, γέγονε παρὰ τοῦ Πατρός· ἔφη γὰρ ὁ Ἰωάννης· «Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν». Ὁ Λόγος οὖν ἐστι ζωή.*

*Α. Συνεισδήσας οὖν ἄμφω καὶ εἰς ἕν τι συνενεγκὼν ζωήν τε καὶ τὸν Υἱόν, οὐχ ἕτερον εἶναι φὴς παρὰ τὴν ἐν αὐτῷ ζωήν, ὡς διαφόροις ὀνόμασι τὴν ἑνὸς ἡμῖν τοῦ νοουμένου κατασημαίνεσθαι φύσιν, εἴτουν Υἱὸς εἴτε ζωὴ λέγοιτο τυχόν;*

*Β. Οὕτω φημί.*

*Α. Εἶτα πεποιῆσθαι παρὰ τοῦ Πατρὸς ὑπειλήφασι τὴν ζωήν· καὶ πῶς ἂν οὐχὶ μωρίας αὐτοῖς ἐπίκλημα καὶ γραφὴ τὸ χρῆμα λοιπόν; Ἢ οὐχὶ τὸ γεγονὸς ἐξ ἀνυπαρξίας παρῆχθαι λέγειν, καὶ οὐχ*

54. Ἰω. 1, 3.,

γει ἀπὸ τὸ νὰ εἶναι ζωὴ καὶ ζωοποιός, γιὰ νὰ μὴ ὑβρίζεται κατὰ κάποιο τρόπο μέσω τῆς εἰκόνας αὐτὸς τοῦ ὁποίου εἶναι εἰκόνα; Γιατί, ἐὰν δὲν εἶναι ἔτσι, θὰ συμβεῖ, ὅσον ἀφορᾶ τὸν Υἱό, ὁ ὁποῖος εἶναι εἰκόνα τοῦ Πατέρα, νὰ μὴ εἶναι πιὰ ζωή, ἀλλὰ νὰ ἔχει μᾶλλον ἀνάγκη ζωῆς καὶ νὰ μετέχει τῆς ζωῆς ἄλλου, καὶ νὰ ὑποπτεύεται ἤδη κατὰ κάποιο τρόπο τὸν Πατέρα. Ἢ πῶς εἶναι δυνατὸν αὐτὸ ποὺ ζωογονεῖται νὰ γίνει εἰκόνα ἀπαράλλακτη ἐκείνου ποὺ ζωογονεῖ, ὁ ὁποῖος ἔχει πλουσιοπάροχα αὐτὸ ποὺ λείπει, ὥστε νὰ τὸ μοιράζει σὲ ἄλλους αὐτὸ ποὺ δὲν εἶναι ἀρκετὸ γιὰ τὴ δική του φύση;

Β. Σωστὰ τὰ λές.

Α. Καὶ αὐτοὶ ποὺ φλυαροῦν ὅτι ὁ Υἱὸς εἶναι μέτοχος ζωῆς, καὶ δὲν εἶναι ὁ ἴδιος ἡ ζωή, δὲν μπορῶ νὰ καταλάβω ποῦ τέλος πάντων τοποθετοῦν τὴ φύση του, ἀφοῦ εἶναι διαφορετικὴ ἀπὸ τὴ ζωὴ ποὺ ὑπάρχει σ' αὐτόν. Ἢ μήπως δὲν εἶναι ἀνάγκη, αὐτὸ ποὺ ἔχει ἐμπιστευθεῖ νὰ γίνει μέτοχο κάποιου, νὰ εἶναι διαφορετικῆς φύσεως ἀπὸ αὐτό, γιὰ νὰ μὴ λέγεται καὶ ἐμφανίζεται νὰ μετέχει τὸ ἴδιο στὸν ἑαυτό του, ἐὰν εἶναι τῆς αὐτῆς φύσεως;

Β. Εἶναι ὁπωσδήποτε ἀνάγκη.

Α. Ἑπομένως, ἐὰν ὁ Υἱὸς δὲν εἶναι κατὰ φύση ζωή, θὰ ἔχει ὁπωσδήποτε ἰδιαίτερη φύση, καὶ ἔλαβε μέρος στὴ ζωὴ ποὺ ὑπάρχει μέσα του, σὰν νὰ εἶναι διαφορετική, καὶ ὄχι ὅ,τι εἶναι αὐτός. Ἂς ἀπαντήσουν λοιπὸν αὐτοὶ ποὺ συναγωνίζονται μὲ τὰ τόσο παραποιημένα δόγματα, σὲ ποιὸ γένος ἀνήκει, κατ' ἐκείνους, ὁ Υἱός· γιατὶ ὁ λόγος μας ἀπέδειξε προηγουμένως ὅτι δὲν εἶναι κτιστός.

Β. Ἔγινε, λέγει, ζωὴ ἀπὸ τὸν Πατέρα· γιατὶ ὁ Ἰωάννης εἶπε· «Μέσα σ' αὐτὸ ποὺ ἔγινε ὑπῆρχε ζωή»[54]. Ἑπομένως ὁ Λόγος εἶναι ζωή.

Α. Δένοντας λοιπὸν καὶ τὰ δύο μαζὶ καὶ ἑνώνοντας σὲ ἕνα τὴ ζωὴ καὶ τὸν Υἱό, λὲς ὅτι ὁ Υἱὸς δὲν εἶναι κάτι διαφορετικὸ ἀπὸ τὴ ζωὴ ποὺ ὑπάρχει μέσα του, ὥστε μὲ διάφορα ὀνόματα νὰ δηλώνεται ἡ φύση τοῦ ἑνός, εἴτε λέγεται Υἱὸς εἴτε ζωή;

Β. Ναί, ἔτσι λέγω.

Α. Ὡστόσο ὑποστηρίζουν ὅτι ἡ ζωὴ δημιουργήθηκε ἀπὸ τὸν Πατέρα· καὶ πῶς δὲν ἀποτελεῖ αὐτὸ κατηγορία καὶ καταγγελία μωρίας γι' αὐτούς; Ἢ μήπως, λέγοντας ἄθελά τους, ὅτι αὐτὸ ποὺ ὑπῆρ-

*ἑκόντας, ἀνάγκη, καὶ τὸ εἰς ἀρχὰς τοῦ εἶναι παρακεκομισμένον τοῦ εἶναι πρεσβύτερον τὸ μὴ εἶναι λαχεῖν; Ἀλλ' οὐ τοῦτό γε, ὦ βέλτιστοι, ζωή, πολλοῦ γε καὶ δεῖ. Ζωὴ γάρ ἐστιν οὐ τὸ εἰς ζωὴν παρηγμένον· πρέποι δ' ἂν μᾶλλον αὐτῇ τὸ εἶναι διὰ παντός, ἄναρχόν τε καὶ ἀτελεύτητον τὴν ὕπαρξιν ἔχειν. Εἰ δὲ δὴ σοφὸν οἴονται καὶ κατεσκεμμένον ὑπάρχειν αὐτοῖς τὸν λόγον, τὸν ἐν μεθέξει ζωῆς, κἂν εἰ νοοῖτο ζωή, πρεσβεύοντα τὸν Υἱόν, ἀκουόν-των ὅτι ζωὴ λέγοιτ' ἂν τὸ ζωοποιοῦν, οὐχὶ τὸ ζωοποιούμενον, καθάπερ ἀμέλει καὶ φῶς καὶ σοφία καὶ δύναμις, οὐ τὸ φωτὸς ἐπιδεὲς καὶ σοφίας ητώμενον καὶ ἰσχύος τῆς παρ' ἑτέρου γλιχόμενον, τὸ φωτίζον δὲ μᾶλλον καὶ σοφοὺς ἀποτελοῦν καὶ δυναμοῦν ἑτέρους. Ἢ οὐχὶ δὴ τρίβον ἰέναι σοι δοκῶ τὴν εἰς εὐθύ τε καὶ ἀκαμπῆ καὶ ταῖς ἐκ νόμου ψήφοις ἐπαινουμένην; «Ὁδῷ», γάρ, ἔφη, «πορεύσῃ βασιλικῇ».*

*Β. Καὶ μάλα.*

*Α. Τὸ δὲ δὴ σχέσει τῇ μὴ κατὰ φύσιν καταπλουτοῦν καὶ μόλις τό γε ὅλως εἶναι τοῦθ' ὅπερ ἐστί, πῶς ἂν ἐν ἴσῳ γένοιτό ποτε τῷ καὶ μετασχεῖν ἐφιέντι, καὶ χαριζομένῳ μεταλαχεῖν τῶν ἰδικῶς αὐτῷ προσεῖναι πεπιστευμένων; Ἀκούω γὰρ λέγοντος τοῦ Υἱοῦ· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καὶ μάλα εἰκότως. Ἐνεργήσει γὰρ ἐν ἴσῳ καὶ οὔτι που παρηλλαγμένως ἥ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ φύσις. Ζωὴ γάρ ἐστιν ὁ Πατήρ, ζωὴ δὲ καὶ ὁ Υἱός, οὐ μεῖον ἢ ὁ Πατήρ.*

*Β. Ἀλλ', οἶμαί γε δή, φαῖεν ἂν ὅτι ψευδομυθεῖς, ὦ οὗτος, οἴχεται δὲ δή σοι πρὸς τὸ μηδὲν ἤδη πως ὁ νοῦς καὶ τῶν μὲν ἐξ ἀκριβείας διημάρτηκεν ἐννοιῶν, τὸ δὲ τοῦ Πατρὸς ὑπερανεστηκός τε καὶ ὑπερκείμενον ἕν γε τῷ εἶναι ζωὴ κεκιβδήλευκέ τε καὶ κατασμικρύνας ἔχει. Πῶς γὰρ ἢ πόθεν ἐν ἴσῳ κείσεται τῷ Υἱῷ, καὶ εἰ καλοῖτο ζωή;*

*Α. Βραχὺ πρὸς λόγους διαμελλήσαντες, ἀτρέμα ἔχειν δεῖν οἰησόμεθα μὲν ἡμεῖς. Οἱ δὲ τοῖς σφῶν αὐτῶν συναθλοῦντες δόγμασι, καὶ πειράσθων ἀναπείθειν ὡς ἀμείνων μὲν ἢ καθ' Υἱὸν*

χε ἦρθε στὴν ὕπαρξη ἀπὸ τὴν ἀνυπαρξία, δὲν εἶναι ὑποχρεωμένοι νὰ ποῦν ὅτι καὶ αὐτὸ ποὺ ἦρθε στὴν ὕπαρξη στὴν ἀρχὴ τῆς δημιουργίας, ἐνῶ ἦταν πρεσβύτερο, συνέβη νὰ μὴ ὑπάρχει; Ἀλλ' αὐτό, ἀγαθοί, ἀπέχει πολὺ ἀπὸ τοῦ νὰ εἶναι ζωή. Γιατὶ ζωὴ δὲν εἶναι αὐτὸ ποὺ ἦρθε στὴ ζωή, ἀλλὰ ταιριάζει σ' αὐτὴν μᾶλλον τὸ ὅτι ὑπάρχει πάντοτε καὶ ἔχει τὴν ὕπαρξη χωρὶς ἀρχὴ καὶ τέλος. Ἐὰν ὅμως νομίζουν ὅτι εἶναι σοφὸς καὶ μελετημένος μὲ προσοχὴ ὁ λόγος τους, ποὺ πιστεύει ὅτι ὁ Υἱὸς μετέχει στὴ ζωή, ἔστω καὶ ἂν εἶναι ζωή, ἀκούοντας ὅτι ζωὴ λέγεται αὐτὸ ποὺ ζωοποιεῖ, καὶ ὄχι αὐτὸ ποὺ ζωοποιεῖται, ὅπως ἀκριβῶς καὶ φῶς, σοφία καὶ δύναμη, δὲν εἶναι αὐτὸ ποὺ ἔχει ἀνάγκη ἀπο φῶς καὶ στερεῖται σοφίας, καὶ ἐπιθυμεῖ τὴ δύναμη ἀπὸ ἄλλον, ἀλλὰ μᾶλλον αὐτὸ ποὺ φωτίζει καὶ κάνει σοφοὺς καὶ δυναμώνει ἄλλους. Ἢ μήπως δὲν σοῦ φαίνομαι ὅτι βαδίζω τὸν ἴσιο καὶ χωρὶς στροφὲς δρόμο, ποὺ ἐπαινεῖται μὲ ἐντολὲς τοῦ νόμου; Γιατὶ εἶπε· «Νὰ βαδίζεις τὴν ὁδὸ τὴ βασιλική»[55].

Β. Καὶ βέβαια.

Α. Ἐκεῖνο λοιπὸν ποὺ δὲν ἔχει σχέση φυσική, καὶ μόλις μὲ δυσκολία εἶναι αὐτὸ ποὺ εἶναι, πῶς εἶναι δυνατὸν νὰ γίνει κάποτε ἴσο μὲ αὐτὸ στὸ ὁποῖο ἐπιθυμεῖ νὰ μετάσχει, καὶ νὰ πάρει μέρος κατὰ χάρη στὰ ἰδιαίτερα προσόντα αὐτοῦ; Γιατὶ ἀκούω τὸν Υἱὸ ποὺ λέγει· «Ὅπως ὁ Πατέρας ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς ζωοποιεῖ, ἔτσι καὶ ὁ Υἱὸς δίνει ζωὴ σ' αὐτοὺς ποὺ θέλει»[56]. Καὶ πολὺ εὔλογα. Γιατὶ ἐνεργεῖ ἰσότιμα καὶ χωρὶς καμμιὰ διαφορὰ ἡ φύση καὶ τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ, ἀφοῦ ζωὴ εἶναι ὁ Πατέρας, ζωὴ καὶ ὁ Υἱός, ὄχι λιγώτερο ἀπὸ ὅ,τι ὁ Πατέρας.

Β. Νομίζω ὅμως πὼς θὰ ποῦν, φίλε, ψεύδεσαι, καὶ ὁ νοῦς σου πηγαίνει κάπως πρὸς τὸ μηδέν, καὶ ἀπὸ τὶς ἄλλες ἔννοιες βέβαια ἔκανε λάθος ὡς πρὸς τὴν ἀκριβῆ σημασία τους, νόθευσε ὅμως καὶ ἐλάττωσε πολὺ τὴν ἀνωτερότητα καὶ ὑπεροχὴ τοῦ Πατέρα, ὡς πρὸς τὸ ὅτι εἶναι ζωή. Γιατὶ πῶς καὶ ἀπὸ ποῦ ὁ Υἱὸς εἶναι ἴσος, ἔστω καὶ ἂν ὀνομάζεται ζωή;

Α. Ἀναβάλλοντας γιὰ λίγο ἐμεῖς τοὺς λόγους, νομίζω ὅτι πρέπει νὰ ἡσυχάσουμε. Αὐτοὶ ὅμως ποὺ συναγωνίζονται γιὰ τὰ δόγματά τους, ἂς προσπαθήσουν νὰ μᾶς πείσουν, ὅτι ὁ Πατέρας εἶναι ἀνώτε-

55. Ἀριθμ. 21,22.

56. Ἰω. 5,21.

*ζωοποιὸς ὁ Πατήρ, μείων δὲ ἢ κατ' αὐτόν, καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ Υἱός. Ἀλλ' ἔσονται μὲν οὐχ οἷοί τε τοῦτο δρᾶν, οἶδ' ὅτι, καταμαντεύσονται δὲ τὸ δοκοῦν καὶ καθοριοῦσιν εὐκόλως ἃ ἂν βούλωνται τοῦ Υἱοῦ, καὶ θεσμοῖς ἰδίοις τὴν ἁπάντων βασιλίδα καταζευγνύντες φύσιν. Εἶτα τιμᾶν οἴονται τὸν Πατέρα τὸν ἐξ αὐτοῦ πεφηνότα κατὰ φύσιν Υἱὸν ταῖς εἰς τὸ μεῖον καταλυποῦντες ψήφοις, καίτοι λέγοντα σαφῶς· «Ὁ πιστεύων εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά με». Τίνα γὰρ τρόπον καταθρήσαιμεν ἂν ζωὴν ὄντα κατὰ φύσιν ἐν Υἱῷ τὸν Πατέρα, εἰ μὴ νοοῖτο ζωὴ κατὰ φύσιν καὶ ὁ Υἱός; Τί δὲ οὐχὶ καὶ φάσκοντι πιστευτέον τό, «Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή»; Συνάρθρως δὲ καὶ μοναδικῶς ἑαυτὸν εἶναι λέγων τὴν ζωήν, ἆρ' οὐκ ἐξώσειεν ἂν τοῦ εἶναι ζωὴν τὸν Πατέρα καὶ Θεόν, εἰ μὴ φύσεως μιᾶς ἄμφω τε εἶναι δώσομεν, καὶ δι' ἀμφοῖν εἰς ἡμᾶς ἐν ἴσῳ τὸ χρῆμα ἰέναι, καὶ οὔτι που δυοῖν, ἀλλ' ὡς ἐξ ἑνὸς τοῦ τὰ πάντα ζωογονοῦντος Θεοῦ;*

*Β. Ὧδε ἔχει.*

*Α. Ἢ οὐκ «ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν»;*

*Β. Παντάπασι μὲν οὖν, εἴπερ εἶναι συγχωρήσομεν ἀληθῆ τὸν ἱερώτατον Παῦλον.*

*Α. Ἀληθὴς μὲν οὖν· πῶς γὰρ οὔ; Ζῇ γὰρ ἐν αὐτῷ καὶ λαλεῖ Χριστός, ὅς ἐστιν ἡ ἀλήθεια. Θέα δὴ οὖν, ὦ φιλότης, ὡς ἐν Θεῷ μὲν Πατρὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Ὁ δέ γε τοῦ εἶναι καὶ ζῆν χορηγὸς οὐχ ἕτερος ἂν εἴη παρὰ τὸν ἐξ αὐτοῦ πεφηνότα Υἱόν, ὅς τοῖς τοῦ Πατρὸς ἰδιώμασιν ὑπάρχων διαπρεπὴς καὶ ζωῆς τῆς κατὰ φύσιν βλάστημα ζωοποιόν, ὡς ἴδιον ἀγαθὸν ἐνίησι τὴν ζωὴν τοῖς τούτου δεδεημένοις καὶ ὅλην συνέχει πρὸς τὸ εἶναι τὴν κτίσιν. Καὶ γοῦν Ἰουδαίοις προσλαλῶν, «Ἀμὴν ἀμήν», φησί, «λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν*

---

57. Ἰω. 12, 44. 58. Ἰω. 14, 6. 59. Πράξ. 17, 28.

ρος ζωοποιὸς ἀπὸ τὸν Υἱό, καὶ ὁ Υἱός, ἂν καὶ ζωὴ κατὰ φύση, εἶναι κατώτερος ἀπὸ αὐτόν. Γνωρίζω ὅμως καλὰ, ὅτι δὲν θὰ μπορέσουν αὐτὸ νὰ τὸ κάνουν, ἀλλὰ θὰ μαντέψουν αὐτὸ ποὺ νομίζουν σωστὸ καὶ θὰ καθορίσουν εὔκολα αὐτὰ ποὺ θέλουν, συνδέοντας μὲ θεσμοὺς ἰδιαίτερους τὴ φύση τοῦ Υἱοῦ καὶ τὴν ἀνώτερη ἀπὸ ὅλα φύση. Ἔπειτα νομίζουν ὅτι τιμοῦν τὸν Πατέρα, δυσαρεστώντας τὸν Υἱὸ ποὺ προῆλθε ἀπὸ αὐτὸν κατὰ φύση μὲ τὸ νὰ τὸν μειώνουν, ἂν καὶ λέγει καθαρά· «Αὐτὸς ποὺ πιστεύει σὲ μένα, δὲν πιστεύει σὲ μένα, ἀλλὰ σὲ ἐκεῖνον ποὺ μὲ ἔστειλε, καὶ αὐτὸς ποὺ βλέπει ἐμένα, βλέπει αὐτὸν ποὺ μὲ ἔστειλε»[57]. Γιατὶ μὲ ποιὸ τρόπο μποροῦμε νὰ νοήσουμε ὅτι ὁ Πατέρας, ποὺ εἶναι κατὰ φύση ζωή, ὑπάρχει μέσα στὸν Υἱό, ἐὰν δὲν νοεῖται καὶ ὁ Υἱὸς ζωὴ κατὰ φύση; Καὶ γιατί δὲν πρέπει νὰ πιστέψουμε, ὅταν λέγει, «Ἐγὼ εἶμαι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή»[58]; Καὶ λέγοντας μὲ ἄρθρο (ἡ ζωὴ) καὶ ἀποκλειστικὰ ὅτι ὁ ἑαυτὸς τους εἶναι ἡ ζωή, ἄραγε δὲν βγάζει ἔξω ἀπὸ τοῦ νὰ εἶναι ζωὴ τὸν Πατέρα καὶ Θεό, ἐάν δὲν δεχθοῦμε ὅτι εἶναι τῆς αὐτῆς φύσεως καὶ οἱ δύο, καὶ ὅτι ἡ ζωὴ χορηγεῖται σὲ μᾶς καὶ ἀπὸ τοὺς δύο, καὶ ὄχι βέβαια ἀπὸ δύο, ἀλλὰ ἀπὸ ἕνα, ποὺ εἶναι ὁ Θεὸς ποὺ ζωογονεῖ τὰ πάντα;

Β. Ἔτσι εἶναι.

Α. Ἢ μήπως δὲν ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε μέσα σ' αὐτόν[59];

Β. Ἀπόλυτα ἔτσι εἶναι, ἐὰν φυσικὰ δεχόμαστε ὅτι ὁ ἱερότατος Παῦλος λέγει τὴν ἀλήθεια.

Α. Καὶ βέβαια λέγει τὴν ἀλήθεια· πῶς δηλαδὴ ὄχι; Γιατὶ μέσα του ζεῖ καὶ μιλάει ὁ Χριστός, ποὺ εἶναι ἡ ἀλήθεια. Πρόσεχε λοιπόν, φίλε μου, ὅτι μέσα στὸν Θεὸ Πατέρα ζοῦμε καὶ κινούμαστε καὶ ὑπάρχουμε. Ἐκεῖνος ὅμως ποὺ χορηγεῖ τὴν ὕπαρξη καὶ τὴ ζωὴ δὲν εἶναι ἄλλος, παρὰ ὁ Υἱὸς ποὺ προῆλθε ἀπὸ αὐτόν, ὁ ὁποῖος, διακρινόμενος μὲ τὰ ἰδιώματα τοῦ Πατέρα καὶ ὄντας κατὰ φύση ζωογόνος βλαστὸς τῆς ζωῆς, δίνει τὴ ζωὴ ὡς δικό του ἀγαθὸ σ' ἐκείνους ποὺ τὴν ἔχουν ἀνάγκη, καὶ συγκρατεῖ ὁλόκληρη τὴν κτίση στὸ νὰ ὑπάρχει. Καὶ πράγματι μιλώντας στοὺς Ἰουδαίους λέγει· «Ἀλήθεια σᾶς λέγω, δὲν σᾶς ἔδωσε ὁ Μωυσῆς τὸν ἄρτο ἀπὸ τὸν οὐρανό, ἀλλὰ ὁ Πατέρας μου σᾶς δίνει τὸν ἀληθινὸ ἄρτο ἀπὸ τὸν οὐρανό. Γιατὶ ὁ ἄρτος τοῦ Θεοῦ εἶναι ἐκεῖνος ποὺ κατεβαίνει ἀπὸ τὸν οὐρανό, καὶ δίνει στὸν κόσμο

διδοὺς τῷ κόσμῳ». Εἶτα τὴν ἰδίαν ἡμῖν κατασημαίνων φύσιν, «Ἀμὴν ἀμήν», φησί, «λέγω ὑμῖν· ὁ πιστεύων ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς». Εἴπερ οὖν ἐν ἴσῳ τε καὶ ἀπαραλλάκτως ἐνεργὸς ἐν ἡμῖν ὁ Υἱός, κατά γε τὸ εἶναι ζωὴ καὶ οὐ μεῖον ἢ ὁ Πατήρ, πῶς οὐκ ἐν ἴσοις αὐχήμασι θεῖεν ἂν οὐσίας αὐτόν, εἴπερ ἕλοιντό τινες ὀρθὰ φρονεῖν ἐπ' αὐτῷ καὶ διασκέπτεσθαι δεῖν;

Β. Ἀλλ' ἐψόμεθα, φησίν, οἷς αὐτὸς εἴρηκεν ὁ Υἱός. Ἔφη γὰρ ἀναφανδόν· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ δέδωκεν ἔχειν ζωὴν ἐν ἑαυτῷ».

Α. Προστίθει τὸ λεῖπον, ἤγουν ἀδικῶν ἴσθι τοι τὸ ἀληθές.

Β. Τὸ τί δή;

Α. Τὸ οἷς ἔφης ἀναγκαίως καὶ χρειωδῶς ἐπενηνεγμένον, τουτέστι· «Καὶ ἐξουσίαν δέδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν».

Β. Ἔοικας, οἶμαί που, καταδηλοῦν ἐκεῖνο θέλειν, ὅτι ζωὴν δέχεται παρὰ τοῦ Πατρὸς ὁ Υἱός, οὐχ ᾗ νοεῖται καὶ ἔστι Θεός, ἀλλ' ᾗ γέγονεν ἄνθρωπος, ὁ φύσει μὲν οὐκ ἔχων τὸ εἶναι ζωή, ζωῆς δὲ μᾶλλον τῆς παρὰ Θεοῦ μέτοχος.

Α. Καίτοι τί δήποτε μὴ οὐχὶ μᾶλλον σαυτῷ, ταυτὶ δὲ ἀβούλως ἀνάπτεις ἐμοί; Οὐ γὰρ διεπύθου λέγοντος ὅτι δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ καὶ τοῦ κρίνειν τὴν ἐξουσίαν ὅτι Υἱὸς ἀνθρώπου ἐστίν;

Β. Ἐπυθόμην· τὸ δὲ δὴ δοῦναι νυνὶ κατὰ μόνου τοῦ κρίνειν τετάχθω, φησίν. Ἐπειδὴ γὰρ τὸ κρίνειν ὁ νόμος ὡς γέρας ἐξαίρετον ἀνετίθει Θεῷ (ἔφη γὰρ ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν), δέχεται τὸ Θεοῦ γέρας ὡς ἄνθρωπος.

Α. Τὸ δέ γε ζωογονεῖν, ὦ βέλτιστοι, πρέποι ἂν ἑτέρῳ μᾶλλον ἢ Θεῷ; Καίτοι καὶ Παῦλος ἡμῖν ὁ σοφώτατος, Τιμοθέῳ γράφων, «Διαμαρτύρομαι», φησίν, «ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωογονοῦντος τὰ πάντα».

Β. Ναί, πρέποι ἂν καὶ τοῦτο, φησί, τῷ Θεῷ, ἀλλὰ τί μήν;

---

60. Ἰω. 6, 32-33. 61. Ἰω. 6, 47-48. 62. Ἰω. 5, 26.

ζωή»[60]. Καὶ ἔπειτα, ἀναφερόμενος στὴ δική μας φύση, λέγει· «Ἀλήθεια σᾶς λέγω, αὐτὸς ποὺ πιστεύει, ἔχει ζωὴ αἰώνια. Ἐγὼ εἶμαι ὁ ἄρτος τῆς ζωῆς»[61]. Ἐφόσον λοιπὸν ὁ Υἱὸς εἶναι ἴσος καὶ ἐνεργεῖ ἀπαράλλακτα, ὡς πρὸς τὸ ὅτι εἶναι ζωή, καὶ ὄχι σὲ κατώτερο βαθμὸ ἀπὸ τὸν Πατέρα, πῶς μποροῦν νὰ μὴ τὴν τοποθετοῦν στὴν ἴδια δόξα οὐσίας, ἐὰν βέβαια νομίζουν κάποιοι ὅτι πρέπει νὰ πιστεύουν καὶ νὰ σκέπτονται γι᾽ αὐτὸν σωστά;

Β. Ἀλλὰ ἀκολουθοῦμε, λέγει, αὐτὰ ποὺ εἶπε ὁ ἴδιος ὁ Υἱός. Γιατὶ εἶπε ὁλοφάνερα· «Ὅπως ὁ Πατέρας ἔχει ζωὴ μέσα του, ἔτσι ἔδωσε καὶ στὸν Υἱὸ νὰ ἔχει μέσα του ζωή»[62].

Α. Πρόσθεσε κι᾽ αὐτὸ ποὺ λείπει, ἀλλιῶς γνώριζε ὅτι ἀδικεῖς τὴν ἀλήθεια.

Β. Ποιὸ δηλαδή;

Α. Αὐτὸ ποὺ ἀκολουθεῖ ἀναγκαστικὰ καὶ ἀπαραίτητα σ᾽ αὐτὰ ποὺ εἶπες, δηλαδὴ τὴ ρήση· «Καὶ τοῦ ἔδωσε τὴν ἐξουσία νὰ δικάζει, γιατὶ εἶναι Υἱὸς τοῦ ἀνθρώπου»[63].

Β. Δείχνεις, νομίζω, νὰ θέλεις νὰ δηλώσεις ἐκεῖνο· ὅτι ὁ Υἱὸς δέχεται τὴ ζωὴ ἀπὸ τὸν Πατέρα, ὄχι αὐτὴν μὲ τὴν ὁποία νοεῖται καὶ εἶναι Θεός, ἀλλ᾽ ἐκείνη μὲ τὴν ὁποία ἔγινε ἄνθρωπος, αὐτὸς ποὺ δὲν εἶχε κατὰ φύση τὸ νὰ εἶναι ζωή, ἀλλὰ μᾶλλον ἦταν μέτοχος τῆς ζωῆς ποὺ ἔλαβε ἀπὸ τὸν Θεό.

Α. Καὶ γιατί χωρὶς νὰ θέλεις ἀποδίδεις σὲ μένα αὐτὸ ποὺ μᾶλλον ἔπρεπε νὰ τὸ ἀποδώσεις στὸν ἑαυτό σου; Δὲν ἄκουσες δηλαδὴ ποὺ εἶπα, ὅτι ὁ Πατέρας ἔδωσε στὸν Υἱὸ νὰ ἔχει ζωή, καὶ τὴν ἐξουσία νὰ κρίνει, ἐπειδὴ εἶναι Υἱὸς τοῦ ἀνθρώπου;

Β. Τὸ ἄκουσα· ὅμως, λέγει, τὸ «ἔδωσε» στὴν περίπτωση αὐτὴ ἀναφέρεται μόνο στὴν ἐξουσία νὰ κρίνει. Ἐπειδὴ ὅμως τὴν ἐξουσία νὰ κρίνει ὁ νόμος τὴν ἀνέθεσε στὸν Θεὸ ὡς προνόμιο (γιατὶ εἶπε ὅτι «ἡ κρίση εἶναι τοῦ Θεοῦ»[63α]), δέχεται τὸ προνόμιο τοῦ Θεοῦ ὡς ἄνθρωπος.

Α. Καὶ τὸ νὰ ζωογονεῖ, φίλε μου, ταιριάζει σὲ ἄλλον ἢ στὸν Θεό; Ἂν καὶ βέβαια ὁ σοφώτατος γιὰ μᾶς Παῦλος, γράφοντας στὸν Τιμόθεο, λέγει· «Σὲ ἐξορκίζω μπροστὰ στὸν Θεὸ ποὺ ζωογονεῖ τὰ πάντα»[64].

Β. Ναί, ταιριάζει καὶ αὐτὸ στὸν Θεό, λέγει, ἀλλὰ τί μ᾽ αὐτό;

---

63. Ἰω. 5,27. 63α. Δευτ. 1,17. 64. Α΄ Τιμ. 5,21.

*Α. Τὸ δὲ Θεῷ πρέπον καὶ οὐσιωδῶς ἀνακείμενον, ἆρ᾽ οὐχὶ τῇ ἀνθρώπου φύσει δοτόν τε καὶ ἐπακτόν;*

*Β. Καὶ τοῦτο ἀληθές.*

*Α. Ἄνθρωπος δὲ καθ᾽ ἡμᾶς ὁ Χριστός, εἰ καὶ νοοῖτο Θεὸς καθὸ πέφηνεν ἐκ Θεοῦ;*

*Β. Ναί· πῶς γὰρ οὔ;*

*Α. Φύσεως οὖν ἄρα τῆς θείας ἴδιον καὶ ἐξαίρετον ἔργον ἦν τὸ ὡς ἀνθρώπῳ δοτόν, τουτέστιν ἡ ζωή;*

*Β. Ἀλλ᾽ ὁ Πατὴρ λέγεται τῷ Υἱῷ δεδωκέναι τὴν ζωήν.*

*Α. Προστίθει τὸν χρόνον καὶ λελύσθω τὸ ζητούμενον. Ὅτε γὰρ πέφηνε καθ᾽ ἡμᾶς, τότε δὴ τότε καὶ ζωοποιεῖσθαι λέγεται, καίτοι ζωὴ κατὰ φύσιν αὐτὸς ὢν ὡς ἐκ Θεοῦ καὶ ζωῆς. Καὶ γοῦν λεγομένου τοῦ Πατρὸς ὡς οὐκ ἔχοντι τῷ Υἱῷ χορηγῆσαι τὴν ζωήν, κατίδοι τις ἄν, καὶ λίαν ἀμογητί, ζωῆς ὄντα χορηγὸν ἑαυτῷ τὸν Υἱόν, καὶ οὔτι πού φαμεν καθὸ νοεῖται Θεός, καθὸ δὲ πέφηνεν ἄνθρωπος, ᾧ δοτόν τε καὶ εἰσκεκριμένον ἔξωθεν ἡ ζωή. Ἔφη μὲν γὰρ ὁ μακάριος Παῦλος· «Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Χριστὸν Ἰησοῦν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν». Ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐχὶ ταῖς ἑτέρου μᾶλλον, ἀλλὰ ταῖς ἰδίαις ἐνεργείαις τὸ χρῆμα διδούς, πρὸς Ἰουδαίους φησὶ περὶ τοῦ ἰδίου σώματος· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν».*

*Β. Πῶς οὖν ἐνήργηκεν ὁ Πατὴρ ἐν τῷ Υἱῷ τὴν ζωήν, εἴπερ ἀνεβίω Χριστὸς ταῖς ἑαυτοῦ δυνάμεσί τε καὶ ἐνεργείαις;*

*Α. Ὅτι ζωῆς ὄντος τοῦ Πατρός, ζωὴ πέφηνεν ἐξ αὐτοῦ κατὰ φύσιν τε καὶ ἀληθῶς ὁ Υἱός, τῆς τοῦ τεκόντος οὐσίας ἐμφαντικός, καὶ ὅλος μὲν ὑπάρχων ἐν τῷ Πατρί, φέρων δὲ αὖ ὁλοκλήρως ἐν ἑαυτῷ τὸν Πατέρα. Ταύτῃ τοί φαμεν τὸ Πατρὸς ἐνέργημα καὶ τοῦ Υἱοῦ, καὶ ὅπερ ἂν ὁ Υἱὸς ἐργάσαιτο, τοῦτό ἐστιν ἐνέργημα τοῦ Πατρός. Καὶ γοῦν τὴν ὡς ἐκ Πατρὸς ἐνέργειαν ἰδίαν οὖσαν ἐπιδεικνὺς καὶ τὸ ἐν ἅπασιν ἰσουργὸν τῆς πρὸς αὐτὸν ὁμοουσιό-*

---

65. Ρωμ. 8, 11.

Α. Κι αὐτὸ ποὺ ταιριάζει καὶ ὑπάρχει στὴν οὐσία τοῦ Θεοῦ, ἄραγε δὲν μπορεῖ νὰ δοθεῖ καὶ νὰ προστεθεῖ στὴ φύση τοῦ ἀνθρώπου;

Β. Καὶ αὐτὸ εἶναι ἀλήθεια.

Α. Καὶ ὁ Χριστὸς εἶναι ἄνθρωπος σύμφωνα μὲ μᾶς, ἂν καὶ νοεῖται Θεός, ἐπειδὴ προῆλθε ἀπὸ τὸν Θεό;

Β. Ναί· πῶς δηλαδὴ ὄχι;

Α. Ἑπομένως αὐτὸ ποὺ τοῦ δόθηκε ὡς πρὸς ἄνθρωπο, δηλαδὴ ἡ ζωή, ἦταν ἔργο τῆς θείας φύσεως;

Β. Ὅμως λέγεται ὅτι ὁ Πατέρας ἔδωσε στὸν Υἱὸ τὴ ζωή.

Α. Πρόσθεσε τὸν χρόνο κατὰ τὸν ὁποῖο τὴν ἔδωσε, καὶ θὰ λυθεῖ τὸ ζήτημα. Γιατί, ὅταν ἔγινε σὰν ἐμᾶς, τότε λέγεται ὅτι ζωοποιήθηκε, μολονότι ὁ ἴδιος ἦταν κατὰ φύση ζωή, ὡς προερχόμενος ἀπὸ τὸν Θεὸ καὶ τὴ ζωή. Ἄλλωστε, ὅταν λέγεται ὅτι ὁ Πατέρας χορήγησε στὸν Υἱὸ τὴ ζωὴ ἐπειδὴ δὲν τὴν εἶχε, μπορεῖ κανείς, καὶ μάλιστα χωρὶς κόπο, νὰ δεῖ ὅτι ὁ Υἱὸς εἶναι χορηγὸς τῆς ζωῆς στὸν ἑαυτό του, καὶ ὄχι ἐπειδὴ νοεῖται ὡς Θεός, ἀλλ' ἐπειδὴ ἔγινε ἄνθρωπος, στὸν ὁποῖο ἡ ζωὴ εἶναι δοτὴ καὶ εἰσαγόμενη ἀπ' ἔξω. Γιατὶ ὁ μακάριος Παῦλος εἶπε· «Ἐὰν τὸ Πνεῦμα ἐκείνου ποὺ ἀνέστησε τὸν Ἰησοῦ ἀπὸ τοὺς νεκροὺς κατοικεῖ μέσα σας, τότε ἐκεῖνος ποὺ ἀνέστησε ἀπὸ τοὺς νεκροὺς τὸν Ἰησοῦ Χριστό, θὰ δώσει ζωὴ καὶ στὰ θνητὰ σώματά σας, διὰ τοῦ Πνεύματός του ποὺ κατοικεῖ μέσα σας»[65]. Ὅμως ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ἀποδίδοντας τὴ χορήγηση τῆς ζωῆς ὄχι στὶς ἐνέργειες ἄλλου, ἀλλὰ στὶς δικές του, λέγει στοὺς Ἰουδαίους γιὰ τὸ σῶμα του· «Γκρεμίστε τὸν ναὸ αὐτόν, καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[66].

Β. Πῶς λοιπὸν ἔδωσε ὁ Πατέρας τὴ ζωὴ στὸν Υἱό, ἐφόσον ὁ Χριστὸς ἀναστήθηκε μὲ τὶς δικές του δυνάμεις καὶ ἐνέργειες;

Α. Ἐπειδὴ ὁ Πατέρας εἶναι ζωή, προῆλθε ζωὴ ἀπὸ αὐτὸν κατὰ φύση καὶ πραγματικὰ ὁ Υἱός, φανερώνοντας τὴν οὐσία αὐτοῦ ποὺ τὸν γέννησε, καὶ εὑρισκόμενος ὁλόκληρος μέσα στὸν Πατέρα, ἔχοντας ὅμως μέσα του ὁλόκληρο τὸν Πατέρα. Ἔτσι δηλαδὴ λέμε τὴν ἐνέργεια τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ, καὶ αὐτὸ ποὺ κάνει ὁ Υἱός, τὸ ἴδιο εἶναι ἐνέργεια καὶ τοῦ Πατέρα. Γι' αὐτό, δείχνοντας ὅτι ἡ ἐνέργεια τοῦ Πατέρα εἶναι δική του, καὶ παραθέτοντας φανερὴ δήλωση

66. Ἰω. 2, 19.

*τητος μήνυσιν ἐναργῆ τοῖς φιλομαθέσι παρατιθείς, «Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι», φησίν, «εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύετε». Ὁτὲ δὲ αὖ· «Ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός». Οὐ γὰρ δὴ χρῆναι πρέπειν τοῖς τῆς ἀνθρωπότητος μέτροις τὰ θεοπρεπῶς εἰργασμένα διενοεῖτό που, τῇ δέ γε ἀρρήτῳ καὶ ὑπὲρ νοῦν ἀνετίθει φύσει· διά τοι τοῦτό φησι· «Κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε». Τὰ γάρ τοι θεοπρεπῶς καὶ ὑπὲρ λόγον ἐξειργασμένα τοῖς τῆς κενώσεως μέτροις ἐμφιλοχωρεῖν οὐκ ἐᾷ τὴν ἐπ' αὐτῷ δόξαν τε καὶ πίστιν, αἴρεται δὲ ὥσπερ ὑψοῦ, καὶ ἄνθρωπος μὲν οὔτι που ψιλός, Θεὸς δὲ ἔτι καὶ ἐκ Θεοῦ γινώσκεται. Ἦ οὐκ ἀληθὲς ὅ φημι;*

*Β. Πάνυ μὲν οὖν.*

*Α. Ἀλλά με μικροῦ καὶ τόδε παριππεῦσαν ᾤχετο.*

*Β. Τὸ ποῖόν τι φῄς;*

*Α. Τὸ παροισθὲν ἀρτίως τοῦ Παύλου λόγιον, ἐν ᾧ καὶ μάλα σαφὴς ἡ δίδαξις ἦν ὡς διὰ τοῦ ἁγίου Πνεύματος ἡ παρὰ Πατρὸς ζωοποίησις ἔν τε αὐτῷ τῷ Χριστῷ καὶ ἐν ἡμῖν ἐκπράττεται. Ἔφη γὰρ ὅτι «Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος ἐκ νεκρῶν Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν Χριστὸν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν». Διὰ Πνεύματος οὖν ἄρα ζωοποιὸς ὁ Πατήρ, οὐχ ὡς διὰ κτίσματος ζωογονῶν τὴν κτίσιν, ἀλλ' ὡς ἐν μεθέξει φύσεως τῆς ἰδίας εἰς τὴν ἑαυτοῦ μεταπλάττων ζωὴν τὸ ζωήν, οὐκ ἔχον ἐν ἰδίᾳ φύσει. Δοτὸν γάρ που φαῖεν ἄν, οἶδ' ὅτι, τῇ κτίσει τὸ ζῆν.*

*Β. Φαῖεν γὰρ ἄν, ἐρήσεται δὲ καὶ πρὸς ἡμῶν αὐτῇ· «Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες;».*

*Α. Ζωοποιὸν οὖν ἄρα τὸ Πνεῦμα τὸ ἅγιον, οὗ καὶ λαχόντες τὴν μέθεξιν, Θεοῦ τοῦ μόνου καὶ ἀληθινοῦ μετελάχομεν, ὡς ζωῆς.*

---

67. Ἰω. 10, 37-38.
68. Ἰω. 14, 10.

ὅτι σὲ ὅλα οἱ ἐνέργειές του εἶναι ἴσες λόγω τῆς ὁμοουσιότητας πρὸς τὸν Πατέρα, λέγει· «Ἐὰν δὲν κάνω τὰ ἔργα τοῦ Πατέρα μου, μὴ μὲ πιστεύετε· ἐὰν ὅμως τὰ κάνω, τότε, καὶ ἂν ἀκόμα δὲν πιστεύετε σὲ μένα, πιστέψατε στὰ ἔργα μου»[67]. Ἄλλοτε πάλι· «Ἀλλὰ ὁ Πατέρας ποὺ μένει μέσα μου, αὐτὸς κάνει τὰ ἔργα»[68]. Ἐπειδὴ δηλαδὴ σκεφτόταν ὅτι δὲν πρέπει, αὐτὰ ποὺ ἔγιναν κατὰ τρόπο ποὺ ταιριάζει στὸν Θεό, νὰ ἀποδίδονται στὰ ἀνθρώπινα μέτρα, γι᾽ αὐτὸ τὰ ἀπέδιδε στὴ φύση ποὺ ξεπερνάει τὸν νοῦ· γι᾽ αὐτὸ καὶ λέγει· «Καὶ ἂν ἀκόμα δὲν πιστεύετε σὲ μένα, πιστέψατε στὰ ἔργα μου». Γιατὶ αὐτὰ ποὺ ἔχουν γίνει ὅπως ταιριάζει σὲ Θεὸ καὶ εἶναι πάνω ἀπὸ τὴ λογική, δὲν ἀφήνουν νὰ εἰσχωρήσει στὰ μέτρα τῆς κενώσεως ἡ δόξα καὶ ἡ πίστη σ᾽ αὐτόν, σηκώνεται κατὰ κάποιο τρόπο ψηλά, καὶ δὲν γνωρίζεται πιὰ ἁπλὸς ἄνθρωπος, ἀλλὰ Θεὸς ποὺ προῆλθε ἀπὸ Θεόν. Ἢ μήπως δὲν εἶναι ἀλήθεια αὐτὸ ποὺ λέγω;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ὅμως γιὰ λίγο μοῦ πέρασε κι᾽ αὐτὸ καὶ ἔφυγε.

Β. Ποιὸ ἐννοεῖς;

Α. Τὸ χωρίο τοῦ Παύλου ποὺ ἀναφέρθηκε πρὶν ἀπὸ λίγο, στὸ ὁποῖο ἦταν σαφὴς ἡ διδασκαλία, ὅτι ἡ χορήγηση τῆς ζωῆς ἀπὸ τὸν Πατέρα καὶ στὸν Χριστὸ καὶ σὲ μᾶς γίνεται διὰ τοῦ ἁγίου Πνεύματος. Γιατὶ εἶπε· «Ἐὰν τὸ Πνεῦμα ἐκείνου ποὺ ἀνέστησε ἀπὸ τοὺς νεκροὺς τὸν Ἰησοῦ κατοικεῖ μέσα σας, αὐτὸς ποὺ ἀνέστησε τὸν Ἰησοῦ Χριστὸ ἀπὸ τοὺς νεκρούς, θὰ ζωογονήσει καὶ τὰ νεκρὰ σώματά σας διὰ τοῦ Πνεύματός του ποὺ κατοικεῖ μέσα σας»[69]. Ἑπομένως ὁ Πατέρας χορηγεῖ τὴ ζωὴ διὰ τοῦ Πνεύματος, χωρὶς νὰ ζωογονεῖ τὴν κτίση διὰ κτίσματος, ἀλλ᾽ ἐπειδὴ μὲ τὴ συμμετοχὴ τῆς κτίσεως στὴ δική του φύση μετασχηματίζει στὴ δική του ζωὴ αὐτὸ ποὺ δὲν ἔχει ζωὴ στὴ δική του φύση. Γιατὶ γνωρίζω πὼς λένε ὅτι ἡ ζωὴ στὴν κτίση εἶναι δοτή.

Β. Τὸ λένε, ἀλλὰ λέγεται καὶ ἀπὸ μᾶς γι᾽ αὐτήν· γιατὶ λέγε· «Τί ἔχεις ποὺ δὲν τὸ ἔχεις λάβει;»[70].

Α. Ἄρα λοιπὸν τὸ ἅγιο Πνεῦμα εἶναι ζωοποιό, καὶ ὅταν μετέχουμε αὐτοῦ, γινόμαστε μέτοχοι τοῦ μόνου καὶ ἀληθινοῦ Θεοῦ, ποὺ εἶναι ζωή.

---

69. Ρωμ. 8,11.

70. Α΄. Κορ. 4,7.

*Β. Σύμφημι. Φρονεῖς γὰρ ὀρθῶς, ἐπείτοι καὶ ἐν ἡμῖν αὐτοῖς τὴν Θεοῦ μέθεξίν τε καὶ παρουσίαν τὸ Πνεῦμα πληροῖ. Διαμεμνήσομαι γὰρ Ἰωάννου γράφοντος ὡδί· «Ἐκ τούτου γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ ἔδωκεν ἡμῖν».*

*Α. Ἄθρει δὴ οὖν, ὦ ἑταῖρε, τοῦ θείου τε καὶ ζωοποιοῦ Πνεύματος χορηγὸν καὶ δοτῆρα, τὸν ἐκ Θεοῦ πεφηνότα Υἱόν. Ἐνεφύσησε γὰρ τοῖς μαθηταῖς αὐτοῦ λέγων· «Λάβετε Πνεῦμα ἅγιον». Εἶτα πῶς οὐκ ἂν γένοιτο τῶν λίαν ἀπηχεστάτων ζωῆς ὑπάρχειν χορηγὸν τὸν οὐκ ὄντα ζωήν, κατά γε τὸ ἐκείνοις οὐκ οἶδ' ὅπως δοκοῦν; Καίτοι τί δήποτε, φαίην ἂν εἰκότως, εἴπερ ἐστὶν οὐ ζωή, ὡς ἴδιον ἀγαθὸν ἐνίησί τε τὸ Πνεῦμα, καὶ τρόπῳ τῷ κατὰ τὴν ἐκφύσησιν χορηγὸν ὄντα ζωῆς ἑαυτὸν ἀποφαίνει; Ὅταν τοίνυν λέγηται ζωῆς μέτοχος ὁ Υἱός, ἤγουν ὅτι ζωοποιεῖται παρὰ τοῦ Πατρός, τὴν θείαν εὐθὺς ἀναλογίζου φύσιν ὅλην ὥσπερ ἐν Πατρὶ νοουμένην, ἐν ᾧ καὶ ἐξ οὗ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ζωοποιὸν τοῖς εἰσκεκριμένην ἔχουσι τὴν ζωὴν τὴν ζωοποίησιν ἐνεργοῦν, οὐχ ὡς τῆς ἀρρήτου φύσεως ὄργανον, ἀλλ' οἱονεί πως ὅλην αὐτῆς τὴν ποιότητα δι' ἑαυτοῦ τῇ κτίσει δωρούμενον, καὶ ἀναμορφοῦν εὖ μάλα τὸ φθείρεσθαι πεφυκὸς εἰς μακραίωνα βίον. Ἐννοίαις δὲ ταῖς εἰς τοῦτο σεσοφισμένος, τὴν ἐν Χριστῷ ζωοποίησιν ἐνηργημένην εὑρήσεις εἴς γε δὴ μόνον τὸ ζωοποιεῖσθαι πεφυκός, τουτέστι τὸ ἀνθρώπινον. Ὁ γὰρ ἐκ Πατρὸς ἀληθῶς καὶ μονογενὴς διὰ τοῦ ἰδίου Πνεύματος τῆς ἑαυτοῦ σαρκὸς ἀπεσόβει τὴν φθοράν, καὶ θανάτου κρείττονα τὸν οἰκεῖον ἀπετέλει ναόν. Ὅτι γὰρ ἡ Θεός τέ ἐστι καὶ ἐξ αὐτῆς ἀνέφυ τῆς κατὰ φύσιν ζωῆς, δῆλον δὲ ὅτι τοῦ Πατρός, ζωὴ καὶ αὐτὸς κατὰ φύσιν ἐστί, μάρτυς ἂν γένοιτο περιφανής τε καὶ ἀληθὴς ὁ θεσπέσιος Ἰωάννης. Γράφει γὰρ ὧδε περὶ αὐτοῦ· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ Λόγου τῆς ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα καὶ ἐφανερώθη ἡμῖν». Σαφέστερον δὲ καθιστὰς τὸ τίς ἂν εἴη λοιπὸν ἢ πρὸς*

---

71. Α' Ἰω. 4,13. 72. Ἰω. 20,22.

Β. Συμφωνῶ. Γιατὶ πιστεύεις σωστά, ἀφοῦ καὶ σὲ μᾶς τοὺς ἴδιους τὴ μέθεξη καὶ παρουσία τοῦ Θεοῦ τὴν ἐκπληρώνει τὸ Πνεῦμα. Γιατὶ θυμᾶμαι τὸν Ἰώαννη ποὺ γράφει τὰ ἑξῆς· «Ἀπὸ αὐτὸ γνωρίζουμε ὅτι βρίσκεται μέσα μας, ἐπειδὴ μᾶς ἔδωσε ἀπὸ τὸ Πνεῦμα του»[71].

Α. Πρόσεχε λοιπόν, φίλε, ὅτι χορηγὸς καὶ δότης τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος εἶναι ὁ Υἱὸς ποὺ προῆλθε ἀπὸ τὸν Θεό. Γιατὶ ἐμφύσησε στοὺς μαθητές του, λέγοντας· «Λάβετε Πνεῦμα ἅγιο»[72]. Πῶς λοιπὸν δὲν θὰ ἦταν ἀπὸ τὰ πιὸ ἀνήκουστα, νὰ χορηγεῖ ζωὴ αὐτὸς ποὺ δὲν εἶναι ζωή, ὅπως πιστεύουν ἐκεῖνοι, χωρὶς νὰ ξέρω τὸ γιατί; Καὶ γιατί, θὰ ἔλεγα εὔλογα, ἀφοῦ δὲν εἶναι ζωή, χορηγεῖ τὸ Πνεῦμα σὰν δικό του ἀγαθό, καὶ μὲ τὸν τρόπο τοῦ φυσήματος ἐμφανίζει τὸν ἑαυτό του ὅτι εἶναι χορηγὸς ζωῆς; Ὅταν λοιπὸν ὁ Υἱὸς λέγεται μέτοχος ζωῆς, ἢ ὅτι ζωοποιεῖται ἀπὸ τὸν Πατέρα, νὰ σκέφτεσαι ἀμέσως ὅτι μὲ τὸν Πατέρα νοεῖται ὅλη ἡ θεία φύση, μέσα στὸν ὁποῖο καὶ ἀπὸ τὸν ὁποῖο Πατέρα, καὶ ὁ Υἱὸς καὶ τὸ ζωοποιὸ Πνεῦμα, τὸ ὁποῖο ἐνεργεῖ τὴ ζωοποίηση σ' αὐτοὺς ποὺ ἔχουν τὴ ζωὴ πρόσθετη, ὄχι σὰν ὄργανο τῆς ἀπερίγραπτης φύσεως, ἀλλὰ δωρίζοντας στὴν κτίση ὅλη κατὰ κάποιο τρόπο τὴν ποιότητα τῆς ζωῆς διὰ τοῦ ἑαυτοῦ του, καὶ μεταμορφώνοντας αὐτὸ ποὺ ἀπὸ τὴ φύση του εἶναι φθαρτὸ σὲ μακραίωνα ζωή. Καὶ ἐπειδὴ εἶσαι σοφὸς στὶς ἔννοιες αὐτές, θὰ βρεῖς τὴ ζωοποίηση στὸν Χριστὸ νὰ γίνεται μόνο σ' ἐκεῖνο ποὺ ἀπὸ τὴ φύση του ζωογονεῖται, δηλαδὴ στὸ ἀνθρώπινο. Γιατὶ ὁ Μονογενὴς ποὺ προῆλθε ἀληθινὰ ἀπὸ τὸν Πατέρα, ἀπέφευγε τὴ φθορὰ τῆς σάρκας του διὰ τοῦ δικοῦ του Πνεύματος, καὶ ἀναδείκνυε ἀνώτερο τοῦ θανάτου τὸν δικό του ναό. Ὅτι ὅμως εἶναι Θεὸς ἀληθινὸς καὶ προῆλθε ἀπὸ τὴν ἴδια τὴν κατὰ φύση ζωή, δηλαδὴ τὸν Πατέρα, καὶ εἶναι καὶ αὐτὸς κατὰ φύση ζωή, μάρτυρας ἀληθινὸς καὶ περίφημος θὰ μποροῦσε νὰ γίνει ὁ θεσπέσιος Ἰωάννης, ὁ ὁποῖος γράφει γι' αὐτὸν τὰ ἑξῆς· «Ἐκεῖνο ποὺ ὑπῆρχε ἀπὸ τὴν ἀρχή, ἐκεῖνο ποὺ ἀκούσαμε, ἐκεῖνο ποὺ εἴδαμε μὲ τὰ μάτια μας, ἐκεῖνο ποὺ παρατηρήσαμε καὶ ψηλάφησαν τὰ χέρια μας, δηλαδὴ γιὰ τὸν Λόγο τῆς ζωῆς, καὶ ἡ ζωὴ φανερώθηκε καὶ τὴν εἴδαμε καὶ σᾶς τὸ ἐπιβεβαιώνουμε καὶ σᾶς κηρύττουμε τὴν αἰώνια ζωή, ἡ ὁποία ἦταν μὲ τὸν Πατέρα καὶ φανερώθηκε σὲ μᾶς»[73]. Καὶ κάνοντας πιὸ σαφὲς ποιὰ

73. Α΄ Ἰω. 1,1-3.

*αὐτοῦ κεκλημένη ζωή, πάλιν φησί· «Καὶ οἴδαμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει· καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν, καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος». Ποῦ γὰρ ὅλως ἢ πῶς ἂν νοοῖτο καὶ ὑπάρχων ἀπ᾽ ἀρχῆς καὶ Θεὸς ἀληθινός, εἰ μὴ τοῦ κεκλῆσθαι πρὸς ὕπαρξιν πρεσβύτερόν τε καὶ ἀνωτάτω τὸ εἶναί τε ἀεὶ καὶ ὡσαύτως ἔχειν λαχών; Ζωὴ γὰρ κατὰ φύσιν ὑπάρχων, τότε δή, τότε πρεπόντως ἐπιγινώσκεται. Θεῷ γάρ που τῷ ἀληθινῷ, τὸ ὧδέ τε εἶναι πρέποι ἄν, καὶ διαμαχεῖται τὸ ἔμπαλιν, καὶ γοῦν ὄνομα τὸ Ὢν αὐτῷ· «Ἐγώ», γάρ, ἔφασκεν, «εἰμὶ ὁ Ὤν, τοῦτό μού ἐστιν ὄνομα καὶ μνημόσυνον αἰώνιον γενεῶν γενεαῖς».*

*Β. Ἀλλ᾽ εἰ χαρίζῃ, φησί, τὴν Πατρὸς ἐνέργειαν τῷ Υἱῷ, καὶ τοῦτο ἀπαραλλάκτως, ἰσοσθενῆ τε εἶναι φῄς, ποῦ τὸ μεῖον ἔτι τηρήσεις αὐτῷ, καίτοι λέγοντι σαφῶς, «Ὁ Πατήρ μου μείζων μού ἐστι», καὶ πάλιν, «Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν»; Ἤδει γὰρ ὄντα Θεὸν ἑαυτοῦ τὸν Πατέρα.*

*Α. Οὐκοῦν, εἰ μὴ φύσει καὶ ἀληθῶς Θεὸν εἶναι πεπιστεύκασι τὸν Υἱόν, κτίσμα που πάντως καὶ ἕτερον παρὰ τοῦτο οὐδὲν εἴη ἄν. Ἐπὶ δέ γε τοῖς ὧδε φρονεῖν ᾑρημένοις, οἶμαι δὴ πρέπειν ἐκεῖνο εἰπεῖν· «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαὸν τοῦτον ἡμέρας καὶ νυκτός;». Ἐπιφωνείτω δὲ πᾶς αὐτοῖς φιλόθεός τε καὶ εὐσεβής· «Ἀπηλλοτριώθητε ἀπὸ Χριστοῦ, τῆς χάριτος ἐξεπέσετε». Μερὶς δὲ καὶ κλῆρος ὑμῖν Θεὸς μὲν οὐκέτι, πολλοῦ γε καὶ δεῖ, νόθος δέ τις ἁπλῶς καὶ ψευδώνυμος, κατάπλαστον ἔχων τὴν τῆς θεότητος δόξαν. Λελατρεύκασιν ἀληθῶς τῇ κτίσει παρὰ τὸν κτίσαντα, διὰ τοῦτο καὶ ἐν μείοσιν ἢ ἐν οἷς ὁ Πατὴρ καὶ ἐπακτὸν ἔχειν τὴν ζωήν, μᾶλλον δὲ καὶ ἐν οἷς ἡ ζωὴν ἰδίαν οὐκ ἔχουσα κτίσις, πεπιστεύκασι τὸν Υἱόν. Εἶτα τί προσκυνεῖν ἐγνώκασιν ὃν τοῖς τῆς κτίσεως ἐγκαταδεσμοῦσι μέτροις, καὶ τῆς κατὰ πάντων οὐσιώδους*

---

74. Α' Ἰω. 5,20. 75. Ἔξ. 3,14-15. 76. Ἰω. 14,28.

μπορεῖ νὰ εἶναι αὐτὴ ποὺ ἀπ' αὐτὸν ὀνομάζεται ζωή, λέγει πάλι· «Καὶ γνωρίζουμε ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἔχει ἔρθει· καὶ μᾶς ἔδωσε νοῦ γιὰ νὰ γνωρίζουμε τὸν ἀληθινὸ Θεό, καὶ εἴμαστε μέσα στὸν ἀληθινὸ Θεό, τὸν Υἱό του Ἰησοῦ Χριστό. Αὐτὸς εἶναι ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνια»[74]. Ποῦ δηλαδὴ γενικὰ καὶ πῶς μπορεῖ νὰ νοηθεῖ ὅτι ὑπάρχει ἀπὸ τὴν ἀρχὴ καὶ εἶναι Θεὸς ἀληθινός, ἐὰν δὲν ἔχει μεγαλύτερο στὴν ἡλικία καὶ ἀνώτατο τὸ ὅτι ὑπάρχει πάντοτε καὶ ἀμετάβλητα, ἀπὸ τότε ποὺ κλήθηκε στὴν ὕπαρξη; Γιατὶ τότε ἀκριβῶς ἀναγνωρίζεται ὅτι εἶναι ζωὴ κατὰ φύση, ὅπως τοῦ πρέπει. Καθόσον στὸν ἀληθινὸ Θεὸ ταιριάζει νὰ εἶναι ἔτσι, καὶ θὰ δεχθεῖ πάλι τὴν ὑποστήριξη ἀπὸ τὸ ὄνομά του Ὤν· γιατὶ ἔλεγε· «Ἐγώ εἶμαι ὁ Ὤν (αὐτὸς ποὺ ὑπάρχει)· αὐτὸ εἶναι τὸ ὄνομά μου καὶ θὰ μνημονεύεται αἰώνια σ' ὅλες τὶς γενεές»[75].

Β. Ἀλλὰ ἐὰν χαρίζει, λέγει, τὴν ἐνέργεια στὸν Υἱό, καὶ μάλιστα ἀπαράλλακτα, καὶ λὲς ὅτι εἶναι ἰσοδύναμος, ποῦ τότε θὰ τηρήσεις τὸ ὅτι εἶναι κατώτερος, ἀφοῦ λέγει καθαρά· «Ὁ Πατέρας μου εἶναι ἀνώτερός μου»[76], καὶ πάλι, «Πηγαίνω στὸν Πατέρα μου καὶ Πατέρα σας, καὶ Θεό μου καὶ Θεό σας»[77]; Γιατὶ γνώριζε ὅτι ὁ Πατέρας του εἶναι Θεός.

Α. Λοιπόν, ἐὰν πιστεύουν ὅτι ὁ Υἱὸς δὲν εἶναι κατὰ φύση καὶ ἀληθινὸς Θεός, ὁπωσδήποτε πάντως δὲν ὑπάρχει κανένα ἄλλο κτίσμα τέτοιο σὰν αὐτόν. Ὅμως σ' αὐτοὺς ποὺ προτίμησαν νὰ πιστεύουν ἔτσι, νομίζω πὼς πρέπει νὰ ποῦμε καὶ ἐκεῖνο· «Ποιὸς θὰ δώσει στὸ κεφάλι μου νερὸ καὶ στὰ μάτια μου πηγὴ δακρύων, γιὰ νὰ κλάψω τὸν λαό μου αὐτὸν μέρα καὶ νύχτα;»[78]. Καὶ ἂς ἀναφωνεῖ σ' αὐτοὺς κάθε φιλόθεος καὶ εὐσεβής· «Ἀποξενωθήκατε ἀπὸ τὸν Χριστό, ἐκπέσατε ἀπὸ τὴ χάρη του»[79]. Καὶ δὲν εἶναι πιὰ μερίδιο καὶ κληρονομιά σας ὁ Θεός (πολὺ ἀπέχει αὐτὸ ἀπὸ τὴν ἀλήθεια), ἀλλὰ κάποιος νόθος γενικὰ καὶ ψεύτικος Θεός, ὁ ὁποῖος ἔχει πλαστὴ τὴ δόξα τῆς θεότητας. Λάτρευσαν πραγματικὰ τὴν κτίση καὶ ὄχι τὸν κτίστη, γι' αὐτὸ καὶ πίστεψαν ὅτι ὁ Υἱὸς συγκαταλέγεται μεταξὺ τῶν κατωτέρων, καὶ ὄχι μεταξὺ ἐκείνων ποὺ ἀποτελοῦν τὴν κτίση, ἡ ὁποία δὲν ἔχει δική της ζωή. Τότε γιατί προσκυνοῦν αὐτὸν ποὺ τὸν περιορίζουν στὰ μέτρα τῆς κτίσεως, καὶ ἀσεβώντας τοῦ ἀφαιροῦν τὴν

---

77. Ἰω. 20,17. 78. Ἰερ. 9,1. 79. Γαλ. 5,4.

*ὑπεροχῆς δυσσεβοῦντες ἀπαλλάττουσι, καίτοι λέγοντος Ἰωάννου σαφῶς, «Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν»; Οὐ γὰρ δὴ ταῖς κατὰ σύγκρισιν ὑπεροχαῖς τὸ ἐπάνω πάντων ὁ Υἱὸς κεκτήσεται· ἐπειδὴ δὲ ἐν τῷ πάντα εἰπεῖν, γενητοῦ παντὸς εἰσφέρεται δήλωσις, ὑπερανεστήξει τὰ πάντα τὸ τελεῖν ἐν κτίσμασιν οὐδαμόθεν ἔχων ὡς ἴδιον ὁ Υἱός· ἐπεὶ μὴ ἐν τοῖς πᾶσίν ἐστιν, ἀλλ' ἐπάνω πάντων ἐξῃρημένως, διὰ τὸ εἰς λῆξιν ἰέναι τὴν ἀνωτάτω λοιπόν, ἧς ἐπέκεινα παντελῶς οὐδέν. Ἦ οὐχὶ Θεὸς τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καθὰ καὶ ὁ θεῖος ἡμῖν ἔφη Παῦλος;*

*Β. Ναί.*

*Α. Τοῦτο δὲ ἦν ὁ Υἱός· «Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος».*

*Β. Τί οὖν ἐροῦμεν εἰ φαῖεν ὅτι γέγραπται περὶ τοῦ Πατρός, ὅτι «ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»;*

*Α. Ἀλλ' εἰ προσθεῖεν ἡμῖν, ὦ Ἑρμεία, τὸ ἀναμαθεῖν ἐθέλειν ὅπῃ τε καὶ ὅπως εἰσποίητον ἔχει τὸ εἶναι Θεὸς ὁ Υἱός, καίτοι κατὰ φύσιν καὶ αὐτῷ τῷ εἶναι συμπαρομαρτοῦν τὸ ἀξίωμα λαχών, αὐτόθεν, οἶμαί που, καταβαλοῦσι, καὶ τὸ δύσερι μεθέντες ὡς νόσον ἀποπληξίας, ἀποπεπαύσονται μὲν τὴν ἄρρητον τοῦ Υἱοῦ συκοφαντοῦντες οὐσίαν, φρονεῖν δ' ἂν ἕλοιντο μεθ' ἡμῶν ὀρθά. Ἀλλ' ἐκεῖνοι μέν, κατὰ τὸ εἰκός, ἐνστήσονται ταῖς σφῶν αὐτῶν ἐπαμύνοντες δόξαις καὶ τοῦ ψεύδους ὑπερμαχόμενοι καὶ προεστηκότες γεννικῶς οὐ προθυμίαις, οἶμαι, δευτέραις, ἢ αἴσπερ ἂν ἕλοιντό τινες τοῖς ἐθέλουσι καταδηλοῦν τὸν πολέμου καὶ μάχης ὁπλίζεσθαι νόμον πρό τε παίδων καὶ πρὸ γυναικῶν. Ἡμᾶς δὲ ἀνάγκη, λεπτοεπεῖν ᾑρημένους, ἀνασκαλεύειν τὰ κεκρυμμένα, καὶ τὴν τοῖς ἀμαθεστέροις οὐ ῥᾳδίαν ἑλεῖν ἀπογυμνοῦν ἀλήθειαν.*

*Β. Εὖ λέγεις.*

*Α. Ἔφη τοίνυν ἡμῖν ὁ θεσπέσιος Παῦλος περὶ τοῦ Μονογενοῦς· «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο*

---

80. Ἰω. 3, 31.
81. Φιλιππ. 2, 9.

ὑπεροχὴ τῆς οὐσίας του ἀπὸ ὅλα τά κτίσματα; Καὶ ὅμως ὁ Ἰωάννης λέγει μὲ σαφήνεια· «Αὐτὸς ποὺ ἔρχεται ἀπὸ πάνω, εἶναι πάνω ἀπὸ ὅλα»[80]. Καὶ βέβαια ὁ Υἱὸς δὲν ἔχει τὴ θέση πάνω ἀπὸ ὅλα συγκρινόμενος πρὸς αὐτὰ ὡς πρὸς τὶς ὑπεροχές του. Καὶ ἐπειδὴ λέγοντας «πάνω ἀπὸ ὅλα», ἐννοεῖ κάθε κτιστό, ὑπερέχει ἀπὸ ὅλα, καὶ δὲν ἔχει ἀπὸ πουθενά ὡς ἰδιαίτερο γνώρισμά του ὁ Υἱὸς τὸ νὰ συγκαταλέγεται μεταξὺ τῶν κτισμάτων. Ἀφοῦ δὲν συγκαταλέγεται ἀνάμεσα σέ ὅλα, ἀλλὰ πάνω ἀπὸ ὅλα ξεχωριστά, ἐπειδὴ ἀνέβηκε στὸ ἀνώτατο ὅριο, πέρα ἀπὸ τὸ ὁποῖο δὲν ὑπάρχει ἐντελῶς τίποτε. Ἢ μήπως δὲν εἶναι Θεὸς τὸ ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα[81], ὅπως μᾶς εἶπε καὶ ὁ Παῦλος;

Β. Ναί.

Α. Καὶ αὐτὸ ἦταν ὁ Υἱός· γιατὶ λέγει· «Στὴν ἀρχὴ ὑπῆρχε ὁ Λόγος, καὶ ὁ Λόγος ἦταν κοντὰ στὸν Θεό, καὶ Θεὸς ἦταν ὁ Λόγος»[82].

Β. Τί θὰ ποῦμε λοιπόν, ἐὰν ποῦν ὅτι εἶναι γραμμένο γιὰ τὸν Πατέρα, ὅτι τοῦ χάρισε ὄνομα ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα;

Α. Ἐὰν μᾶς ποῦν, Ἑρμεία, αὐτὸ ποὺ θέλουμε νά μάθουμε, ἀπὸ ποῦ καὶ μὲ ποιὸν τρόπο ὁ Υἱὸς ἔχει μὲ υἱοθεσία τὸ νὰ εἶναι Θεός, ἂν καὶ ἔχει κατὰ φύση ἐπακόλουθο τὸ ἀξίωμα τῆς ὑπάρξεώς του, ἀμέσως, νομίζω, θὰ τὸ λησμονήσουν, καὶ ἀφήνοντας τὴ φιλόνεικη διάθεση σάν ἀρρώστια ἀποπληξίας, θά παύσουν νὰ συκοφαντοῦν τὴν ἀπερίγραπτη οὐσία τοῦ Υἱοῦ, καὶ θὰ θελήσουν νὰ πιστέψουν μαζὶ μὲ μᾶς σωστά. Ἀλλ' ἐκεῖνοι βέβαια, ὅπως εἶναι φυσικό, θὰ ἀντισταθοῦν ὑποστηρίζοντας τὶς δικές τους ἀντιλήψεις, καὶ μαχόμενοι γιὰ τὸ ψέμα καὶ πρωτοστατώντας γενναῖα, ὄχι μὲ προθυμία δευτερεύουσα, νομίζω, ἀλλὰ τέτοια μὲ τὴν ὁποία συνηθίζουν νὰ ὁπλίζονται κάποιοι, σύμφωνα μὲ τὸν νόμο τοῦ πολέμου καὶ τῆς μάχης, καὶ ὑπὲρ τῶν παιδιῶν καὶ τῶν γυναικῶν. Ἐμεῖς ὅμως ποὺ προτιμήσαμε λεπτομερῆ ἐξέταση, εἶναι ἀνάγκη νὰ ἀνασκάψουμε ὅσα εἶναι κρυμμένα, καὶ νὰ προσπαθήσουμε νὰ ἀποκαλύψουμε στοὺς ἀμαθεῖς ὅτι ἡ ἀλήθεια δὲν εἶναι εὔκολη.

Β. Καλὰ τὰ λές.

Α. Μᾶς εἶπε λοιπὸν ὁ θεσπέσιος Παῦλος γιὰ τὸν Μονογενῆ· «Αὐτός, ἂν καὶ εἶχε θεϊκὴ ὕπαρξη, δὲν θεώρησε κάτι σὰν ἁρπαγὴ τὸ

---

82. Ἰω. 1,1.

*τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός». Ἆρ' οὖν οὐχὶ καὶ αὐτὸς ἡμῖν ὁ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου καιρός, εἴπερ ἕλοι ποθὲν τὸ ἀνακεκραγεῖν δύνασθαι, τοῖς οὔπω νενοηκόσιν ἀναφανδὸν ἐρεῖ ὡς οὐχ ᾗπερ ἂν νοοῖτο Θεὸς ὢν ὁ Λόγος, ἀλλ' ᾗ πέφηνεν ἄνθρωπος εἰς τὴν τῆς θεότητος ἀναπεφοίτηκε δόξαν, καὶ μετὰ σαρκός, καὶ ὅτε κεκένωκέ τε καὶ τεταπείνωκεν ἑαυτόν, τότε καὶ ὑψοῦσθαι λέγεται; Ἐπεὶ δίδασκε· πυθοίμην γὰρ ἂν ὡς ἥδιστά σου καὶ ἐρομένῳ φράσον.*

*Β. Τὸ τί δὴ φής;*

*Α. Κεκένωκεν ἑαυτὸν ὁ Μονογενής, καθεὶς ἐν δούλου μορφῇ, καὶ ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, καὶ γενόμενος ὑπήκοος μέχρι θανάτου. Τοιγάρτοι, φησίν, «ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων». Ἆρ' οὖν ἐν τάξει τῇ καθ' ἡμᾶς μισθὸν ἀνδραγαθημάτων καὶ δῶρον ὑπακοῆς καὶ στέφανον εὐτολμίας τὸ κεκλῆσθαι Θεὸς ἐκτήσατο καὶ τὸ προσκυνεῖσθαι δεῖν πρός τε αὐτῶν τῶν ἁγίων ἀγγέλων, ἡμῶν τε τῶν ἐπὶ γῆς καὶ τῶν ἤδη κατοιχομένων;*

*Β. Ἔοικεν.*

*Α. Οὐκοῦν (ἐρῶ γάρ δή τι μικρὰ τοῦ πρέποντος εἴς γε τὸ παρὸν φροντίσας διὰ τὸ ἀναγκαῖον), τοῖς τῶν ἐπὶ γῆς ὀλισθήμασι καὶ ταῖς ἡμῶν ἁμαρτίαις πλείστην μὲν ὅσην ἐχέτω τὴν χάριν ὁ Μονογενής. Ἴστω δὲ ὅτι πρόφασις αὐτῷ τῆς θεοποιοῦ δόξης, τῆς ἀνθρωπότητος τὰ ἐγκλήματα. Εἰ μὴ γὰρ ἡμάρτομεν, οὐκ ἂν γέ-*

84. Ἑβρ. 12, 2.

ὅτι ἦταν ἴσος μὲ τὸν Θεό, ἀλλὰ ἐκένωσε τὸν ἑαυτό του παίρνοντας μορφὴ δούλου, γενόμενος ὅμοιος μὲ τοὺς ἀνθρώπους, καὶ ἀφοῦ ὡς πρὸς τὸ σχῆμα βρέθηκε ὡς ἄνθρωπος, ταπείνωσε τὸν ἑαυτό του γενόμενος ὑπήκοος μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ. Γι' αὐτὸ καὶ ὁ Θεὸς τὸν ὑπερύψωσε καὶ τοῦ χάρισε ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε στὸ ὄνομα τοῦ Ἰησοῦ νὰ κάμψει κάθε γόνατο τῶν ἐπουρανίων, τῶν ἐπιγείων καὶ τῶν καταχθονίων, καὶ κάθε γλώσσα νὰ ὁμολογήσει, ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι Κύριος πρὸς δόξα τοῦ Θεοῦ Πατέρα». Ἄρα λοιπὸν καὶ ὁ καιρὸς τῆς ἐνανθρωπήσεως τοῦ Λόγου ὁ ἴδιος, ἐὰν μποροῦσε δὲν θὰ φώναζε δυνατά, λέγοντας ὁλοφάνερα σ' αὐτοὺς ποὺ ἔτσι σκέπτονται, ὅτι ὄχι νοούμενος ὡς Θεὸς ὁ Λόγος, ἀλλὰ ὅταν ἔγινε ἄνθρωπος, ξαναγύρισε στὴ δόξα τῆς θεότητας, καὶ ὅτι λέγεται ὅτι ὑψώθηκε ὅταν ἦταν σαρκωμένος καὶ ὅταν κένωσε καὶ ταπείνωσε τὸν ἑαυτό του; Γιατὶ αὐτὸ δίδασκε· ἀλλὰ θὰ σὲ ρωτοῦσα εὐχρίστως, καὶ ἀπάντησε στὴν ἐρώτησή μου.

Β. Τί ἐννοεῖς μ' αὐτὸ ποὺ λές;

Α. Ἐκένωσε τὸν ἑαυτό του ὁ Μονογενής, κατεβαίνοντας μὲ τὴ μορφὴ δούλου, καὶ ὑπέμεινε σταυρό, περιφρονώντας τὴ ντροπή, καὶ πειθαρχώντας μέχρι θανάτου[84]. Γι' αὐτὸ λοιπόν, λένε, ὅτι τοῦ χάρισε ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, ὥστε στὸ ὄνομα τοῦ Ἰησοῦ νὰ κάμψει κάθε γόνατο ἐπουρανίων, ἐπιγείων καὶ καταχθονίων. Ἄρα λοιπόν, ἐνῶ βρισκόταν στὴ δική μας τάξη, δέχθηκε ὡς μισθὸ τῶν ἀνδραγαθημάτων του καὶ ὡς δῶρο ὑπακοῆς καὶ στεφάνι τῆς μεγάλης τόλμης του τὸ νὰ ὀνομάζεται Θεός, καὶ νὰ προσκυνεῖται καὶ ἀπὸ τοὺς ἴδιους τοὺς ἀγγέλους καὶ ἀπὸ μᾶς ποὺ βρισκόμαστε στὴ γῆ καὶ ἀπὸ ἐκείνους ποὺ ἔχουν ἤδη πεθάνει;

Β. Ἔτσι φαίνεται.

Α. Ἐπομένως (θὰ πῶ κάτι) ἀφοῦ φρόντισε γιὰ λίγο αὐτὸ ποὺ ἔπρεπε σ' αὐτὸ τὸν κόσμο, ἐπειδὴ ἦταν ἀναγκαῖο, μὲ τὰ ὀλισθήματα τῶν ἀνθρώπων καὶ τὶς δικές μας ἁμαρτίες, ὁ Μονογενὴς[85] ἔλαβε τόσο μεγάλη χάρη. Τὰ ἁμαρτήματα δηλαδὴ τῆς ἀνθρωπότητας ἦταν γι' αὐτὸν εὐκαιρία νὰ ἀποκτήσει δόξα ποὺ τὸν ἔκανε Θεό. Γιατί, ἂν δὲν ἁμαρτάναμε, δὲν θὰ γινόταν σὰν ἐμᾶς, καὶ ἐὰν δὲν γινόταν σὰν ἐμᾶς,

85. Ἴσως ὀρθότερο «ὁμογενής», αὐτὸς δηλαδὴ ποὺ ἀνῆκε στὸ γένος μας.

*γονε καθ' ἡμᾶς· καὶ εἰ μὴ γέγονε καθ' ἡμᾶς, οὐδ' ἂν ὑπέμεινε τὸν σταυρόν· καὶ εἰ μὴ ἀπέθανεν, οὐδ' ἂν ἐκτήσατο τὸ προσκυνεῖσθαι δεῖν πρός τε ἡμῶν αὐτῶν καὶ τῶν ἁγίων ἀγγέλων.*

*Β. Θρασὺς μὲν ὁ λόγος, πλὴν ἔχει τὸ πιθανόν.*

*Α. Εἰ δὲ καὶ ἦν ἐν ἰσότητι καὶ ἐν μορφῇ τοῦ Πατρὸς τῶν τῆς κενώσεως μέτρων ἀμέτοχος ὤν, ποίαν ἂν ἔχοι δόξης ἐπίδοσιν τὸ ὄνομα λαβὼν τὸ ὑπὲρ πᾶν ὄνομα κατὰ τὸν τῆς κενώσεως χρόνον; Ἆρ' οὐ συνίῃς ὅποι ποτὲ αὐτοῖς ἀποκινδυνεύσειεν ἂν ὁ λόγος, εἰ ἐρευνῷτο λεπτότερον;*

*Β. Συνίημι.*

*Α. Βούλει δὴ οὖν, μεθέντες εἰς τὸ παρὸν τὸ ἄγαν ἰσχνολογεῖν, ἐπ' ἐκεῖνο ἴωμεν τὸ ὅτι Θεὸς ἦν ἐν ἀρχῇ καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρὸς ὁ Μονογενής, καίτοι μακρὸν ἐπὶ τούτῳ δαπανήσαντες λόγον ἔν γε τοῖς παρῳχηκόσι;*

*Β. Καὶ μάλα.*

*Α. Οὐκοῦν διὰ μὲν φωνῆς Ἠσαΐου φησὶν ὁ Θεὸς καὶ Πατήρ· «Ἐγὼ Κύριος ὁ Θεὸς ἔτι ἀπ' ἀρχῆς». Ἀνακεκραγότων δὲ καὶ αὐτῶν τῶν ἁγίων ἐπαΐοι τις ἂν πρὸς αὐτόν· «Οὐχὶ σὺ ἀπ' ἀρχῆς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐ μὴ ἀποθάνωμεν;». Ἰδοὺ Θεὸς ἀπ' ἀρχῆς κατωνόμασταί τε καὶ ἔστιν ἀληθῶς ὁ Θεὸς καὶ Πατήρ. Ὁ δέ γε θεσπέσιος Ἰωάννης, ὅτε τοὺς ἐφ' Υἱῷ πρὸς ἡμᾶς ἐποιεῖτο λόγους, «Ὃ ἦν», φησίν, «ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ Λόγου τῆς ζωῆς». Προσεφώνει δέ τισι· «Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς». Καὶ τίς δὴ οὗτός ἐστιν, αὐτὸς ἔφη πάλιν· «Τάδε λέγει ὁ ὤν, ὁ ἦν, ὁ ἐρχόμενος».*

*Β. Ἀλλ' ὅτι μὲν ἦν καὶ πρὸ τῆς κτίσεως καὶ αὐτοὶ φαῖεν ἄν, τὸ δὲ ὅτι καὶ Θεὸς ἦν, οὔπω σαφῶς διέγνωσται, φασί. Δέχεται γάρ, ὡς οὐκ ἔχων δηλονότι.*

*Α. Εἶτα πῶς οὐκ ἐπὶ καιροῦ τοῖς τὸν ἀπόπτυστον τουτονὶ προεμένους λόγον εἰκότως ἐπιστυγνάζοντες καὶ ἡμεῖς ἐροῦμεν· «Οἱ κωφοί, ἀκούσατε, καὶ οἱ τυφλοί, ἀναβλέψατε ἰδεῖν». Οὐ γὰρ*

---

86. Ἠσ. 43, 12. 86α. Ἀββακ. 1, 12. 87. Α' Ἰω. 1, 1.

δὲν θὰ σταυρωνόταν· καὶ ἐὰν δὲν πέθαινε, δὲν θὰ ἀποκτοῦσε τὸ προνόμιο νὰ προσκυνεῖται καὶ ἀπο μᾶς τοὺς ἴδιους καὶ ἀπὸ τοὺς ἁγίους ἀγγέλους.

Β. Εἶναι τολμηρὰ τὰ λόγια σου, ἀλλὰ καθόλου ἀπίθανα.

Α. Ἐφόσον ὅμως ἦταν ἴσος καὶ εἶχε τὴ μορφὴ τοῦ Πατέρα, ὅσο ἦταν ἀμέτοχος τῶν μέτρων τῆς κενώσεως, ποιὰ ἐπίδοση δόξας θὰ εἶχε, παίρνοντας τὸ ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, κατὰ τὸν χρόνο τῆς κενώσεως; Ἀντιλαμβάνεσαι λοιπὸν ποῦ κινδυνεύει νὰ τοὺς ὁδηγήσει ὁ λόγος, ἐὰν ἐρευνηθεῖ λεπτομερέστερα;

Β. Ἀντιλαμβάνομαι.

Α. Θέλεις λοιπόν, ἀφήνοντας πρὸς τὸ παρὸν τὴ λεπτολογία, νὰ ἔρθουμε στὸ ὅτι ὁ Μονογενὴς ἦταν Θεὸς στὴν ἀρχὴ τῆς δημιουργίας, καὶ εἶχε τὴ μορφὴ καὶ ἦταν ἴσος μὲ τὸν Πατέρα, ἂν καὶ ἀφιερώσαμε πολὺ λόγο στὸ θέμα αὐτὸ καὶ στὰ προηγούμενα;

Β. Καὶ πάρα πολὺ βέβαια.

Α. Λοιπὸν μὲ τὴ φωνὴ τὸ Ἠσαΐα λέγει ὁ Θεὸς καὶ Πατέρας· «Ἐγὼ εἶμαι Κύριος ὁ Θεὸς ἤδη ἀπὸ τὴν ἀρχή»[86]. Ἀκούει ἐπίσης κανεὶς τοὺς ἁγίους νὰ φωνάζουν δυνατὰ πρὸς αὐτόν· «Δὲν εἶσαι σὺ ἀπὸ τὴν ἀρχὴ ὁ Κύριος καὶ Θεός μας; γι' αὐτὸ δὲν θὰ πεθάνουμε»[86α]. Νὰ λοιπόν, ὁ Θεὸς καὶ Πατέρας ὀνομάσθηκε ἀπὸ τὴν ἀρχὴ καὶ εἶναι πραγματικὰ Θεός. Ἀλλὰ καὶ ὁ θεσπέσιος Ἰωάννης, μιλώντας μας γιὰ τὸν Υἱό, λέγει· «Αὐτὸ ποὺ ὑπῆρχε ἀπὸ τὴν ἀρχή, αὐτὸ ποὺ ἀκούσαμε, αὐτὸ ποὺ εἴδαμε μὲ τὰ μάτια μας, αὐτὸ ποὺ παρατηρήσαμε καὶ ψηλάφησαν τὰ χέρια μας, γιὰ τὸν Λόγο τῆς ζωῆς»[87]. Καὶ προσφωνοῦσε σὲ κάποιους λέγοντας· «Σᾶς γράφω, πατέρες, ἐπειδὴ ἔχετε γνωρίσει αὐτὸν ποὺ ὑπάρχει ἀπὸ τὴν ἀρχή»[88]. Καὶ ὁ ἴδιος ἐπίσης λέγει ποιὸς εἶναι αὐτός· «Αὐτὰ λέγει αὐτὸς ποὺ ὑπάρχει, αὐτὸς ποὺ ὑπῆρχε, αὐτὸς ποὺ ἔρχεται»[89].

Β. Ὅτι βέβαια ὑπῆρχε καὶ πρὶν ἀπὸ τὴν κτίση, τὸ λένε καὶ αὐτοί, ὅτι ὅμως ἦταν καὶ Θεός, δὲν εἶναι καθαρὰ φανερό, λένε. Γιατὶ εἶναι φανερὸ ὅτι τὸ δέχεται, ἐπειδὴ δὲν τὸ εἶχε.

Α. Ἔπειτα πῶς καὶ ἐμεῖς, θλιβόμενοι γι' αὐτοὺς ποὺ στὴν κατάλληλη στιγμὴ ἐκστομίζουν αὐτὸν τὸν λόγο, νὰ μὴ ποῦμε, «Οἱ κωφοὶ ἀκοῦστε καὶ οἱ τυφλοὶ ἀποκτῆστε τὸ φῶς σας γιὰ νὰ δεῖτε»; Γιατί,

---

88. Α΄ Ἰω. 2,13. 89. Ἀποκ. 1,8.

*ὅτι ἦν ἁπλῶς, ἀλλ' ὅτι καὶ Θεὸς ἦν ὁ Λόγος ἀναγράφοντος ἐναργῶς τοῦ θεηγόρου καὶ εὐαγγελιστοῦ, καθάπερ ἐξ οἴνου καὶ μέ-θης πρὸς πᾶν ὁτιοῦν ἰόντες ἀκατασκέπτως, κατειρωνεύονται τὴν ἀλήθειαν. Φέρε δὴ οὖν καὶ δι' ἑτέρων ἐλάσαντες ἐννοιῶν, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἐπιγινώσκωμεν τὸν Υἱόν. Ἦ γὰρ οὐχὶ πρέποι ἂν τῷ γε ὄντι κατὰ φύσιν Θεῷ τὰ ἐφ' ἑκάστῳ ψηφηφορεῖν, καὶ στεφανοῦν μὲν ἐπαίνοις τοὺς νόμον ἔχοντας τοῦ βίου τὸν ὁριστὴν καὶ τὴν εὐκλεᾶ καὶ περίοπτον ἐκτετιμηκότας ζωήν, κολάζειν δὲ τοὺς ἡμαρτηκότας ὡς ἀλαζόνας καὶ ὑβριστὰς καὶ θεσμοῖς τοῖς ἄνωθεν ἐμπαροινοῦντας εὐκόλως;*

*Β. Πρέποι ἄν.*

*Α. Τί δὲ δὴ τὸ πληροῦν τὰ πάντα δύνασθαι καὶ διὰ πάντων μὲν ἥκειν, εἶναι δὲ καὶ ἐν πᾶσι, δοίης ἂν ἑτέρᾳ φύσει παρὰ τὴν θείαν;*

*Β. Οὐκ ἔγωγε· πῶς γάρ;*

*Α. Τὸ δὲ Θεῷ πολιτεύεσθαι καὶ διαβιοῦν, αὔχημά τε ποιεῖσθαι Θεόν, οὐχὶ φαίης ἄν, ὦ ἑταῖρε, τοῖς ἁγίοις ἁρμοδιώτατον;*

*Β. Πάνυ μὲν οὖν.*

*Α. Ἴθι δὴ οὖν, ἐκεῖνο φράσον.*

*Β. Τὸ ποῖον;*

*Α. Οὐχὶ «πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων», λόγος δὲ σοφίας, τὸ πάντων μάλιστα τιμαλφέστατον;*

*Β. Σύμφημι· Γράμμα γὰρ ὧδέ φησιν ἱερόν.*

*Α. Θέα δὴ οὖν τῶν ἄνωθέν τε καὶ ἐκ Πατρὸς ὡς ἡμᾶς ἡκόντων ἀγαθῶν διανομέα καὶ πρύτανιν, καὶ τοῦτο κατ' ἐξουσίαν, ὑπάρχοντα τὸν Υἱόν· ἔφη γὰρ ὁ Παῦλος· «Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ». Καὶ μέντοι καὶ ἑτέρωθί που πρὸς Μωσέα τὸν ἱερώτατον διειπόντος Θεοῦ· «Τίς ἔδωκε στόμα ἀνθρώπῳ, καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός; Καὶ νῦν*

90. Ἰακ. 1, 17.

ἐνῶ ὁ θεόπνευστος εὐαγγελιστὴς γράφει καθαρά, ὅτι ὄχι μόνο ὑπῆρχε ὁ Λόγος, ἀλλ' ὅτι ἦταν καὶ Θεός, αὐτοί, προχωρώντας ἀπερίσκεπτα σ' ὅλα, σὰν νὰ εἶναι ἐπηρεασμένοι ἀπὸ κρασὶ καὶ μέθη, εἰρωνεύονται τὴν ἀλήθεια. Ἐμπρὸς λοιπόν, ἀφοῦ προχωρήσουμε καὶ μέσα ἀπὸ ἄλλες σκέψεις, νὰ ἀναγνωρίσουμε ὅτι ὁ Υἱός εἶναι κατὰ φύση Θεός. Ἢ μήπως δὲν ταιριάζει σ' αὐτὸν ποὺ εἶναι κατὰ φύση Θεὸς νὰ ἀποφασίζει γιὰ τὰ ἔργα τοῦ καθενός, καὶ νὰ στεφανώνει βέβαια μὲ ἐπαίνους αὐτοὺς ποὺ ἔχουν νόμο τῆς ζωῆς τους ἐκεῖνον ποὺ καθορίζει τὴ ζωὴ καὶ προτιμοῦν τὴν ἔνδοξη καὶ διαπρεπῆ ζωή, νὰ τιμωρεῖ ὅμως ἐκείνους ποὺ ἁμάρτησαν, ἐπειδὴ εἶναι ὑπερήφανοι καὶ ὑβριστὲς καὶ ἐμπαίζουν εὔκολα τοὺς θεσμοὺς ποὺ δόθηκαν ἀπὸ τὸν οὐρανό;

Β. Ταιριάζει.

Α. Τί πάλι, ἐκεῖνο ποὺ μπορεῖ νὰ πληροῖ τὰ πάντα καὶ νὰ διέρχεται μέσω ὅλων, καὶ νὰ βρίσκεται μέσα σὲ ὅλα, θὰ τὸ ἀπέδιδες σὲ ἄλλη φύση ἐκτὸς ἀπὸ τὴ θεία;

Β. Ἐγὼ τουλάχιστον ὄχι· πῶς δηλαδὴ θὰ μποροῦσα;

Α. Ἐπίσης τὸ νὰ πολιτεύονται καὶ νὰ ζοῦν ὅπως ἀρέσει στὸν Θεό, καὶ νὰ ἔχουν καύχημά τους τὸν Θεό, δὲν θὰ ἔλεγες, φίλε, ὅτι ταιριάζει περισσότερο στοὺς ἁγίους;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ἔλα λοιπόν, πές μου ἐκεῖνο.

Β. Ποιό;

Α. «Κάθε χορηγία καλὴ καὶ κάθε δῶρο τέλειο, ποὺ κατεβαίνει ἀπὸ πάνω, ἀπὸ τὸν Πατέρα τῶν φώτων»[90], δὲν εἶναι ὁ λόγος τῆς σοφίας, τὸ πιὸ πολύτιμο ἀπὸ ὅλα;

Β. Συμφωνῶ. Γιατὶ ἡ ἁγία Γραφὴ ἔτσι λέγει.

Α. Πρόσεχε λοιπὸν ὅτι διανομέας καὶ ἀρχηγὸς τῶν ἀγαθῶν ποὺ ἔρχονται σὲ μᾶς ἀπὸ πάνω, ἀπὸ τὸν Πατέρα, καὶ μάλιστα μὲ ἐξουσία, εἶναι ὁ Υἱός· γιατὶ λέγει ὁ Παῦλος· «Στὸν καθένα ἀπὸ μᾶς δόθηκε ἡ χάρη σύμφωνα πρὸς τὸ μέτρο τῆς δωρεᾶς τοῦ Χριστοῦ»[91]. Ἀλλὰ καὶ κάπου ἀλλοῦ ὁ Θεὸς εἶπε στὸν ἱερώτατο Μωυσῆ· «Ποιὸς ἔδωσε στόμα στὸν ἄνθρωπο, καὶ ποιὸς ἔκανε τὸν βαρύκοο καὶ τὸν κωφόν, αὐτὸν ποὺ βλέπει καὶ τὸν τυφλό; Δὲν τὰ ἔκανα ἐγὼ ὁ Κύριος ὁ Θεός;

---

91. Ἐφ. 4,6.

πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου»· προσελάλει που πάλιν τοῖς ἁγίοις ἀποστόλοις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· «Θέσθε οὖν ἐν ταῖς καρδίαις ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντιστῆναι ἢ ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι ὑμῖν». Ἀναμελῳδοῦντος δὲ τοῦ μακαρίου Δαβὶδ ὅτι ὁ Θεὸς κριτής ἐστιν, ἔχοντός τε ἀραρότως ὡς ἔνεστι μὲν αὐτῷ τὸ ἑκάστῳ διανέμειν ὧν ἂν δρῴη τὰς ἀμοιβὰς καὶ οὓς ἂν ἕλοιτο δικαιοῦν («Θεὸς γὰρ ὁ δικαιῶν, τίς ὁ κατακρίνων;» κατὰ τὸ γεγραμμένον), ἐνεργὸν ἐπ' ἀμφοῖν οὐχ ὑπουργικῶς ἀλλ' ἐν ἐξουσίᾳ τῇ θεοπρεπεῖ κατοψόμεθα τὸν Υἱόν. Ἔφη γὰρ αὐτός· «Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;». «Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ». Προσεφώνει δέ τῳ τῶν ἠρρωστηκότων· «Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου», ἐφ' ᾧ καὶ λελυττηκότες οἱ πέρα λόγου παντὸς ἀνόσιοι Φαρισαῖοι, δυσφημίας ἐγκλήματι καταδεσμεῖν ἀπετόλμων τὸν οὕτω θεοπρεπῆ καὶ λίαν ἀνυποστόλως ἀνέντα φωνήν, καὶ δὴ καὶ ἔφασκον· «Οὗτος βλασφημεῖ. Τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός;». Ὁ τοίνυν καὶ νόμου καὶ δίκης Κύριος, καὶ στεφάνων διανομεύς, καὶ δικαιοσύνης πρύτανις, καὶ ἀνιεὶς ἁμαρτίας, καίτοι μετὸν οὐδενὶ τῶν ἠριθμημένων ἐν κτίσμασι τοῦτο δρᾶν, πῶς οὐκ ἂν εἴη Θεὸς κατὰ φύσιν; Ἆρά σοι δοκῶ ταυτὶ δοξάζειν ὀρθῶς;

Β. Ἀστειότατά γε καὶ τοῦ κατεσκῶφθαι μακράν.

Α. Θεοῦ δὲ ὄντος ἐν πᾶσι καὶ ἀποφοιτῶντος μὲν οὐδενός, ἐνεργείᾳ δὲ τῇ θεοπρεπεῖ διαπιμπλάντος τὰ πάντα, ταύτῃ τοι καὶ λέγοντος πρὸς τὸν Ἰσραήλ, «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύ-ριος; Ἢ τίς τόπος τῆς καταπαύσεώς μου;», περιτρέπων τὸ χρῆμα, καὶ μάλα ὀρθῶς, εἰς τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον

---

92. Ἔξ. 4, 11-12. 93. Λουκᾶ 21, 14. 94. Πρβλ. Ἰὼβ 34, 29.
95. Μάρκ. 8, 36-37. 96. Ματθ. 16, 27. 97. Λουκᾶ 5, 20.

Πήγαινε λοιπὸν καὶ ἐγὼ θὰ ἀνοίξω τὸ στόμα σου»[92]. Ἀλλὰ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔλεγε στοὺς ἁγίους ἀποστόλους· «Βάλτε λοιπὸν καλὰ στὶς καρδιές σας, ὥστε νὰ μὴ προετοιμάζετε τὴν ἀπολογία σας· γιατὶ ἐγὼ θὰ σᾶς δώσω στόμα καὶ σοφία, στὴν ὁποία δὲν θὰ μπορέσουν νὰ ἀντισταθοῦν ἢ νὰ φέρουν ἀντίρρηση ὅλοι οἱ ἀντίπαλοί σας»[93]. Καὶ ὅταν ὁ μακάριος Δαβὶδ ψάλλει, ὅτι ὁ Θεὸς εἶναι κριτὴς καὶ ἔχει σταθερὰ τὴν ἐξουσία νὰ μοιράζει στὸν καθένα τὶς ἀμοιβὲς αὐτῶν ποὺ ἔπραξε, καὶ νὰ δικαιώνει ὅποιους θέλει (γιατί, ὅπως ἔχει γραφεῖ, «Εἶναι Θεὸς αὐτὸς ποὺ δικαιώνει, ποιὸς μπορεῖ νὰ τὸν κατηγορήσει;»[94]), βλέπουμε ὅτι καὶ στὶς δύο περιπτώσεις ὁ Υἱὸς εἶναι ποὺ ἐνεργεῖ, ὄχι ὡς ὑπηρέτης, ἀλλὰ μὲ ἐξουσία τέτοια ποὺ ταιριάζει στὸν Θεό. Γιατὶ λέγει ὁ ἴδιος· «Τί θὰ ὠφεληθεῖ ὁ ἄνθρωπος, ἐὰν κερδίσει ὅλον τὸν κόσμο καὶ ζημιωθεῖ τὴν ψυχή του; Ἢ τί ἀντάλλαγμα θὰ δώσει ὁ ἄνθρωπος γιὰ τὴν ψυχή του;»[95]. «Γιατὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου πρόκειται νὰ ἔρθει μὲ ὅλη τὴ δόξα τοῦ Πατέρα του, μαζὶ μὲ τοὺς ἁγίους ἀγγέλους του, καὶ τότε θὰ ἀποδώσει στὸν καθένα ἀνάλογα μὲ τὰ ἔργα του»[96]. Ἐπίσης ἔλεγε στὸν ἄρρωστο· «Παιδί μου, συγχωροῦνται οἱ ἁμαρτίες σου»[97], ἐξαιτίας αὐτοῦ, λυσσασμένοι οἱ πέρα ἀπὸ κάθε λόγο ἀνόσιοι Φαρισαῖοι ἀποτόλμησαν νὰ κατηγορήσουν γιὰ ἔγκλημα βλασφημίας αὐτὸν ποὺ μίλησε μὲ τόσο θεοπρεπῆ καὶ εὐθαρσῆ τρόπο, καὶ ἔλεγαν· «Αὐτὸς βλασφημεῖ. Ποιὸς μπορεῖ νὰ συγχωρεῖ ἁμαρτίες, παρὰ μόνον ὁ Θεός;»[98]. Ὁ Κύριος λοιπὸν καὶ τοῦ νόμου καὶ τῆς δίκης, ποὺ μοιράζει στεφάνια καὶ εἶναι ἀρχηγὸς τῆς δικαιοσύνης καὶ συγχωρεῖ ἁμαρτίες, ἂν καὶ δὲν εἶναι δυνατὸν σὲ κανένα ἀπὸ αὐτοὺς ποὺ συγκαταλέγονται μεταξὺ τῶν κτισμάτων νὰ τὸ κάνει αὐτό, πῶς μπορεῖ νὰ μὴ εἶναι κατὰ φύση Θεός; Ἄραγε σοῦ φαίνομαι ὅτι αὐτὰ τὰ πιστεύω σωστά;

Β. Εἶναι θαυμάσια, καὶ κάθε ἄλλο, παρὰ ἄξια χλευασμοῦ.

Α. Καὶ ἀφοῦ ὁ Θεὸς βρίσκεται μέσα σὲ ὅλα καὶ δὲν φεύγει ἀπὸ κανένα, καὶ μὲ τὴν ἄξια σὲ Θεὸ ἐνέργειά του πληροῖ τὰ πάντα, καὶ γι' αὐτὸ καὶ λέγει στοὺς Ἰσραηλῖτες· «Ὁ οὐρανὸς εἶναι θρόνος μου, καὶ ἡ γῆ στήριγμα γιὰ τὰ πόδια μου. Ποιὸ σπίτι θὰ μοῦ χτίσετε, λέγει ὁ Κύριος, ἢ ποιὸς τόπος εἶναι κατάλληλος γιὰ τὴν ἀνάπαυσή μου;»[99]. Καὶ ὁ θεσπέσιος Παῦλος, στρέφοντας τὸ θέμα, καὶ πολὺ σωστά, πρὸς

98. Λουκᾶ 5,21.

99. Ἠσ. 66,1.

*ὁ θε-σπέσιος ἡμῖν γράφει Παῦλος· «Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰου-δαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός». Καὶ αὖ ἐπὶ τούτοις· «Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα». Ἆρ᾽ οὖν τὸ πάντα πληροῦν καὶ διὰ παντὸς μὲν ἥκειν, εἶναι δὲ καὶ ἐν πᾶσιν, οὐ μεῖζον ἢ κατὰ κτίσιν;*

*Β. Πῶς γὰρ οὔ;*

*Α. Ἁγίου δὲ παντός, τὴν ἐγκόσμιόν τε καὶ σαρκικὴν μεθέντος ζωήν, ἀνατεθεικότος δὲ ὥσπερ Θεῷ τὴν ἑαυτοῦ ψυχήν, αὔχημά τε ποιεῖσθαι διεγνωκότος παρ᾽ αὐτὸν οὐδένα, γράφει πάλιν ὁ Παῦλος· «Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω», δῆλον δὲ ὅτι τῷ Υἱῷ, καὶ δι᾽ αὐτοῦ τῷ Πατρί. Εἴη δ᾽ ἂν σοι καὶ τοῦτο σαφὲς καὶ ἀναμφιλόγως ἔχον εἰ προσθέντος ἐπαΐοις· «Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι». Καὶ μὴν ἐπὶ τούτοις· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ», καίτοι φάσκοντος ἁγίου παντός· «Χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, Κύριος ὁ Θεός μου δύναμίς μου».*

*Β. Καὶ μήν, ὦ γενναῖε, τῶν μὲν τοιούτων ἡμῖν ἅλις ἐννοιῶν. Θεὸς γὰρ οὔτι που ψευδώνυμος, ἀληθὴς δὲ μᾶλλον ὁ Υἱὸς διὰ μυρίων ὅσων ἡμῖν ἀπεφάνθη λόγων. Τοιγάρτοι, τόδε μεθείς, ἐκεῖνο φράσον, τὸ ὅπως ἂν τις ἐκδέξαιτο καὶ συνιέναι πρέποι· «Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν». Τί δὲ δὴ καὶ μαθὼν Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλεῖ; Μὴ γὰρ ἐνδοιάσῃς ὅλως ὅτι πάντως που καὶ τοῦτο ἐροῦσιν.*

*Α. Ἀταλαίπωρος κομιδῇ τῶν ζητουμένων ἡ γνῶσις καὶ οὐκ ἀνάντης ἑλεῖν, εἴ τῳ τις εἴη σοφὸς καὶ ἀρτίφρων ὁ νοῦς Γέγραπται γὰρ ὅτι «Πάντα ἐνώρια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν». Εἰ δὲ δή τις ἕλοιτο, τὸ ἐπ᾽ εὐθὺ φέρεσθαι μεθείς, εὐηθέστατα σκολιοδρομεῖν, καὶ τὴν εὐστιβῆ τῶν θεωρημά-*

100. Κολ. 3, 11. 101. Ἐφ. 4, 10 102. Γαλ. 2, 19.
103. Β' Κορ. 5, 14-15. 104. Γαλ. 6, 14. 105. Λουκᾶ 1, 47.

τὸν Λόγο, ὁ ὁποῖος προῆλθε ἀπὸ τὸν Θεὸ Πάτερα, γράφει· «Ὅπου δὲν ὑπάρχει Ἕλληνας καὶ Ἰουδαῖος, περιτετμημένος καὶ ἀπερίτμητος, βάρβαρος καὶ Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ σὲ ὅλα εἶναι ὁ Χριστός»[100]. Καὶ πάλι γιὰ τὰ ἴδια· «Αὐτὸς ποὺ κατέβηκε εἶναι ὁ ἴδιος ποὺ καὶ ἀνέβηκε πάνω ἀπὸ ὅλους τοὺς οὐρανούς, γιὰ νὰ γεμίσει τὰ πάντα»[101]. Ἆρα λοιπόν, τὸ ὅτι γεμίζει τὰ πάντα, καὶ περνάει μέσω ὅλων, καὶ βρίσκεται μέσα σὲ ὅλα, δὲν εἶναι μεγαλύτερο ἀπὸ τὴν κτίση;

Β. Πῶς δηλαδὴ ὄχι;

Α. Ὅτι ὅμως κάθε ἅγιος καὶ παριφρονεῖ τὴν κοσμικὴ καὶ σαρκικὴ ζωὴ καὶ ἀφιερώνει τὴν ψυχή του στὸν Θεό, ἐκτὸς τοῦ ὁποίου δὲν καυχιέται γιὰ τίποτε ἄλλο, τὸ γράφει πάλι ὁ Παῦλος· γιατὶ λέγει· «Ἐγὼ διὰ τοῦ νόμου πέθανα ὡς πρὸς τὸν Νόμο, γιὰ νὰ ζήσω γιὰ τὸν Θεὸ, δηλαδὴ γιὰ τὸν Υἱὸ, καὶ δι' αὐτοῦ γιὰ τὸν Πατέρα»[102]. Θὰ σοῦ γίνει ὅμως καὶ αὐτὸ σαφὲς καὶ ἀναμφίβολο, ἐὰν μάθεις ὅτι πρόσθεσε καὶ τὸ ἑξῆς· «Γιατὶ ἕνας πέθανε γιὰ ὅλους, ὥστε ἐκεῖνοι ποὺ ζοῦν, νὰ μὴ ζοῦν πιὰ γιὰ τὸν ἑαυτό τους, ἀλλὰ γιὰ ἐκεῖνον ποὺ πέθανε γι' αὐτοὺς καὶ ἀναστήθηκε»[103]. Καὶ βέβαια ἐκτὸς ἀπὸ αὐτὰ καὶ τοῦτο· «Σὲ μένα ὅμως μὴ γένοιτο νὰ καυχηθῶ γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὸν σταυρό τοῦ Χριστοῦ»[104], ἂν καὶ κάθε ἅγιος λέγει· «Θὰ χαρῶ γιὰ τὸν Θεὸ τὸν Σωτῆρα μου[105], ὁ Κύριος καὶ Θεός μου εἶναι ἡ δύναμή μου»[106].

Β. Καὶ γι' αὐτὲς βέβαια τὶς ἔννοιες, γενναῖε, ἀρκετὰ αὐτά. Γιατὶ ὁ Θεὸς δὲν ψεύδεται, ἀλλὰ καὶ ὁ Υἱός, ὅπως φάνηκε ἀπὸ πάρα πολλὰ χωρία, εἶναι ἐπίσης ἀληθής. Ἀφήνοντας λοιπὸν αὐτό, πές μου ἐκεῖνο, πῶς δηλαδὴ θὰ ἔπρεπε νὰ ἐκλάβει κανεὶς καὶ νὰ κατανοήσει τό, «Πηγαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα σας, καὶ Θεό μου καὶ Θεὸ σας»[107]; Τί ἔπαθε δηλαδὴ καὶ ὀνομάζει Θεὸ τὸν Πατέρα του; Γιατὶ μὴν ἀμφιβάλλεις καθόλου, ὅτι θὰ τὸ ρωτήσουν κι' αὐτό.

Α. Πολὺ ἄκοπη ἡ γνώση αὐτῶν ποὺ ζητᾶς καὶ δὲν εἶναι δύσκολο νὰ κατανοηθεῖ ἀπὸ ἐκεῖνον ποὺ ἔχει σοφὸ καὶ σωστὸ μυαλό. Γιατὶ ἔχει γραφεῖ ὅτι «Ὅλα εἶναι προσιτὰ καὶ φανερὰ σ' ἐκείνους ποὺ ἀναζητοῦν τὴ γνώση»[108]. Ἐὰν ὅμως κάποιος προτιμᾶ, ἀφήνοντας τὸν ἴσιο δρόμο, ἐντελῶς ἀνόητα νὰ λοξοδρομεῖ, καὶ ἐγκαταλείποντας τὸν

106. Ἠσ. 49,5. 107. Ἰω. 20,17. 108. Παροιμ. 8,9.

*ταμείψας ὁδόν, παρατρέπεσθαι πρὸς ἑτέραν, ἀκάνθαις περιπεσεῖται καὶ βόθροις καὶ τοῖς διὰ μέσου προσπταίσμασιν. Ὅθεν, οἶμαι, καὶ αἰνιγματωδῶς ὁ νόμος ταυτί που παραδηλῶν· «Ὁδῷ βασιλικῇ πορεύσῃ, φησί, καὶ οὐκ ἐκκλινεῖς δεξιᾷ οὐδὲ ἀριστερᾷ». Ὅταν <τι> τοίνυν τῶν ὅσα ἐστὶ μείω μὲν ἢ κατὰ Θεοῦ δόξαν, γενητὴν δὲ φύσιν οὐχ ὑπερκείμενα, λέγηται περὶ τοῦ Υἱοῦ, μὴ τὴν ἄρρητον εὐθὺς καὶ ἐκ Πατρὸς ἰδικῶς ἀναλογίζου φύσιν, ἀλλ' ἧπερ ἂν ἴοι τῶν θεωρημάτων ὁ σκοπός, ἴθι κατὰ ῥοῦν, μήτε τὰ τῆς θεότητος ἰδικῶς τοῖς τῆς ἀνθρωπότητος ἐγκαταγράφων μέτροις, μήτε τῆς ἀνθρωπότητος τὸ σμικροπρεπὲς τῇ ὑπὲρ πάντα φύσει προσνέμων, ὡς αὐτῇ κυρίως προσπεφυκός, ἀλλ' εὐκρινῆ καὶ τετορευμένην τὴν ἐφ' ἑκάστῳ διαστολὴν εὖ μάλα ποιεῖσθαι διεγνωκώς. Ὧδε γὰρ ἂν ἔχοις, καὶ οὐχ ἑτέρως, τὸ ἀπλανεστάτην δύνασθαι τὴν θεωρίαν ἑλεῖν.*

*Β. Οἷον δὲ δὴ τί φῄς;*

*Α. Ὁ μακάριος ἔφη Παῦλος περὶ τοῦ Μονογενοῦς, ὅτι καὶ ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός. Ἄνες δὴ οὖν ἔν γε τουτοισὶ καὶ παντὸς ἐπέκεινα γενητοῦ μεθίει τὸν νοῦν, καὶ τὸ θεῖον αὐτὸ περιαθρείτω κάλλος καὶ τὴν ἄρρητον αὐτοῦ κατασκεπτέσθω γέννησιν, καὶ τὸν τῆς ὑπάρξεως τρόπον ὡς ἐν ἐσόπτρῳ βλέπων, κατακροτείτω ταῖς εὐφημίαις. Εἰ δὲ δὴ γράφοι περὶ αὐτοῦ, «Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱός, ἔμαθεν ἐφ' ὧν ἔπαθε τὴν ὑπακοήν», κάτιθι βραχὺ καὶ τὸ τῆς ἀνθρωπότητος ἀναλογίζου μέτρον. Οὐ γὰρ ἂν ἀπέθανεν ὁ χαρακτὴρ τοῦ Πατρός. Ἐπειδὴ δὲ καὶ ἐν ταῖς τῆς σαρκὸς ἡμέραις ἡ ἱκετηρία γέγονε, σαρκὸς ἂν εἴη τὸ δεῖμα, καὶ τῆς ἀνθρωπότητος ἰδικῶς τὸ κατορρωδεῖσθαι θάνατον. Οὐκοῦν, εἰ καὶ λέγοιτο λαβεῖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, μὴ τῶν τῆς θεότητος ὅρων ἀποσόβει τὸν Υἱόν, ᾗ Λόγος ἐστὶ καὶ ἐκ Θεοῦ πέφηνε Πατρός. Ἦν γὰρ φύσει*

---

109. Ἀριθμ. 21, 22. 110. Ἑβρ. 5, 7-8.

εὔκολο δρόμο τῶν σκέψεων, ἐκτρέπεται σὲ ἄλλον, θὰ πέσει μέσα σὲ ἀγκάθια καὶ βόθρους, καὶ στὰ μεταξὺ αὐτῶν παραπτώματα. Γι᾽ αὐτό, νομίζω, ὅτι καὶ ὁ νόμος, δηλώνοντας κατὰ τρόπο αἰνιγματικὸ περίπου τὸ ἴδιο, λέγει· «Νὰ βαδίζεις τὴ βασιλικὴ ὁδό, καὶ νὰ μὴ παρεκκλίνεις οὔτε δεξιὰ οὔτε ἀριστερά»[109]. Ὅσα λοιπὸν ἀπὸ αὐτὰ ποὺ λέγονται γιὰ τὸν Υἱὸ εἶναι κατώτερα ἀπὸ τὴ δόξα τοῦ Θεοῦ, καὶ δὲν ξεπερνοῦν τὴ κτιστὴ φύση, νὰ μὴ τὰ ἀποδίδεις ἀμέσως στὴν ἀπερίγραπτη φύση ποὺ προῆλθε κατὰ τρόπο ἰδιαίτερον ἀπὸ τὸν Πατέρα, ἀλλὰ νὰ ἀκολουθεῖς τὴν πορεία τοῦ σκοποῦ στὸν ὁποῖο ἀποβλέπουν οἱ σκέψεις, χωρὶς νὰ καταλογίζεις στὰ μέτρα τῆς ἀνθρωπότητας αὐτὰ ποὺ ἀποτελοῦν ἰδιώματα τῆς θεότητας, οὔτε νὰ ἀπονέμεις στὴν ἀνώτερη ἀπὸ ὅλα φύση τὴ μικροπρέπεια τῆς ἀνθρωπότητας, σὰν νὰ ἀποτελεῖ ἀναπόσπαστο μέρος αὐτῆς, ἀλλὰ νὰ μάθεις νὰ κάνεις σαφῆ καὶ κατάλληλη τὴ διάκριση τοῦ καθενός. Γιατὶ μόνο ἔτσι, καὶ ὄχι μὲ ἄλλον τρόπο, θὰ μπορεῖς νὰ διαλέγεις τὴν πιὸ ἀλάνθαστη ἄποψη.

Β. Σὰν ποιὰ δηλαδὴ λές;

Α. Ὁ μακάριος Παῦλος εἶπε γιὰ τὸν Μονογενῆ, ὅτι εἶναι ἀκτινοβολία τῆς δόξας καὶ σφραγίδα τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατέρα. Ἄφησε λοιπὸν σ᾽ αὐτὰ τὸν νοῦ σου καὶ θὰ πάει σὲ κάθε τι ποὺ εἶναι πέρα ἀπὸ κάθε κτιστό, θὰ παρατηρήσει τὴ θεϊκὴ ὡραιότητα καὶ θὰ ἐρευνήσει ἐπισταμένως τὴν ἀπερίγραπτη γέννησή του, καὶ βλέποντας τὸν τρόπο τῆς ὑπάρξεώς του σὰν μέσα σὲ καθρέφτη, θὰ χειροκροτήσει μὲ δοξολογίες. Ἐὰν πάλι γράφει γι᾽ αὐτόν, «Ὁ ὁποῖος κατὰ τὶς ἡμέρες τῆς ἐπίγειας ζωῆς του ἔκανε προσευχὲς καὶ παρακλήσεις, μὲ δυνατὴ κραυγὴ καὶ δάκρυα, σ᾽ ἐκεῖνον ποὺ μποροῦσε νὰ τὸν σώσει ἀπὸ τὸν θάνατο, καὶ ἀφοῦ εἰσακούσθηκε λόγω τῆς εὐλάβειάς του, ἂν καὶ ἦταν Υἱός, ἀπὸ ὅσα ἔπαθε ἔμαθε τὴν ὑπακοή»[110], κατέβα γιὰ λίγο καὶ σκέψου τὸ μέτρο τῆς ἀνθρώπινης φύσεως. Γιατὶ δὲν μποροῦσε νὰ πεθάνει ἡ σφραγίδα τοῦ Πατέρα. Ὅμως ἐπειδὴ ἡ προσευχὴ μὲ παρακλήσεις ἔγινε κατὰ τὶς ἡμέρες τῆς ἐπίγειας ζωῆς του, ὁ τρόμος ἦταν ἐκδήλωση τῆς σάρκας, καὶ ὁ φόβος τοῦ θανάτου χαρακτηριστικὸ γνώρισμα τῆς ἀνθρώπινης φύσεώς του. Ἐπομένως, ἂν καὶ λέγεται ὅτι ἔλαβε τὸ ὄνομα τὸ ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, μὴν ἀπαλλάσσεις τὸν Υἱὸ ἀπὸ τοὺς ὅρους τῆς θεότητος, ἀφοῦ εἶναι Λόγος καὶ προῆλθε ἀπὸ τὸν Θεὸ Πατέρα. Γιατὶ ἦταν ἀληθινὸς Θεὸς

*καὶ ἀληθῶς Θεὸς καὶ πρὸ τῶν τῆς κενώσεως χρόνων. Ἦ οὐχὶ δὴ τοῦτο ἐρεῖς;*

*Β. Πάνυ γε.*

*Α. Ἐπειδὴ δὲ πέφηνεν ἄνθρωπος, καθεὶς ἑαυτὸν εἰς κένωσιν καὶ εἰς δούλου μορφήν, γέγονε μεθ' ἡμῶν καὶ ὑπὸ Θεόν, οὐκ ἀπεμπολήσας ὅπερ ἦν, τὸ δὲ τῆς ἀνθρωπότητος μέτρον οὐκ ἀτιμάσας. Συνεπτώχευσε γὰρ ἡμῖν πλούσιος ὢν ὡς Θεός. Τοιγάρτοι καὶ ὑπὸ νόμον καὶ μὴν καὶ ἐν δούλοις καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸν ὑπέστη τὸν κατὰ σάρκα θάνατον. Ἀλλ' ἦν ἀναγκαῖον, τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν καὶ ἀνεκποίητον ἔχοντα τὴν ἐπὶ τούτῳ δόξαν μὴ τοῖς τῆς κενώσεως ἐμφιλοχωρῆσαι μέτροις, ἀλλ' εἰς τὴν ἄνωθέν τε καὶ ἀπ' ἀρχῆς καὶ ἰδικῶς ἐνυπάρχουσαν παλινδρομῆσαι τιμὴν μετὰ τοῦ προσληφθέντος σχήματος. Ἀκούει τοίνυν ὡς ἄνθρωπος, καίτοι Θεὸς ὢν φύσει καὶ Υἱός· «Ἐγὼ σήμερον γεγέννηκά σε», καὶ «Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο πόδιον τῶν ποδῶν σου». Ἐπειδὴ γὰρ ὅλως γέγονεν ἄνθρωπος καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν, γέγονέ τε οὕτω καὶ ὑπὸ Θεόν· ἀναγκαιότατά τε καὶ πρεπωδέστατα τοῖς τῆς κενώσεως συμπλάττεται μέτροις, καὶ Θεὸν ἐπεγράψατο μεθ' ἡμῶν τὸν φύσει τε καὶ ἀληθῶς ἑαυτοῦ μὲν Πατέρα, Θεὸν δὲ ἡμῶν. Διὰ γάρ τοι τοῦτο καὶ ἡμεῖς αὐτοί, καίτοι τὴν ὑπὸ Θεῷ δουλείαν ἔχοντες φυσικήν, Πατέρα καλοῦμεν τὸν Θεόν, τῇ πρὸς τὸν Υἱὸν συμμορφίᾳ πλουτοῦντες τὸ χρῆμα. Καταυλίζεται γὰρ ἐν ἡμῖν καὶ ἐνῴκηκεν ὁ Υἱὸς διὰ τοῦ ἰδίου Πνεύματος, ἐν ᾧ καὶ δι' οὗ κράζομεν· «Ἀββᾶ, ὁ Πατήρ». Ὅτι δὲ <εἰς> μήνυσιν ἀκριβῆ καὶ οἱονεὶ σήμαντρον υἱοθεσίας τῆς πρὸς Θεὸν τὸ Πνεῦμά ἐστιν ἐν ἡμῖν, δι' οὗ πρὸς Υἱὸν μεμορφώμεθα, σαφηνιεῖ γράφων ὁ Παῦλος· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ, ὁ Πατήρ».*

*Β. Εὖ λέγεις.*

*Α. Οἶμαι μὲν οὖν ἔγωγε τοὺς δι' ἐναντίας καταναρκήσειν ἔτι τὴν ἀντίστασιν, καὶ τὸ τοῖς τῆς ἀληθείας ἀντιφέρεσθαι λόγοις ὡς*

---

111. Ψαλμ. 2, 7.
112. Ψαλμ. 109, 1-2.

καὶ πρὶν ἀπὸ τὸν χρόνο τῆς κενώσεώς του. Ἢ μήπως δὲν τὸ δέχεσαι αὐτό;

Β. Καὶ πολὺ μάλιστα.

Α. Ὅταν ὅμως ἔγινε ἄνθρωπος ταπεινώνοντας τὸν ἑαυτό του σὲ κένωση καὶ σὲ μορφὴ δούλου, ἦρθε μαζί μας καὶ κάτω ἀπὸ τὸν Θεό, χωρὶς νὰ ἀπαρνηθεῖ αὐτὸ ποὺ ἦταν, ἀλλὰ καὶ χωρὶς νὰ ἀτιμάσει τὴν ἰδιότητα τοῦ ἀνθρώπου. Γιατὶ ἔγινε φτωχὸς μαζὶ μὲ μᾶς, ἐνῶ ὡς Θεὸς ἦταν πλούσιος. Γι᾽ αὐτὸ καὶ ὑποτάχθηκε στὸ νόμο, ἀλλὰ καὶ συγκαταλέχθηκε καὶ μέσα στοὺς δούλους καὶ στοὺς παράνομους, καὶ ὑπέστη καὶ αὐτὸν ἀκόμα τῶν σαρκικὸ θάνατο. Ἦταν ὅμως ἀναγκαῖο, αὐτὸς ποὺ ἦταν κατὰ φύση καὶ ἀληθινὸς Θεός, καὶ εἶχε ὄχι ἀπὸ υἱοθεσία τὴ θεϊκὴ δόξα, νὰ μὴ παραμείνει γιὰ πάντα στὰ μέτρα τῆς κενώσεως, ἀλλὰ νὰ ἐπανέλθει στὴ τιμητικὴ θέση ποὺ εἶχε ἀπὸ πάνω καὶ ἀπὸ τὴν ἀρχὴ καὶ ποὺ ὑπῆρχε μέσα του ἰδιαιτέρως, μαζὶ μὲ τὸ σχῆμα ποὺ εἶχε προσλάβει. Ἔτσι λοιπὸν σὰν ἄνθρωπος, ἂν καὶ ἦταν Θεός, ἀκούει· «Ἐγὼ σήμερα σὲ γέννησα»[111], καί, «Κάθισε στὰ δεξιά μου, μέχρι ποὺ νὰ ὑποτάξω τοὺς ἐχθρούς σου κάτω ἀπὸ τὰ πόδια σου»[112]. Καὶ ἐπειδὴ ἔγινε ἄνθρωπος ὡς πρὸς ὅλα, καὶ ταπείνωσε τὸν ἑαυτό του, ἔτσι ὑποτάχθηκε καὶ στὸν Θεό· ἀναγκαστικὰ καὶ ὅπως ἔπρεπε συμμορφώθηκε στὰ μέτρα τῆς κενώσεως καὶ ὀνόμασε μαζὶ μὲ μᾶς Θεό, ἐκεῖνον ποὺ κατὰ φύση καὶ πραγματικὰ ἦταν δικός του Πατέρας καὶ δικός μας Θεός. Γι᾽ αὐτὸ ἄλλωστε καὶ ἐμεῖς οἱ ἴδιοι, ἂν καὶ εἴμαστε κατὰ φύση δοῦλοι τοῦ Θεοῦ, ὀνομάζουμε τὸν Θεὸ Πα-τέρα, ἀποκτώντας τὸ δικαίωμα αὐτὸ ἀπὸ τὸ ὅτι εἴμαστε σύμμορφοι μὲ τὸν Υἱό. Γιατὶ διαμένει καὶ κατοικεῖ μέσα μας ὁ Υἱὸς μέσω τοῦ Πατέρα του[113], μὲ τὸν ὁποῖο καὶ διὰ τοῦ ὁποίου φωνάζουμε· «Ἀββᾶ, Πατέρα μας»[14]. Καὶ ὅτι σὰν ἀκριβὴς δήλωση καὶ σφραγίδα τῆς υἱοθεσίας μας ἀπὸ τὸν Θεὸ μένει μέσα μας τὸ Πνεῦμα, διὰ τοῦ ὁποίου παίρνουμε τὴ μορφὴ τοῦ Υἱοῦ, τὸ ἀποσαφηνίζει ὁ Παῦλος γράφοντας· «Καὶ ἐπειδὴ εἴσαστε υἱοί, ἔστειλε ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ του στὶς καρδιές σας, ποὺ φωνάζει· Ἀββᾶ, Πατέρα»[15].

Β. Σωστὰ τὰ λές.

Α. Νομίζω βέβαια ὅτι οἱ ἀντίθετοι θὰ δυναμώσουν περισσότερο τὴν ἀντίδρασή τους καὶ τὴν ἀντίθεσή τους στοὺς λόγους τῆς ἀλήθει-

113. Ἄλλοι κώδικες ἔχουν, Πνεύματος. 114. Γαλ. 4, 6. 115. Ὅπ. π.

*ἀπηχθημένον ἤδη διαρριπτεῖν. Εἰ δὲ δὴ τοῦτο μὲν οὐχὶ δρῷεν, ἐνστήσονται δὲ καὶ ἐροῦσιν ἔτι Θεὸν ἀληθῶς τοῦ Υἱοῦ τὸν Πατέρα ὑπάρχειν, οὐκ εἰσδεδεγμένης τῆς οἰκονομίας ἐφ' ἧπερ ἔφη Θεὸν ἑαυτοῦ τὸν Πατέρα· πῶς οὐκ ἀναγκαῖον εἰπεῖν ὅτι νομοθέτας μὲν καὶ ὁριστὰς ὧν ἂν βούλοιντο νοεῖν ἢ λέγειν παραδεξαίμεθα ἂν οὐδαμῶς, πρέποι δ' ἂν μᾶλλον ἡμῖν ταῖς τοῦ Σωτῆρος φωναῖς ἀπονέμειν τὸ ἀληθές; Ἔφη τοίνυν· «Ὅτι πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν». Διατεινέσθων οὖν, ὅτι καὶ ἡμεῖς υἱοὶ μετ' αὐτοῦ κατὰ φύσιν, εἴπερ ἐστὶν αὐτὸς μεθ' ἡμῶν κατὰ φύσιν ὑπὸ Θεόν. «Πορεύομαι», γάρ φησι, «πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν». Τὸ δὲ Υἱὸς ὄνομα, τὸ οὐσιωδῶς ἐκ Πατρὸς γεγεννῆσθαι δηλοῖ. Πλεῖστοι δὴ οὖν ὅσοι κατὰ φύσιν υἱοί, μᾶλλον δὲ ἀριθμοῦ κρείττονες· καὶ τὸ τῆς δυσφημίας παρείσθω πλάτος, εἰ πάντες υἱοὶ κατὰ φύσιν, ταύτῃ τοι καὶ θεοί. Ἀλλ' οἶμαί που πάντως αὐτίκα δὴ μάλα ἐρεῖν ὅτι ξένιον μὲν εἰς ἡμᾶς ἡμερότητος Θεοῦ τὸ τῆς υἱότητος ὄνομα· (γηγενεῖς γὰρ ὄντες τὴν φύσιν, οὐκ ἐκ Θεοῦ γεγεννήμεθα, κατά γε τὸν ἀληθῆ τῆς γεννήσεως τρόπον), ἔξωθεν δὲ ἡμῖν καὶ εἰσκεκριμένον, τὸ χρῆναι καλεῖν Πατέρα τὸν Θεόν. Εἶτα τί, φαῖμεν ἂν καὶ ἡμεῖς αὐτοῖς, ὦ πάντα τολμῶντες εὐκόλως, τί μὴ οὐχὶ τοῖς ἴσοις ἀπευθύνεσθε λογισμοῖς πρὸς τὸ ὀρθῶς τε καὶ ἀμωμήτως ἔχον, παραληροῦντες δὲ οὕτως οὐκ ἐρυθριᾶτε μακρά; Πῶς γὰρ οὐκ ἄμεινον διενθυμεῖσθαι σοφῶς ὡς ἐπείπερ ἐστὶ κατὰ φύσιν ἐκ Θεοῦ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός, ἀκαλλὲς αὐτῷ τὸ συναριθμεῖσθαι κτίσμασι, πρέποι δ' ἂν μᾶλλον τὸ εἶναι Θεόν; καὶ ἐπειδὴ πέφηνεν ἄνθρωπος, εἰσποίητόν τε καὶ ἐπακτὸν εἴη δήπου πάντως ἂν μετὰ τῆς σαρκὸς καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων τὸ ὑπὸ Θεῷ γενέσθαι τὸν ἐξ αὐτοῦ;*

*Β. Ἀλλ' εἰ μηδέν, φησί, τὸ διάφορον ἐν Υἱῷ, Θεὸς δὲ οὕτως ἐστὶν ὥσπερ ἂν νοοῖτο καὶ ὁ Πατήρ, πάντως που καὶ ἴσον ἐρεῖς καὶ κατ' οὐδὲν ὅλως μειονεκτούμενον. Εἶτα πῶς ἔφασκεν αὐτός, «Ὁ Πατήρ μου μείζων μού ἐστιν»;*

---

116. Ἰω. 20,17. 117. Ἰω. 14,28.

ας, γιατὶ εἶναι ἤδη ἀποφασισμένο νὰ τὴν ἀπορρίψουν. Ἐὰν ὅμως αὐτὸ βέβαια δὲν τὸ κάνουν, ἀλλὰ ἐναντιώνονται καὶ ἐξακολουθοῦν νὰ λένε, ὅτι ὁ Πατέρας τοῦ Υἱοῦ εἶναι ἀληθινὸς Θεός, χωρὶς νὰ δέχονται ὅτι κατ᾽ οἰκονομία εἶπε τὸν Πατέρα του Θεόν, πῶς δὲν εἶναι ἀναγκαῖο νὰ ποῦμε, ὅτι μὲ κανένα τρόπο δὲν μποροῦμε νὰ δεχθοῦμε νομοθέτες καὶ ἀνθρώπους ποὺ νὰ καθορίζουν αὐτὰ ποὺ θέλουν νὰ σκεφθοῦν ἢ νὰ ποῦν, καὶ ὅτι σὲ μᾶς ταιριάζει νὰ ἀποδίδουμε τὴν ἀλήθεια στὰ λόγια τοῦ Σωτῆρα; Εἶπε λοιπόν· «Πηγαίνω στὸν Πατέρα μου καὶ Πατέρα σας, καὶ Θεὸ μου καὶ Θεός σας»[116]. Ἂς ἰσχυρισθοῦν λοιπὸν ὅτι καὶ ἐμεῖς εἴμαστε υἱοὶ μαζὶ μ᾽ αὐτὸν κατὰ φύση, ἐὰν αὐτὸς εἶναι μαζί μας κατὰ φύση ὑποταγμένος στὸν Θεό. Γιατὶ λέγει, «πηγαίνω στὸν Πατέρα μου καὶ Πατέρα σας». Τὸ ὄνομα ὅμως Υἱὸς σημαίνει αὐτὸν ποὺ γεννήθηκε ἀπὸ τὴν οὐσία τοῦ Πατέρα. Ἑπομένως ὑπάρχουν πάρα πολλοὶ υἱοί, ἢ μᾶλλον ἀναρίθμητοι· ὁπότε ἂς ἐγκαταλειφθεῖ ἡ ἔννοια τῆς βλασφημίας, ἐὰν ὅλοι εἴμαστε υἱοὶ κατὰ φύση, καὶ ὡς πρὸς αὐτὸ καὶ θεοί. Ἀλλὰ νομίζω ὅτι πάλι ἐδῶ πρέπει νὰ ποῦμε, ὅτι τὸ ὄνομα τῆς υἱότητας σὲ μᾶς εἶναι δῶρο τῆς ἀγάπης τοῦ Θεοῦ· γιατί, ὄντας γήινοι κατὰ τὴ φύση, δὲν γεννηθήκαμε ἀπὸ τὸν Θεό, σύμφωνα μὲ τὸν κανονικὸ τρόπο γεννήσεως, ἀλλὰ μᾶς ἦρθε ἀπ᾽ ἔξω καὶ μὲ υἱοθεσία τὸ νὰ πρέπει νὰ ὀνομάζουμε τὸν Θεὸ Πατέρα. Τότε γιατί, θὰ λέγαμε καὶ ἐμεῖς σ᾽ αὐτούς, σεῖς ποὺ εὔκολα τολμᾶτε τὰ πάντα, γιατί μὲ τὸ ἴδιο σκεπτικὸ δὲν ἀπευθύνεσθε πρὸς αὐτὸ ποὺ εἶναι σωστὸ καὶ ἄμεμπτο, καὶ δὲν κοκκινίζετε πάρα πολὺ ἀπὸ ντροπὴ φλυαρώντας κατ᾽ αὐτὸ τὸν τρόπο; Γιατὶ πῶς δὲν εἶναι καλύτερο νὰ θυμᾶστε μὲ σύνεση, ὅτι ἐφόσον προέρχεται ἀπὸ τὴ φύση τοῦ Θεοῦ, δηλαδὴ ἀπὸ τὴν οὐσία τοῦ Πατέρα, δὲν ταιριάζει σ᾽ αὐτὸν νὰ κατατάσσεται στὰ κτίσματα, ἀλλὰ τοῦ ταιριάζει μᾶλλον νὰ εἶναι Θεός; Καὶ ἐπειδὴ ἔγινε ἄνθρωπος, θὰ μποροῦσε νὰ ἔχει μὲ υἱοθεσία καὶ πρόσθετο ὁπωσδήποτε, μαζὶ μὲ τὴ σάρκα καὶ τὰ μέτρα τῆς ἀνθρώπινης φύσεως, καὶ τὸ ὅτι ὑποτάχθηκε στὸν Θεὸ ἀπὸ τὸν ὁποῖο προῆλθε;

Β. Ὅμως, ἐὰν καμμιὰ διαφορὰ δὲν ὑπάρχει στὸν Υἱό, λέγει, καὶ εἶναι Θεὸς ἔτσι, ὅπως νοεῖται καὶ ὁ Πατέρας, ὁπωσδήποτε τὸν λὲς καὶ ἴσον, χωρὶς νὰ εἶναι καθόλου κατώτερος. Τότε ὅμως γιατί ἔλεγε ὁ ἴδιος, «ὁ Πατέρας μου εἶναι ἀνώτερός μου»[117];

*Α. Θεοῦ γάρ, εἰπέ μοι, πρὸς Θεόν, εἰ ἐπ' ἀμφοῖν νοοῖτο τὸ φύσει τε καὶ ἀληθῶς, ποίαν ἄν τις ἴδοι τὴν διαφοράν, ἢ τί τὸ μεσολαβοῦν κατά γε τὸ ἑτεροίως ἔχειν; Ἐπειδὴ δὲ χαρακτῆρα τοῦ Πατρὸς ἄκρως τε καὶ πέρα λόγου παντὸς οἱονεί πως ἐκτετορνευμένον εἰς ἐμφέρειαν φυσικὴν διεβεβαιούμεθα τὸν Υἱόν, πῶς ἂν ἡμῖν, εἴπερ ἀληθῶς ἐν μείοσι καὶ οὐχὶ τελείως ἐστὶν ἐν οἷς ὁ Πατήρ, κατασημήνειεν ἂν ἐν ἑαυτῷ τὸν ἀμείνω τε καὶ ὑπερκείμενον κατ' αὐτούς; Οὐ γάρ που τὸ ἐνδεὲς τοῦ τελείως ἔχοντος εἰκών τε καὶ ὁμοιότης ἀπαραποίητος παντελῶς εἴη ἄν· ἀλλ' οὐδ' ἂν Θεὸς ὑπεράλλοιτο Θεόν, ἤγουν ἐν χείροσιν ἅτερος ἁτέρου νοοῖτό ποτε κατά γε τὸ εἶναι Θεός, ἐπεὶ μηδὲ ἄνθρωπος ἀνθρώπου, κατά γε τὸ εἶναι τοῦθ' ὅπερ εἰσί, διαφέροι ἄν. Ῥώμῃ μὲν γὰρ καὶ φρονήσει καὶ τοῖς κατ' ἀρετὴν αὐχήμασι, καὶ μὴν καὶ ποσότητι καὶ ὑφέσει σώματος, δυσειδείᾳ τε καὶ εὐμορφίᾳ καὶ χρώματος ἑτερότητι διενεγκεῖν ὁ δεῖνα τοῦ δεῖνος λέγοιτ' ἂν ἔσθ' ὅτε. Εἰ δὲ δή τις ἕλοιτο σαφῶς Πέτρου τε καὶ Παύλου τίς ἂν εἴη τυχὸν ὁ τῆς οὐσίας ὅρος ἀναμαθεῖν, ἴσον ἐπ' ἀμφοῖν εὑρήσει καὶ ὡσαύτως ἔχοντα κατὰ πᾶν ὁτιοῦν, τὸ δὲ δὴ μεῖον ἢ ὅτι, φληνάφως, οἶμαί που, καὶ οὐκ ἐκ νοῦ τοῦ σώφρονος διασκέψαιτ' ἄν. Μείζονα τοίνυν ἐπείπερ εἶναί φασι τὸν Πατέρα, τί δὴ ἄρα τὸ ὑπερτεροῦν ἐν αὐτῷ, καὶ ᾧ τὸ μεῖζον εἰσβέβηκεν ἀποδεικνύντων αὐτοί;*

*Β. Ἆρ' οὖν διημάρτηκε τἀληθοῦς ὁ Υἱὸς φάσκων, «Ὅτι μείζων μού ἐστιν ὁ Πατήρ»;*

*Α. Καὶ πῶς ἂν ψεύσαιτο λέγων, «Ἐγώ εἰμι ἡ ἀλήθεια»; Ἀλλ' ὅπως μὲν ἂν νοεῖσθαι πρέποι τὴν τοῦ Σωτῆρος φωνὴν παρείσθω νυνί. Καιρῷ γὰρ εἰρήσεται. Φράζε δὲ ὅ φημι, μία θεότητος φύσις ἡ πάντων τεχνῖτις καὶ τῶν ὅλων δημιουργὸς γινώσκεται πρὸς ἡμῶν; «Κύριος γὰρ ὁ Θεὸς ἡμῶν Κύριος εἷς ἐστιν», ἢ οὐκ ἀληθὴς ὁ νόμος;*

*Β. Ἀληθής.*

*Α. Ἁπλοῦν δὲ ὑπάρχον καὶ μονοειδὲς τὸ Θεῖον, ἐν ἁγίᾳ*

---

118. Ἰω. 14, 6.

Α. Γιατὶ πές μου, ποιὰ διαφορὰ θὰ μποροῦσε νὰ δεῖ κανεὶς τοῦ Θεοῦ πρὸς τὸν Θεό, ἐὰν καὶ στοὺς δύο νοεῖται τὸ κατὰ φύση καὶ ἀλήθεια, ἢ τί εἶναι ἐκεῖνο ποὺ μεσολαβεῖ ὥστε νὰ εἶναι διαφορετικοί; Καὶ ἐπειδὴ ὑποστηρίζουμε ὅτι ὁ Υἱὸς πέρα ἀπὸ κάθε λόγο εἶναι σφραγίδα τοῦ Πατέρα, κατασκευασμένη μὲ μεγάλη ἐπιμέλεια, ὥστε νὰ ἔχει φυσικὴ ὁμοιότητα πρὸς αὐτόν, πῶς εἶναι δυνατόν, ἐὰν πραγματικὰ ἀνήκει στὰ κατώτερα καὶ δὲν ἔχει τελείως αὐτὰ ποὺ ἔχει ὁ Πατέρας, νὰ ἐμφανίζει καθαρὰ στὸν ἑαυτό του αὐτὸν ποὺ εἶναι ἀνώτερος καὶ ὑπερέχει, ὅπως λένε αὐτοί; Γιατὶ αὐτὸ ποὺ εἶναι ὑποδεέστερο, δὲν μπορεῖ νὰ εἶναι τελείως εἰκόνα καὶ ἀπαράλλακτο ὁμοίωμα ἐκείνου ποὺ εἶναι τέλειο· ἀλλ' οὔτε καὶ ἕνας Θεὸς ξεπερνάει ἄλλον Θεό, ἀλλιῶς ὁ ἕνας θὰ ἐθεωρεῖτο χειρότερος ἀπὸ τὸν ἄλλο ὡς πρὸς τὸ ὅτι εἶναι Θεός, γιατὶ οὔτε ὁ ἕνας ἄνθρωπος διαφέρει ἀπὸ ἄλλον ἄνθρωπο, ὡς πρὸς τὸ εἶναι αὐτὸ ποὺ εἶναι. Ὡς πρὸς τὴ δύναμη βέβαια καὶ τὴ φρόνηση καὶ τὶς ἐπιδόσεις στὴν ἀρετή, ἀλλὰ καὶ τὴν ποσότητα καὶ λεπτότητα τοῦ σώματος, καὶ ὡς πρὸς τὴν ἀσχήμια καὶ τὴν ὀμορφιὰ καὶ τὴ διαφορὰ τοῦ χρώματος, θὰ μποροῦσε σὲ ὁρισμένες περιπτώσεις νὰ εἰπωθεῖ, ὅτι ὁ τάδε διαφέρει ἀπὸ τὸν τάδε. Ἐὰν ὅμως κάποιος θελήσει νὰ μάθει καθαρὰ ποιὸς εἶναι, γιὰ παράδειγμα, ὁ ὁρισμὸς τῆς οὐσίας τοῦ Πέτρου καὶ τοῦ Παύλου, θὰ βρεῖ νὰ εἶναι ἴσοι καὶ ὅμοιοι σὲ ὅλα· ἐνῶ τὸ ὅτι εἶναι ὁ ἕνας κατώτερος, νομίζω πὼς μόνο μὲ τρόπο φλύαρο, καὶ ὄχι μὲ συνετὸ μυαλὸ θὰ μποροῦσε νὰ τὸ σκεφθεῖ. Ἀφοῦ λοιπὸν λένε, ὅτι ὁ Πατέρας εἶναι ἀνώτερος, ποιὸ εἶναι ἐκεῖνο ποὺ ὑπερτερεῖ σ' αὐτόν, καὶ ἂς ἀποδείξουν σὲ ποιὸν εἰσῆλθε τὸ ἀνώτερο.

Β. Ἆρα λοιπὸν ἔκανε λάθος ὁ Υἱὸς λέγοντας, «Ὅτι ὁ Πατέρας εἶναι μεγαλύτερός μου»;

Α. Καὶ πῶς μποροῦσε νὰ πεῖ ψέματα ἀφοῦ ἔλεγε, «Ἐγὼ εἶμαι ἡ ἀλήθεια»[118]; Ἀλλὰ πῶς πρέπει νὰ νοεῖται ἡ ρήση τοῦ Σωτήρα, ἂς μείνει πρὸς τὸ παρόν. Θὰ τὸ ποῦμε μὲ τὸν καιρό. Πὲς ὅμως αὐτὸ ποὺ λέγω· ἡ μία φύση τῆς θεότητας ποὺ κατεσκεύασε τὰ πάντα καὶ εἶναι δημιουργὸς τῶν ὅλων, εἶναι ἕνας Κύριος, ἢ δὲν εἶναι ἀληθὴς ὁ νόμος[119];

Β. Εἶναι ἀληθής.

Α. Καὶ ἐνῶ τὸ Θεῖον εἶναι ἁπλὸ καὶ μονοειδές, πιστεύεται καὶ

119. Δευτ. 6, 4.

*Τριάδι πιστεύεται καὶ γινώσκεται, ἔν τε Πατρί, φημί, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Ἢ ἄρα τι φὴς παρὰ τοῦτο ἕτερον καὶ διδάσκειν ἔχεις;*

*Β. Οὐδ' ὁπωστιοῦν.*

*Α. Οὐκοῦν εἰς μίαν μὲν καὶ τὴν αὐτὴν συνενεγκόντες φύσιν καὶ εἰς ταὐτότητα συνεισδέοντες τῶν εἰρημένων ἕκαστον, μετὰ καὶ τοῦ ὑπάρχειν ἰδιοσυστάτως, ἕνα Θεὸν προσκυνήσομεν καὶ ἑνὶ τῷ τῶν ὅλων Θεῷ λατρεύσομεν. Διελόντες δὲ καὶ κατατεμόντες εἰς ἑτερότητα φυσικὴν καὶ ἀναμέρος ἕκαστον ἐν ἰδίᾳ τινὶ τιθέντες φύσει, τρεῖς ἤδη θεοὺς καὶ οὐχ ἑκόντες ὁμολογήσομεν. Εἶτα τίς ἂν ἡμᾶς ἐξέλοιτο τοῦ πεπλανῆσθαι λόγος, εἰ τῇδε διακεισόμεθα; Πῶς δὲ οὐχὶ παντὸς ἂν ἁμάρτοι λογισμοῦ καλοῦ τε καὶ ἀγαθοῦ τρεῖς ἡμῖν εἴ τις ἀνθ' ἑνὸς διακηρύττει θεούς; Ἀλλ' οἶμαι κατορρωδήσαντες τὸ ἀναφανδὸν ἑλέσθαι ληρεῖν, Θεὸν μὲν καὶ ἀληθῆ τὸν Πατέρα ἐροῦσι, δυσφημίαν δὲ τὴν σφίσιν αὐτοῖς ἐντριβῆ καὶ πρέπουσαν μόνοις καταχέοντες τοῦ Υἱοῦ, γενητὸν μὲν ἐροῦσι καὶ ἐκτισμένον, τῇ τῆς θεότητος δόξῃ καθάπερ τινὰ σκιὰν ἐπαλείφοντες καὶ ψιλοῖς ὀνόμασιν ἐκτετιμῆσθαι πιστεύοντες· τοῦ γε μὴν εἶναι φύσει τε καὶ ἀληθῶς Θεὸν ἀνέδην ἐκπέμψουσιν. Εἶτα τίς οὕτω νωθής τε καὶ παρειμένος, ἔν γε τοῖς ἐθέλουσι φρονεῖν ὀρθῶς, ὃς οὐχὶ τῶν οὕτω διεγνωκότων πλείστην ἂν ὅσην ποιήσαιτο τὴν καταβοὴν καὶ τῆς ἀμέτρου τερθρείας καταμειδιάσας ἐρεῖ· εἰ μὴ Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱός, εἰσποίητον δὲ αὐτῷ τοὔνομα καθ' ὑμᾶς, τί μαθόντες αὐτὸν τῷ Θεῷ καὶ Πατρὶ συγκρίνετε καὶ τὸ μεῖον ἢ ὑπερτεροῦν ἐπ' ἀμφοῖν δοκιμάζετε, καίτοι παντός, οἶμαι, λόγου σοφοῦ τε καὶ ἀναγκαίου τὰς πρὸς ἄλληλα συγκρίσεις ἀπονέμοντος πράττεσθαί τε πρεπωδέστερον ἀναπείθοντος τοῖς ὁμοφυέσι πρὸς τὰ ὁμοφυῆ, καὶ ὅσαπερ ἂν φαίνοιτο ταὐτὰ κατ' οὐσίαν, ἤγουν κατ' οὐδένα τρόπον ἐκσεσοβημένα πρὸς τὸ ἑτέρως ἔχειν; Χρῆμα μὲν γὰρ λογικὸν ἄγγελός τε καὶ ἄνθρωπος· πλὴν ἔστι τις ἐν ἀμφοῖν ἡ διαφορὰ καὶ τὴν εἰσάπαν οὐκ ἔχει πρὸς ἄλληλα συνδρομήν. Ὅταν τοίνυν ὁ τῆς τῶν ἀγγέ-*

γνωρίζεται σὲ ἁγία Τριάδα, στὸν Πατέρα, ἐννοῶ, καὶ στὸν Υἱὸ καὶ στὸ ἅγιο Πνεῦμα. Ἢ μήπως λὲς καὶ ἔχεις νὰ μᾶς διδάξεις κάτι ἄλλο διαφορετικὸ ἀπὸ αὐτό;

Β. Καθόλου.

Α. Ἑπομένως, ἀφοῦ συμφωνήσαμε σὲ μιὰ καὶ τὴν αὐτὴ φύση, καὶ συνδέσαμε σὲ ταυτότητα τὸν καθένα ἀπὸ αὐτοὺς ποὺ εἴπαμε, μαζὶ καὶ μὲ τὸ ὅτι ὑπάρχουν ὡς ἰδιαίτερες ὑποστάσεις, ἂς προσκυνοῦμε ἕνα Θεὸ καὶ στὸν ἕνα ἂς λατρεύουμε τὸν Θεὸ τῶν ὅλων. Ἐνῶ χωρίζοντας καὶ κατατεμαχίζοντάς τους σὲ φυσικὴ διαφορά, καὶ τοποθετώντας τὸν καθένα χωριστὰ σὲ κάποια ἰδιαίτερη φύση, ὁμολογοῦμε ἤδη χωρὶς νά τὸ θέλουμε τρεὶς θεούς. Καὶ ποιὸς λόγος θὰ μποροῦσε νὰ μᾶς γλυτώσει ἀπὸ τοῦ νὰ πέσουμε σὲ πλάνη, ἐὰν πιστεύουμε ἔτσι; Πῶς δὲν θὰ κάνει λάθος σὲ κάθε λογισμὸ καλὸ καὶ ἀγαθό, ἐὰν κάποιος μᾶς διακηρύττει τρεῖς ἀντὶ γιὰ ἕνα θεούς; Νομίζω ὅμως φοβούμενοι πολὺ τὸ νὰ προτιμήσουν νὰ φλυαροῦν φανερά, λένε τὸν Πατέρα Θεὸ ἀληθινό, καὶ χύνουν τὴ βλασφημία, ἡ ὁποία μόνο σ᾽ αὐτοὺς εἶναι δόκιμη καὶ ταιριαστή, ἐναντίον τοῦ Υἱοῦ, λέγοντάς τον δημιουργημένο καὶ κτιστόν, ἐπιχρίοντάς τον σὰν μὲ κάποια σκιὰ μὲ τὴ δόξα τῆς θεότητας, καὶ πιστεύοντας ὅτι τοῦ ἀποδίδουν μεγάλες τιμὲς μὲ κενὰ περιεχομένου ὀνόματα, ἀλλὰ τὸν ἀπομακρύνουν μὲ ἀναίδεια ἀπὸ τοῦ νὰ εἶναι κατά φύση καὶ ἀληθινὸς Θεός. Καὶ ἔπειτα, ποιὸς εἶναι τόσο μωρὸς καὶ ἀδιάφορος, μεταξὺ ἐκείνων ποὺ θέλουν νὰ πιστεύουν σωστά, ποὺ νά μὴ ἀποδοκιμάσει μὲ κατακραυγὲς αὐτοὺς ποὺ κάνουν τέτοιες διακρίσεις, καὶ ἀφοῦ μειδιάσει γιὰ τὴν ἄπειρη σχολαστικότητὰ τους, νὰ μὴ πεῖ, Ἐὰν ὁ Υἱὸς δὲν εἶναι κατά φύση Θεὸς καὶ τὸ ὄνομά του ὀφείλεται σὲ υἱοθεσία, ὅπως λέτε, γιὰ ποιὸ λόγο τὸν συγκρίνετε μὲ τὸν Θεὸ καὶ Πατέρα καὶ ἐρευνᾶτε τὸ κατώτερο ἢ ἀνώτερο καὶ στοὺς δύο; Καὶ ἔπειτα, νομίζω, κάθε λόγος σοφὸς καὶ ἐπαρκής, ὁ ὁποῖος κάνει συγκρίσεις μεταξύ τους, καὶ πείθει ὅτι γίνεται ὅπως πρέπει, συγκρίνει τὰ ὁμοφυῆ πρὸς τὰ ὁμοφυῆ καὶ ὅσα φαίνονται ἴδια κατὰ τὴν οὐσία, δηλαδὴ δὲν δείχνουν μὲ κανένα τρόπο ὅτι εἶναι διαφορετικά. Γιατὶ ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος, εἶναι βέβαια ὄντα λογικά, ὡστόσο ὑπάρχει κάποια διαφορὰ μεταξύ τους, καὶ δὲν συμπίμπτουν σὲ ὅλα μεταξύ τους. Ὅταν λοιπὸν ὁ λόγος ἐρευνᾶ τὴ δόξα καὶ τὴν ὑπεροχὴ

*λων εὐκλείας καὶ ὑπεροχῆς βασανίζηται λόγος, ἄγγελον ἀγγέλῳ παραβλητέον. Εἰ δὲ δή τις καὶ ἐφ' ἡμῶν τοῦτο δρῴη, καλῶς Παῦλος μὲν τοῦ δεῖνος διοίσει τυχόν, Πέτρος δὲ αὖ ἑτέρου του τῶν καθ' ἑαυτόν. Θεὸς δὲ ὁ πάντων καὶ ἐπὶ πάντας ἀπαράβλητόν τι χρῆμα καὶ ἀσυγκρίτως ὑπερτεροῦν καὶ ἐπεί τοι πάντων ἐστὶν ἀνωτάτω καὶ εἰς λῆξιν ἀναφοιτᾷ, τοῖς πεποιημένοις ἀστιβῆ καὶ ἀνέμβατον, ποῖον ἂν ἔχοι τὸ παρεπόμενον καὶ ἀγχοῦ καὶ παραβραχὺ καὶ εἰς τοῦτο ἧκον ἤδη πως ὡς ἁμιλλᾶσθαι κατατολμᾶν καὶ ὅτι μὴ μεῖον ἀμφιγνοεῖσθαι λοιπόν; Ἢ οὐ δοκεῖ σοι γέλωτά τε ὀφλειν καὶ νοῦ παρολισθεῖν ἀγαθοῦ καὶ μὴν καὶ ὀρθῆς ἐκσεσοβῆσθαι φρενός, εἴ τι τῶν ἐν κτίσμασι κατηριθμημένων κατατολμῴη λέγειν· Ὁ πάντων Θεὸς καὶ Πατὴρ μείζων μού ἐστι; Τίσιν ἄν, εἰπέ μοι, τῶν ὄντων αὐτὸς τὴν οὕτω θρασεῖαν καὶ σφαλερωτάτην ἐφαρμόσαις φωνήν; Ἀγγέλοις ἄρα καὶ Ἀρχαγγέλοις, ἤγουν Ἐξουσίαις, Θρόνοις τε καὶ Κυριότησι; Πῶς γὰρ ἢ πόθεν τῷ οἰκείῳ δημιουργῷ φιλονεικήσει τὸ ποιηθέν; Ἀμαθέστατα τοιγαροῦν τὸ πάντῃ τε καὶ ὁλοτρόπως διεστηκὸς κατὰ φύσιν, εἴπερ οἴονται Θεὸν μὲν οὐκ εἶναι κατ' ἀλήθειαν τὸν Υἱόν, παρῆ-χθαι δὲ μᾶλλον γενητῶς εἰς ὕπαρξιν, ἀντιπαρεξάγουσι τῷ Πατρὶ καὶ τὸ ἴσον ἢ μεῖον ἐπ' ἀμφοῖν βασανίζουσιν.*

*Β. Ἔοικε. Φασὶ δ' οὖν ὅμως ὅτι Θεὸς μέν ἐστιν ὁ Υἱός, μείζων δὲ ὁ Πατήρ.*

*Α. Εἶτα ποῦ τὸ μεῖζον ἐν τῷ Πατρὶ καὶ μέντοι τὸ μεῖον ἐν τῷ Υἱῷ καταθρήσαιμεν ἄν, εἰ τὴν τοῦ Θεοῦ φύσιν, ἥτις ποτέ ἐστιν, ὡς ἔνι κατοπτριζοίμεθα; Ἢ οὐχὶ τὸ Θεῖον ἐροῦσιν ἀσώματόν τι καὶ ἀναφές, ἄποσόν τε καὶ ἀναυξές, καὶ χρόνου παντὸς πρεσβύτερον, ἀεὶ ὂν καὶ ὡσαύτως ἔχον, αὐτό τε ἐν ἑαυτῷ καὶ ἐξ ἑαυτοῦ παντέλειον;*

*Β. Οἶμαί γε.*

*Α. Τίνα δὴ οὖν τρόπον ὑπερανεστήξοι τε καὶ ὑπερφέροιτο ἂν Θεὸς Θεοῦ; Ἢ οὐκ ἀνάγκη τὸ κατά τι γοῦν ὅλως μειονεκτούμενον τοῦ τῆς θεότητος ὅρου παρολισθεῖν, εἰ μήτε εἰς ἄκρον ἥκει*

τῶν ἀγγέλων, πρέπει νὰ συγκρίνει ἄγγελο μὲ ἄγγελο, ἐὰν συμβαίνει φυσικὰ νὰ διαφέρει ἐνδεχομένως. Καὶ ὁ Πέτρος ἐπίσης συγκρίνεται μὲ κάποιον ἄλλον ποὺ εἶναι σὰν αὐτόν. Ἐνῶ ὁ Θεὸς τῶν πάντων, ποὺ βρίσκεται πάνω ἀπὸ ὅλα, εἶναι κάτι ποὺ δὲν παραβάλλεται μὲ ἄλλο, ποὺ ὑπερτερεῖ ἀσύγκριτα, ποὺ εἶναι ἀνώτερος ὅλων καὶ διαμένει σὲ ὕψος ποὺ εἶναι ἀπάτητο καὶ ἄβατο γιὰ τὰ κτίσματα, ποιὸ μπορεῖ νά ἔχει ἀκόλουθό του, κοντὰ του καὶ γιὰ πολὺ λίγο, καὶ σὲ τέτοιο σημεῖο, ὥστε νὰ τολμᾶ νὰ συγκρίνεται καὶ νὰ ἀμφισβητεῖται τὸ ὅτι δὲν εἶναι κατώτερο; Ἢ μήπως νομίζεις ὅτι δὲν εἶναι ἄξιο γιὰ γέλια καὶ ἔχει ξεφύγει ἀπό τὸν σωστό νοῦ, ἀλλὰ καὶ ἔχει ἀπομα-κρυνθεῖ ἀπὸ τὸ σωστό τρόπο τοῦ σκέπτεσθαι, ἐὰν κάποιο ἀπὸ αὐτὰ ποὺ ἀνήκουν στὴν τάξη τῶν κτισμάτων τολμήσει νὰ πεῖ, Ὁ Θεὸς καὶ Πατέρας ὅλων εἶναι ἀνώτερός μου; Σὲ ποιά ἀπὸ τὰ ὄντα, πές μου, θὰ μποροῦσες ἐσὺ νὰ προσαρμόσεις αὐτὰ τὰ γεμᾶτα ἀπὸ τόσο θράσος καὶ ἐσφαλμένα λόγια; Μήπως στοὺς Ἀγγέλους καὶ Ἀρχαγγέλους, ἢ στὶς Ἐξουσίες, τοὺς Θρόνους καὶ τὶς Κυριότητες; Πῶς ὅμως ἢ ἀπὸ ποῦ θὰ φιλονεικοῦσε μὲ τὸν δημιουργό του τὸ κτίσμα; Ἑπομένως κατὰ τρόπο ἀμαθέστατο, αὐτὸ ποὺ διαφέρει τελείως καὶ μὲ κάθε τρόπο ὡς πρὸς τὴ φύση, ἐὰν βέβαια νομίζουν ὅτι ὁ Υἱὸς δὲν εἶναι Θεὸς ἀληθινός, ἀλλὰ ἦρθε στὴν ὕπαρξη κατὰ τρόπο δημιουργικό, τὸ συγκρίνουν μὲ τὸν Πατέρα καὶ ἐρευνοῦν τὴν ἰσότητα ἢ κατωτερότητα καὶ στὰ δύο.

Β. Ἔτσι φαίνεται. Ἀλλὰ λένε, ὅτι ὁ Υἱὸς εἶναι Θεὸς κατώτερος, ἐνῶ ὁ Πατέρας ἀνώτερος.

Α. Καὶ πῶς μποροῦμε νά διακρίνουμε τὴν ἀνωτερότητα στὸν Πατέρα, ὅπως καὶ τὴν κατωτερότητα στὸν Υἱό, ἀφοῦ τὴ φύση τοῦ Θεοῦ, ὅποια καὶ ἂν εἶναι, τὴν βλέπουμε σὰν μέσα ἀπὸ καθρέφτη; Ἢ μήπως δὲν λένε ὅτι τὸ Θεῖο εἶναι κάτι τὸ ἀσώματο καὶ ἀψηλάφητο καὶ ἀναύξητο καὶ μεγαλύτερο ἀπὸ κάθε ἔννοια χρόνου, ὅτι ὑπάρχει πάντοτε, καὶ εἶναι ἀμετάβλητο καὶ παντέλειο αὐτὸ καθεαυτό, ἀλλὰ καὶ ἀπὸ τὸν ἴδιο τὸν ἑαυτό του;

Β. Ἔτσι νομίζω.

Α. Μὲ ποιὸν τρόπο λοιπὸν ὑπερέχει καὶ εἶναι ἀνώτερος ὁ Θεὸς ἀπὸ τὸν Θεό; Ἢ μήπως δὲν εἶναι ἀνάγκη, αὐτὸ ποὺ γενικὰ μειονεκτεῖ, νὰ ἔχει ξεφύγει ἀπὸ τὸν ὁρισμὸ τοῦ Θεοῦ, ἐφόσον δὲν ἔχει

*τῶν τῆς θεότητος ἀγαθῶν, ἐν ἐνδείᾳ τε τοῦ τελείως ἔχοντος καταφωρᾶται πεσόν;*

*Β. Ἀνάγκη.*

*Α. Οὐ γάρ, οἶμαι, φαῖεν ἄν, ὡς ποσότητι μετρητῇ τὸ μεῖζον ἐν τῷ Πατρί· πέρα γὰρ ποσότητος τὸ ἀσώματον· οὐδ᾽ αὖ ὅτι τοῦ Γεγεννηκότος ὑστερογενὴς ὁ Υἱός. Ἀεὶ γὰρ ὄντος Πατρὸς τοῦ Πατρὸς καὶ ἀλλοιώσεως καὶ μεταβολῆς οὐκ εἰς ἕτερόν τι παρὰ τοῦτο καλούσης τὸν ἀεί τε καὶ ὡσαύτως ἔχοντα Θεόν, ἦν δήπου πάντως τὸ ἐξ αὐτοῦ συνάναρχόν τε καὶ συναΐδιον καὶ τῇ τοῦ τεκόντος ὑπάρξει συμπαρομαρτοῦν.*

*Β. Μείων, φησίν, ὁ Υἱός, οὐ ποσότητι τῇ κατὰ σῶμα· πῶς γάρ; Ἀλλ᾽ ὅτι μὴ ἐν οἷς ὁ Πατήρ.*

*Α. Φέρε δὴ οὖν τὰ τῆς θεότητος ἀξιώματα φιλοκρινοῦντες εὖ μάλα, κατιδεῖν σπουδάζωμεν εἰ ἐμπρέποι μὲν μόνῳ ταυτὶ τῷ Πατρί, ἥκιστά γε μὴν τῷ Υἱῷ κατὰ τὸν ἴσον τρόπον ἢ ὥσπερ ἀμέλει καὶ αὐτῷ τῷ Πατρί. Ἀλλά μοι τουτὶ καὶ πρό γε τῶν ἄλλων ἐρομένῳ φράσον. Ἆρα γὰρ εἰ προὔχει τε καὶ ὑπερέφυ τὸν Υἱὸν ὁ Πατήρ, οὐχ ἕψεται πάντως τῷ τοιῷσδε κρείττονι τὸ χρῆναι πλεονεκτεῖν οὐ καθ᾽ ἕνα τρόπον, ἀλλὰ κατὰ πᾶν ὁτιοῦν τῶν ὅσα ἐστὶ θεότητος ἴδια;*

*Β. Καὶ πάνυ.*

*Α. Εἰ δὲ ἐν ἴσῳ φαίνοιτο τοῦ Υἱοῦ τὸ ἐφ᾽ ἅπασιν ἰσοστατοῦν, οὐκ ἂν εὖ μάλα διακρούσαιτο τὴν ἔν γε τῷ δεῖν μειονεκτεῖσθαι συκοφαντίαν; Δεδόσθω γὰρ ὅτι καὶ τὸ ἄγαν ὑπερκείμενον ἐθελουσίως ἔσθ᾽ ὅτε πρὸς τὸ τῶν ὑποκαθημένων σμικροπρεπές, τὴν ἰδίαν καταβιβάζει δόξαν· τὸ δὲ ἐν μείοσί τε καὶ ἔλαττον ἀληθῶς, πῶς ἂν τὴν οἰκείαν ὑπεραλοῖτο φύσιν, καὶ πέρα μὲν τῶν οἰκείων ἀφίκοιτο μέτρων, τοῖς δὲ τοῦ λίαν ὑπερκειμένου φιλονεικήσοι πλεονεκτήμασιν;*

*Β. Εὖ λέγεις.*

*Α. Πῶς οὖν ἡμῖν ὁ Υἱὸς τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας ἀκριβῆ τινα τύπον οἱονεὶ καὶ γραφὴν τὰ καθ᾽ ἑαυτὸν ἀνιστάς, καὶ εἰς τὴν τοῦ τεκόντος ἐπίδειξιν τὴν ἰδίαν εὖ μάλα παρακομί-*

φτάσει στὸ ἀκρότατο σημεῖο τῶν ἀγαθῶν τῆς θεότητας, καὶ συλλαμβάνεται νὰ ἔχει πέσει σὲ ἔνδεια ὡς πρὸς ἐκεῖνο ποὺ εἶναι τέλειο;

Β. Εἶναι ἀνάγκη.

Α. Δὲν νομίζω δηλαδὴ πὼς θὰ ἔλεγαν, ὅτι τὸ μεγαλεῖο στὸν Πατέρα εἶναι ποσότητα ποὺ μετριέται, ἀφοῦ τὸ ἀσώματος εἶναι πέρα ἀπὸ ποσότητα, οὔτε πάλι ὁ Υἱὸς εἶναι γεννημένος ὕστερα ἀπὸ τὸν Πατέρα. Γιατί, ἀφοῦ ὁ Πατέρας ὑπάρχει πάντοτε καὶ καμμιὰ ἀλλοίωση ἢ μεταβολὴ δὲν ἀναγκάζει τὸν Θεὸ σὲ κάτι διαφορετικὸ ἀπὸ αὐτὸ ποὺ πάντοτε ἔτσι εἶναι, καὶ αὐτὸ ποὺ προῆλθε ἀπὸ ἐκεῖνον ἦταν ὁπωσδήποτε συνάναρχο καὶ συναιώνιο καὶ συνακόλουθο μὲ τὴν ὕπαρξη ἐκείνου ποὺ τὸν γέννησε.

Β. Ὁ Υἱός, λέγει, εἶναι κατώτερος ὄχι ὡς πρὸς τὴ σωματικὴ ποσότητα· πῶς θὰ ἦταν δυνατόν; ἀλλὰ ἐπειδὴ δὲν ἀνήκει σ' αὐτὰ ποὺ εἶναι καὶ ὁ Πατέρας.

Α. Ἐμπρὸς λοιπόν, διαχωρίζοντας μὲ προσοχὴ τὰ ἀξιώματα τῆς θεότητας, ἂς προσπαθήσουμε νὰ βροῦμε ἐὰν αὐτὰ ταιριάζουν μόνο στὸν Πατέρα, καὶ λιγότερο στὸν Υἱὸ ὡς πρὸς τὴν ἰσότητα, ἢ βέβαια καὶ στὸν ἴδιο τὸν Πατέρα. Ἀλλὰ πρὶν ἀπὸ τὰ ἄλλα πές μου αὐτὸ ποὺ σὲ ρωτάω· Ἄραγε, ἐὰν ὁ Πατέρας ὑπερέχει καὶ ὑπερτερεῖ ἀπὸ τὸν Υἱό, δὲν θὰ πρέπει κατ' ἀκολουθία αὐτὸς ὁ κατ' αὐτὸν τὸν τρόπο ἀνώτερος νὰ πλεονεκτεῖ ὄχι στὸ καθένα χωριστά, ἀλλὰ σὲ ὅλα ὅσα εἶναι ἰδιώματα τῆς θεότητας;

Β. Καὶ βέβαια.

Α. Ἀφοῦ λοιπὸν ἐμφανίζεται νὰ εἶναι ἴσος σὲ ὅλα, δὲν ἀποκρούει πολὺ εὔκολα τὴν συκοφαντία ὅτι πρέπει νὰ εἶναι κατώτερος; Ἂς πάρουμε ὅμως ὡς δεδομένο, ὅτι καὶ αὐτὸ ποὺ ὑπάρχει πολύ, θεληματικὰ καμμιὰ φορὰ κατεβάζει τὴ δόξα του πρὸς τὴ μικρότητα τῶν κατωτέρων του, αὐτὸ ὅμως ποὺ ἀνήκει σ' αὐτὰ ποὺ εἶναι κατώτερα καὶ μειονεκτοῦν πραγματικά, πῶς εἶναι δυνατὸ νὰ ὑπερπηδήσει τὴ φύση του καὶ νὰ φτάσει πέρα ἀπὸ τὰ δικά του μέτρα, καὶ νὰ διεκδικήσει τὰ πλεονεκτήματα ἐκείνου ποὺ εἶναι πολὺ ἀνώτερο;

Β. Σωστὰ τὰ λές.

Α. Πῶς λοιπὸν ὁ Υἱός, ὁ ὁποῖος σύμφωνα μὲ μᾶς παριστάνει τὸν ἑαυτό του ἀκριβῆ κατὰ κάποιο τρόπο ἀποτύπωση καὶ εἰκόνα τῆς οὐσίας τοῦ Πατέρα, καὶ παρουσιάζοντας τὴ δική του φύση γιὰ νὰ

*ζων φύσιν, «Ὁ ἑωρακὼς ἐμέ», φησίν, «ἑώρακε τὸν Πατέρα. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»; Εἴπερ οὖν ἐστιν οὐκ ἐν οἷς ὁ Πατήρ, τί μαθὼν αὐτὸν ἐν ἰδίᾳ φύσει ζωγραφεῖ, καὶ ἓν εἶναί φησι πρὸς τὸ τελείως ἔχον τὸ τοῦδε καταδεὲς καὶ ἡττώμενον;*

*Β. Οὐκ ἂν ὧδε ἔχοι, κατά γε τὸ αὐτῷ μοι δοκοῦν.*

*Α. Οὐκοῦν (τετράψομαι γὰρ ἐπὶ τὸ χρῆναι λοιπὸν τὰ ὅσαπερ ἂν τὴν θείαν ἡμῖν καὶ ἀνωτάτω κατακαλλύνοι φύσιν, ὡς ἂν οἷός τε ὦ, κατιδεῖν), φέρε δή, φέρε κατασκεπτώμεθα, πότερα, μειζόνως ἐν τῷ Πατρί, ἤγουν ἔλαττον ἢ χρὴ τὸ τῆς θεότητος κάλλος ἐκπρεπὲς ἐν Υἱῷ;*

*Β. Ὡς ἄριστά μοι ταυτὶ διεσκέφθαι δοκεῖς.*

*Α. Ὑποφέρει τοίνυν τοῖς τῆς θεότητος σκήπτροις καὶ ζυγῷ δουλείας ἐγκαταδεσμεῖ πᾶν ὅσον ἐστὶ τελοῦν ἐν κτίσμασιν ὁ θεσπέσιος Μελῳδός, φιλοθέως σφόδρα καὶ ὀρθότατα τοῦτο δρῶν. Ἔφη γάρ που πρὸς τὸν τῶν ὅλων γενεσιουργόν· «Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν, ὅτι τὰ σύμπαντα δοῦλα σά». Καὶ μὴν καὶ δοξολογίαις καταγεραίρειν αὐτὸν τούς τε οὐρανοὺς τῶν οὐρανῶν ἐπιτάττει, καὶ ἥλιον καὶ σελήνην, ἄστρα τε καὶ φῶς, ὕδωρ τε τὸ ὑπεράνω τῶν οὐρανῶν. Καὶ πρὸς μὲν ἀνθρώπους φησί· «Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ». Ἀγγέλων δὲ πέρι, καὶ τῶν ἔτι λειτουργίαν ἐχόντων τὴν ἀνωτέρω· «Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ». Συνίης οὖν ὅπως τῷ τῆς δουλείας ζυγῷ τὰ σύμπαντα καθειργνύς, πρόβατα μὲν χειρὸς αὐτοῦ κατωνόμασε τοὺς ἐπὶ τῆς γῆς, ᾠδοὺς δὲ καὶ λειτουργοὺς παρίστησι τοὺς ἀγγέλους;*

---

120. Ἰω. 14, 9. 121. Ἰω. 10, 30. 122. Ψαλμ. 101, 26-28.

δείξει τὴ φύση ἐκείνου ποὺ τὸν γέννησε, λέγει, «Αὐτὸς ποὺ βλέπει ἐμένα, εἶδε τὸν Πατέρα[120]. Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[121]; Ἐὰν λοιπὸν δὲν ἔχει τὰ ἰδιώματα τοῦ Πατέρα, γιὰ ποιὸν λόγο τὸν ἀπεικονίζει στὴ δική του φύση, καὶ λέγει ὅτι εἶναι ἕνα πρὸς αὐτὸ ποὺ εἶναι τέλειο, τοῦ ὁποίου εἶναι ὑποδεέστερος καὶ κατώτερος;

Β. Δὲν μπορεῖ νὰ εἶναι ἔτσι, ὅπως ἐγὼ τουλάχιστον νομίζω.

Α. Ἐμπρὸς λοιπὸν (εἶναι ἀνάγκη νὰ στραφῶ καὶ νὰ ἐξετάσω, ὅσο εἶναι δυνατόν, ὅσα κοσμοῦν τὴ θεία καὶ ἀνώτατη φύση), ἐμπρὸς νὰ ἐξετασουμε προσεκτικὰ ποιὸ ἀπὸ τὰ δύο· εἶναι ἀνώτερο τὸ κάλλος στὸν Πατέρα, ἢ κατώτερο, ἢ πρέπει τὸ κάλλος τῆς θεότητας νὰ εἶναι ὁλοφάνερο στὸν Υἱό;

Β. Μοῦ φαίνεται ὅτι αὐτὰ τὰ σκέφθηκες πολὺ καλά.

Α. Ὁ θεσπέσιος λοιπὸν Ψαλμωδὸς ὑποτάσσει στὰ σκῆπτρα τῆς θεότητας καὶ δεσμεύει μὲ τὸ ζυγὸ τῆς δουλείας κάθε τι ποὺ ἀνήκει στὰ κτίσματα, καὶ αὐτὸ τὸ κάνει ὅπως ἀρέσει στὸν Θεό, καὶ πολὺ σωστά. Γιατὶ εἶπε κάποτε πρὸς τὸν δημιουργὸ τῶν ὅλων· «Στὴν ἀρχὴ τῆς δημιουργίας ἐσύ, Κύριε, στήριξες τὴ γῆ, καὶ οἱ οὐρανοὶ εἶναι ἔργα τῶν χεριῶν σου. Αὐτοὶ θὰ χαθοῦν, ἐνῶ σὺ παραμένεις, καὶ ὅλοι θὰ παλιώσουν σὰν ἔνδυμα, καὶ σὰν ἐπανωφόρι θὰ τοὺς τυλίξεις καὶ θὰ ἀλλαγοῦν· ἐσὺ ὅμως εἶσαι πάντοτε ὁ ἴδιος καὶ τὰ χρόνια σου θὰ εἶναι ἀτελείωτα, γιατὶ ὅλα στὸ σύμπαν εἶναι ὑποδουλωμένα σὲ σένα»[122]. Ἀλλὰ διατάσσει νὰ τὸν ἐξυμνοῦν μὲ δοξολογίες καὶ οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ τὰ ἄστρα καὶ τὸ φῶς καὶ τὸ νερὸ ποὺ εἶναι πάνω ἀπὸ τοὺς οὐρανούς. Καὶ στοὺς ἀνθρώπους βέβαια λέγει, «Ἐλᾶτε νὰ τὸν προσκυνήσουμε καὶ νὰ πέσουμε μπροστά του, καὶ νὰ κλάψουμε μπροστὰ στὸν Κύριο ὁ ὁποῖος μᾶς ἔπλασε, γιατὶ αὐτὸς εἶναι ὁ Θεός μας, καὶ ἐμεῖς εἴμαστε λαὸς τῆς βοσκῆς του καὶ πρόβατα καθοδηγούμενα ἀπὸ τὸ χέρι του»[123], ἐνῶ γιὰ τοὺς ἀγγέλους καὶ ἐκείνους ποὺ ἔχουν τὴν ἀνώτατη ὑπηρεσία· «Εὐλογεῖτε τὸν Κύριο ὅλοι οἱ ἄγγελοί του, ἀλλὰ καὶ οἱ λειτουργοί του ποὺ ἐκτελεῖτε τὸ θέλημά του. Εὐλογεῖτε τὸν Κύριο ὅλα τὰ ἔργα του»[124]. Καταλαβαίνεις λοιπὸν ὅτι, περιορίζοντας τὰ πάντα στὸν ζυγὸ τῆς δουλείας, ὀνομάζει πρόβατα τοῦ χεριοῦ του τοὺς ἀνθρώπους τῆς γῆς, ἐνῶ τοὺς ἀγγέλους τοὺς παρουσιάζει ὡς ψαλμωδοὺς καὶ ὑπηρέτες;

---

123. Ψαλμ. 94, 6-7.

124. Ψαλμ. 102, 21-22.

*Β. Συνίημι.*

*Α. Ἄθρει δὴ οὖν τὰ πρόβατα τῆς χειρὸς τοῦ Θεοῦ καὶ Πατρὸς ἴδια λέγοντα τὸν Υἱὸν καὶ ζυγὸν ἡμῖν ἐπιτιθέντα δουλείας. Ἔφη γὰρ ὧδε· «Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου. Ὁ Πατήρ μου, ὃς δέδωκέ μοι, πάντων μείζων ἐστί, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν». Πρόβατα τοίνυν ἡμεῖς τοῦ Θεοῦ καὶ Πατρός, οὐδὲν δὲ ἧττον καὶ τοῦ Υἱοῦ διακεκλήμεθα καὶ ἐσμέν. Καὶ μὴν ὅτι καὶ ἄγγελοι λειτουργοῦσιν αὐτῷ, εὐκόλως ἂν μάθοις ἐξ ἱερῶν καὶ τοῦτο Γραμμάτων. Ὁ σοφὸς γὰρ ἔφη Ματθαῖος, ὡς ἀποδράντος τε ἤδη καὶ οἰχομένου πρὸς τὸ μηδὲν τοῦ πειράζοντος Σατανᾶ νενηστευκότα Χριστόν, «Ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ». Καὶ μὴν καὶ ἐν κύκλῳ τὸν ὑπερφυᾶ τε καὶ ἐπηρμένον αὐτοῦ περιεστᾶσι θρόνον δοξολογοῦντα τὰ Σεραφίμ, ἅγιόν τε αὐτὸν καὶ μὴν ὅτι Κύριος τῶν δυνάμεων ὀνομάζοντα, πλήρη τε εἶναι λέγοντα τόν τε οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. Ὁ δὲ δὴ κατάρχων ἐν ἴσῳ τῶν ὅλων, ἰσόχειρ τε καὶ ἰσοσθενὴς τῷ Πατρὶ καὶ οὐ μεῖον εὐκλεὲς (πλέω γὰρ τὰ πάντα τῆς δόξης αὐτοῦ), καὶ πρὸς τὸν τῶν ὅλων μείζονα τὸ ἐν ταὐτότητι φυσικῇ διακεκτῆσθαι λέγων, πῶς οὐκ ἂν ἔχοι τὸ ἰσοστατοῦν; Ἢ ἔχεις τι νοεῖν ἢ φράσαι ὅποι ποτὲ ἂν ὑπεραλοῖτο μὲν ἡ τοῦ Πατρὸς δόξα, μειονεκτοῖτο δ' ἂν ἡ Υἱοῦ, συμπαρο-μαρτεῖν οὐκ ἔχουσα καὶ τὸ συνεκτείνεσθαι παραιτουμένη ἐνδείᾳ τῶν ἴσων;*

*Β. Οὐκ ἂν ἔχοιμι νοεῖν.*

*Α. Τί δὲ δὴ ἄρα καὶ ἡ χεὶρ ἡμῖν κατασημανεῖ τοῦ Πατρός; Πότερα, τὴν παντουργικὴν ἐνέργειαν, ἤγουν τὴν ἰσχύν; Ἀμείνων γάρ πως ἀεὶ σωματικῆς φαντασίας ὁ περὶ Θεοῦ λόγος*

*Β. Τάττοιτο ἂν ἐπ' ἀμφοῖν εἰκότως, καθάπερ ἐγῷμαι· λυπεῖ γὰρ οὐδέν.*

*Α. Εὖ λέγεις, ἀλλά τό τοι μεῖον καὶ ὡς ἐν ὑφέσει πεπιστευ-*

---

125. Ἰω. 10, 27-30 126. Ματθ. 4, 11.

Β. Καταλαβαίνω.

Α. Πρόσεχε λοιπὸν ὅτι ὁ Υἱὸς τὰ πρόβατα τοῦ χεριοῦ τοῦ Θεοῦ τὰ ὀνομάζει δικά του, καὶ μᾶς βάζει ζυγὸ δουλείας. Γιατὶ εἶπε τὰ ἑξῆς· «Τὰ δικά μου πρόβατα ἀκοῦνε τὴ φωνή μου, καὶ ἐγὼ γνωρίζω αὐτὰ καὶ μὲ ἀκολουθοῦν· καὶ ἐγὼ δίνω σ' αὐτὰ αἰώνια ζωή, καὶ δὲν πρόκειται νὰ χαθοῦν ποτέ, καὶ κανένας δὲν θὰ τὰ ἁρπάξει ἀπὸ τὸ χέρι μου. Ὁ Πατέρας μου ποὺ μοῦ τὰ ἔδωσε εἶναι ἀνώτερος ἀπὸ ὅλους, καὶ κανεὶς δὲν μπορεῖ νὰ τὰ ἁρπάξει ἀπὸ τὸ χέρι τοῦ Πατέρα. Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[125]. Εἴμαστε λοιπὸν πρόβατα ἐμεῖς τοῦ Θεοῦ καὶ Πατέρα, ἀλλὰ ἐξίσου ὀνομαζόμαστε καὶ εἴμαστε καὶ τοῦ Υἱοῦ. Ὅτι ὅμως καὶ ἄγγελοι τὸν ὑπηρετοῦν, εὔκολα μπορεῖς νὰ τὸ μάθεις ἀπὸ τὶς ἅγιες Γραφές. Γιατὶ ὁ σοφὸς Ματθαῖος, ὅταν ἔφυγε πιὰ καὶ πῆγε στὸ μηδὲν ὁ Σατανᾶς ποὺ πείραζε τὸν Χριστὸ ποὺ εἶχε νηστεύσει, λέγει· «Τότε πῆγαν ἄγγελοι καὶ τὸν ὑπηρετοῦσαν»[126]. Ἀλλὰ καὶ τὸν ὑπερφυσικὸ καὶ ὑπερυψωμένο θρόνο του τὸν περικυκλώνουν τὰ Σεραφὶμ καὶ τὸν ὀνομάζουν ἅγιο, καὶ ἐπειδὴ εἶναι Κύριος τῶν δυνάμεων, λένε ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ εἶναι γεμᾶτα ἀπὸ τὴ δόξα του[127]. Αὐτὸς λοιπὸν ποὺ ἐξουσιάζει ἰσότιμα σὲ ὅλα, ποὺ ἔχει ἰσοδύναμο χέρι καὶ εἶναι ἰσοδύναμος μὲ τὸν Πατέρα, καὶ εἶναι ὄχι λιγότερο δοξασμένος (γιατὶ λέγει, «ὅλα εἶναι γεμᾶτα ἀπὸ τὴ δόξα του»), καὶ λέγει, ὅτι ἔχει φυσικὴ ταυτότητα πρὸς τὸν ἀνώτερο ὅλων, πῶς εἶναι δυνατὸν νὰ μὴ εἶναι ἰσοστάθμιος; Ἢ μήπως μπορεῖς νὰ σκεφτεῖς ἢ νὰ πεῖς κάτι στὸ ὁποῖο εἶναι ἀνώτερη ἡ δόξα τοῦ Πατέρα, καὶ μειονεκτεῖ ἡ δόξα τοῦ Υἱοῦ, ἐπειδὴ δὲν μπορεῖ νὰ τὴν παρακολουθήσει καὶ παραιτεῖται ἀπὸ τὸ νὰ συγκριθεῖ μαζί της ἀπὸ ἔλλειψη τῶν ἴσων προσόντων;

Β. Δὲν μπορῶ νὰ σκεφθῶ.

Α. Ἐπίσης τί ἄραγε μπορεῖ νὰ σημαίνει τὸ χέρι τοῦ Πατέρα· ποιὸ ἀπὸ τὰ δύο· τὴν παντοδύναμη ἐνέργεια, ἢ τὴ δύναμή του; Γιατὶ ὁ λόγος γιὰ τὸν Θεὸ εἶναι πάντοτε κάπως ἀνώτερος ἀπὸ τὴ σωματικὴ ἐμφάνιση.

Β. Ὅπως ἐγὼ τουλάχιστο νομίζω, μπορεῖ εὔλογα νὰ σημαίνει καὶ τὰ δύο.

Α. Σωστὰ μιλᾶς· ἀλλὰ αὐτὸ ποὺ εἶναι κάπως κατώτερο καὶ πι-

127. Ἠσ. 6, 2-3.

*μένον ἢ ἐν οἷς ἂν εἴη τὸ ὑπερτεροῦν, πῶς ἂν ἔτι καὶ ἰσουργὸν καὶ ἰσορροποῦν εἰς δύναμιν ὁρῷτό τε καὶ λέγοιτο; Πῶς δ' ἂν ἔχοι τὸ ἰσοκλεὲς τῷ Πατρὶ καὶ τῆς πρὸς αὐτὸν ἑνότητος τὸ δι' ἐμφερείας τῆς εἰς ἄκρον ἠκριβωμένον; «Ἐγώ», γάρ, φησί, «καὶ ὁ Πατὴρ ἕν ἐσμεν», καίτοι τὸ εἰς λῆξιν ἥκειν τὴν ἀνωτάτω μεμαρτυρηκὼς αὐτῷ· «Ὁ Πατήρ μου», γάρ, ἔφασκε, «πάντων μείζων ἐστίν».*

*Β. Οὐκ ἂν ἔχοι, πολλοῦ γε καὶ δεῖ· μείων γὰρ εἴπερ ἐστὶ κατά τι γοῦν ὅλως, συνυφιζήσειεν ἂν αὐτῷ πάντα τὰ αὐτοῦ.*

*Α. Οὐκοῦν τοῖς τοῦ Πατρὸς ἀξιώμασι παρέποιτο ἂν οὐδαμῶς κατ' οὐδὲν ἡττώμενος. Τὸ δὲ ἐν ἴσοις εἶναι μὴ λαχών, οὐδ' ἄν, οἶμαι, φαίη πρὸς αὐτόν, καὶ τοῦτο ἐκ παρρησίας, ὅτι «Πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά». Φέρε γάρ, εἰ δοκεῖ, προσνέμωμεν μὲν τὸ ὑπερκεῖσθαι δεῖν τῷ Πατρί, φῶμεν δὲ εἶναι καταδεᾶ τὸν Υἱόν. Εἶτα ποῖος ἡμῖν ὁ τῆς εὐτεχνίας ἀναφανεῖται τρόπος ὃς ἐφαρμόσειε μὲν ἅπαντα τῷ Υἱῷ τὰ τοῦ Πατρός, τῷ δ' αὖ Πατρὶ τὰ τοῦ Υἱοῦ, ἓν δὲ δήπου πάντως τῶν ἐνεῖναι λεγομένων τῷ Πατρὶ νοηθείη ἂν τὸ ὑπερκεῖσθαί τε καὶ ὑπερτερεῖν; Εἶτα πῶς ἴδιον ἔσται τοῦτο τοῦ Υἱοῦ, καίτοι λαχόντος τὸ μεῖον; Καὶ εἰ τὸ μεῖον ἴδιον τοῦ Υἱοῦ, πῶς ἂν γένοιτο καὶ τοῦ Πατρός, τοῦ ὑπερκεῖσθαι λαχόντος, διηπόρημαι μὲν ἐγώ, σὺ δὲ ἡμῖν ἐκδείξειας ἂν ὅπως.*

*Β. Οὐκ ἂν ἔχοιμι. Δυσδιάφυκτον γὰρ κομιδῇ τῆς ἐννοίας τὸ χρῆμα.*

*Α. Ἡκέτω δὴ οὖν κατὰ ῥοῦν ὁ λόγος, καὶ οἶμον ἴτω τὴν προκειμένην· ἐρήσομαι δέ τι καὶ ἀναγκαῖον. Ἆρ' οὐκ ἐν μόνῃ κείσεται τῇ τοῦ Πατρὸς ἐξουσίᾳ τὸ καὶ πταισμάτων ἐλευθεροῦν καὶ τὴν δυσαπόνιπτον ἡμῶν ἀπαλείφειν ἁμαρτίαν;*

*Β. Φημὶ δή.*

*Α. Καὶ πῶς οὐ λίαν ἐπισφαλὲς τὸ κατακολούειν ἀποτολμᾶν, καίτοι τοῖς ἴσοις ἐμπρέποντα κατορθώμασι, τὸν Υἱόν, καὶ ὡς*

---

128. Ἰω. 17, 10.

στεύεται ὅτι μειονεκτεῖ, καὶ δὲν ἀνήκει σ' αὐτὰ πού εἶναι ἐκεῖνο πού ὑπερτερεῖ, πῶς μπορεῖ νὰ ἐμφανίζεται καὶ νὰ λέγεται ἴσο στὰ ἔργα καὶ στὴ δύναμη; Καὶ πῶς μπορεῖ ὁ Υἱὸς νὰ ἔχει ἴση δόξα μὲ τὸν Πατέρα, καὶ μὲ τὴν ἑνότητα πρὸς αὐτόν, ἀπόλυτη ὁμοιότητα; Γιατὶ λέγει, «Ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα», ἂν καὶ εἶχε βεβαιώσει ὅτι ὁ Πατέρας βρίσκεται στὸ πλέον ἀνώτατο ὕψος· ἀφοῦ ἔλεγε· «Ὁ Πατέρας μου εἶναι ἀνώτερος ὅλων».

Β. Δὲν μπορεῖ νὰ εἶναι· ἀντίθετα μάλιστα ἀπέχει πολύ. Γιατί, ἀφοῦ εἶναι γενικὰ κατά τι κατώτερος, ὑποχωροῦν μαζί του καὶ ὅλα ὅσα εἶναι δικά του.

Α. Ἑπομένως δὲν ἀκολουθεῖ τὰ ἀξιώματα τοῦ Πατέρα μὲ κανένα τρόπο σὲ τίποτε, ὄντας κατώτερος, καὶ ἐφόσον δὲν εἶναι ἴσος, δὲν νομίζω ὅτι μπορεῖ νὰ λέγει πρὸς αὐτόν, καὶ μάλιστα μὲ παρρησία, ὅτι «Ὅλα τὰ δικά μου εἶναι δικά σου, καὶ τὰ δικὰ σου, δικά μου»[128]. Ἐμπρὸς λοιπόν, ἂν θέλεις, νὰ δεχθοῦμε ὅτι ὁ Πατέρας εἶναι ἀνώτερος, καὶ νὰ ποῦμε ὅτι ὁ Υἱὸς εἶναι ἐλλιπής· τότε ποιὸς τρόπος ἐπιδεξιότητας μπορεῖ νὰ βρεθεῖ, ποὺ νὰ προσαρμόσει στὸν Υἱὸ ὅλα ὅσα ἀνήκουν στὸν Πατέρα, καὶ στὸν Πατέρα ὅλα ὅσα ἀνήκουν στὸν Υἱό, καὶ ὁπωσδήποτε ἕνα ἀπὸ αὐτὰ ποὺ λέγεται ὅτι ὑπάρχουν στὸν Πατέρα πρέπει νὰ εἶναι τὸ ὅτι εἶναι ἀνώτερος καὶ ὑπερέχει. Τότε ὅμως πῶς αὐτὸ θὰ εἶναι καὶ ἰδίωμα τοῦ Υἱοῦ, ἀφοῦ εἶναι κατώτερος; Καὶ ἐφόσον ἰδίωμα τοῦ Υἱοῦ εἶναι τὸ ὅτι εἶναι κατώτερος, πῶς τὸ ἰδίωμα αὐτὸ θὰ γίνει καὶ ἰδίωμα τοῦ Πατέρα, ἀφοῦ αὐτὸς ἔχει τύχει νὰ εἶναι ἀνώτερος, ἐγὼ βέβαια ἀπορῶ, ἐσὺ ὅμως θὰ μᾶς ἀποδείξεις πῶς θὰ γίνει.

Β. Δὲν θὰ μπορέσω· γιατὶ εἶναι πολὺ δύσκολο νὰ ἑρμηνεύσει κανεὶς τὸ πρᾶγμα.

Α. Ἂς προχωρήσει λοιπὸν ὁ λόγος τὴν πορεία του καὶ ἂς ἀκολουθήσει τὸν δρόμο του· θὰ πῶ ὅμως κάτι τὸ ἀναγκαῖο. Ἄραγε δὲν ἀνήκει μόνο στὴν ἐξουσία τοῦ Πατέρα ἡ ἐξουσία νὰ συγχωρεῖ τὰ πταίσματα καὶ νὰ ἐξαλείφει τὶς δύσκολα καθαριζόμενες ἁμαρτίες μας;

Β. Συμφωνῶ.

Α. Καὶ πῶς δὲν εἶναι πολὺ ἐπικίνδυνο νὰ τολμοῦν νὰ παρεμποδίζουν τὸν Υἱό, ἂν καὶ διακρίνεται γιὰ τὰ ἴδια κατορθώματα, ἐπειδὴ

*ἔστιν ἐν μείοσιν ἢ ἐν οἷς ὁ Πατὴρ ῥιψοκινδύνως εἰπεῖν; Ὧν γὰρ ἂν βούλοιτο καὶ αὐτὸς ἀνίησιν ἁμαρτίας. Τὴν γοῦν ἀμνησικακίαν προσίεσθαι παραινῶν, χρῆναί τε αὐτῆς ἐξῆφθαι διδάσκων, «Ἐὰν γὰρ ἀφῆτε», φησί, «τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος»· ἀναθεὶς δὲ τῷ Πατρὶ τὸ ἀνεῖναι δύνασθαι κατ' ἐξουσίαν τὰς ἁμαρτίας ὧν ἂν ἕλοιτο τυχόν, αὐτὸς ἑαυτῷ τὴν ἐπὶ τῷδε κατόρθωσιν κατεγγυᾷ λέγων· «Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας (τότε λέγει, φησί, τῷ παραλυτικῷ)· Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Τὸ τοίνυν ἴσον ἐν ἐξουσίᾳ καὶ ἐνεργείᾳ ταὐτόν, πῶς ἂν γένοιτο καταδεὲς καὶ ἐν δευτέροις ἔτι κατατετάξεται;*

*Β. Οὐκ ἂν γένοιτο· σαφὴς γὰρ ὁ λόγος.*

*Α. Ἐπιμαρτυρῆσαι δ' ἂν τοῖς εἰρημένοις τὸ ἀκριβὲς καὶ ὁ θεῖος ἡμῖν ὑποφωνήσας Παῦλος· «Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων;». Καὶ τὴν ἐπὶ τούτῳ μεγαλουργίαν μετατιθεὶς εἰς τὸν Υἱόν, ἀπονέμων τε αὐτῷ τὸ δικαιοῦν δύνασθαι τοὺς πεπιστευκότας, γράφει πάλιν ὡδί· «Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Οἰκειοῖ γὰρ ἡμᾶς ἡ πίστις τῷ Θεῷ καὶ Πατρὶ καὶ ἀγχοῦ καθίστησι δι' Υἱοῦ· δικαιοῖ δὲ ἡμᾶς, κατά γε τὸν ἀληθῆ τε καὶ ἀκιβδήλευτον λόγον, οὐκ ἀναμέρος μὲν ὁ Θεὸς καὶ Πατήρ, ἀναμέρος δὲ αὖ καὶ ἰδικῶς ὁ Υἱός· ἀλλ' ἥπερ ἂν εἶναι νοοῖτο δικαίωσις ἡ παρὰ Πατρός, αὕτη που πάντως ἐστὶ τοῦ Υἱοῦ· καὶ ἥνπερ ἂν ὁ Υἱὸς χαρίσαιτο, ταύτην εἶναι θετέον τοῦ Πατρός. Ὥσπερ γὰρ τὴν εἰς τὸ εἶναι πάροδον δι' Υἱοῦ τὰ πάντα διεκληρώσατο καὶ οὐχ ἕτερον ἔχει δημιουργὸν τὸν δι' οὗ παρήχθη πρὸς ὕπαρξιν τὰ κεκλημένα πρὸς γένεσιν, οὕτω δὴ σώζεται δι' αὐτοῦ τὰ τῆς ἐν ἀρχαῖς εὐταξίας ἀπολισθήσαντα, καὶ τὴν εἰς τὸ εὖ εἶναι πάλιν*

---

129. Ματθ. 6,14.
130. Ματθ. 9,6.
131. Ρωμ. 8,33.

ἀνήκει στὰ κατώτερα καὶ ὄχι σ' αὐτὰ ποὺ εἶναι ὁ Πατέρας, νὰ λένε ριψοκίνδυνα, Ὅτι κι αὐτὸς συγχωρεῖ τὶς ἁμαρτίες αὐτῶν ποὺ θέλει; Νουθετώντας λοιπὸν νὰ ἐφαρμόζουν τὴν ἀμνησικακία καὶ διδάσκοντας ὅτι πρέπει νὰ τὴν συνδέουν μὲ αὐτήν, λέγει· «Ἐάν συγχωρεῖτε στοὺς ἀνθρώπους τὰ παραπτώματά τους, θὰ συγχωρήσει καὶ τὰ δικά σας ὁ Πατέρας σας ὁ οὐράνιος»[129]. Καὶ ἐνῶ ἀναθέτει στὸν Πατέρα τὸ νὰ μπορεῖ μὲ ἐξουσία νὰ συγχωρεῖ τὶς ἁμαρτίες αὐτῶν ποὺ θέλει, ὁ ἴδιος βεβαιώνει τὴν πραγματοποίηση τῆς συγχωρήσεως ἀπὸ τὸν ἑαυτό του, λέγοντας· «Ἀλλὰ γιὰ νὰ μάθετε ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει τὴν ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες πάνω στὴ γῆ (τότε, λέγει, λέγει στὸν παραλυτικὸ)· Σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε στὸ σπίτι σου»[130]. Πῶς λοιπόν, αὐτὸ ποὺ ἔχει ἴση ἐξουσία καὶ εἶναι ἴδιο σὲ ἐνέργεια, θὰ μποροῦσε νὰ εἶναι ὑποδεέστερο καὶ νὰ κατατάσσεται ἀκόμα ἀνάμεσα στὰ δεύτερα;

Β. Δὲν θὰ μποροῦσε νὰ γίνει· γιατὶ ὁ λόγος εἶναι σαφής.

Α. Ἐπιβεβαιώνει ὅμως τὴν ἀκρίβεια αὐτῶν ποὺ εἰπώθηκαν καὶ ὁ θεῖος γιὰ μᾶς Παῦλος, ὁ ὁποῖος φωνάζει· «Ποιὸς θὰ κατηγορήσει τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ; Ὁ Θεὸς τοὺς δικαιώνει· ποιὸς θὰ τὸν κατακρίνει;»[131]. Καὶ μεταθέτοντας τὴν ἐκτέλεση αὐτοῦ τοῦ μεγάλου ἔργου στὸν Υἱό, καὶ ἀναγνωρίζοντάς του τὸ δικαίωμα νὰ μπορεῖ νὰ δικαιώνει αὐτοὺς ποὺ πίστεψαν, γράφει πάλι τὰ ἑξῆς· «Ἀφοῦ λοιπὸν δικαιωθήκαμε μὲ τὴν πίστη, ἔχουμε εἰρήνη μὲ τὸν Θεὸ μέσω τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[132]. Γιατὶ ἡ πίστη μᾶς ἐξοικειώνει μὲ τὸν Θεὸ καὶ Πατέρα καὶ μᾶς τοποθετεῖ κοντά του μέσω τοῦ Υἱοῦ· καὶ μᾶς δικαιώνει, σύμφωνα μὲ τὸν ἀληθινὸ καὶ ἀνόθευτο λόγο, ὄχι κατὰ ἕνα μέρος ὁ Θεὸς καὶ Πατέρας, καὶ κατὰ ἕνα μέρος ἐπίσης καὶ ἰδιαιτέρως, ὁ Υἱός, ἀλλὰ αὐτὴ ποὺ θεωρεῖται ὅτι εἶναι δικαίωση ἀπὸ τὸν Πατέρα, ἡ ἴδια ὁπωσδήποτε εἶναι καὶ τοῦ Υἱοῦ· καὶ αὐτὴ ποὺ χαρίζει ὁ Υἱός, αὐτὴ πρέπει νὰ δεχθοῦμε ὅτι εἶναι τοῦ Πατέρα. Ὅπως λοιπὸν εἶχε τὴν ἐξουσία νὰ φέρει στὴν ὕπαρξη τὰ πάντα, καὶ δὲν ἔχουν ἄλλον δημιουργὸ ἀπὸ τὸν ὁποῖον ἦρθαν στὴν ὕπαρξη αὐτὰ ποὺ κλήθηκαν γιὰ νὰ δημιουργηθοῦν, ἔτσι ἀκριβῶς σώζονται μέσω αὐτοῦ αὐτὰ ποὺ ξέφυγαν ἀπὸ τὴν ἀρχικὴ εὐπείθεια, καὶ δέχονται

132. Ρωμ. 5, 1.

*δέχεται διαμονήν, πρὸς τὸ ἀκριβὲς ἕκαστα τῆς οἰκείας φύσεως ἀναθέοντα κάλλος*

*Β. Πείθομαι.*

*Α. Καὶ γοῦν ὁ θεῖος ἔφη Μωσῆς φειδοῦς ἠξιῶσθαι τῆς ἄνωθεν καὶ παρὰ Πατρός, καίτοι σκληρὸν καὶ δυσάγωγον ὄντα, τὸν Ἰσραήλ. Γράφει γὰρ ὡδί· «Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ». Ἐνηργηκέναι γε μὴν αὐτὸ δὴ τουτὶ δισχυρίζεται λέγων ὁ Υἱός· «Ἰερουσαλήμ, Ἰερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοῦ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος». Καὶ οὐ δή τι δρῶντες τῶν ἀβουλοτάτων παρωσόμεθα μὲν ὡς ἀεργῆ τὸν Πατέρα, μόνῳ δὲ ὅτι προσήκοι τῷ Υἱῷ τὴν ἐπὶ τῷδε δόξαν ἑλεῖν, ἄριστα ἔχειν ἐροῦμεν. Ἀλλ' ὅτι τὸ ἐπ' ἀμφοῖν ὁλοτρόπως ἰσο-στατοῦν καὶ τὸ ἐν οὐσίᾳ ταὐτὸν καὶ μὴν ὅτι μονοειδές τέ ἐστι καὶ ἐν ἁπλοῖς τὸ Θεῖον, ἐνεργὸν ἡμῖν δι' Υἱοῦ τὸν Πατέρα καὶ Θεὸν ἐφῆκε νοεῖν, ὑποψίας ἁπάσης τῆς ὡς ἐν ὑφέσει τῇ ὑπουργικῇ νοουμένης ἰούσης ὡς ἀπωτάτω καὶ ἀδικούσης οὐδὲν εἴς γε τὸν ἰσότητός τε καὶ εὐκλείας τρόπον, τὸν ἐκ Θεοῦ Πατρὸς πεφηνότα Λόγον. Ἐνεργεῖ γὰρ ὁ Πατὴρ ὡς ἰδίᾳ δυνάμει χρώμενος τῷ Υἱῷ, ζώσῃ τε καὶ παρ' αὐτὸν οὐχ ἑτέρᾳ, κατά γε τὸ εἶναι Θεὸν ἐκ Θεοῦ καὶ ἐν Θεῷ φυσικῶς, εἰ καὶ μέτεστιν ἑκατέρῳ τὸ γοῦν ἐν ὑπάρξει νοεῖσθαι τῇ καθ' ἑαυτόν.*

*Β. Εὖ λέγεις.*

*Α. Ὅτι δὲ φύσει τε καὶ ἐξουσίᾳ καὶ ἐνεργείᾳ θεοπρεπεῖ τῇ κατὰ πᾶν ὁτιοῦν οὐδαμόθεν ἂν καταδεᾶ κατοψόμεθα τὸν Υἱὸν ἢ ὥσπερ ἂν ἔχειν νοοῖτο καὶ ὁ Πατήρ, ἀναμάθοις ἄν, οἶμαί που, κἀκ τῶνδε ῥᾳδίως. Διὰ μὲν γὰρ τῆς Ἡσαΐου φωνῆς ὁ Θεὸς ἔφασκε καὶ Πατήρ· «Ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς γῆς. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστιν ἄλλος. Κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύ-*

---

133. Δευτ. 32, 11.

πάλι τὴ διαμονή τους στὴν εὐτυχισμένη ζωή, ἐπανερχόμενα στὴν ἀκριβῆ κάθε φύσεως ὡραιότητα.

Β. Πείθομαι.

Α. Ἀλλὰ καὶ ὁ θεῖος Μωυσῆς εἶπε ὅτι ἀξιώθηκε νὰ ἀναλάβει ἀπὸ πάνω ἀπὸ τὸν Πατέρα τὴ φροντίδα τοῦ Ἰσραηλιτικοῦ λαοῦ, ποὺ ἦταν ἀπειθὴς καὶ σκληροτράχηλος. Γιατὶ γράφει τὰ ἑξῆς· «Ὅπως ὁ ἀετὸς σκεπάζει τὴ φωλιά του καὶ ἁπλώνοντας τὰ φτερά του παίρνει καὶ τοποθετεῖ τὰ μικρὰ του στὴ ράχη του»[133]. Τὸ ἴδιο ἀκριβῶς λέγει ὅτι ἔκανε καὶ ὁ Υἱός· «Ἱερουσαλήμ, Ἱερουσαλήμ, σὺ ποὺ σκοτώνεις τοὺς προφῆτες καὶ λιθοβολεῖς τοὺς ἀπεσταλμένους σὲ σένα· πόσες φορὲς θέλησα νὰ μαζέψω τὰ παιδιά σου, ὅπως ἡ ὄρνιθα μαζεύει τὰ μικρά της κάτω ἀπὸ τὰ φτερά της, ἀλλὰ δὲν τὸ θελήσατε; Νὰ λοιπόν, ἐγκαταλείπεται τὸ σπίτι σας ἔρημο ἀπὸ σᾶς»[134]. Καὶ χωρὶς νὰ κάνουμε κάτι ἀπὸ αὐτὰ ποὺ δὲν θέλουμε, δὲν παραγκωνίζουμε βέβαια τὸν Πατέρα ὡς ἀδρανῆ, οὔτε λέμε ὅτι εἶναι πολὺ καλὸ τὸ ὅτι ἡ δόξα γι' αὐτὸ ἀνήκει μόνο στὸν Υἱό, ἀλλὰ λέμε ὅτι, ἐνῶ ἀπὸ ὅλες τὶς πλευρὲς καὶ οἱ δύο εἶναι ἰσοστάθμιοι καὶ ταυτίζονται ὡς πρὸς τὴν οὐσία, ἀλλὰ καὶ ὅτι τὸ Θεῖο εἶναι μονοειδὲς καὶ ἁπλό, ἄφησε νὰ κατανοοῦμε τὸν Πατέρα καὶ Θεὸ ὅτι ἐνεργεῖ διὰ τοῦ Υἱοῦ, ὥστε νὰ ἀπομακρύνεται πάρα πολὺ κάθε ὑποψία γιὰ κατωτερότητα ὑπηρετική, καὶ νὰ μὴ ἀδικεῖ καθόλου, ὅσον ἀφορᾶ τὸν τρόπο τῆς ἰσότητας καὶ τῆς δόξας, τὸν Υἱὸ ποὺ προῆλθε ἀπὸ τὸν Πατέρα. Γιατὶ ἐνεργεῖ ὁ Πατέρας, χρησιμοποιώντας τὸν Υἱὸ ὡς δική του δύναμη, ζωντανὴ καὶ ποὺ δὲν εἶναι διαφορετικὴ ἀπὸ αὐτόν, ἀφοῦ εἶναι Θεὸς ποὺ προῆλθε ἀπὸ Θεό, καὶ ὑπάρχει μέσα στὸν Θεὸ κατὰ φύση, ἂν καὶ εἶναι στὴ φύση τοῦ καθενὸς νὰ νοεῖται σὲ ξεχωριστὴ ὕπαρξη.

Β. Καλὰ τὰ λές.

Α. Ὅτι λοιπὸν ὡς πρὸς τὴ φύση, τὴν ἐξουσία καὶ τὴν ἐνέργεια ποὺ ταιριάζει στὸν Θεὸ σὲ κάθε τι δὲν θὰ δοῦμε μὲ κανένα τρόπο τὸν Υἱὸ νὰ εἶναι κατώτερος ἀπὸ ὅ,τι εἶναι ὁ Πατέρας, θὰ τὸ μάθεις, νομίζω, εὔκολα καὶ ἀπὸ τὰ ἑξῆς· Μὲ τὴ φωνὴ τοῦ Ἠσαΐα ὁ Θεὸς καὶ Πατέρας ἔλεγε· «Ἐπιστρέψατε σὲ μένα καὶ θὰ σωθεῖτε ὅσοι κατοικεῖτε στὰ πέρατα τῆς γῆς. Ἐγὼ εἶμαι ὁ Θεός, καὶ δὲν ὑπάρχει ἄλλος. Ὁρκίζομαι στὸν ἑαυτό μου, ὅτι ἀληθινὰ θὰ βγεῖ ἀπὸ τὸ στόμα μου δικαι-

134. Ματθ. 23, 37-38.

*σύνη, οἱ λόγοι μου οὐκ ἀποστραφήσονται». Τὸ δὲ δὴ λαμπρὸν αὔχημα τοῦ Πατρός, τὸ καὶ καλεῖν δύνασθαι καὶ ἀνασώζειν φημὶ τοὺς ἀπ' ἐσχάτου τῆς γῆς, καὶ λαλεῖν μὲν τὴν δικαιοσύνην, εὐσθενῆ δὲ οὕτω καὶ ἀποστροφῆς ἀμείνω διακεκτῆσθαι τὸν λόγον, περιθείης ἂν ἑτέρῳ τῳ παρ' αὐτόν, εἰπέ μοι;*

*Β. Οὐκ ἔγωγε· μόνῳ γὰρ ἂν πρέποι Θεῷ τὰ ἰδικῶς αὐτοῦ τε καὶ μόνου.*

*Α. Εἰ δὲ δὴ τοῖς ἴσοις αὐχήμασι καὶ ἡ τοῦ Υἱοῦ κατακαλλύνοιτο φύσις, καὶ ἰσομοιροῦσαν ἔχοι τὴν δόξαν, ἆρα ἂν ἔτι τὸ μεῖον αὐτῷ πρέποι ἄν, ὦ 'γαθέ, κατά τι γοῦν ὅλως;*

*Β Οὐδαμῶς*

*Α. Πεύσῃ τοιγαροῦν βοῶντος ἀναφανδόν· «Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς». Ἢ οὐχὶ τοῦτό ἐστι τό, «Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστιν ἄλλος»; Θείῳ γὰρ ὑπέζευκται τὰ πάντα ζυγῷ, καὶ τοῖς τῆς δουλείας ἐπήχθισται μέτροις Περὶ δέ γε τῶν οἰκείων λόγων ὧδέ πή φησιν· «Ἀμὴν λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρε λεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι». Συνίῃς οὖν ὅπως παθεῖν οὐκ ἀνέχονται τὴν ἀποστροφὴν οἱ δι' Υἱοῦ λόγοι, καθάπερ ἀμέλει καὶ οἱ τοῦ Πατρός;*

*Β. Συνίημι.*

*Α. Καὶ πρός γε τούτοις ἐρῶ, τὸ προνοεῖν δύνασθαι τῶν ὄντων, ὡς ἔξω χειρὸς ἀνεῖναι τῆς ἑαυτοῦ παντελῶς οὐδέν, οὐχ ἑτέρῳ τῳ μᾶλλον, μόνῳ δ' ἂν καὶ σφόδρα εἰκότως ὁρῷτο προσὸν τῷ τῶν ὅλων κρατοῦντι Θεῷ. Ἢ οὐκ ἄριστά σοι ταυτὶ φάναι τε καὶ καταθρῆσαι δοκῶ;*

*Β. Ἄριστά γε.*

*Α. Ἰσογενῆ τοιγαροῦν τὴν τῶν ὅλων πρόνοιαν ποιουμένους εὑρήσομεν τόν τε Πατέρα καὶ τὸν Υἱόν.*

*Β. Πῶς ἔφης;*

---

135. Ἠσ. 45, 22-23. 136. Ματθ. 11, 28. 137. Ἠσ. 45, 18.

οσύνη, καὶ τὰ λόγια μου δὲν θὰ γυρίσουν πίσω ἀπραγματοποίητα»[135]. Καὶ τὸ λαμπρὸ καύχημα τοῦ Πατέρα, ἐννοῶ αὐτὸ ποὺ μπορεῖ νὰ καλεῖ καὶ νὰ σώζει ὅσους κατοικοῦν στὰ ἔσχατα τῆς γῆς, καὶ νὰ κηρύττει βέβαια τὴ δικαιοσύνη, ἀλλὰ ὁ λόγος του νὰ εἶναι τόσο πολὺ δυνατὸς καὶ ἀνώτερος ἀπὸ τὸ νὰ τύχει ἀποστροφῆς, πές μου, θὰ τὸ ἀπέδιδες σὲ ἄλλον ἐκτὸς ἀπὸ αὐτόν;

Β. Ἐγὼ ὄχι· γιατὶ μόνο στὸν Θεὸ ταιριάζουν τὰ ἰδιώματα αὐτοῦ καὶ μόνου.

Α. Ἐὰν ὅμως καὶ ἡ φύση τοῦ Υἱοῦ κοσμεῖται μὲ τὰ ἴδια προσόντα, καὶ ἔχει ἴση δόξα, μπορεῖ ἀκόμα νὰ τοῦ ταιριάζει τὸ κατώτερο, φίλε, ὡς πρὸς κάτι γενικά;

Β. Καθόλου.

Α. Θὰ ἀκούσεις λοιπὸν νὰ φωνάζει φανερά· «Ἐλᾶτε σὲ μένα ὅλοι ὅσοι εἴσαστε κουρασμένοι καὶ φορτωμένοι, καὶ ἐγὼ θὰ σᾶς ξεκουράσω. Σηκῶστε τὸν ζυγό μου ἐπάνω σας»[136]. Ἢ μήπως αὐτὸ δὲν σημαίνει τό, «Ἐγὼ εἶμαι ὁ Θεός, καὶ δὲν ὑπάρχει ἄλλος»[137]; Γιατὶ ὅλα εἶναι ζεμένα στὸν θεϊκὸ ζυγὸ καὶ εἶναι φορτωμένα μὲ τὰ μέτρα τῆς δουλείας. Καὶ γιὰ τὰ δικά του λόγια λέγει κάπου τὰ ἑξῆς· «Ἀλήθεια σᾶς λέγω, μέχρι νὰ καταστραφοῦν ὁ οὐρανὸς καὶ ἡ γῆ, οὔτε ἕνα γιῶτα ἢ μικρὴ στιγμὴ δὲν θὰ καταργηθεῖ ἀπὸ τὸν νόμο, μέχρι νὰ πραγματοποιηθοῦν ὅλα. Ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ καταργηθοῦν, ἀλλὰ τὰ λόγια μου δὲν θὰ καταργηθοῦν»[138]. Καταλαβαίνεις λοιπὸν γιὰ ποιὸ λόγο δὲν ἐπιδέχονται μὴ πραγματοποίηση τὰ λόγια τοῦ Υἱοῦ, ὅπως ἀκριβῶς καὶ τὰ λόγια τοῦ Πατέρα;

Β. Καταλαβαίνω.

Α. Καὶ κοντὰ σ᾽ αὐτά, ἡ δύναμη νὰ προνοεῖ γιὰ τὰ ὄντα, ἀφοῦ τίποτε ἀπολύτως δὲν ξεπερνᾶ τὴ δύναμη τοῦ χεριοῦ του, δὲν φαίνεται νὰ ὑπάρχει σὲ κανένα ἄλλον, παρὰ μόνο πολὺ εὔλογα στὸν Θεὸ ποὺ εἶναι κυρίαρχος ὅλων. Δὲν σοῦ φαίνομαι ὅτι αὐτὰ τὰ εἶπα καὶ τὰ ἀνέπτυξα ἄριστα;

Β. Ναί, ἄριστα.

Α. Ἑπομένως βλέπουμε ὅτι τὴν πρόνοια τῶν ὅλων τὴν κάνουν ἐξίσου καὶ ὁ Πατέρας καὶ ὁ Υἱός.

Β. Πῶς τὸ ἐννοεῖς;

---

138. Ματθ. 5, 18.

*Α. Περὶ μὲν γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸς ἔφασκεν ὁ Υἱός· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς». Ὁρῷτο δ' ἂν καὶ αὐτὸς τὴν οὕτω μακρὰν καὶ ἐπὶ πάντα διήκουσαν ἀπονέμων φειδὼ καὶ τοῖς τῶν ὄντων εὐτελεστάτοις καὶ ὧν ὁ λόγος οὐ πολύς. Ἐπειδὴ γὰρ τοὺς τῆς Ἰουδαίας ὅρους ἀφείς, εἰς τὴν τῶν Γεργεσηνῶν μετεφοίτησε γῆν, ἀπεσόβει μὲν ἀνθρώπων τὰ πονηρὰ δαιμόνια, τὰ δὲ τοῖς θείοις εἴκοντα νεύμασιν, ἔδρα μὲν ἀνάγκῃ τὸ κεκελευσμένον, χοίρων γε μὴν ἐζήτει τὴν ἐξουσίαν. Εἶτα ὁ πάντα ὑπὸ πόδας ἔχων ἀνίησιν ἑκὼν καί σφιν ἰέναι κελεύει· τὰ δὲ τοῖς ὕδασιν ἐνιέντα θερμῶς τὰς συῶν ἀγέλας ὁμιλαδὸν ἀποπνίγουσιν. Ἆρ' οὖν, εἰπέ μοι, τοῖς οὕτω βδελυρωτάτοις καὶ ἀκαθάρτοις πνεύμασι κατένευσε τὴν φιλοτιμίαν, καὶ διαπεραίνεσθαι τὸ δοκοῦν ἠφίει Χριστὸς τοῖς οὐδὲν ἐθέλουσιν ἀγαθόν; Καὶ μὴν ἀπίθανον κομιδῇ τὸ γοῦν τι τοιοῦτον ἡμᾶς ἐννοεῖν· ἀλλ' ἦν ἀναγκαῖον οὐ μεῖον ἢ ὁ Πατὴρ καὶ τὴν τῶν ὄντων πρόνοιαν ἀνῆφθαι τὸν Υἱόν, τοῦτό τε αὐτὸ δι' ἐνεργεστάτων ἡμῖν κατέδειξε πραγμάτων, ἵνα τὸ τῆς κατὰ πᾶν ὁτιοῦν ἰσότητος κάλλος λαμπρόν τε καὶ ἀκιβδήλευτον ἐπ' ἀμφοῖν διαφαίνοιτο.*

*Β. Καὶ πῶς ἂν γένοιτο τοῦτο, φησί· ποῦ δὲ τὸ ἴσον ἐπ' ἀμφοῖν ὁρῷτο ἄν, ὑποταττομένου τε καὶ ὑφιζάνοντος τοῦ Υἱοῦ, περὶ οὗ φησιν ὁ θεσπέσιος Παῦλος· «Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, δηλονότι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»;*

*Α. Εἶτα τί τοῦτο ἐροῦσι, τὸ ὑποτετάχθαι φημὶ τῷ Πατρὶ τὸν Υἱόν, ἢ καὶ ὅπως ἂν ἐξώσειαν τῆς πρὸς αὐτὸν ἰσότητος τὸν ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον; Οὗ δ' ἂν ὅλως ὁ τῆς φύσεως ἡμῖν πολυπραγμονῆται λόγος, τί τὸ χρῆμα τῆς ὑποταγῆς ἀνοητότατα παρεισκρίνεται, τοῖς τῆς οὐσίας λόγοις οὐκ ἐγγραφόμενον;*

*Β. Ὅτι ἐκ τοῦ ὑποτετάχθαι, φησίν, ἡ τῆς οὐσίας ποιότης εὖ μάλα διαγινώσκεται.*

---

139. Ματθ. 10, 29. 140. Ματθ. 8, 32. 141. Ματθ. 8, 28-34.

Α. Γιὰ τὸν Θεὸ βέβαια καὶ Πατέρα ὁ ἴδιος ὁ Υἱὸς εἶπε· «Δυὸ σπουργίτια δὲν πωλοῦνται γιὰ μιὰ πεντάρα; Καὶ ὅμως κανένα ἀπὸ αὐτὰ δὲν θὰ πέσει χωρὶς τὴ θέληση τοῦ Πατέρα σας τοῦ οὐράνιου»[139]. Θὰ μποροῦσε μάλιστα ὁ ἴδιος αὐτὴ τὴν τόσο μεγάλη πρόνοια, ἡ ὁποία φτάνει σὲ ὅλα, νὰ τὴν προσφέρει καὶ στὰ πιὸ εὐτελῆ ἀπὸ τὰ ὄντα, γιὰ τὰ ὁποῖα δὲν γίνεται πολὺς λόγος. Ὅταν λοιπὸν ἄφησε τὰ ὅρια τῆς Ἰουδαίας καὶ πῆγε στὴ χώρα τῶν Γεργεσηνῶν, ἔδιωχνε ἀπὸ τοὺς ἀνθρώπους τὰ πονηρὰ δαιμόνια, τὰ ὁποῖα ὑπακούοντας στὶς θεϊκὲς προσταγὲς ἐκτελοῦσαν ἀναγκαστικὰ ὅ,τι τοὺς διέτασσε, καὶ ζητοῦσαν τὴν ἐξουσία τῶν χοίρων[140]. Ἔπειτα αὐτὸς ποὺ εἶχε τὰ πάντα κάτω ἀπὸ τὰ πόδια του, τὰ ἀφήνει μὲ τὴ θέλησή του καὶ τὰ διατάζει νὰ πᾶνε σ' αὐτούς, καὶ ἐκεῖνα μπαίνοντας μέσα στὰ νερὰ ὁρμητικά, ἔπνιξαν ὅλες τὶς ἀγέλες τῶν χοίρων μαζί[141]. Πές μου λοιπόν, ὁ Χριστὸς ἔδωσε στὰ τόσο σιχαμερὰ καὶ ἀκάθαρτα πνεύματα τὴν ἄδεια νὰ κάνουν αὐτὸ ποὺ τοὺς ἀρέσει σ' αὐτὰ ποὺ δὲν θέλουν τίποτε καλό; Εἶναι πράγματι πολὺ ἀπίθανο νὰ σκεφτόμαστε κάτι τέτοιο, ἀλλ' ἦταν ἀναγκαῖο νὰ μᾶς δείξει ἔμπρακτα, ὅτι ὁ Υἱὸς εἶχε καὶ τὴ φροντίδα τῶν ὄντων ὄχι λιγώτερο ἀπὸ ὅ,τι ὁ Πατέρας, γιὰ νὰ γίνει φανερὴ στὸ κάθε τι λαμπερὴ καὶ ἀνόθευτη ἡ ὀμορφιὰ τῆς ἰσότητας καὶ στοὺς δύο.

Β. Καὶ πῶς, λέγει, μπορεῖ νὰ γίνει αὐτό; Καὶ ποῦ μπορεῖ νὰ φανεῖ ἡ ἰσότητα τῶν δύο, ἀφοῦ ὁ Υἱὸς ὑποτάσσεται καὶ ὑπακούει, γιὰ τὸν ὁποῖο ὁ θεσπέσιος Παῦλος λέγει· «Καὶ ὅταν ὑποταχθοῦν σ' αὐτὸν τὰ πάντα, ἐκτὸς βέβαια ἀπὸ ἐκεῖνον ποὺ ὑπέταξε σ' αὐτὸν τὰ πάντα, τότε καὶ ὁ ἴδιος ὁ Υἱὸς θὰ ὑποταχθεῖ σ' ἐκεῖνον ποὺ ὑπέταξε σ' αὐτὸν τὰ πάντα, γιὰ νὰ εἶναι τὰ πάντα σὲ ὅλα ὁ Θεός[142];

Α. Ἔπειτα γιατί τὸ λένε αὐτό, ἐννοῶ τὸ ὅτι εἶναι ὑποταγμένος ὁ Υἱὸς στὸν Πατέρα, ἢ μήπως γιὰ νὰ ἀποξενώσουν ἀπὸ τὴν ἰσότητά του πρὸς τὸν Πατέρα αὐτὸν ποὺ γεννήθηκε ἀπὸ ἐκεῖνον κατὰ φύση; Ἐφόσον ὅμως γενικὰ ἐρευνᾶται ἀπὸ μᾶς ὁ λόγος τῆς φύσεως, τότε γιατί ὑπεισέρχεται κατὰ τρόπο ἀνόητον τὸ θέμα τῆς ὑποταγῆς, ἀφοῦ δὲν περιλαμβάνεται στοὺς λόγους τῆς οὐσίας;

Β. Ἐπειδὴ ἀπὸ τὴν ὑποταγή του, λέγει, γίνεται καλύτερα ἀντιληπτὴ ἡ ποιότητα τῆς οὐσίας.

---

142. Α΄ Κορ. 15, 28.

*Α. Καὶ μήν, ὦ φιλότης, ἀναμάθοις ἂν καὶ λίαν ἀκονιτὶ τὸν ἐπὶ τῷδε λόγον ὡς σαθρός τέ ἐστι καὶ ἀμαθίας ἔμπλεως. «Πνεύματα μὲν γὰρ προφητῶν προφήταις ὑποτάττεται», κατὰ τὸ γεγραμμένον, καὶ οἱ τοῦ δεῖνος, φέρε εἰπεῖν, υἱοὶ τῷ ἰδίῳ γεννήτορι, καθάπερ ἀμέλει φαίην ἂν ὅτι τῷ μὲν Ἀβραὰμ ὁ Ἰσαὰκ ὑπετάττετο, τῷδε δὲ αὖ πάλιν ὁ ἐξ αὐτοῦ. Ἀλλ' οὔτε τὰ τῶν προφητῶν πνεύματα διὰ τὴν εἰς ἄλληλα γενομένην ὑποταγὴν ἀνομοίαν αὐτοῖς τὴν φύσιν ἐτίθει, οὔτε μὴν ἑτεροφυᾶ τε καὶ ἔκφυλον τὸν μακάριον Ἰσαάκ, ἐπείπερ αἰδοῖ τῇ πρὸς πατέρα νικώμενος, ὑπετάττετο καὶ καλὸν υἱότητος ξένιον ἐδίδου τῷ φύσαντι τὴν ὑπακοήν. Εἰ μὲν οὖν οἷς ἂν ἐγγένοιτο τῆς ὑποταγῆς τὸ χρῆμα πάντῃ τε καὶ πάντως ἑτερουσίους ὁρᾶσθαι ποιεῖ καὶ θεσμῶν ἐξίστησι φυσικῶν, διαπεπήχθω καλῶς, ἑστάτω τοῦτο καὶ ἐφ' Υἱοῦ, καὶ ἀληθὴς ἔστω ὁ λόγος. Εἰ δὲ τοῖς τῆς οὐσίας λόγοις παρενοχλεῖ μὲν οὐδέν, τρόπος δέ, οἶμαι, τίς οὑτοσὶ τιμῆς καὶ ὑπακοῆς, ὡς ἐξ υἱοῦ πρὸς πατέρα, καὶ θελημάτων ἀστεία ῥοπὴ τὸ εἰκὸς καὶ πρέπον ἐκτετιμηκότων, ὃ μηδὲ ἐφ' ἡμῶν αὐτῶν κατὰ τῶν τῆς φύσεως ἰσχύει λόγων· τί προσνέμουσιν ἀμαθῶς καὶ ὡς δυσανάτρεπτον κομιδῇ κατεξανιστᾶσιν οἱ δείλαιοι τῷ ἐκ Θεοῦ κατὰ φύσιν Θεῷ; Ἢ γὰρ οὐχὶ γέγραφεν ὁ Λουκᾶς περί τε αὐτοῦ τοῦ Χριστοῦ καὶ τῆς ἁγίας Παρθένου καὶ τοῦ νομισθέντος κατὰ σάρκα πατρὸς ὅτι «Ἦν ὑποταττόμενος αὐτοῖς»;*

*Β. Ναὶ γέγραφεν ὁμολογουμένως.*

*Α. Ἆρ' οὖν, ὦ 'γαθέ, καὶ ἀνθρώπου φύσεως ἐρρίφθαι κατόπιν ὑποτοπητέον αὐτόν, καίτοι Θεὸν ἐκ Θεοῦ πεφηνότα καὶ ἀπορρήτως γεγεννημένον, ἐπεὶ καὶ αὐτοῖς ὑπετίθει τὰ καθ' ἑαυτόν, καὶ ὑπετάττετο μὲν τῇ κατὰ σάρκα μητρί, τὸ ὡς πατρὶ πρέπον ἐχαρίζετο γέρας;*

*Β. Οὐδαμῶς, θορυβεῖ δὲ λίαν ἡ ὑποταγὴ καὶ τοῦ τὸ μεῖον ἔχειν αὐτὸν ὑποψίας ἐμποιεῖν οὐκ ἀνικάνως ἔχει.*

*Α. Ἀλλ' οὐχὶ τοῖς ἐν πίστει βεβαίως ἐρηρεισμένοις ἐνεργά-*

---

143. Λουκᾶ 2, 51.

Α. Καὶ ὅμως, φίλε, θὰ μάθεις καὶ χωρὶς πολὺ κόπο, ὅτι ὁ λόγος γιὰ τὸ θέμα αὐτὸ στερεῖται βάσεως καὶ εἶναι γεμᾶτος ἀμάθεια. Γιατὶ σύμφωνα μ᾽ αὐτὸ ποὺ ἔχει γραφεῖ, τὰ πνεύματα προφητῶν ὑποτάσσονται στοὺς προφῆτες, καὶ οἱ υἱοὶ τοῦ τάδε, γιὰ παράδειγμα, ὑποτάσσονται στὸν πατέρα τους, ὅπως ἀκριβῶς θὰ μπορούσαμε νὰ ποῦμε ὅτι στὸν Ἀβραὰμ ὑποτασσόταν ὁ Ἰσαάκ, καὶ σ᾽ αὐτὸν πάλι ἐκεῖνος ποὺ γεννήθηκε ἀπὸ αὐτόν. Ἀλλ᾽ οὔτε τὰ πνεύματα τῶν προφητῶν ἐξαιτίας τῆς ὑποταγῆς μεταξύ τους εἶχαν ἀνόμοια τὴ φύση, οὔτε καὶ ὁ μακάριος Ἰσαὰκ ἦταν ἄλλης φύσεως καὶ γένους, ἐπειδὴ ὑποτασσόταν ὑποχωρώντας ἀπὸ σεβασμὸ πρὸς τὸν πατέρα του, καὶ ἔδινε σὲ ἐκεῖνον ποὺ τὸν γέννησε τὴν ὑπακοὴ ὡς καλὸ δῶρο τῆς υἱότητάς του. Ἐὰν λοιπὸν ἐκείνους στοὺς ὁποίους συμβαίνει ἡ ὑποταγὴ τοὺς κάνει ὁπωσδήποτε νὰ φαίνονται ἑτερούσιοι καὶ τοὺς ἀποξενώνει ἀπὸ τοὺς φυσικοὺς θεσμούς, ἔχει καλῶς, καὶ ἰσχύει αὐτὸ καὶ γιὰ τὸν Υἱό, καὶ ὁ λόγος εἶναι ἀληθινός. Ἐὰν ὅμως τοὺς λόγους τῆς οὐσίας δὲν τοὺς ἐνοχλεῖ καθόλου, ἀλλ᾽ ἁπλῶς εἶναι, νομίζω, ἕνας τρόπος τιμῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα καὶ μιὰ λεπτὴ ἐκτέλεση θελημάτων ἐκείνων ποὺ ἐκτιμοῦν αὐτὸ ποὺ εἶναι εὔλογο καὶ πρέπον, τὸ ὁποῖο οὔτε καὶ σὲ μᾶς τοὺς ἴδιους ἰσχύει ὡς πρὸς τὸν λόγο τῆς φύσεως, τότε γιατί τὸ ἀποδίδουν μὲ τρόπον ἀμαθῆ καὶ ὡς κάτι ποὺ πολὺ δύσκολα ἀνατρέπεται τὸ προβάλλουν οἱ δυστυχεῖς ἐναντίον τοῦ κατὰ φύση Θεοῦ ποὺ προῆλθε ἀπὸ Θεό; Ἢ μήπως δηλαδὴ δὲν ἔγραψε ὁ Λουκᾶς καὶ γιὰ τὸν ἴδιο τὸν Χριστὸ καὶ τὴν ἁγία Παρθένο καὶ γιὰ ἐκεῖνον ποὺ θεωρήθηκε κατὰ σάρκα πατέρας του, ὅτι «ὑποτασσόταν σ᾽ αὐτούς»[143];

Β. Ναί, τὸ ἔγραψε ὁμολογουμένως.

Α. Ἑπομένως, φίλε, πρέπει νὰ ὑποθέσουμε, ὅτι καὶ ἀπὸ τὴν ἀνθρώπινη φύση ἀπερρίφθη στὴ συνέχεια αὐτός, ἂν καὶ ἦταν Θεὸς ποὺ προῆλθε ἀπὸ Θεό, καὶ εἶχε γεννηθεῖ κατὰ τρόπο ἀπερίγραπτο, γιατὶ καὶ σ᾽ αὐτοὺς ὑπέτασσε ὅλα τὰ δικά του, καὶ ὑποτασσόταν στὴν κατὰ σάρκα μητέρα του, καὶ ἀπὸ σεβασμὸ πρὸς τὸν Ἰωσὴφ γινόταν κατώτερος καὶ τοῦ ἀπένειμε τὴν πρέπουσα τιμή;

Β. Καθόλου, ἀλλὰ μὲ θορυβεῖ πολὺ ἡ ὑποταγὴ καὶ τὸ ὅτι τὸν κάνει ὕποπτον μειονεξίας.

Α. Ὅμως ἐκείνους ποὺ στηρίζονται σταθερὰ στὴν πίστη δὲν

*σαιτ' ἂν τὸ κατά τι γοῦν ἐνδοιάσαι δεῖν, οἳ τὸν ἀσινῆ τε καὶ ἀκαπήλευτον ἐν ἰδίαις ψυχαῖς εἰσοικισάμενοι λόγον, τὴν ἀπατεῶνα καὶ ϐωμολόχον τῶν διεστραμμένων οὐ προσίενται δόξαν, διαμέμνηνται δὲ μᾶλλον τοῦ μακαρίου γράφοντος Παύλου· «Λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ». Ἀναπνεῖ μὲν γὰρ ἔσθ' ὅτε καὶ ἀναφυσᾶται πολὺ κατά γε τῆς δόξης τοῦ Μονογενοῦς τῶν δι' ἐναντίας ὁ λόγος, καὶ ἐξ αὐτῶν ἡμῖν τῶν ἱερῶν Γραμμάτων ἀρτύει τὸ κατηγόρημα, ὁποῖον δὴ τοῦτό ἐστι τὸ δεινόν, ὡς οἴονται, καὶ ἀειθρύλητον πρόϐλημα· «Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα». Ἀλλ' οἱ νήψει τῇ κατὰ Θεὸν διεγηγερμένοι πρὸς σύνεσιν τὴν εὐμαθῆ τε καὶ ἀπαράφθορον κατατυραννοῦν τῆς ἀληθείας εἰ θεάσαιντο τὸ ῥητόν, καὶ οὔτι που δι' ἑαυτὸ (γέγραπται γὰρ ὀρθῶς), ταῖς δὲ τῶν δι' ἐναντίας παρατροπαῖς εἴς γε τὸ δοκεῖν οὐκ ὀρθῶς εἰρῆσθαι παρωθούμενον, τότε δή, τότε τοῖς τῆς ἀληθείας ὅπλοις ἐρηρεισμένοι, πᾶν ὕψωμα καταστρέφουσι λογισμῶν ἀσυνέτων, καὶ χωροῦν ἤδη πως εἰς ἀπόστασιν ἕλκουσι τὸ ῥητὸν ἀντιπαρατρέποντες εὐσθενῶς εἰς ὑπακοὴν τοῦ Χριστοῦ, τουτέστιν εἰς οἰκονομίαν τὴν μετὰ σαρκός. Τὸ γάρ τοι τῆς ὑπακοῆς ὄνομά τε καὶ χρῆμα τὸν τῆς δουλείας ἡμῖν κατασημαίνει καιρόν, ὅτε Θεὸς ὢν γέγονεν ἄνθρωπος, καὶ τὸ κατὰ πάντων κράτος οὐκ εἰσποίητον ἔχων, ἀλλ' ὡς ἐκ Θεοῦ Θεός, κεχρημάτικε δοῦλος, ἐν μορφῇ τε ὢν καὶ ἰσότητι τοῦ Πατρός, τεταπείνωκεν ἑαυτόν, καθεὶς ἀϐιάστως εἰς ἑκούσιον κένωσιν. Ταύτῃτοι, καὶ μάλα εἰκότως, ἐν τοῖς καθ' ἡμᾶς γενέσθαι πεπιστευμένος, τὴν κοινὴν δὴ ταύτην ἁπάντων φύσιν μετὰ τῶν αὐτῆς μειονεκτημάτων ἐδέχετο· μειονέκτημα δὲ φύσεως γενητῆς ὡς πρὸς Θεὸν τὸ ὑποτετάχθαι δεῖν. Πλὴν οὐκ ἔν γε τῷ ὑποτετάχθαι τοῖς οὖσι τὸ εἶναί ἐστι, κατά γε τὸ ἐκείνοις ἀδιορίστως δοκοῦν καὶ ἀτημελῶς εἰρημένον, ἀλλ' ὄντα τε καὶ ὑφεστηκότα κατ' ἴδιον λόγον, καὶ ὡς ἂν ἑκάστῳ ϐραϐεύοι τυχὸν ἡ αὐτοῦ φύσις, ἐθελούσιον εἰσδέχεται τὴν ὑποταγὴν καὶ γνώμης ποιεῖται τὸ χρῆμα καρπόν.*

---

144. Β' Κορ. 10, 5.   145. Α' Κορ. 15, 28.   146. Ρωμ. 1, 18.

μπορεῖ νὰ τοὺς κάνει νὰ ἔχουν κάποιο δισταγμό. Αὐτοί, ἀφοῦ δέχθηκαν μέσα στὶς ψυχές τους τὸν ἀβλαβῆ καὶ ἀνόθευτο λόγο, δὲν ἐπιδοκιμάζουν τὴν ἀπατηλὴ καὶ χυδαία πίστη τῶν διεστραμμένων, ἀλλὰ θυμοῦνται μᾶλλον τὸν μακάριο Παῦλο ποὺ γράφει· «Γκρεμίζουμε συλλογισμοὺς καὶ κάθε τι ποὺ ὑψώνεται ἐναντίον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ ὑποτάσσοντας κάθε σκέψη μας στὴν ὑπακοὴ τοῦ Χριστοῦ»[144]. Γιατὶ μερικὲς φορὲς ὁ λόγος τῶν ἀντιθέτων ἐπιτίθεται μὲ μανία ἐναντίον τῆς δόξας τοῦ Μονογενοῦς, ἀντλώντας ἀπὸ τὶς ἴδιες τὶς ἅγιες γιὰ μᾶς Γραφὲς τὴν κατηγορία, ἡ ὁποία, ὅπως νομίζουν, εἶναι αὐτὸ τὸ φοβερὸ καὶ πολυθρύλητο πρόβλημα· «Καὶ ὅταν ὑποταγοῦν σ᾽ αὐτὸν τὰ πάντα, τότε καὶ ὁ ἴδιος ὁ Υἱὸς θὰ ὑποταγεῖ σ᾽ ἐκεῖνον ποὺ ὑπέταξε τὰ πάντα σ᾽ αὐτόν»[145]. Ὅμως ἐκεῖνοι ποὺ μὲ τὴν κατὰ Θεὸν νηφαλιότητα ἀγρυπνοῦν γιὰ τὴ φιλομαθῆ καὶ ἀπαραχάρακτη πίστη, βλέποντας τὸ ρητὸ νὰ τοὺς ταλαιπωρεῖ, ὄχι βέβαια τὸ ἴδιο (γιατὶ εἶναι σωστὰ γραμμένο)[146], ἀλλὰ μὲ τὶς διαστροφὲς τῶν ἀντιθέσεων, οἱ ὁποῖοι τὸ ἀπορρίπτουν ἐπειδὴ τοὺς φαίνεται ὅτι δὲν εἶναι σωστό, τότε λοιπὸν ἀνθιστάμενοι μὲ τὰ ὅπλα τῆς ἀλήθειας, γκρεμίζουν κάθε ἐμπόδιο ἀνόητων συλλογισμῶν, καὶ καθὼς ὑποχωρεῖ, ἑλκύοντας τὸ ρητὸ μακριά, τὸ ἐπαναφέρουν πάλι σταθερὰ στὴν ὑπακοὴ τοῦ Χριστοῦ, δηλαδὴ τὴν ἔνσαρκο οἰκονομία. Γιατὶ τὸ ὄνομα καὶ τὸ γεγονὸς τῆς ὑπακοῆς ἀναφέρεται γιὰ μᾶς στὸν καιρὸ τῆς δουλείας, ὅταν, ἐνῶ ἦταν Θεός, ἔγινε ἄνθρωπος, καὶ ἐνῶ δὲν εἶχε μὲ υἱοθεσία τὴν κυριαρχία ὅλων, ἀλλὰ ὡς Θεὸς ποὺ προῆλθε ἀπὸ Θεό, ἔγινε δοῦλος, καὶ ἐνῶ εἶχε τὴ μορφὴ καὶ ἦταν ἴσος μὲ τὸν Πατέρα, ταπείνωσε τὸν ἑαυτό του[147], κατεβαίνοντας ἀβίαστα σὲ θεληματικὴ κένωση. Ἀφοῦ λοιπὸν μὲ τὸν τρόπο αὐτόν, καὶ πολὺ εὔλογα, ἀνέλαβε νὰ γίνει σὰν ἐμᾶς, δέχθηκε αὐτὴ τὴν κοινὴ φύση ὅλων, μὲ ὅλα τὰ μειονεκτήματά της· καὶ μειονέκτημα τῆς κτιστῆς φύσεως, σὲ σύγκριση μὲ τὸν Θεό, ἦταν ὅτι ἔπρεπε νὰ ὑποταχθεῖ. Ὡστόσο ἡ οὐσία τῶν ὄντων δὲν βρίσκεται στὸ ὅτι εἶναι ὑποτεταγμένα, ὅπως νομίζουν ἐκεῖνοι ἀκαθόριστα καὶ λένε ἀπερίσκεπτα, ἀλλ᾽ ἐπειδὴ ὑπάρχουν καὶ ὑφίστανται κατὰ ἰδιαίτερο λόγο, καὶ ἐπειδὴ στὸ καθένα ἀποφασίζει ἡ δική του φύση, δέχεται θεληματικὰ τὴν ὑποταγή, καὶ τὴ κάνει καρπὸ τῆς βουλήσεώς της.

---

147. Φιλιππ. 2, 6-7.

*Β. Πάνυ μὲν οὖν.*

*Α. Κείσεται δὴ οὖν ἐν μόναις ἡμῖν ταῖς ἐθελουσίοις ῥοπαῖς ἡ ὑποταγὴ καὶ τὸ ἐναντίον, χαρακτηριεῖ δὲ οὐχὶ τῆς οὐσίας τὸν λόγον.*

*Β. Εὖ λέγεις.*

*Α. Τί δὲ δή, κἀκεῖνο πρὸς τούτῳ πῶς οὐκ ἄξιον ἰδεῖν;*

*Β. Τὸ τί δὴ φής;*

*Α. Ὁ ἱερὸς ἡμῖν γράφει Παῦλος περὶ Χριστοῦ· «Νυνὶ δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα». Οὐκοῦν, εἰ ὑποταγήσεται κατ' ἐκεῖνο καιροῦ τῷ Πατρὶ ἡνίκα ἂν αὐτῷ τὰ πάντα ὑποταγῇ, καιρὸς ἔσται τις, ὡς ἔοικεν, ὁ τῷ πράγματι πρέπων. Ἀνυπότακτος δὲ τέως εἴς γε τὸ παρὸν ὁ Υἱός, ἐνεστηκότος οὔπω τοῦ καιροῦ, καθ' ὃν καὶ αὐτὸς ὑποταγήσεται.*

*Β. Σύμφημι· σαφὴς γὰρ ὁ λόγος.*

*Α. Εἰ δὲ δή τις οἴοιτο νυνὶ μὲν αὐτὸν οὐχ ὑποτετάχθαι λέγειν τῷ Θεῷ καὶ Πατρί, πείσεσθαι δὲ τοῦτο κατὰ καιρούς, καὶ καθοριεῖ τῆς οὐσίας αὐτοῦ τὸ ἄνισον διὰ τὴν ὑποταγήν, ἀναφανδόν, ὡς ἔοικεν, ἐκεῖνό φησιν, ὡς ἔσται ποτέ, κατὰ τὸ εἰκός, ἀνόμοιος ἑαυτῷ κατὰ φύσιν ὁ Υἱός, καὶ μεταβολὴν εἰσδέξεται τὴν ἐφ' ἕτερόν τι παρ' ὃ νῦν ἐστι καὶ εἶναι πεπίστευται. Εἰ γάρ, ὦ βέλτιστοι, φαίην ἂν ἔγωγε τοῖς δι' ἐναντίας, τοῖς τῆς οὐσίας συντετάξεται λόγοις ἡ ὑποταγή, φορέσει που πάντως οὐσίας δύναμιν καὶ τὸ ἐναντίον, τουτέστιν ἡ ἀνυποταξία. Καὶ εἰ φαμὲν ὅτι νῦν ἐστιν ἀνυπότακτος καὶ τοῦτο φύσις αὐτῷ, μεταχωρήσει που πάντως, εἰ ὑποτάττοιτο τῷ Πατρί, πρὸς ἑτέραν τινὰ καὶ ὁλοκλήρως διῳκισμένην, εἴς γε τὸ ἐναντίως ἔχουσαν, φύσιν. Οὐκοῦν ἐν παρατροπαῖς ἡμῖν γέγονεν ὁ Υἱὸς καὶ ἀναλλοίωτος μὲν οὐκέτι· διαψεύσεται δὲ καὶ ὁ θεσπέσιος Δαβίδ, γέρας ἀνάπτων αὐτῷ τὸ περίοπτον, τὸ ἐρηρεῖσθαί φημι καὶ ὡσαύτως ἔχειν. «Οἱ οὐρανοί», γάρ, ἔφασκεν, «ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι». Διημάρτηκε*

148. Ἑβρ. 2, 8.

Β. Πολὺ σωστά.

Α. Ἡ ὑποταγὴ ἑπομένως ἔγκειται στὴ δική μας ἐθελούσια διάθεση, καί, ἀντίθετα, δὲν χαρακτηρίζει τὸν λόγο τῆς οὐσίας.

Β. Καλὰ τὰ λές.

Α. Ὅμως δὲν ἀξίζει κοντὰ σ' αὐτὸ νὰ δοῦμε καὶ ἐκεῖνο;

Β. Ποιὸ ἐννοεῖς;

Α. Ὁ ἱερὸς γιὰ μᾶς Παῦλος γράφει γιὰ τὸν Χριστό· «Ὅμως τώρα βλέπουμε ὅτι δὲν ἔχουν ἀκόμα ὑποταχθεῖ ὅλα σ' αὐτόν»[148]. Ἑπομένως, ἐὰν ὑποταχθοῦν κατὰ τὸν καιρὸ ἐκεῖνο στὸν Πατέρα, ὅταν θὰ ὑποταχθοῦν ὅλα σ' αὐτόν, θὰ εἶναι, ὅπως φαίνεται, κάποιος καιρὸς κατάλληλος γιὰ τὴν ὑποταγή. Καὶ βέβαια ὁ Υἱὸς πρὸς τὸ παρὸν εἶναι ἀνυπότακτος, ἀφοῦ δὲν ἦρθε ἀκόμα ὁ καιρὸς κατὰ τὸν ὁποῖο θὰ ὑποταχθεῖ καὶ αὐτός.

Β. Συμφωνῶ· γιατὶ ὁ λόγος εἶναι σαφής.

Α. Ἐὰν λοιπὸν κάποιος νομίζει ὅτι αὐτὸς λέγει, ὅτι τώρα δὲν εἶναι ὑποταγμένος στὸν Θεὸ καὶ Πατέρα, ἀλλὰ θὰ τὸ πάθει αὐτὸ μὲ τὸν καιρό, καὶ θὰ καθορίσει τὴν ἀνισότητα τῆς οὐσίας του, ἐξαιτίας τῆς ὑποταγῆς, λέγει ὁλοφάνερα, ὅπως φαίνεται, τὸ ἑξῆς· ὅτι ὁ Υἱὸς θὰ εἶναι κάποτε κατὰ φύση ἀνόμοιος μὲ τὸν ἑαυτό του, ὅπως εἶναι φυσικό, καὶ θὰ δεχθεῖ μεταβολὴ σὲ κάτι ἄλλο, διαφορετικὸ ἀπὸ αὐτὸ ποὺ εἶναι τώρα καὶ ποὺ τοῦ ἔχει ἀνατεθεῖ. Θὰ ἔλεγα ὅμως ἐγώ, ὦ ἄριστοι, στοὺς ἀντίθετους, ἐὰν ἡ ὑποταγὴ καταταγεῖ ἀνάμεσα στοὺς λόγους τῆς οὐσίας, θὰ λάβει ὁπωσδήποτε δύναμη οὐσίας καὶ τὸ ἀντίθετο, δηλαδὴ ἡ ἀνυποταξία. Καὶ ἐὰν ποῦμε ὅτι τώρα εἶναι ἀνυπότακτος, καὶ αὐτὸ εἶναι φύση του, ὅταν ὑποταχθεῖ στὸν Πατέρα, θὰ μετακινηθεῖ ὁπωσδήποτε σὲ κάποια ἄλλη φύση, ποὺ εἶναι ἐγκατεστημένη ὁλόκληρη στὸ ἀντίθετο. Ἑπομένως ὁ Υἱὸς θὰ ὑποστεῖ μεταβολὲς καὶ δὲν θὰ εἶναι πιὰ ἀναλλοίωτος, ἀλλὰ θὰ διαψευσθεῖ καὶ ὁ θεσπέσιος Δαβίδ, ὁ ὁποῖος τοῦ προσάπτει περίβλεπτο προσόν, ἐννοῶ τὸ ὅτι εἶναι σταθερὸς καὶ ἀμετάβλητος. Γιατὶ ἔλεγε· «Οἱ οὐρανοὶ θὰ καταστραφοῦν, ἐνῶ ἐσὺ διαμένεις· καὶ ὅλοι θὰ παλιώσουν σὰν ἐπανωφόρι, καὶ σὰν ἐξωτερικὸ ἔνδυμα θὰ τοὺς τυλίξεις καὶ θὰ ἀλλάξουν· Ἐσὺ ὅμως εἶσαι πάντοτε ἴδιος, καὶ τὰ χρόνια σου θὰ εἶναι ἀτελείωτα»[149]. Ἀλλὰ ἔκανε λάθος ὡς πρὸς τὴν ἀλήθεια καὶ ὁ Παῦλος γρά-

148. Ἑβρ. 2, 8.

149. Ψαλμ. 101, 27-29.

*δὲ τἀληθοῦς καὶ ὁ Παῦλος γράφων· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας». Ποῦ γὰρ ἔτι μεμένηκεν ὁ αὐτός, εἰ μετατρέποιτο κατ' οὐσίαν;*

*Β. Ἀληθές.*

*Α. Ἀποκρινάσθων δὴ οὖν οἱ πάγκαλοι σοφισταί, τίς δὴ ἄρα καὶ ποδαπὸς ὁ τῆς ἀλλοιώσεως ἔσται τρόπος. Εἰ μὲν οὖν ἐπὶ τὸ αἴσχιον, διά γε τὸ ὑποτάττεσθαι δεῖν, ὀνήσειεν ἂν εἰς δόξαν οὐδὲν τὸν ἁπάντων Σωτῆρα καὶ Λυτρωτὴν ὁ τῆς ἐσομένης αὐτοῦ βασιλείας καιρός, τουτέστιν ὁ ἐν ἐσχάτοις, ὅτε καὶ ὑποταχθήσεται τῷ Πατρί, καὶ νυνί που πάντως ἐστὶν ἐν ἀμείνοσιν, ὅτε κεκενῶσθαι λέγεται καὶ τεταπείνωκεν ἑαυτόν. Εἰ δὲ δὴ τοῦτο παρέντες ὡς ἀμαθές, ἐπί τι τῶν ἀμεινόνων ἐροῦσιν ἔσεσθαι τὴν μεταβολήν, ἀνθότου λοιπὸν καταφλυαρεῖν ἐγνώκασι τῆς ὑποταγῆς καὶ τὸ μεῖον αὐτῆς ὡς ἐν Υἱῷ καταγράφουσι, καίτοι τιθείσης ἐν τοῖς ἀνωτέρω καὶ ἀμείνοσι τὸν νῦν ἐν ἰσότητι τοῦ Πατρός· «Οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ», κατὰ τὸ γεγραμμένον, «ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών». Ἦ οὐκ ἄριστά σοι ταυτὶ δὴ φάναι δοκῶ;*

*Β. Ἀστειότατά γε.*

*Α. Ἠρρωστηκότες δὴ οὖν πανταχόθεν αὐτοῖς τὸ ἄχαρί τε καὶ ἀκαλλὲς τοῦ λόγου, φέρε λοιπὸν ἴωμεν ἐπὶ τὸ ἀπημάντως ἔχον, οὐχὶ τῆς οὐσίας τοῦ Μονογενοῦς κατηγοροῦντες τὸ μεῖον διὰ τὴν θρυλουμένην ὑποταγήν, ἣν καὶ ἐν ἐσχάτοις καιροῖς ἔσεσθαί φησιν ὁ θεσπέσιος Παῦλος, ἐκεῖνο δὲ μᾶλλον περινοοῦντες εὐσεβῶς.*

*Β. Τὸ ποῖον;*

*Α. Οὐ γάρ, οἶμαι, φαίη τις ἂν ἀπονοσφίζεσθαί ποι καὶ ἀποφοιτᾶν εἰς ἰδίαν τινὰ θέλησιν παρά γε τὴν τοῦ Πατρὸς τὸν Υἱόν, ἀπονεῦσαι δὲ ὥσπερ εἰς τὸ ἔξω φέρεσθαι δοκεῖν τοῦ ἀνδάνοντος αὐτῷ· εἶναι δὲ μᾶλλον ὑποτοπήσειεν ἂν εἰκότως ὁμογνώμονά τε καὶ συνεθελητήν, ἅτε δὴ καὶ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ κατὰ φύσιν ὄντα τε καὶ νοούμενον. Ἵνα γὰρ φαίνηται τιμῶν τὸν Πατέρα καὶ τὸν ἐξ οὗπέρ ἐστι γεννητῶς ταῖς εἰς λῆξιν*

---

150. Ἑβρ. 13, 8.

φοντας· «Ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ ἴδιος χθὲς καὶ σήμερα καὶ στοὺς αἰῶνες»[150]. Γιατὶ πῶς ἔμεινε ὁ ἴδιος, ἀφοῦ μεταβλήθηκε ὡς πρὸς τὴν οὐσία του;

Β. Εἶναι ἀλήθεια.

Α. Ἂς ἀποκριθοῦν λοιπὸν οἱ πανάριστοι σοφιστές· ποιὸς εἶναι ἄραγε καὶ τί εἴδους ὁ τρόπος τῆς ἀλλοιώσεώς του; Ἐὰν βέβαια εἶναι πρὸς τὸ χειρότερο, ἐπειδὴ ἔπρεπε νὰ ὑποταχθεῖ, δὲν θὰ ὠφελοῦσε καθόλου σὲ δόξα τὸν Σωτήρα καὶ Λυτρωτὴ τῶν ὅλων ὁ καιρὸς τῆς βασιλείας του, δηλαδὴ ὁ ἔσχατος, ὁπότε καὶ θὰ ὑποταχθεῖ στὸν Πατέρα, σὲ σύγκριση μὲ τὸν τωρινὸ ποὺ ὁπωσδήποτε εἶναι μεταξὺ τῶν ἀνωτέρων, ὁπότε λέγεται ὅτι κενώθηκε καὶ ταπείνωσε τὸν ἑαυτό του. Ἐὰν πάλι, ἀφήνοντας αὐτὸ ὡς ἀμαθές, λένε ὅτι ἡ μεταβολὴ θὰ γίνει πρὸς κάτι ἀνώτερο, τότε γιὰ ποιὸ λόγο φλυαροῦν γιὰ τὴν ὑποταγὴ καὶ καταγράφουν τὸ μεῖον της στὸν Υἱό, ἂν καὶ τοποθετεῖ μεταξὺ τῶν ἀνωτέρων καὶ καλυτέρων αὐτὸν ποὺ τώρα εἶναι ἴσος πρὸς τὸν Πατέρα; Γιατί, σύμφωνα μ' αὐτὸ ποὺ ἔχει γραφεῖ, δὲν θεώρησε ὅτι ἀποτελεῖ ἁρπαγὴ τὸ νὰ εἶναι ἴσος μὲ τὸν Θεό, ἀλλὰ ταπείνωσε τὸν ἑαυτό του παίρνοντας τὴ μορφὴ δούλου». Ἢ μήπως δὲν σοῦ φαίνομαι ὅτι τὰ λέγω πολὺ καλά;

Β. Θαυμάσια μάλιστα.

Α. Ἐπειδὴ λοιπὸν ἀπὸ παντοῦ ὁ λόγος τους εἶναι ἄχαρος καὶ ἄσχημος, ἐμπρὸς λοιπὸν ἂς πᾶμε σ' αὐτὸ ποὺ δὲν προκαλεῖ βλάβη, χωρὶς νὰ καταγράφουμε στὴν οὐσία τοῦ Μονογενοῦς τὸ μεῖον, ἐξαιτίας τῆς ὑποταγῆς ποὺ διαδίδεται, γιὰ τὴν ὁποία ὁ θεσπέσιος Παῦλος λέγει, ὅτι θὰ ὑπάρχει καὶ κατὰ τοὺς ἔσχατους καιρούς, σκεπτόμενοι μὲ εὐλάβεια μᾶλλον ἐκεῖνο.

Β. Ποιό;

Α. Γιατὶ δὲν νομίζω ὅτι θὰ μποροῦσε κανεὶς νὰ πεῖ, ὅτι ὁ Υἱὸς θὰ ἐγκαταλείψει καὶ θὰ ἀποχωρήσει σὲ κάποια ἰδιαίτερη θέληση ἐκτὸς ἀπὸ ἐκείνην τοῦ Πατέρα, καὶ θὰ φανεῖ ὅτι κλίνει ἔξω ἀπὸ ἐκεῖνο ποὺ ἀρέσει σ' αὐτόν. Ἀντίθετα εὔλογα θὰ ὑποθέσει ὅτι εἶναι σύμφωνος καὶ θέλει ὅ,τι θέλει κι' ἐκεῖνος, ἀφοῦ προῆλθε ἀπὸ αὐτὸν καὶ εἶναι καὶ νοεῖται κατὰ φύση μαζὶ μὲ αὐτόν. Γιὰ νὰ φαίνεται μάλιστα ὅτι τιμᾶ τὸν Πατέρα, καὶ στεφανώνοντας αὐτὸν ἀπὸ τὸν ὁποῖο γεννήθηκε μὲ

151. Φιλιππ. 2, 6-7.

*καὶ ἀνωτάτω στεφανῶν εὐφημίαις, ποτὲ μέν φησι, «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας, σῶμα δὲ κατηρτίσω μοι· τότε εἶπον· Ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου»· ποτὲ δὲ αὖ ὅτι «Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με». Ἰδοὺ γάρ, ἰδοὺ καὶ μάλα σαφῶς, καθικέσθαι φησὶν ἐξ οὐρανῶν, ἔχειν δὲ οὕτω περί γε τὸ δεῖν ἀποπεραίνειν ἐθελουσίως τὸ δοκοῦν τῷ γεγεννηκότι, ὡς εἴπερ ἦν ὅλως τῶν ἐνδεχομένων εἰς ἑτερότητα θελημάτων ἀποχωρεῖν αὐτόν, ἀλογῆσαι μὲν τῶν ἰδίων, μεταποιεῖσθαι δὲ μᾶλλον τῶν τοῦ Πατρός; Ἔχων δὲ οὕτω σκοποῦ τε καὶ γνώμης, ἆρα ἄν τῳ δόξειε παραιτεῖσθαι μὲν ὡς δυσκλεὲς τὸ ὑποτετάχθαι δοκεῖν, ἀποσείεσθαι δὲ τὸ πρὸς πᾶν ὁτιοῦν συνεθέλειν αὐτῷ;*

*Β. Ἥκιστά γε.*

*Α. Οὐκοῦν ὁ καὶ νῦν ὁμογνώμων τε καὶ συνεθελητὴς τῷ γεγεννηκότι, μᾶλλον δὲ ἡ βουλὴ καὶ ἡ θέλησις τοῦ Πατρός, τίνα δὴ τρόπον ὑποταχθήσεται, καὶ τοῦτο κατὰ καιρούς, ὡς οὔπω νοούμενος συνεθελητὴς ἤγουν ὑποτεταγμένος; Κεχρήσομαι γὰρ ἀδικούσῃ μηδὲν εἰς οὐσίας λόγον τὸν Μονογενῆ καὶ τῇ τοῦ Παύλου φωνῇ.*

*Β. Ποῖον οὖν ἄρα τὸ χρῆμα τῆς ἐσομένης ὑποταγῆς;*

*Α. Ἐν ἐλπίσιν ἐσμὲν ἀγαθαῖς, ὦ Ἑρμεία, καὶ ἀραρότως πεπιστεύκαμεν ὡς τοῖς ἐθέλουσι διαβιῶναι λαμπρῶς, ἁγίαν τε καὶ ἀξιάγαστον ἀληθῶς κατωρθωκόσι ζωήν, ἡ παντὸς ἀγαθοῦ μέθεξις ὑπάρξει παρὰ Θεοῦ, καὶ μὴν ὅτι τὰ ὑπὲρ νοῦν καὶ λόγον ταῖς τῶν ἁγίων τεθησαύρισται κεφαλαῖς. Ἔσται δὲ τούτων ἁπάντων διανομεὺς καὶ πρύτανις ὁ Υἱός· πάντα γὰρ παρὰ Πατρὸς εἰς ἡμᾶς δι᾽ αὐτοῦ ἐν Πνεύματι, καὶ οὔτι πού φαμεν ὑπουργικὴν εἰσκομίζοντος εἰς τοῦτο τὴν διακονίαν, διανέμοντος δὲ μᾶλλον ἐπ᾽ ἐξουσίας ὡς Υἱοῦ τὰ παρὰ Πατρός, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν, ἁγιασμὸς δηλονότι καὶ σοφία καὶ ζωή, δόξα τε καὶ ἀφθαρσία. Ὅτι δὲ ὑποτεταγμένων ἁπάντων τῷ Υἱῷ, συγκατάρ-*

153. Ἰω. 6, 38. 154. Α΄ Κορ. 15, 28. 155. Α΄ Κορ. 1, 30.

τοὺς ἀνώτατους ἐπαίνους, ἄλλοτε λέγει, «Θυσία καὶ ἀναίμακτη προσφορὰ καρπῶν δὲν θέλησες· ὁλοκαυτώματα καὶ θυσίες γιὰ τὶς ἁμαρτίες δὲν ζήτησες, μοῦ ἔδωσες ἀντίθετα τέλειο σῶμα· τότε εἶπα· Νά, ἔρχομαι· στὴν ἐπικεφαλίδα τῆς Γραφῆς ἔχει γραφεῖ γιὰ μένα, νὰ κάνω, Θεέ μου, τὸ θέλημά σου»[152], καὶ ἄλλοτε πάλι, ὅταν «Κατέβηκα ἀπὸ τὸν οὐρανό, ὄχι γιὰ νὰ κάνω τὸ δικό μου θέλημα, ἀλλὰ τὸ θέλημα ἐκείνου ποὺ μὲ ἔστειλε»[153]. Νὰ λοιπόν, καὶ πολὺ καθαρὰ μάλιστα, λέγει ὅτι κατέβηκε ἀπὸ τὸν οὐρανό, καὶ τὸ ἔκανε αὐτὸ ἐπειδὴ ἔπρεπε νὰ ἐκτελέσει θεληματικὰ αὐτὸ ποὺ φαίνεται καλὸ σ' αὐτὸν ποὺ τὸν γέννησε, σὰν νὰ ἦταν γενικὰ ἐνδεχόμενο αὐτὸς νὰ προχωρήσει σὲ διαφορετικὰ θελήματα, περιφρονώντας τὰ δικά του, καὶ οἰκειοποιούμενος μᾶλλον τὰ θελήματα τοῦ Πατέρα. Ἔχοντας λοιπὸν αὐτὸν τὸν σκοπὸ καὶ τὴ θέληση, θὰ μποροῦσε κανεὶς νὰ πιστέψει, ὅτι παραιτεῖται ἀπὸ τὸ νὰ θέλει νὰ ὑποταχθεῖ ἐπειδὴ εἶναι ταπεινωτικό, καὶ ἀπορρίπτει νὰ θέλει ὁ,τιδήποτε μαζὶ μὲ αὐτόν;

Β. Καθόλου.

Α. Ἑπομένως αὐτὸς ποὺ καὶ τώρα ἔχει τὴν ἴδια γνώμη καὶ θέληση μὲ ἐκεῖνον ποὺ τὸν γέννησε, ἢ μᾶλλον ἡ βούληση καὶ ἡ θέληση τοῦ Πατέρα, μὲ ποιὸν τρόπο θὰ ὑποταχθεῖ, καὶ μάλιστα σὲ καιρὸ κατὰ τὸν ὁποῖο δὲν νοεῖται ὅτι ἔχει τὸ ἴδιο θέλημα, δηλαδὴ δὲν εἶναι ὑποταγμένος; Γιατὶ χρησιμοποιῶ τὰ λόγια τοῦ Παύλου ποὺ δὲν ἀδικοῦν τὸν Μονογενῆ ὡς πρὸς τὸν λόγο τῆς οὐσίας του.

Β. Ποιὰ λοιπὸν εἶναι ἡ ὑποταγὴ ποὺ πρόκειται νὰ γίνει;

Α. Ἔχουμε ἀγαθὲς ἐλπίδες, Ἑρμεία, καὶ πιστεύουμε βάσιμα, ὅτι γιὰ ἐκείνους ποὺ θέλουν νὰ ζήσουν δοξασμένα, καὶ ἔχουν κάνει πραγματικὰ ἄξια θαυμασμοῦ ζωή, θὰ ὑπάρξει συμμετοχὴ σὲ κάθε ἀγαθὸ ἀπὸ τὸν Θεό, καὶ ὅτι γιὰ τὰ κεφάλια τῶν ἁγίων ἐπιφυλάσσονται πράγματα ποὺ ξεπερνοῦν κάθε νοῦ καὶ λόγο. Ὅλων ὅμως αὐτῶν διανομέας καὶ ἄρχοντας θὰ εἶναι ὁ Υἱός, γιατὶ ὅλα ἀπὸ τὸν Πατέρα σὲ μᾶς διανέμονται ἀπὸ τὸν Υἱὸ διὰ τοῦ ἁγίου Πνεύματος· καὶ δὲν λέμε ὅτι γιὰ τὸν σκοπὸ αὐτὸν ἐκτελεῖ λειτούργημα ὑπηρέτη, ἀλλὰ τὰ διανέμει μὲ ἐξουσία ὡς Υἱὸς ἀπὸ τὸν Πατέρα, ὥστε νὰ εἶναι ὁ Θεὸς τὰ πάντα σὲ ὅλα[154], δηλαδὴ ἁγιασμὸς καὶ σοφία[155] καὶ ζωὴ[156] καὶ δόξα[157] καὶ ἀθανασία[158]. Ὅτι ὅμως ὅταν ὑποταχθοῦν ὅλα στὸν Υἱό,

156. Ἰω. 14, 6. 157. Ἑβρ. 1, 3. 158. Β΄ Τιμ. 1, 10.

*ξει πάλιν πάντῃ τε καὶ πάντως αὐτῷ, καὶ συμβασιλεύσει τῶν ὅλων ὁ Θεὸς καὶ Πατήρ, ἐκδείξειεν ἂν εὐκόλως, τὸ ἀραρότως ἡμᾶς ἐννοεῖν, ὁμογνωμονήσειν αὐτῷ καὶ τότε καὶ πρὸς πᾶν ὁτιοῦν ἔσεσθαι συνεθελητὴν τὸν Υἱόν, καὶ διὰ τῆς ἑαυτοῦ μεσιτείας ἀποπληροῦν τοῖς ἁγίοις τὰ ἐν ἐλπίσι. Καὶ αὐτὸ δὴ τουτὶ τῷ τῆς ὑποταγῆς ὀνόματι καταχρηστικῶς μεμηνυκέναι φαμὲν τὸν θεσπέσιον Παῦλον. Ἤδει γάρ, ἤδει προσκρούσων αὐτῷ κατ᾽ οὐδένα τρόπον κἂν εἰ τοιάδε τινὰ λέγοι. Σκοπὸς γὰρ ἀεὶ τῷ Υἱῷ τιμᾶν τὸν Πατέρα, ὅτι ἐξ αὐτοῦ κατὰ φύσιν ἐστίν, ἴσος τε καὶ ὅμοιος κατὰ πᾶν ὁτιοῦν καὶ κατ᾽ οὐδένα τρόπον μειονεκτούμενος. Δι᾽ αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

θὰ γίνει πάλι συναρχηγὸς ὁπωσδήποτε μαζὶ μὲ αὐτόν, καὶ θὰ συμβασιλεύσει σὲ ὅλα ὁ Θεὸς καὶ Πατέρας, ἀποδεικνύει εὔκολα αὐτὸ ποὺ σταθερὰ πιστεύουμε ἐμεῖς, ὅτι θὰ συμφωνήσει μὲ αὐτόν, καὶ τότε ὁ Υἱὸς θὰ ἔχει τὴν ἴδια θέληση σὲ ὅλα, καὶ μὲ τὴ δική του μεσιτεία θὰ ἐκπληρώσει ὅσα ἐλπίζουν οἱ ἅγιοι. Λέμε ἐπίσης ὅτι ἀκόμα καὶ αὐτὸ τὸ ὄνομα τῆς ὑποταγῆς καταχρηστικὰ τὸ ἀποκάλυψε ὁ θεσπέσιος Παῦλος. Γιατὶ γνώριζε ὅτι μὲ κανένα τρόπο δὲν θὰ προσέκρουε μὲ αὐτόν, ἔστω καὶ ἂν πεῖ μερικὰ τέτοια. Γιατὶ σκοπὸς τοῦ Υἱοῦ πάντοτε εἶναι νὰ τιμᾶ τὸν Πατέρα, ἐπειδὴ προέρχεται κατὰ φύση ἀπὸ αὐτόν, ἴσος καὶ ὅμοιος σὲ κάθε τι, χωρὶς νὰ μειονεκτεῖ μὲ κανένα τρόπο, καὶ μέσω αὐτοῦ καὶ μαζὶ μὲ αὐτὸν στὸν Πατέρα ἀνήκει ἡ δόξα μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

# ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸν στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

## 1. Εὑρετήριο χωρίων τῆς Γραφῆς


### Γένεσις

| | | |
|---|---|---|
| 1 | 6 | 388 |
| | 26 | 34. 222. 270. 332. 350 |
| | 27 | 222 |
| 2 | 7 | 370 |
| 11 | 7 | 222 |

### Ἔξοδος

| | | |
|---|---|---|
| 3 | 14 | 30. 232 |
| | 14-15 | 434. 452 |
| 4 | 11-12 | 462 |
| 8 | 19 | 232 |
| 19 | 16-17 | 48 |
| 20 | 19 | 50 |
| 28 | 1 ἑ. | 56 |
| 33 | 19 ἑ. | 232 |

### Λευιτικὸν

| | | |
|---|---|---|
| 24 | 15-16 | 302 |
| 25 | 10-12 | 286 |

### Ἀριθμοὶ

| | | |
|---|---|---|
| 16 | 1-35 | 54 |
| 21 | 22 | 466 |

### Δευτερονόμιον

| | | |
|---|---|---|
| 1 | 6 | 246 |
| | 17 | 444 |
| 4 | 19 | 324 |
| 5 | 8 | 324 |
| 6 | 4 | 202. 324. 472 |
| | 7 | 198 |
| 7 | 26 | 92 |
| 12 | 49 | 52 |
| 18 | 18 | 238 |
| 32 | 11 | 488 |
| | 31 | 40 |
| | 32 | 198 |
| | 39 | 202 |

### Βασιλειῶν Α΄

| | | |
|---|---|---|
| 17 | 4 | 96 |

### Ψαλμοὶ

| | | |
|---|---|---|
| 2 | 6 | 236 |
| | 7 | 142. 468 |
| 4 | 7 | 424 |
| 9 | 21 | 236 |
| | 22 | 376 |
| 17 | 12 | 156 |
| | 32 | 206 |
| 29 | 8 | 180 |
| 32 | 6 | 358 |
| 39 | 7-9 | 410 |
| 43 | 7-8 | 106 |
| 44 | 2 | 170 |
| 45 | 11 | 16 |
| 49 | 1-3 | 414 |

| | | |
|---|---|---|
| 72 | 23 | 180. 428 |
| 74 | 6 | 128 |
| 76 | 2 | 158 |
| 81 | 6 | 288. 340 |
| 91 | 6 | 428 |
| 93 | 22 | 374. 376 |
| 94 | 6-7 | 280. 480 |
| 101 | 26-28 | 480 |
| | 27-29 | 498 |
| 102 | 2-4 | 314 |
| | 5 | 226 |
| | 21-22 | 480 |
| 103 | 14 | 356 |
| | 24 | 386.428 |
| 109 | 1-2 | 468 |
| | 3 | 154 |
| 118 | 91 | 280. |
| | 91 | 330 |
| | 94 | 282 |
| | 103 | 90 |
| 138 | 7 | 422 |
| 140 | 3-4 | 384 |
| | 4 | 82 |
| 145 | 7 | 414 |

Ἰὼβ

| | | |
|---|---|---|
| 34 | 29 | 462 |
| 38 | 7 | 356 |

Παροιμίαι Σολομῶντος

| | | |
|---|---|---|
| 2 | 13-14 | 26 |
| 8 | 9 | 464 |
| | 22 | 374 |
| | 25 | 376 |
| 9 | 12 | 158 |
| 10 | 17 | 24 |
| 22 | 1 | 316 |
| 25 | 2 | 432 |
| 26 | 5 | 106 |
| 30 | 33 | 100. |
| | 33 | 402 |

Ἆσμα Ἀσμάτων

| | | |
|---|---|---|
| 1 | 33 | 296 |

Σοφία Σολομῶντος

| | | |
|---|---|---|
| 13 | 5 | 384 |

Μιχαίας

| | | |
|---|---|---|
| 5 | 1 | 156 |

Ἰωὴλ

| | | |
|---|---|---|
| 1 | 5 | 236 |

Ἀββακοὺμ

| | | |
|---|---|---|
| 1 | 12 | 458 |

Ἠσαΐας

| | | |
|---|---|---|
| 1 | 2 | 80 |
| 6 | 2-3 | 482 |
| | 3 | 380 |
| 7 | 14 | 376. 414 |
| 8 | 20 | 326 |
| 9 | 6 | 48 |
| 26 | 12-13 | 298 |
| 28 | 15 | 96. 328 |
| 32 | 6 | 160 |
| 36 | 6 | 146 |
| 41 | 4 | 202 |
| 43 | 12 | 458 |
| 45 | 18 | 490 |
| | 22-23 | 490 |
| 49 | 5 | 464 |
| 50 | 6 | 240 |
| | 11 | 368 |
| 52 | 6 | 246 |
| 53 | 5 | 145 |
| | 7 | 378 |
| | 12 | 378 |
| 62 | 2 | 416 |
| 66 | 1 | 462 |

Ἰερεμίας

| | | |
|---|---|---|
| 4 | 2 | 76 |
| 5 | 21 | 368 |
| 9 | 1 | 26. 452 |
| | 8 | 92 |
| 10 | 12 | 386 |

| | | |
|---|---|---|
| 13 | 23 | 90 |
| 14 | 10 | 418 |
| 23 | 16 | 236 |

Βαρούχ

| | | |
|---|---|---|
| 3 | 36 | 206 |

Ἰεζεκιήλ

| | | |
|---|---|---|
| 16 | 48 | 180 |
| | 52 | 180 |

Ματθαῖος

| | | |
|---|---|---|
| 1 | 23 | 376 |
| 2 | 6-7 | 156 |
| 3 | 12 | 282 |
| 4 | 11 | 482 |
| 5 | 14 | 304 |
| | 18 | 246. 490 |
| | 27 | 234 |
| 6 | 9 | 124 |
| | 14 | 486 |
| 7 | 11 | 270 |
| 8 | 29-34 | 492 |
| | 32 | 492 |
| 9 | 6 | 486 |
| | 35 | 276 |
| | 37-38 | 282 |
| 10 | 8 | 276 |
| | 20 | 272. 302 |
| | 29 | 356. 492 |
| 11 | 25 | 102 |
| | 26-27 | 156 |
| | 28 | 490 |
| 12 | 24 | 394. |
| | 33 | 294. 370 |
| | 34 | 200 |
| 13 | 54 | 394 |
| 14 | 33 | 138 |
| 16 | 16 | 310 |
| | 17-18 | 310 |
| | 18 | 310 |
| 17 | 5 | 80 |
| | 23-24 | 330 |
| 23 | 37-38 | 488 |
| 24 | 35 | 246 |
| 28 | 19 | 102. 306 |

Μάρκος

| | | |
|---|---|---|
| 3 | 17 | 204 |
| 8 | 36-37 | 462 |

Λουκᾶς

| | | |
|---|---|---|
| 1 | 30 | 416 |
| | 47 | 464 |
| 2 | 51 | 494 |
| 3 | 17 | 282 |
| 4 | 29 | 138 |
| 5 | 13 | 390 |
| | 20 | 462 |
| | 21 | 462 |
| 6 | 36 | 32 |
| 16 | 27 | 462 |
| 21 | 14 | 462 |
| 23 | 37 | 378 |

Ἰωάννης

| | | |
|---|---|---|
| 1 | 1 | 178. 412. 454 |
| | 3 | 354. 428. 438 |
| | 4 | 386 |
| | 9 | 412 |
| | 10 | 370 |
| | 12 | 264. 344 |
| | 14 | 44 |
| | 16 | 212. 276 |
| | 18 | 138. 278. 412 |
| 2 | 19 | 446 |
| 3 | 13 | 414 |
| | 16 | 308 |
| | 18 | 138 |
| | 31 | 38. 74. 318. 412. 454 |
| | 33-34 | 52 |
| 4 | 24 | 46 |
| 5 | 18 | 138 |
| | 20 | 452 |
| | 21 | 250. 276 |
| | 22 | 234 |

| | | |
|---|---|---|
| 5 | 26 | 434. 444 |
| | 27 | 444 |
| | 37-38 | 422 |
| | 43 | 316 |
| 6 | 32-33 | 444 |
| | 38 | 502 |
| | 47-48 | 444 |
| | 58 | 250. 434 |
| | 19 | 316 |
| 8 | 23 | 74. 104. 412 |
| | 24 | 38 |
| 10 | 27-28 | 280 |
| | 27-30 | 482 |
| | 30 | 210. 480 |
| | 32 | 418 |
| | 33 | 162. 418 |
| | 35-36 | 82 |
| | 37-38 | 276. 448 |
| 11 | 25 | 234. 248 |
| 12 | 44 | 362. 442 |
| | 44-45 | 422 |
| | 1 | 362 |
| 14 | 6 | 40. 260. 442. 472. 502 |
| | 8 | 210 |
| | 8-10 | 422 |
| | 9 | 48. 210. 480 |
| | 9-10 | 428 |
| | 10 | 52. 266. 350. 392. 448 |
| | 12 | 392 |
| | 25 | 218 |
| | 27 | 298 |
| | 28 | 452. 470 |
| 16 | 28 | 102 |
| 17 | 3 | 202 |
| | 6 | 232 |
| | 10 | 84. 422. 484 |
| | 21 | 64 |
| | 21-23 | 62 |
| | 22 | 68 |
| 20 | 17 | 452. 464. 470 |
| | 22 | 278. 372. 450 |
| | 28 | 412 |
| | 30-31 | 308 |

Πράξεις

| | | |
|---|---|---|
| 2 | 36 | 374 |
| 4 | 32 | 62 |
| 8 | 32 | 378 |
| 9 | 15 | 140 |
| 13 | 22 | 430 |
| | 33 | 142 |
| 17 | 28 | 106. 304. 414. 442 |

Ρωμαίους

| | | |
|---|---|---|
| 1 | 1 | 284 |
| | 7 | 298 |
| | 17 | 324 |
| | 18 | 496 |
| | 20 | 358 |
| | 24-25 | 360 |
| 4 | 15-17 | 274 |
| 5 | 1 | 58. 486 |
| 6 | 4 | 410 |
| 8 | 9 | 220. 282 |
| | 9-10 | 272 |
| | 11 | 446. 448 |
| | 23 | 486 |
| | 24 | 152 |
| | 29 | 60. 138. 226. 270. 408 |
| | 31-32 | 286 |
| 12 | 3 | 134 |
| 13 | 14 | 50 |
| 15 | 16-17 | 284 |

Κορινθίους Α΄

| | | |
|---|---|---|
| 1 | 3 | 396 |
| | 24 | 386 |
| | 30 | 502 |
| 4 | 7 | 448 |
| 8 | 5-6 | 262 |
| 9 | 12 | 284 |
| | 16 | 10 |
| | 20-21 | 244 |
| 10 | 31 | 286 |
| 11 | 3 | 290 |
| 13 | 12 | 30. 168. 432 |
| 14 | 20 | 134 |

| | | |
|---|---|---|
| 15 | 10 | 396 |
| | 22 | 274 |
| | 28 | 492. 496. 502 |
| | 58 | 418 |

Κορινθίους Β΄

| | | |
|---|---|---|
| 2 | 14-15 | 294 |
| 3 | 18 | 424 |
| 4 | 7 | 94 |
| 5 | 14-15 | 464 |
| | 19-20 | 280 |
| | 20 | 46 |
| 6 | 4 | 284 |
| 8 | 9 | 340 |
| 10 | 5 | 256. 414. 496 |
| | 15 | 46 |
| 11 | 23 | 286 |
| 13 | 5 | 182 |

Γαλάτας

| | | |
|---|---|---|
| 2 | 19 | 464 |
| 3 | 24 | 238. 326 |
| 4 | 1-5 | 320 |
| | 6 | 264. 468 |
| | 8-9 | 278 |
| | 19 | 226. 430 |
| 5 | 24 | 282 |
| 6 | 14 | 464 |

Ἐφεσίους

| | | |
|---|---|---|
| 1 | 23 | 210 |
| 2 | 11-12 | 278. 364 |
| | 14 | 40. 58 |
| | 16 | 58 |
| 3 | 6 | 66 |
| | 15 | 126 |
| 4 | 6 | 460 |
| | 10 | 464 |
| | 13 | 134 |
| | 14 | 30 |
| 5 | 27 | 286 |

Φιλιππησίους

| | | |
|---|---|---|
| 2 | 5-8 | 60. 230 |
| 2 | 5-11 | 406 |
| | 6-7 | 496. 500 |
| | 6-8 | 332 |
| | 6-11 | 254 |
| | 6 | 46 |
| | 7 | 372 |
| | 9 | 252. 454 |

Κολοσσαεῖς

| | | |
|---|---|---|
| 1 | 15 | 328 |
| | 20 | 46 |
| 3 | 11 | 464 |

Θεσσαλονικεῖς Α΄

| | | |
|---|---|---|
| 1 | 9 | 36 |

Τιμόθεον Α΄

| | | |
|---|---|---|
| 2 | 5 | 40. 46 |
| 5 | 21 | 444 |
| | 22 | 128 |
| 6 | 16 | 234. 246 |

Τιμόθεον Β΄.

| | | |
|---|---|---|
| 1 | 10 | 502 |
| 3 | 16 | 22 |

Ἑβραίους

| | | |
|---|---|---|
| 1 | 1 | 244 |
| | 3 | 44. 174. 414. 434. 502 |
| | 3-5 | 140 |
| | 5 | 146 |
| | 6 | 164. 338 |
| | 13 | 140. 146 |
| | 14 | 40 |
| 2 | 2-3 | 140 |
| | 7 | 378 |
| | 8 | 498 |
| | 14 | 410 |
| | 16 | 410 |
| | 17 | 410 |
| 3 | 5-6 | 286 |
| 4 | 12-13 | 44 |
| 5 | 7-8 | 466 |
| 9 | 7 | 56 |

| | | | | |
|---|---|---|---|---|
| 15-17 | 410 | 1 | 1-3 | 450 |
| 19 | 322 | 2 | 9 | 252 |
| 6 | 154 | | 13 | 458 |
| 2 | 456 | | 19 | 28 |
| 8 | 42. 500 | | 22-23 | 316 |

Ἰακώβου

| | | | | |
|---|---|---|---|---|
| | | 4 | 13 | 272. 350 |
| | | 5 | 5 | 308. 416 |
| 17 | 42. 74. 188. 318 | | 19-20 | 304 |
| 18 | 364 | | 20 | 204 |
| 12 | 234. 246 | | 20 | 452 |

Πέτρου Α΄

Ἰούδα

| | | | | |
|---|---|---|---|---|
| 22 | 430 | – | 6 | 34 |
| 21 | 362 | | | |

Ἰωάννου Α΄

Ἀποκάλυψις

| | | | | |
|---|---|---|---|---|
| 1 | 458 | 1 | 4 | 178 |
| | | | 8 | 458 |

## 2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

### Α


Ἀαρὼν 54. 92.
Ἀβειρὼν 54.
ἀβελτηρία 424.
Ἀβραὰμ 274. 410. 494.
ἀγάπη 20. 58. 312. 332. 434.
ἀγάπησις 312.
ἀγεννησία 128. 130. 132. 186. 194.
ἀγέννητον 100. 102. 104. 110. 112. 114. 116. 118. 120. 126. 128. 130.
ἁγιασμὸς 218. 266. 268. 276. 370. 410. 502.
ἀγχίνοια 390.
ἀγχιστεία 290.
Ἀδὰμ 56. 274. 292.
ἀδικία 128.
ἀδολεσχία 270.
ἀδοξία 378. 406.
ἀθανασία 234. 246. 248. 252.
ἀθεΐα 364.
ἀθυρογλωττία 134.
ἀθυροστομία 32. 146. 302.
Αἰγύπτιοι 48.
αἱρετικός, -οἱ 22.
αἰσχύνη 240.
ἀκαθαρσία 360.
ἀκαταληψία 154.
ἀκροβυστία 278. 362. 464.
ἀλαζονεία 158. 384.
ἀλήθεια 20. 26. 30. 36. 38. 40. 52. 56. 76. 84. 90. 92. 94. 96. 98. 122. 134. 140. 150. 178. 200. 234. 260. 278. 284. 288. 298. 310. 320. 324. 364. 374. 386. 400. 404. 416. 420. 442. 460. 468. 472.
ἀλλοίωσις 412. 478. 500.
ἀμαθία 108. 166. 190. 230. 260. 292. 356. 494.
ἁμαρτία 40. 58. 60. 64. 82. 128. 272. 302. 382. 410. 456. 462. 484. 486. 502.
ἀμνησικακία 486.
ἀμοιβὴ 462.
ἀνάθεμα 92. 300.
ἀναισχυντία 78. 80. 108. 412.
ἀνακαινισμὸς 226.
ἀναμόρφωσις 372.
ἀνάστασις 248.
ἀνομία 314. 384.
ἀνομοιότης 284. 286.
ἀνταπόδοσις 314.
ἀνυπαρξία 350. 438.
ἀνυποταξία 498.
ἀπάτη 26. 94. 106. 234. 240. 332.
ἀπαύγασμα 44. 140. 174. 200. 230. 434. 466.
ἁπλότης 146. 206.
ἀπολύτρωσις 410.
ἀποπληξία 32. 200. 214. 222. 228. 240. 310. 454.
ἀπορροὴ 132. 158. 160.
ἀπώλεια 306.
ἀρετὴ 34. 64. 126. 198. 472.
ἄρτος ἀληθινὸς 442.
ἄρτος ζωῆς 444.
ἀρχέτυπον 36. 364.
ἀτοπία 332.
αὐτουργία 224. 352. 354. 380.
ἀφθαρσία 292. 502.
ἀφιλεργία 18.
ἀφιλοθεΐα 200.
ἀφροσύνη 106.
ἀψευδεία 328.


### Β


βάπτισμα 102. 364.
Βαροὺχ 204.
βασιλεία 280. 404.
βαττολογία 82.
βδέλυγμα 92. 94.
Βεελζεβοὺλ 394.
Βηθλεὲμ 156.
βλασφημία 162. 404. 418.
βουλὴ 426. 428. 430.

βούλησις 424. 436.

Γ

Γαβριὴλ 416.
γέννησις Σωτῆρος 80. 82. 120. 128. 132. 134. 136. 144. 146. 154. 156. 158. 162. 170. 174. 186. 188. 198. 206. 302. 306. 326. 328. 368. 376. 414. 470.
γεννητὸν 130.
Γεργεσηνοὶ 492.
γλωσσαλγία 24.
γνῶσις 16. 20. 26. 28. 46. 84. 230. 232. 294. 294. 314. 326. 406. 418. 432. 464. 496.
Γολιὰθ 96.
Γόμορρα 198.

Δ

Δαβὶδ 82. 90. 106. 158. 236. 280. 330. 374. 376. 412. 428. 430. 462. 498.
Δαθὰν 54.
δαιμόνιον 394. 492.
διάβολος 410.
δικαιοσύνη 230. 272. 462. 490.
δοκησισοφία 100. 344.
δόλος 106.
δόξα θεία - Θεοῦ 44. 50. 76. 150. 174. 206. 234. 236. 256. 260. 270. 276. 280. 282. 284. 290. 296. 286. 300. 302. 316. 318. 320. 332. 336. 340. 368. 378. 380. 386. 400. 406. 412. 418. 420. 424. 432. 448. 452. 456. 458. 462. 466. 478. 482. 488. 490. 496. 502. 504.
δοξολογία 314. 480.
δουλεία 48. 330. 344. 376. 378. 468. 480. 482. 490. 496.
δύναμις δημιουργικὴ 382.
δύναμις θεία 150. 192. 358. 386. 388. 394. 434. 440. 464.
δυσβουλία 234. 256.
δυσσέβημα 104. 396.
δυσθυμία 54.
δυμάθεια 374.
δυσσέβεια 136. 164. 186. 208. 220. 304. 414.
δυσφημία 106. 200. 292. 304. 336. 352. 354. 368. 382. 388. 404. 462. 470. 474.
δωρεὰ (Θεοῦ) 460.

Ε

εἰκὼν (κατ' εἰκόνα) 32. 34. 222. 224. 226. 332. 350. 418. 424. 430. 432. 438.
εἰρήνη 50. 58. 296. 298. 396. 486.
Ἕλλην,- ες 30. 94. 136. 286. 352. 464.
ἐλπὶς 96. 152. 202. 278. 364.
ἐμβροντησία 408. 418.
Ἐμμανουὴλ 60. 376. 414.
ἐνανθρώπησις 42. 240. 456.
ἐνέργεια 34. 148. 176. 192. 214. 216. 250. 282. 298. 382. 396. 452. 482. 486.
ἐνυπόστατος, ον
ἕνωσις 62. 64. 234. 262. 290. 408.
ἐξεικονισμὸς 32.
ἐξουσία 146. 344. 404. 444. 462. 484. 502.
ἐξουσία δημιουργικὴ 224.
ἐπαγγελία 364. 410.
ἐπίγνωσις 30. 278. 284. 360.
ἐπιθυμία 360.
Ἑρμείας 10. 14. 16. 36. 54. 86. 90. 104. 110. 114. 126. 150. 152. 198. 208. 214. 228. 264. 284. 302. 308. 322. 330. 346. 350. 360. 370. 398. 404. 454. 502.
εὔκλεια 84. 256. 264. 316. 340. 348. 380. 390. 476. 488.
εὐλάβεια 44. 466.
εὐμάθεια 348.
εὐμορφία 472.
εὐσέβεια 64. 126. 148. 158. 198. 418.
εὐσθένεια 380.
εὐταξία 486.
εὐτεχνία 484.
εὐτολμία 456.
εὐφημία 316. 380. 384. 466. 502.
εὐωδία 296.
ἔχθρα 58. 92.

Ζ

ζωὴ αἰώνιος 202. 204. 252. 280. 302. 304. 308. 444. 452. 482.
ζωὴ κόσμου 312.
Ζωὴ (Χριστὸς) 84. 132. 150. 156. 248. 250. 252. 434. 438. 440. 442. 444. 446. 448. 450. 452. 502.
ζωοποιεῖν - ζωογονεῖν 250. 252. 274.
ζωοποίησις 448. 450.

Η

ἡδονὴ 348.
ἠλιθιότης 80. 92. 202. 230. 294.
ἡμερότης 332.
Ἠσαΐας, προφήτης, 46. 56. 146. 154. 296. 386. 458. 488.

Θ

θάνατος 254. 406. 414. 456. 468.
θέλημα 410. 426. 430. 502.
θέλησις (Θεοῦ) 146. 180. 182. 184. 186. 236. 264. 352. 388. 424. 426. 428. 430. 432. 500. 502.
θεογνωσία 124. 266.
θεοπτία 48.
θέωσις 350.
θλῖψις 376.
θρασυστομία 380.
θυμὸς 150.
θυσία 502.
θυσιαστήριον 54.
Θωμᾶς 66. 68. 412.

Ι

Ἰακὼβ 204.
Ἰερεμίας 26. 386.
ἱερωσύνη 54. 56.
Ἰουδαία 310. 492.
Ἰουδαῖος 74. 82. 138. 232. 240. 244. 286. 300. 310. 316. 350. 394. 418. 420. 442. 446. 464.
Ἰούδας, υἱὸς Ἰακώβ, 156.
ἰσότης 260. 492.
Ἰσαὰκ 494.
Ἰσραὴλ 48. 50. 52. 80. 156. 202. 204. 238. 242. 246. 278. 324. 328. 364. 374. 462. 488.
Ἰσραηλίτης 300.
Ἰωάννης (εὐαγγελιστὴς) 38. 66. 74. 138. 142. 178. 204. 212. 252. 262. 264. 172. 276. 280. 282. 302. 308. 318. 338. 370. 386. 416. 428. 438. 450. 454. 458.

Κ

Καισάρεια 310.
κακία 134.
κακούργημα 178.
κάλλος 36. 480.
καταλλαγὴ 280.
καταφυγὴ 376.
κένωσις 236. 238. 254. 256. 258. 260. 332. 338. 378. 406. 408. 410. 412. 448. 458. 468. 496.
κρίσις 234.

Λ

λατρεία 386.
λατρεία ἑλληνικὴ 360.
Λαυῒ 54.
Λουκᾶς 494.
λύτρωσις 56. 312. 314. 410.

Μ

μακαριότης 228. 352.
μανία 264.
Μαριὰμ 416.
Μάρκος 66. 68.
Ματθαῖος 482.
μεγαλοπρέπεια 298.
μεγαλουργία 358. 486.
μεγαλωσύνη 140.
μέθεξις 44. 216. 218. 364. 418. 448. 450.

μεσιτεία 48. 52. 54. 58. 72. 76. 380.
μετουσία 372.
μίμησις 372.
μισθαποδοσία 140.
μολυσμὸς 48.
Μονογενὴς 322. 408. 410. 412.
μοχθηρία 78.
μυσταγωγία 42. 208. 310.
μυστήριον 10. 28. 140. 256. 272. 284. 322. 326. 328. 334. 364. 392. 406. 418.
μωρία 48. 64. 438.
Μωσῆς-Μωυσῆς 30. 48. 50. 52. 54. 56. 82. 202. 222. 232. 244. 286. 322. 324. 328. 332. 350. 388. 420. 442. 460. 488.

N

Νεμεσῖνος 10.
νῆψις 26. 496.
Νικαεῖς 24.
νόμος 326.

O

οἰκονομία 12. 58. 158. 256. 334. 338. 392. 410. 416. 470.
ὁλοκαύτωμα 410. 502.
ὁμοιότης 430.
ὁμοίωσις 32. 34. 36. 42. 128. 226. 228. 270. 356. 376. 418. 422. 424. 428. 430. 434.
ὁμοούσιος, ον 28. 30. 32 . 38. 40. 62. 66. 70. 72. 104. 132. 402.
ὁμοουσιότης 66. 78. 208. 272. 446.
ὁμοφυὴς 28.
ὁμοφυῖα 38.
ὀργὴ 150.
οὐσία, θεία, 24. 26. 28. 30. 32. 40. 64. 68. 70. 72. 80. 114. 116.118. 120. 122. 128. 130. 132. 136. 140. 144. 148. 150. 164. 176. 200. 206. 210. 218. 234. 240. 268. 272. 282. 284. 286. 290. 296. 302. 304. 306. 346. 362. 392. 402. 422. 424. 428. 430. 436. 446. 470. 478. 492. 494. 498. 500. 502.

Π

πάθος 16. 158. 384.
παιδαγωγία 420.
παντευχία 106. 376. 404.
παράβασις 56. 410.
παρακοὴ 140.
Παρθένος 376.
παρρησία 428. 484.
Παῦλος 10. 20. 40. 44. 46. 56. 58. 64. 68. 126. 128. 134. 140. 144. 152. 174. 206. 210. 220. 226. 228. 244. 252. 262. 264. 266. 274. 278. 280. 282. 284. 286. 294. 298. 320. 326. 338. 358. 360. 362. 396. 404. 410. 412. 414. 418. 424. 430. 434. 442. 444. 446. 448. 454. 460. 464. 466. 468. 486. 492. 496. 498. 500. 502. 504.
περιτομὴ 278. 464.
Πέτρος 66. 68. 310. 330. 374.
πίστις 18. 20. 24. 28. 58. 64. 102. 122. 124. 144. 152. 162. 184. 208. 234. 270. 274. 278. 284. 302. 310. 322. 344. 360. 362. 416. 422. 432. 448. 486.
πλάνη πολύθεος 242. 278.
Πλάτων 352.
πολυθεΐα 204.
πονηρία 82. 382.
πρᾳότης 150.
προαίρεσις 36.
προθυμία 18. 34. 102.
πρόνοια 356. 490. 492.
προσευχὴ 124.
προσκύνησις 278. 360. 366.
πρόσταγμα Κυρίου 238.
πρωτότοκος 60. 164. 326. 332. 334. 338. 340. 342. 344. 346. 408.

Σ

Σαμαρεῖται 414.
Σαμουὴλ 430.
Σίμων Βὰρ Ἰωνᾶ 310.
Σινᾶ 48. 52. 420.

Σιὼν 236. 238.
Σκύθης 464.
σμικροπρέπεια 78.
Σόδομα 178. 198.
Σολομὼν 100. 374.
Σοφία 20. 26. 150. 312. 374. 386. 388. 394. 428. 434. 440. 460. 462.
σοφία κόσμου 36. 92. 94. 180.
σταυρὸς 46. 240. 406. 456. 458. 464.
στενολεσχία 394.
συγκατάβασις 372.
συκοφαντία 256. 306. 398. 478.
συμμορφία 128. 376.
σύμμορφος 28.
συμφυΐα 216.
συνέργεια 314.
σύνεσις 20. 386. 416.
σωτηρία 24. 40. 140. 212.

Τ

ταπείνωσις 254. 332. 408.
ταυτοβουλία 428.
ταυτότης 290. 422. 482.
τελειότης 322.
τερατολογία 168.
τερθρεία 430. 474.
τιμὴ 256. 300. 386.
Τιμόθεος 444.
τῦφος 384.

Υ

υἱοθεσία 82. 124. 142. 264. 320. 328. 344. 400. 468.
υἱοποίησις 270.
υἱότης 264. 270. 272. 288. 306. 342. 366. 470.
ὑπακοὴ 44. 46. 256. 414. 456. 466. 494. 496.
ὑπεροχὴ (θεία) 68. 354. 368. 428. 454. 476.
ὑπόστασις 26. 44. 66. 68. 70. 104. 130. 140. 174. 208. 222. 232. 270. 292. 432. 434. 436. 466.
ὑποταγὴ 492. 494. 496. 498. 500. 502. 504.

Φ

φαντασία 432.
φαντασία σωματικὴ 482.
Φαρισαῖος 230.
φαυλότης 34. 36.
φενακισμὸς 350. 364. 376. 398.
φθόνος 138. 226. 352. 394.
φθορὰ 76. 84. 106. 276. 314. 432. 450.
φιληδονία 58.
Φίλιππος 210. 266. 310. 430.
φιλοθεΐα 20.
φιλοτιμία 298. 492.
φρενοβλάβεια 60. 124. 162.
φρόνησις 386. 472.
φύσις θεία 38. 40. 84. 144. 172. 220. 222. 226. 244. 256. 276. 320. 350. 360. 362. 364. 366. 370. 372. 378. 394. 398. 400. 410. 416. 420. 422. 424. 426. 430. 432. 434. 438. 446. 450. 466. 504.
Φῶς (ὁ Χριστός) 24. 84. 132. 176. 324. 412. 424. 434. 440.

Χ

χαρακτὴρ τῆς ὑποστάσεως (Θεοῦ) 432. 434. 436. 466. 472.
χάρισμα 214. 308.
Χριστιανὸς 106.
Χωρὴβ 52.

Ψ

ψευδοδοξία 26.
ψεθδομυθία 246.
ψεῦδος 96. 158. 360. 454.

## ΠΕΡΙΕΧΟΜΕΝΑ


Σελὶς

ΕΙΣΑΓΩΓΗ 6

ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ 10

ΠΡΟΛΟΓΟΣ 10

(ΔΙΑ)ΛΟΓΟΣ Α΄ Ὅτι ὁμοούσιος καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ ὁ Υἱός. 14

(ΔΙΑ)ΛΟΓΟΣ Β΄ Ὅτι καὶ συναΐδιος τῷ Θεῷ καὶ Πατρὶ καὶ ἐξ αὐτοῦ κατὰ φύσιν γεννητὸς ὁ Υἱός. 90

(ΔΙΑ)ΛΟΓΟΣ Γ Ὅτι Θεὸς ἀληθινὸς ὁ Υἱὸς καθὰ καὶ ὁ Πατήρ. 198

(ΔΙΑ)ΛΟΓΟΣ Δ΄ Ὅτι οὐ κτίσμα ὁ Υἱὸς οὐδὲ ποίημα. 302

(ΔΙΑ)ΛΟΓΟΣ Ε΄ Ὅτι τὰ τῆς θεότητος ἴδια καὶ ἡ δόξα φυσικῶς ἐν τῷ Υἱῷ καθὰ καὶ ἐν τῷ Πατρί. 402

Ε Υ Ρ Ε Τ Η Ρ Ι Α 506

**1. Εὑρετήριο χωρίων τῆς Γραφῆς** 506

**2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων** 512

## ΑΠΑΝΤΑ ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΤΟΜΟΣ 1ος Κυρίλλου Ἀλεξανδρείας : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι Α' – ΣΤ'.*

» 2ος Κυρίλλου Ἀλεξανδρείας : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι Ζ' – ΙΑ'.*

» 3ος Κυρίλλου Ἀλεξανδρείας : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι ΙΒ' – ΙΖ'.*

» 4ος Κυρίλλου Ἀλεξανδρείας : Γλαφυρῶν εἰς τὴν Γένεσιν Λόγοι Α'–Ζ'.

» 5ος Κυρίλλου Ἀλεξανδρείας : Γλαφυρῶν εἰς τὴν Ἔξοδον Λόγοι Α'–Γ' εἰς Λευιτικόν, Ἀριθμούς, Δευτερονόμιον, Βασιλειῶν.

» 6ος Κυρίλλου Ἀλεξανδρείας : *Βίβλος Θησαυρῶν, Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι Α' – ΙΘ'.*

» 7ος Κυρίλλου Ἀλεξανδρείας : *Βίβλος Θησαυρῶν. Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι Κ' – ΛΕ'.*

» 8ος Κυρίλλου Ἀλεξανδρείας : *Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι Α' – Ε'.*

» 9ος Κυρίλλου Ἀλεξανδρείας : 1. *Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι ΣΤ'–Ζ',* – 2. *Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, καὶ ὅτι ὁ Χριστὸς εἷς καὶ Κύριος.* – 3. Ὅτι εἷς ὁ Χριστός. – 4. Ὡς ἐν κεφαλαίοις: Τὰ ἐγκείμενα τῷ λόγῳ τῷ περὶ τοῦ ἁγίου Πνεύματος, μετὰ προσθήκης ἑτέρων ἐννοιῶν. 5. Περὶ τῆς ἁγίας καὶ Ζωοποιοῦ Τριάδος *κατὰ κεφάλαια (Κεφ. Α'–ΚΗ').*

» 10ος Κυρίλλου Ἀλεξανδρείας: *Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου, τοῦ Υἱοῦ τοῦ Πατρός, – Περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως κατὰ κεφάλαια, Κεφ. Α-ΛΕ. – Πεντάβιβλος ἀντίρρησις κατὰ τῶν Νεστορίου δυσφημιῶν.- Διάλεξις πρὸς Νεστόριον, Ὅτι Θεοτόκος ἡ ἁγία Παρθένος καὶ οὐ Χριστοτόκος.– Λόγος κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν Θεοτόκον τὴν ἁγίαν Παρθένον..*

ΤΟΜΟΣ 11ος Κυρίλλου 'Αλεξανδρείας: *Διάφοροι Λόγοι περὶ τῶν δώδεκα κεφαλαίων.- Λόγοι δέκα ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις 'Ιουλιανοῦ* (Λόγοι Α'-Γ')..

» 12ος Κυρίλλου 'Αλεξανδρείας: *Λόγοι δέκα ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις 'Ιουλιανοῦ* (Λόγοι Δ'-Ι' καὶ τεμάχια τῶν Λόγων ΙΑ'-ΙΘ'). **Ὑπὸ ἔκδοση.**

» 13ος Κυρίλλου 'Αλεξανδρείας: *Κατὰ ἀνθρωπομορφιτῶν εἰς κεφάλαια ΚΗ'. 'Επιστολὴ πρὸς Καλοσύριον, καὶ ἄλλοι λόγοι πρὸς τὸν βασιλέα Θεοδόσιον καὶ ταῖς βασιλίσσαις περὶ πίστεως*. **Ὑπὸ ἔκδοση.**

» 14ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Ησαΐαν*, Βιβλίον Α', Λόγοι Α'-ΣΤ', Βιβλίον Β', Λόγοι Α'-Β'. **Ὑπὸ ἔκδοση.**

» 15ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Ησαΐαν*, Βιβλίον Β', Λόγοι Γ-Ε', Βιβλίον Γ', Λόγοι Α'-Γ'. **Ὑπὸ ἔκδοση.**

» 16ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Ησαΐαν*, Βιβλίον Γ', Λόγοι Δ'-Ε', Βιβλίον Δ', Λόγοι Α'-Δ'. **Ὑπὸ ἔκδοση.**

» 17ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Ησαΐαν*, Βιβλίον Δ', Λόγοι Δ'-Ε', Βιβλίον Ε', Λόγοι Α'-ΣΤ', καὶ *εἰς 'Ιερεμίαν, Βαρούχ, 'Ιεζεκιήλ, καὶ Δανιήλ* **Ὑπὸ ἔκδοση.**

» 18ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Ωσηὲ* (Λόγοι Α'-Ζ')- *'Ιωὴλ* (Λόγοι Α'-Β'). **Ὑπὸ ἔκδοση.**

» 19ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς 'Αμώς* (Λόγοι Α'-Δ'), *'Οβδιού, 'Ιωνᾶν* (Λόγ. Α'-Δ'), *Μιχαίαν* (Λόγ. Α'-Ζ'). **Ὑπὸ ἔκδοση.**

» 20ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς Ναοὺμ* (Λόγοι Α'-Γ'), *'Αββακοὺμ* (Α'-Γ'), *Σοφονίαν* (Α-Β), *'Αγγαῖον* (Α-Β). **Ὑπὸ ἔκδοση.**

» 21ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς Ζαχαρίαν* (Λό-γοι Α'-ΣΤ')-. *Μαλαχίαν* (Λόγοι Α' - Β'). **Ὑπὸ ἔκδοση.**

» 22ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς Εὐαγγελιστὰς Ματθαῖον - Λουκᾶν.* **Ὑπὸ ἔκδοση.**

» 23ος Κυρίλλου 'Αλεξανδρείας: *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Λουκᾶν καὶ εἰς Εὐαγγελιστὴν 'Ιωάννην* (Λόγος Α', κεφ. Α'-Γ'). **Ὑπὸ ἔκδοση.**

ΤΟΜΟΣ 24ος Κυρίλλου Ἀλεξανδρείας: *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Ἰωάννην* (Λόγος Β', κεφ. Α'-Θ', καὶ Λόγος Γ, κεφ. Α'-ΣΤ'). **Ὑπὸ ἔκδοση.**

» 25ος Κυρίλλου Ἀλεξανδρείας: *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Ἰωάννην* (Λόγος Δ', κεφ. Α'-Ζ', Λόγος Ε', Α'-Ε'.). **Ὑπὸ ἔκδοση.**

» 26ος Κυρίλλου Ἀλεξανδρείας: *Ὑπόμνημα εἰς τὸ κατά Ἰωάν-νην* (Λόγος ΣΤ', κεφ. Ἕνα, Λόγος Ζ' καὶ Η' τεμάχια, Λόγος Θ'). **Ὑπὸ ἔκδοση.**

» 27ος Κυρίλλου Ἀλεξανδρείας: *Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάν-νην* (Λόγος Ι', κεφ. Α'-Β', Λόγος ΙΑ'. κεφ. Α' - ΙΒ'). **Ὑπὸ ἔκδοση.**

» 28ος Κυρίλλου Ἀλεξανδρείας: α) *Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην* (Λόγος ΙΒ'), *β) Εἰς τὰς Πράξεις, καὶ* γ) *Εἰς τὰς Ἐπιστολάς:* 1. *Ρωμαίους,* 2. *Κορινθίους Α',* 3. *Κορινθίους Β',* 4. *Γαλάτας,* 5. *Ἑβραίους,* 6. *Ἰακώβου,* 7. *Ἰωάννου Α',* 8. *Ἰούδα.* **Ὑπὸ ἔκδοση.**

» 29ος Κυρίλλου Ἀλεξανδρείας: *Ἐπιστολαὶ* (Α'-ΠΗ'). **Ὑπὸ ἔκδοση.**

» 30ος Κυρίλλου Ἀλεξανδρείας: *Ὁμιλίες ἑορταστικές* (Α'-ΙΖ') **Ὑπὸ ἔκδοση.**

» 31ος Κυρίλλου Ἀλεξανδρείας: *Ὁμιλίες Ἑορταστικὲς* (ΙΗ'-Λ'). *Ὁμιλίες διάφορες* (Α'-ΚΒ').- *Λόγος εἰς τὴν τελευτὴν τῶν ἁγίων τριῶν παίδων καὶ τοῦ πανσόφου Δανιήλ.* **Ὑπὸ ἔκδοση.**

# ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

## Α' ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος

1ος ***Ἐπιστολές***: Πρὸς Γρηγόριον τὸν Θεολόγον, Καισάριον, ἀδελφὸν Γρηγόριον, θεῖον Γρηγόριον, Ἀμφιλόχιον Ἰκονίου, Εὐσέβιον Σαμοσάτων, Μελέτιον Ἀντιοχείας, Μ. Ἀθανάσιον.

2ος ***Ἐπιστολές***: Πρὸς δυτικοὺς ἐπισκόπους, Πρὸς Εὐστάθιον Σεβαστείας, Ἐπὶ θεμάτων ἐκκλησιῶν Πόντου καὶ Ἀρμενίας, Πρὸς διαφόρους κληρικούς, Σχετικὲς μὲ θέματα τῆς ἐπισκοπῆς του, Πρὸς πολιτικοὺς ἄρχοντας, Πρὸς φίλους διαφόρους, Μεσιτευτικές, Συστατικές, Παραμυθητικές, Συμβουλευτικές.

3ος ***Ἐπιστολές***: Πρὸς Γρηγόριον Θεολόγον, ἀδελφὸν Γρηγόριον, Ἀμφιλόχιον, Εὐσέβιον Σαμοσάτων, Μελέτιον, Πρὸς Ἀλεξανδρεῖς, Πρὸς δυτικοὺς ἐπισκόπους, Ἐπὶ θεμάτων ἐκκλησιῶν Πόντου καὶ Ἀρμενίας, Πρὸς διαφόρους κληρικούς, Πρὸς πολιτικοὺς ἄρχοντας, Πρὸς ῥήτορας, πρὸς φιλοσόφους, Ἐπιστολὲς μεσιτευτικές, συστατικές, παραμυθητικές, συμβουλευτικές.

4ος ***Ὁμιλίες*** Εἰς τὴν Ἑξαήμερον (Α'-Θ').

5ος ***Ὁμιλίες εἰς Ψαλμούς***: Ψαλμὸν Α', Ζ', ΙΔ', ΚΗ', ΚΘ', ΛΒ', ΛΓ', ΜΔ', ΜΕ', ΜΗ', ΝΘ', ΞΑ', ΡΙΔ'.

6ος **Α'. *Ὁμιλίες ἠθικὲς καὶ πρακτικές***: Περὶ νηστείας Α'-Β', Περὶ εὐχαριστίας, Περὶ ταπεινοφροσύνης, Περὶ φθόνου, Κατὰ ὀργιζόντων, Κατὰ μεθυόντων, Εἰς τὸ «Πρόσεχε σεαυτῷ» Προτρεπτικὸς εἰς τὸ βάπτισμα.

**Β'. *Ὁμιλίες κοινωνικές***: Πρὸς τοὺς πλουτοῦντας, καὶ εἰς τὸ «Καθελῶ μου τὰς ἀποθήκας».

7ος **Γ'. *Ὁμιλίες δογματικές***: Περὶ πίστεως, εἰς τὸ «ἐν ἀρχῇ ἦν ὁ Λόγος», Κατὰ Σαβελλιανῶν καὶ Ἀρείου καὶ Ἀνομοίων, καὶ «Ὅτι οὐκ ἔστι αἴτιος τοῦ κακοῦ ὁ Θεός».

**Δ'. *Ὁμιλίες περιστατικές***: Ἐν λιμῷ καὶ αὐχμῷ, Περὶ τοῦ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς.

***Ε'. Ὁμιλίες ἐγκωμιαστικές***: Εἰς τὴν μάρτυρα Ἰουλίτταν, εἰς τοὺς μάρτυρας Βαρλαάμ, Γόρδιον, ἅγιον Μάμαντα, Ἁγίους Τεσσαράκοντα.

**ΣΤ'. *Ὁμιλίες παιδαγωγικές***: Πρὸς τοὺς νέους, ὅπως ἂν ἐξ ἑλληνικῶν ὠφελοῖντο λόγων, Εἰς τὴν ἀρχὴν τῶν Παροιμιῶν.

8ος ***Ἀσκητικὰ Α'***: Λόγος περὶ κρίματος, Περὶ πίστεως, Ἀσκητικὴ προδιατύπωσις, Λόγοι ἀσκητικοὶ Α'-Β', Περὶ ἀσκήσεως, *Ὅροι κατὰ πλάτος Α' καὶ Β'*).

9ος ***Ἀσκητικὰ Β'*** : *Ὅροι κατ' ἐπιτομήν, Ἀσκητικαὶ διατάξεις.*
10ος ***Δογματικὰ ἔργα*** : *1. Ἀνατρεπτικὸς τοῦ ἀπολογητικοῦ τοῦ Εὐνομίου. 2. Περὶ τοῦ ἁγίου Πνεύματος.*

Β'. ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

1ος ***Ἀπολογητικά*** : *Λόγος Α' Κατὰ εἰδώλων.– Λόγος Β' Περὶ ἐνανθρωπήσεως).*
2ος ***Δογματικὰ Α'*** : *Λόγοι κατὰ Ἀρειανῶν Α' - Β'.*
3ος ***Δογματικὰ Β'*** : *Λόγοι κατά Ἀρειανῶν Γ' - Δ'.– Περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ Κατὰ Ἀρειανῶν.*
4ος ***Δογματικὰ Γ'*** : *Περὶ Διονυσίου Ἀλεξανδρείας.– Πρὸς Σεραπίωνα Θμούεως· 1. Κατὰ τῶν βλασφημούντων καὶ λεγόντων κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. 2. Κατὰ τῶν λεγόντων κτίσμα τὸν Υἱόν. 3. Ὁμοίως περὶ τοῦ ἁγίου Πνεύματος.– Ἐπιστολὴ πρὸς Ἐπίκτητον Κορίνθου, κατὰ τῶν αἱρετικῶν.– Ἐπιστολὴ πρὸς Ἀδέλφιον, κατὰ Ἀρειανῶν.– Πρὸς Μάξιμον φιλόσοφον.*
5ος ***Ἑρμηνευτικὰ Α'*** : *Πρὸς Μαρκελλῖνον εἰς τὴν ἑρμηνείαν τῶν Ψαλμῶν.– Ὑπόθεσις εἰς τοὺς Ψαλμούς.– Ἐξήγησις εἰς τοὺς Ψαλμοὺς* (Α'-Μ').
6ος ***Ἑρμηνευτικὰ Β'*** : *Ἐξήγησις εἰς τοὺς Ψαλμοὺς ( Ψαλμοὶ ΜΑ'-ΠΖ').*
7ος ***Ἑρμηνευτικὰ Γ'*** : *Ἐξήγησις εἰς τοὺς Ψαλμοὺς (Ψαλμοὶ ΠΗ'-ΡΜϚ').*
8ος ***Ἱστορικοδογματικὰ Α'*** : *Ἀπολογητικὸς κατὰ Ἀρειανῶν ἢ Ἀπολογητικὸς Δεύτερος.– Πρὸς τὸν βασιλέα Κωνστάντιον Ἀπολογία.– Περὶ τῶν διαβαλλόντων τὴν ἐν τῷ διωγμῷ φυγὴν αὐτοῦ.*
9ος ***Ἱστορικοδογματικὰ Β'*** : *Περὶ τῆς ἐν Νικαίᾳ Συνόδου.– Ἐγκύκλιος Ἐπιστολή.– Ἐπιστολὴ πρὸς μοναχούς.– Περὶ τῶν γεγενημένων παρ' Ἀρειανῶν.*
10ος ***Ἱστορικοδογματικὰ Γ'*** : *Ἐπιστολὴ πρὸς ἐπισκόπους Αἰγύπτου καὶ Λιβύης.– Ὁ πρὸς τοὺς Ἀντιοχεῖς τόμος.– Πρὸς Ἰουβιανὸν περὶ πίστεως.– Πρὸς τοὺς ἐν Ἀφρικῇ ἐπισκόπους.– Περὶ τῶν ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ συνόδων.– Ἐπιστολές· Πρὸς Σεραπίωνα, Πρὸς Μοναχούς, Πρὸς τοὺς πρεσβυτέρους Ἰωάννην καὶ Ἀντίοχον, Πρὸς Παλλάδιον πρεσβύτερον, Πρὸς Ρουφῖνον.– Ἀποσπάσματα ἐκ τῶν ἑορταστικῶν β', ε', ϛ', κβ', κδ', κη', κθ', μβ', μγ', με', ἡ λθ' ἑορταστική.*
11ος ***Ἀσκητικά*** : *Βίος Μ. Ἀντωνίου.– Περὶ παρθενίας ἢ ἀσκήσεως.– Ἐπιστολές : 1. Πρὸς Δρακόντιον. 2. Πρὸς Ἀμοῦν, 3. Πρὸς Ὡρσίσιον Α' καὶ Β'.– Βίος καὶ πολιτεία τῆς ἁγίας Συγκλητικῆς.*
12ος ***Ἀμφιβαλλόμενα ἔργα*** : *Εἰς τὸ πάθος τοῦ Κυρίου καὶ εἰς τὸν σταυρόν.– Περὶ Σαββάτων καὶ Περιτομῆς.– Κατὰ Ἀπολιναρίου Λόγοι α'-β'.– Εἰς τὸ «πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου».– Περὶ πίστεως λόγος μείζων.– Ἐκ τοῦ περὶ πίστεως μείζονος λόγου.– Ἑρμηνεία εἰς τὸ Κατὰ Λουκᾶν.– Σύνοψις ἐπίτομος τῆς θείας Γραφῆς, Παλαιᾶς καὶ Καινῆς Διαθήκης.*

## Γ'. ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος

1ος ***Προσωπικὲς σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α'***: *Λόγος Α' Εἰς τὸ ἅγιον Πάσχα.– Λόγος Β' Ἀπολογητικὸς τῆς εἰς τὸν Πόντον φυγῆς.– Λόγος Γ' Πρὸς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας.– Λόγος ΣΤ' Εἰρηνικὸς πρῶτος.– Λόγος Θ' Ἀπολογητικὸς εἰς πατέρα καὶ Βασίλειον.– Λόγος ΙΑ' Εἰς Γρηγόριον Νύσσης.– Λόγος Ι' Εἰς ἑαυτόν, εἰς τὸν πατέρα καὶ Βασίλειον τὸν Μέγαν.– Λόγος ΙΒ' Εἰς τὸν πατέρα ἑαυτοῦ.– Λόγος ΙΓ' Εἰς Εὐλάλιον.– Λόγος ΚΒ' Εἰρηνικὸς δεύτερος.– Λόγος ΚΓ' Εἰρηνικὸς τρίτος.*

2ος ***Προσωπικὲς σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β'***: *Λόγος ΝΒ' Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας καὶ ὅτι οὐ παντὸς ἀνθρώπου οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι.– Λόγος ΛΓ' Πρὸς Ἀρειανοὺς καὶ εἰς ἑαυτόν.– Λόγος ΛΔ' Εἰς τοὺς ἀπ' Αἰγύπτου ἐπιδημήσαντας.– Λόγος Κς' Εἰς ἑαυτόν, εἰς τὸν λαὸν καὶ τοὺς ποιμένας ἐξ ἀγροῦ ἐπανήκοντα μετὰ τὰ κατὰ Μάξιμον.– Λόγος Λς' Εἰς ἑαυτὸν καὶ πρός τοὺς λέγοντας ἐπιθυμεῖν αὐτὸν τῆς καθέδρας Κωνσταντινουπόλεως καὶ εἰς τὴν τοῦ λαοῦ προθυμίαν, ἣν ἐπεδείξαντο εἰς αὐτόν.– Λόγος ΛΕ' Εἰς τοὺς μάρτυρας καὶ κατὰ Ἀρειανῶν.– Λόγος ΜΒ' Συντακτήριος εἰς τὴν τῶν 150 ἐπισκόπων παρουσίαν.*

3ος ***Ἀπολογητικὰ ἔργα***: *Κατὰ Ἰουλιανοῦ βασιλέως· Λόγος Δ' Στηλιτευτικὸς Α'. Λόγος Ε' Στηλιτευτικὸς Β'.– Λόγος ΚΕ' Εἰς Ἥρωνα τὸν φιλόσοφον.*

4ος ***Δογματικὰ ἔργα***: *Λόγοι Θεολογικοὶ α'–ε': Λόγος ΚΖ' Θεολογικὸς α', Πρὸς Εὐνομιανοὺς προδιάλεξις.– Λόγος ΚΗ' Θεολογικὸς β', Περὶ θεολογίας.– Λόγος ΚΘ' Θεολογικὸς γ', Περὶ Υἱοῦ.– Λόγος Λ' Θεολογικὸς δ', Περὶ Υἱοῦ.– Λόγος ΛΑ' Θεολογικὸς ε', Περὶ τοῦ ἁγίου Πνεύματος.– Λόγος Κ' Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων.– Λόγος Μ' Εἰς τὸ ἅγιον Βάπτισμα.*

5ος ***Α' Λόγοι Ἑορταστικοί***: *Λόγος ΛΗ' Εἰς τὰ Θεοφάνια.– Λόγος ΛΘ' Εἰς τὰ Ἅγια Φῶτα.– Λόγος ΜΑ' Εἰς τὴν Πεντηκοστήν.– Λόγος ΜΕ' Εἰς τὸ Πάσχα.– Λόγος ΜΔ' Εἰς τὴν Καινὴν Κυριακὴν.*

***Β' Ἠθικολογικοί***: *Λόγος ΙΔ' Περι φιλοπτωχίας.– Λόγος Ις' Εἰς τὸν πατέρα σιωπῶντα διὰ τὴν πληγὴν τῆς χαλάζης.– Λόγος ΙΖ' Πρὸς τοὺς πολιτευομένους Ναζιανζοῦ ἀγωνιῶντας καὶ τὸν ἄρχοντα ὀργιζόμενον.– Λόγος ΙΘ' Εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν.– Λόγος ΛΖ' Εἰς τὴν ῥῆσιν «ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους».*

6ος ***Α' Λόγοι Ἐγκωμιαστικοί***: *Λόγος ΙΕ' Εἰς τοὺ Μακκαβαίους.– Λόγος ΚΑ' Εἰς τὸν Μ. Ἀθανάσιον.– Λόγος ΚΔ' Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν.*

***Β' Λόγοι Ἐπιτάφιοι***: *Λόγος ΜΓ' Εἰς τὸν Μ. Βασίλειον.– Λόγος ΙΗ' Εἰς τὸν ἑαυτοῦ πατέρα παρόντος τοῦ Βασιλείου.– Λόγος Η' Εἰς τὴν ἀδελφὴν ἑαυτοῦ Γοργονίαν.– Λόγος Ζ' Εἰς Καισάριον τὸν ἑαυτοῦ ἀδελφόν.*

7ος ***Ἐπιστολές***: *(Ἐπιστολὲς Α'–ΣΜΔ').*

8ος ***Α'*** *Ὁ Χριστὸς πάσχων.*

Τόμος **Β' Ἔπη Δογματικά**: (*Περὶ Πατρός, Υἱοῦ, ἁγίου Πνεύματος, κόσμου, προνοίας, νοερῶν οὐσιῶν, ψυχῆς, Διαθηκῶν, ἐνανθρωπήσεως Χριστοῦ, μαστίγων Αἰγύπτου, δεκαλόγου Μωυσέως, θαυμάτων Χριστοῦ, παραβολῶν τοῦ Χριστοῦ, Ὕμνοι εἰς Θεὸν κλπ.*

9ος ***Ἔπη Ἠθικά***: Ποικιλία θεμάτων.
10ος ***Ἔπη Ἱστορικά***: Ποικιλία θεμάτων.
11ος ***Ἔπη εἰς Ἑτέρους - Ἐπιγράμματα.***

Δ' ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

1ος *Ἐκκλησιαστικὴ Ἱστορία* (Βιβλία Α' - Γ').
2ος *Ἐκκλησιαστικὴ Ἱστορία* (Βιβλία Δ' - ΣΤ').
3ος *Ἐκκλησιαστικὴ Ἱστορία* (Βιβλία Ζ' - Ι').
4ος *Τριακονταετηρικὸς εἰς τὸν Μ. Κωνσταντῖνον.– Εἰς τὸν Βίο Μ. Κωνσταντίνου.- Λόγος Μ. Κωνσταντίνου εἰς τὸν Σύλλογον τῶν ἁγίων.*

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

1ος **Δογματικὰ Α'** (*Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως*).
2ος *Φιλοσοφικά Κεφάλαια καὶ Ἀποσπάσματα.– Περὶ αἱρέσεων.- Εἰσαγωγὴ δογμάτων στοιχειώδης.*
3ος *Περὶ εἰκόνων.– Λόγος ἀποδεικτικὸς περὶ εἰκόνων.*
4ος *Λίβελος ὀρθοῦ φρονήματος.- Περὶ ἁγίας Τριάδος* (Λόγοι Α'-Β').- *Περὶ τῶν ἐν πίστει κεκοιμημένων.– Περὶ τοῦ Τρισαγίου Ὕμνου.– Περὶ πίστεως κατὰ τῶν Νεστοριανῶν.– Πρὸς τὸν Ἰακωβίτην ἐπίσκοπον Δαραίας.*
5ος *Περὶ τῶν ἐν Χριστῷ δύο θελημάτων.– Περὶ συνθέτου φύσεως.– Κατὰ Μανιχαίων.– Διάλεξις Ἰωάννου Ὀρθοδόξου πρὸς Μανιχαῖον.– Διάλεξις Σαρακηνοῦ καὶ Χριστιανοῦ.– Περὶ Δρακόντων καὶ στριγγῶν.– Πάθος Ἀρτεμίου.*
6ος *Ἱερὰ Παράλληλα* (Στοιχεῖα Α - Δ).
7ος *Ἱερὰ Παράλληλα* (Στοιχεῖα Ε - Μ).
8ος **α)** *Ἱερὰ Παράλληλα* (Στοιχεῖα Ν - Ω).– **β) Λόγοι**: *Περὶ νηστειῶν.– Περὶ τῶν ὀκτὼ τῆς πονηρίας πνευμάτων.– Περὶ ἀρετῶν καὶ κακιῶν.– Περὶ ἐξομολογήσεως.– Περὶ ἀζύμων.*
9ος ***Α'. Λόγοι***: 1. *Εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου* 2. *Εἰς τὴν ξηρανθεῖσαν συκῆν καὶ εἰς τὴν παραβολὴν τοῦ ἀμπελῶνος.* 3. *Εἰς τὴν ἁγίαν Παρασκευὴν καὶ τὸν σταυρόν.* 4. *Εἰς τὸ ἅγ. Σάββατον.* 5. *Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.* 6. *Εἰς τὸ γενέσιον τῆς Θεοτόκου, Λόγος Α'.* 7. *Εἰς τὸ γενέσιον τῆς Θεοτόκου, Λόγος Β'.* 8. *Ἐγκώμιον 1ον εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.* 9. *Ἐγκώμιον 2ον εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.* 10. *Λόγος 3ος εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.*
***Β'. Ἁγιολογικά***: 1. *Ἐγκώμιον εἰς Ἰωάννην Χρυσόστομον.* 2) *Ἐγκώμιον εἰς τὴν μάρτυρα Βαρβάραν.*
***Γ'. Προσευχὲς*** (Α' – Δ').

10ος *Ἱστορία Ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας, τῆς Ἰνδιῶν λεγομένης. Βίος Βαρλαὰμ καὶ Ἰωάσαφ.*
11ος Εἰς τὰς Ἐπιστολὰς Παύλου (*Πρὸς Ρωμαίους – Πρὸς Κορινθίους Α΄, Πρὸς Κορινθίους Β΄*).
12ος Εἰς Ἐπιστολὰς Παύλου (*Γαλάτας, Ἐφεσίους, Φιλιππησίους, Κολοσσαεῖς, Θεσσαλονικεῖς Α΄+Β΄, Τιμόθεον Α΄+Β΄, Τίτον, Φιλήμονα καὶ Ἑβραίους*).

## ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

1ος *Διάλογος Παλλαδίου.– Περὶ ἀσαφείας τῶν προφητειῶν.– Σύνοψις Παλαιᾶς Διαθήκης.*
2ος *Ὁμιλίες εἰς τὴν Γένεσιν* (Α΄–ΚΓ΄).
3ος *Ὁμιλίες εἰς τὴν Γένεσιν* (ΚΔ΄–ΜΑ΄).
4ος *Ὁμιλίες εἰς τὴν Γένεσιν* (ΜΒ΄–ΞΔ΄).
5ος **α)** *Ὁμιλίες εἰς τὴν Γένεσιν* (Γ΄-ΙΒ΄). **β)** *Εἰς Ψαλμοὺς* (ΜΑ΄-ΜΓ΄).
6ος *Ὁμιλίες εἰς τοὺς Ψαλμοὺς* (ΜΔ΄–ΡΚΓ΄).
7ος **α)** *Ὁμιλίες εἰς τοὺς Ψαλμοὺς* (ΡΚΔ΄–ΡΝ΄).
**β)** *Ὁμιλίες εἰς τὸν Δαυὶδ καὶ τὸν Σαούλ.*
8ος **α)** *Ὁμιλίες εἰς τὴν Γένεσιν* (Α΄-Θ΄).– **β)** *Ὑπόμνημα εἰς τὸν Ἠσαΐαν. Ὑπόμνημα στὸν Δανιὴλ* (Κεφάλαια Ι΄–ΙΓ΄).
8Α *Ὁμιλίες σὲ πρόσωπα καὶ ρητὰ τῆς Παλαιᾶς Διαθήκης.*
9ος *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιον* (Ὁμιλ. Α΄–Κ΄).
10ος *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιον* (Ὁμιλ. ΚΑ΄–ΛΖ΄).
11ος *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιον* (Ὁμιλ. ΛΗ΄–ΝϚ΄).
11Α *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιον* (Ὁμιλ. ΝΖ΄–ΟΕ΄).
12ος **α)** *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιον* (Ὁμιλίες ΟϚ΄–Ϟ΄)
**β)** *Στὸ Κατὰ Ἰωάννην Εὐαγγέλιον* (Ὁμιλίες Α΄ – Δ΄).
13ος *Ὑπόμνημα στὸ Κατὰ Ἰωάννην Εὐαγγέλιον* (Ὁμιλίες Ε΄ – ΛΑ΄).
13Α *Ὑπόμνημα στὸ Κατὰ Ἰωάννην Εὐαγγέλιον* (Ὁμιλίες ΛΒ΄ – ΝΔ΄).
14ος *Ὑπόμνημα στὸ Κατὰ Ἰωάννην Εὐαγγέλιον* (Ὁμιλίες ΝΕ΄ – ΠΗ΄).
15ος *Ὑπόμνημα στὶς Πράξεις* (Ὁμιλίες Α΄ – ΚΓ΄).
16Α *Ὑπόμνημα στὶς Πράξεις* (Ὁμιλίες ΚΔ΄ – ΜΔ΄).
16Β **α)** *Ὑπόμνημα στὶς Πράξεις* (Ὁμιλίες ΜΕ΄ – Ν΄).
**β)** *Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους* (Ὁμιλίες Α΄ – Ι΄).
17ος *Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους* (Ὁμιλίες ΙΑ΄ – ΛΓ΄).
18ος *Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους* (Ὁμιλίες Α΄ – ΚΑ΄).
18Α *Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους* (Ὁμιλίες ΚΒ΄ – ΜΔ΄).
19ος *Ὑπόμνημα στὴ Β΄ Πρὸς Κορινθίους* (Ὁμιλίες Α΄ – ΚΔ΄).
20ος **α)** *Ὑπόμνημα στὴ Β΄ Πρὸς Κορινθίους* (Ὁμιλίες ΚΕ΄–Λ΄).
**β)** *Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους* (Ὁμιλίες Α΄ – ΙΑ΄).
21ος **α)** *Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους* (Ὁμιλίες ΙΒ΄ – ΚΔ΄).
**β)** *Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους* (Ὁμιλίες Α΄ – ΙΒ΄).
22ος **α)** *Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους* (Ὁμιλίες ΙΓ΄ – ΙΕ΄).
**β)** *Στὴν Πρὸς Κολοσσαεῖς καὶ γ) Πρὸς Θεσσαλονικεῖς Α΄.*

23ος **α)** *Ὑπόμνημα στὴ Β' Πρὸς Θεσσαλονικεῖς* (Ὁμιλίες Α' – Ε').
**β)** *Στὴν Α' Πρὸς Τιμόθεον καὶ γ) Στὴ Β' Πρὸς Τιμόθεον.*

24ος **α)** *Ὑπόμνημα στὴν Πρὸς Τίτον* (Ὁμιλ. Α'-ς'), **β)** *Στὴν Πρὸς Φιλήμονα* (Ὁμιλ. Α'-Γ'), γ) *Στὴν Πρὸς Ἑβραίους* (Ὁμιλ. Α'-ΙΕ').

25ος **α)** *Ὑπόμνημα στὴν Πρὸς Ἑβραίους* (Ὁμιλ. Ις'-ΛΔ').
**β)** *Εἰς τὸν πτωχὸν Λάζαρον* (Ὁμιλ. Α'-Ζ').

26ος ***Ὁμιλίες Ἠθικὲς – Ἁγιογραφικές.***

1. *Ὁμιλία εἰς τὴν παραβολὴν τοῦ τὰ μύρια τάλαντα ὀφείλοντος καὶ τὰ ἑκατὸν δηνάρια ἀπαιτοῦντος, καὶ ὅτι παντὸς ἁμαρτήματος τὸ μνησικακεῖν χεῖρον* (σ. 18).
2. *Ὁμιλία εἰς τὰ μύρια τάλαντα καὶ ἑκατὸν δηνάρια, καὶ περὶ τοῦ μνησικακεῖν* (σ. 68).
3. *Ὁμιλία εἰς τό, «Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ». Καὶ κατὰ Μαρκιωνιστῶν καὶ Μανιχαίων, καὶ ὅτι οὐ χρὴ ἐπιπηδᾶν τοῖς κινδύνοις, ἀλλὰ παντὸς θελήματος προτιμᾶν τὸ τοῦ Θεοῦ θέλημα* (σ. 84).
4. *Ὁμιλία περὶ τοῦ κατὰ Θεὸν πολιτεύεσθαι, καὶ εἰς τό, «Στενὴ ἡ πύλη», καὶ τὰ ἑξῆς, καὶ ἑρμηνεία τῆς προσευχῆς τοῦ «Πάτερ ἡμῶν»* (σ. 118).
5. *Ὁμιλία εἰς τὸν παραλυτικὸν διά τῆς στέγης χαλασθέντα, ὅτι οὐκ αὐτός ἐστιν ὁ παρά τῷ Ἰωάννῃ κείμενος· καὶ περὶ τῆς τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἰσότης* (σ. 144).
6. *Ὁμιλία πρὸς τοὺς καταλείψαντας τὴν σύναξιν τῆς ἐκκλησίας, καὶ εἰς τὸ μὴ παρατρέχειν τὰς ἐπιγραφὰς τῶν θείων Γραφῶν, καὶ εἰς τὸ ἐπίγραμμα τοῦ βωμοῦ, καὶ εἰς τοὺς νεοφωτίστους* (σ. 198).
7. *Ὁμιλία συνάξεως διὰ χρόνου ἐν τῇ Παλαιᾷ Ἐκκλησίᾳ γενομένης εἰς τὴν ἐπιγραφὴν τῶν Πράξεων τῶν Ἀποστόλων, καὶ ὅτι χρησιμώτερος βίος ἐνάρετος σημείων καὶ θαυμάτων, καὶ κατά τί διαφέρει πολιτεία σημείων* (σ. 234).
8. *Ὁμιλία, Ὅτι χρήσιμος ἡ τῶν Γραφῶν ἀνάγνωσις, καὶ ὅτι δουλείᾳ καὶ περιστάσει πραγμάτων ἀχείρωτον ποιεῖ τὸν προσέχοντα, καὶ ὅτι τὸ ὄνομα τῶν Ἀποστόλων πολλῶν ἐστιν ἀξιωμάτων ὄνομα, καὶ ὅτι τῶν ἔξωθεν ἀρχόντων καὶ αὐτῶν τῶν βασιλευόντων πολλῷ μείζονα κέκτηνται δύναμιν οἱ Ἀπόστολοι καὶ ἐξουσίαν, καὶ πρὸς τῷ τέλει πρὸς Νεοφωτίστους* (σ. 272).
9. *Ὁμιλία, Ὅτι οὐκ ἀκίνδυνον τοῖς ἀκροαταῖς τὸ σιγᾶν τὰ λεγόμενα ἐν τῇ ἐκκλησίᾳ. Καὶ τίνος ἕνεκεν αἱ Πράξεις ἐν τῇ Πεντηκοστῇ ἀναγινώσκονται, καὶ διὰ τί οὐκ ἔδειξε πᾶσιν ἑαυτὸν ἀναστὰς ὁ Χριστός, καὶ ὅτι τῆς ὄψεως σαφεστέραν παρέσχε τὴν τῆς ἀναστάσεως ἀπόδειξιν τὴν διὰ τῶν σημείων τῶν Ἀποστόλων* (σ. 310).
10. *Ὁμιλία Πρὸς τοὺς ἐγκαλοῦντας ὑπὲρ τοῦ μήκους τῶν εἰρημένων. Καὶ πρὸς τοὺς δυσχεραίνοντας ὑπὲρ τῆς βραχυλογίας, καὶ περὶ τῆς τοῦ Σαύλου προσηγορίας καὶ Παύλου, καὶ τίνος ἕνεκεν Ἀδὰμ ὁ πρῶτος ἄνθρωπος ἐκλήθη, ὅτι χρησίμως καὶ συμφερόντως, καὶ εἰς τοὺς Νεοφωτίστους* (σ. 364).

11. *Ὁμιλία Πρὸς τοὺς ἐγκαλέσαντας ὑπὲρ τοῦ μήκους τῶν προοιμίων, καὶ ὅτι χρήσιμον τὸ φέρειν ἐλέγχους, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως πιστεύσας μετωνομάσθη Παῦλος, καὶ ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐκ προαιρέσεως γέγονεν αὐτῷ ἡ μεταβολή, καὶ εἰς τὸ ρητόν, «Σαῦλε, Σαῦλε, τί με διώκεις;» (σ. 394).*
12. *Ὁμιλία, Ἐπιτίμησις κατὰ τῶν ἀπολειφθέντων. Παραίνεσις πρὸς τοὺς παρόντας, εἰς τὸ κήδεσθαι τῶν ἀδελφῶν, καὶ εἰς τὸ προοίμιον τῆς πρὸς Κορινθίους ἐπιστολῆς, «Παῦλος κλητός», καὶ περὶ ταπεινοφροσύνης (σ. 444).*
13. *Ὁμιλία Εἰς τὸ ἀποστολικὸν ρητὸν τὸ λέγον, «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες, ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται», καὶ τά ἑξῆς (σ. 486).*
14. *Ὁμιλία Εἰς τὴν ἀποστολικὴν ρῆσιν τὴν λέγουσαν, «Οἴδαμεν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν», καὶ περὶ ὑπομονῆς, καὶ ὅσον τῶν θλίψεων τὸ κέρδος (σ. 518).*
15. *Ὁμιλία Πρὸς τοὺς μὴ ἀπαντήσαντας εἰς τὴν σύναξιν, καὶ εἰς τὴν ἀποστολικὴν ρῆσιν τὴν λέγουσαν, «Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν», καὶ περὶ τοῦ μνησικακεῖν (σ. 542).*
16. *Ὁμιλία Εἰς τὸ «Κατανοήσατε τὸν Ἀπόστολον καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν» (σ. 594).*

; ***Ὁμιλίες Ἁγιογραφικὲς – Ἑρμηνευτικές.***

1. *Εἰς τὸ «ἀσπάσασθε Πρισκίλλαν καὶ Ἀκύλαν», Ὁμιλία Α' (20).*
2. *Εἰς Ἀκύλαν καὶ Πρισκίλλαν, Ὁμιλία Β', καὶ εἰς τὸ μὴ κακῶς λέγειν τοὺς ἱερεῖς (σ. 50).*
3. *Εἰς τὸ ἀποστολικὸν ρητόν, «Διὰ δὲ τὰ πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω» (σ. 92).*
4. *Εἰς τό, «Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ, ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ* (σ. 126).
5. *Ἐγκώμιον εἰς Μάξιμον, καὶ περὶ τοῦ ποίας δεῖ ἄγεσθαι γυναῖκας* (σ. 154).
6. *Εἰς τὸ ἀποστολικὸν ρητὸν τὸ λέγον, «Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ Πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον»* (σ. 214).
7. *Εἰς τὸ ἀποστολικὸν ρητὸν τὸ λέγον, «Δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται»* (σ. 252).
8. *Ὁμιλία Α' εἰς τὴν ἀποστολικὴν ρῆσιν τὴν λέγουσαν, «Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον», καὶ εἰς τό, «Ἐπίστευσα, διὸ καὶ ἐλάλησα», καὶ περὶ ἐλεημοσύνης* (σ. 282).
9. *Ὁμιλία Β' εἰς τὴν ἀποστολικὴν ρῆσιν τὴν λέγουσαν, «Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον», καὶ πρὸς Μανιχαίους καὶ πάντας τοὺς διαβάλλοντας τὴν Παλαιὰν καὶ διαιροῦντας αὐτὴν ἀπὸ τῆς Καινῆς, καὶ περὶ ἐλεημοσύνης* (σ. 316).
10. *Ὁμιλία Γ' πάλιν εἰς τὴν αὐτὴν ρῆσιν «Ἔχοντες τὸ αὐτὸ πνεῦμα τῆς*

*πίστεως, κατὰ τὸ γεγραμμένον», καὶ διὰ τί κοινῇ πάντες ἀπολαμβάνουσι τὰ ἀγαθά, καὶ περὶ ἐλεημοσύνης* (σ. 350).

11. *Εἰς τὸ ἀποστολικὸν ρητόν, «Ὄφειλον ἀνέχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ* (σ. 390).
12. *Πρὸς τοὺς οὐκ εἰς δέον χρωμένους τῷ ἀποστολικῷ ρητῷ τῷ λέγοντι, Εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται», καὶ περὶ ταπεινοφροσύνης* (σ. 422).
13. *Εἰς τό, «Χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα», καὶ περὶ παίδων ἀνατροφῆς καὶ περὶ ἐλεημοσύνης* (σ. 458).
14. *Εἰς τό, «Ὅτε ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην», καὶ δείκνυσιν ὅτι οὐκ ἀντίστασις ἦν, ἀλλ' οἰκονομία τὰ γινόμενα* (σ. 514).
15. *Εἰς τό, «Οὐδέποτε ἀφ' ἑαυτοῦ ποιεῖ ὁ Υἱὸς οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα»* (σ. 572).
16. *Εἰς τὸ ἀποστολικὸν ρητὸν τὸ λέγον, «Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἔσονται καιροὶ χαλεποί»* (σ. 608).

28ος 1. ***Ποιμαντικά:***

Α'. Λόγος, *Ὅτε πρεσβύτερος προεχειρίσθη* (σ. 10).

Β'. Λόγοι Περὶ ἱερωσύνης.

1. *Λόγος* Α' (σ. 54).
2. *Λόγος* Β' (σ. 84).
3. *Λόγος* Γ' (σ. 116).
4. *Λόγος* Δ' (σ. 190).
5. *Λόγος* Ε' (σ. 238).
6. *Λόγος* ΣΤ' (σ. 258).

2. ***Ἀσκητικὰ Α'***:

Α'. Πρὸς τοὺς πολεμοῦντας τὸν μοναχικὸν βίον Λόγοι Α', Β', Γ':

1. Λόγος Πρῶτος, *Πρὸς τοὺς κατηγόρους* (σ. 325).
2. Λόγος Δεύτερος, *Πρὸς ἄπιστον πατέρα* (σ. 372).
3. Λόγος Τρίτος, *Πρὸς πιστὸν πατέρα* (σ. 442).

Β'. Σύγκρισις βασιλικῆς δυναστείας πρὸς μοναχὸν (σ. 519).

Γ'. Περὶ κατανύξεως:

1. Λόγος Πρῶτος, *Πρὸς Δημήτριον μονάζοντα* (σ. 608).
2. Λόγος Δεύτερος, *Πρὸς Στελέχιον* (σ. 672).

Δ'. Πρὸς Θεόδωρον:

1. Πρὸς Θεόδωρον μοναχὸν (σ. 718).
2. Πρὸς Θεόδωρον ἐκπεσόντα (σ. 746).

29ος ***Ἀσκητικὰ Β'***:

Α'. *Πρὸς Σταγείριον*, Λόγοι Α'-Γ':

1. Λόγος Α', *Πρὸς Σταγείριον ἀσκητὴν δαιμονῶντα* (σ. 12).
2. Λόγος Β', *Καὶ ὅτι ἀθυμία χαλεπωτέρα καὶ δαίμονος* (σ. 110).
3. *Λόγος Γ', Πρὸς Σταγείριον, Περὶ ἀθυμίας* (σ. 204).

Β'. *Πρὸς τοὺς ἔχοντας παρθένους συνεισάκτους* (σ. 294).

Γ'. *Περὶ τοῦ κανονικὰς μὴ συνοικεῖν ἀνδράσι* (σ. 374).

*Δ'. Περὶ παρθενίας* (σ. 448).

30ος **Α'. *Δοκίμια:***

1. *Πρὸς νεωτέραν χηρεύσασαν* ( σ. 12).
2. *Πρὸς τὴν αὐτήν, Περὶ μονανδρίας* (σ. 50).

**Β'. *Ὁμιλίες Ἠθικές:***

Περὶ Μετανοίας, ὁμιλίες Α' – Θ':

1. Ὁμιλία Α': *Ἐξ ἀγροῦ αὐτοῦ ἐπανελθόντος* (σ. 86).
2. Ὁμιλία Β': *Περὶ μετανοίας καὶ εἰς τὴν σκυθρωπότητα βασιλέως Ἀχαὰβ καὶ εἰς Ἰωνᾶν τὸν προφήτην* (σ. 112).
3. Ὁμιλία Γ': *Περὶ ἐλεημοσύνης καὶ εἰς τὰς δέκα παρθένας* (σ. 134)
4. Ὁμιλία Δ': *Περὶ μετανοίας καὶ εὐχῆς* (σ. 160).
5. Ὁμιλία Ε': *Περὶ νηστείας καὶ εἰς τὸν προφήτην Ἰωνᾶν καὶ Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας* (σ. 184).
6. Ὁμιλία ς': *Περὶ νηστείας, λεχθεῖσα τῇ ἕκτῃ ἑβδομάδι τῆς ἁγίας Τεσσαρακοστῆς* (σ. 208).
7. Ὁμιλία Ζ': *Περὶ μετανοίας καὶ περὶ κατανύξεως, καὶ ὅτι ταχὺς ὁ Θεὸς εἰς σωτηρίαν καὶ βραδὺς εἰς τιμωρίαν, ἐν ᾧ καὶ ἡ περὶ τῆς Ραὰβ παράδοξος ἱστορία* (σ. 238).
8. Ὁμιλία Η': *Περὶ μετανοίας* (σ. 284).
9. *Ὁμιλία Θ': Περὶ μετανοίας, καὶ εἰς τοὺς ἀπολειφθέντας ἐν ταῖς συνάξεσιν, ἐν ᾧ καὶ περὶ τῆς ἱερᾶς τραπέζης καὶ περὶ κρίσεως* (σ. 312).

**Γ'. *Ὁμιλίες Κατηχητικές: Πρὸς τοὺς μέλλοντας φωτισθῆναι καὶ πρὸς τοὺς Νεοφωτίστους, καὶ εἰς τὴν ἐπιγραφὴν τῶν πράξεων***

1. Κατήχησις Α': *Πρὸς τοὺς μέλλοντας φωτισθῆναι* (σ. 324).
2. Κατήχησις Β': *Ἀκολουθία πρὸς τοὺς μέλλοντας φωτίζεσθαι καὶ σαφὴς ἀπόδειξις τῶν συμβολικῶς τε καὶ τυπικῶς ἐν τῷ θείῳ βαπτίσματι τελουμένων* (σ. 360).
3. Κατήχησις Γ': *Ὁμιλία λεχθεῖσα πρὸς Νεοφωτίστους* (σ. 384).
4. Κατήχησις Δ': *Πρὸς τοὺς Νεοφωτίστους καὶ εἰς τὸ ρητὸν τοῦ Ἀποστόλου, «Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ πάντα καινὰ* (σ. 402).
5. Κατήχησις Ε': *Παραίνεσις, ὥστε τρυφῆς ἀπέχεσθαι καὶ πολυτελείας καὶ μέθης καὶ τὴν συμμετρίαν προτιμᾶν· καὶ πρὸς τοὺς Νεοφωτίστους* (σ. 428).
6. Κατήχησις S': *Ἐπιτίμησις πρὸς τοὺς καταλιπόντας τὴν σύναξιν καὶ εἰς τὰς ἱπποδρομίας καὶ τὰ θέατρα ἀπελθόντας καὶ ὅσην προσήκει τῶν ραθυμούντων ἀδελφῶν ποιεῖσθαι τὴν ἐπιμέλειαν. Καὶ εἰς τοὺς Νεοφωτίστους* (σ. 452).
7. Κατήχησις Ζ': *Ὅτι μεγίστης ὠφελείας ἡμῖν ὑπόθεσις γίνεται τὰ λείψανα τῶν ἁγίων μαρτύρων καὶ ὅτι δεῖ ὑπερορᾶν τῶν βιωτικῶν ἁπάντων καὶ τῶν πνευματικῶν ἔχεσθαι, καὶ ὅσον ἀγαθὸν εὐχὴ καὶ ἐλεημοσύνη. Καὶ εἰς τοὺς Νεοφωτίστους* (σ. 472).
8. Κατήχησις Η': *Ἀποχὴ καὶ ἔπαινος εἰς τοὺς ἀπὸ τῆς περιοικίδος παραγενομένους καὶ ὅτι τῶν δικαίων ἁπάντων ἐπαγγελίας αἰσθητὰς δεξα-*

*μένων καὶ ἀντὶ τῶν αἰσθητῶν τὰ νοητὰ φανταζομένων, ἡμεῖς ἀπεναντίας, τῶν νοητῶν ἐπαγγελίαν δεξάμενοι, περὶ τὰ αἰσθητὰ κεχήναμεν· καὶ ὅτι προσήκει καὶ ὑπὸ τὴν ἕω καὶ κατὰ τὴν ἑσπέραν ἐπὶ τὴν ἐκκλησίαν σπεύδοντας τὰς εὐχὰς ποιεῖσθαι καὶ ἐξομολογήσεις. Καὶ εἰς τοὺς Νεοφωτίστους* (σ. 498).

9. Κατήχησις Θ': *Πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, καὶ διὰ τί λουτρὸ παλιγγενεσίας καὶ οὐκ ἀφέσεως ἁμαρτημάτων λέγεται, καὶ ὅτι ἐπικίνδυνον οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ τὸ ὀμνύειν, κἂν εὐορκῶμεν* (σ. 518).
10. Κατήχησις Ι': *Πρὸς τοὺς μέλλοντας φωτίζεσθαι, καὶ περὶ γυναικῶν τῶν ἐν πλέγμασι καὶ χρυσῷ κατακοσμουσῶν ἑαυτάς· καὶ περὶ τῶν κληδονισμοῖς ἢ περιάπτοις ἢ ἐπῳδαῖς κεχρημένων, ἅπερ ἅπαντα ἀλλότρια Χριστιανισμοῦ* (σ. 546).
11. Κατήχησις ΙΑ': *Ἐν τῇ προτέρᾳ κατηχήσει διαλεχθεὶς περὶ ὅρκων, ταύτην εἶπεν εἰς τὴν αὐτὴν πάλιν ὑπόθεσιν, δεικνὺς ὅτι οὐ τὸ ἐπιορκεῖν μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ εὐορκεῖν κόλασιν ἔχει, καὶ ὅτι χρησίμως ὁ Χριστὸς διὰ τριῶν ἡμερῶν ἀνέστη* (σ. 578).
12. Κατήχησις ΙΒ': *Πρὸς τοὺς μέλλοντας φωτίζεσθαι κατήχησις ἐσχάτη* (σ. 600).

**Γ'. *Παιδαγωγικές:***

*Περὶ κενοδοξίας, καὶ ὅπως δεῖ τοὺς γονεῖς ἀνατρέφειν τὰ τέκνα* (σ. 620).

31ος **Α'. *Ὁμιλίες Κατηχητικὲς καὶ Ἠθικὲς Β'.***

1. *Πρὸς τοὺς λέγοντας ὅτι δαίμονες τὰ ἀνθρώπινα διοικοῦσι καὶ δυσχεραίνοντας ἐπὶ τοῖς τοῦ Θεοῦ καλέσασι καὶ σκανδαλιζομένους ἐπὶ ταῖς τῶν φαύλων εὐημερίαις καὶ δυσπραγίαις τῶν δικαίων* (σ. 28).
2. *Πρὸς τοὺς ἐγκαλοῦντας τίνος ἕνεκεν οὐκ ἐκ μέσου γέγονεν ὁ διάβολος, καὶ ὅτι οὐδὲν ἡμᾶς βλάπτει ἡ τούτου πονηρία ἐὰν προσέχωμεν, καὶ περὶ μετανοίας* (σ. 74).
3. *Ὅτι ἐκ ῥαθυμίας ἡ κακία καὶ ἀπὸ σπουδῆς ἡ ἀρετή, καὶ οὐδὲν οὔτε οἱ ἄνθρωποι πονηροί, οὔτε αὐτὸς ὁ διάβολος τὸν νήφοντα παραβλάψαι δύναται, καὶ ἡ ἀπόδειξις ἄλλοθέν τε πολλαχόθεν, καὶ ἐκ τῶν κατὰ τὸν Ἀδὰμ καὶ τὸν Ἰὼβ* (σ. 98).
4. *Ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημογορεῖν, καὶ ὅτι χρήσιμον καὶ δικαιοσύνη μεγίστη τὸ κατηγορεῖν τῶν οἰκείων ἁμαρτημάτων* (σ. 134).
5. Εἰς τό, «Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν» (σ. 168).
6. *Περὶ προσευχῆς, Λόγος Α'* (σ. 180).
7. *Περὶ προσευχῆς, Λόγος Α'* (σ. 198).
8. *Περὶ εὐχῆς,* (σ. 220).
9. *Περὶ τῆς τῶν μελλόντων ἀπολαύσεως καὶ τῆς τῶν παρόντων εὐτελείας* (σ. 230).
10. *Περὶ τοῦ μὴ δημοσιεύειν τὰ ἁμαρτήματα τῶν ἀδελφῶν μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν* (σ. 250).

11. *Περὶ τοῦ μὴ ἀπογινώσκειν τινὰς ἑαυτῶν μηδὲ κατεύχεσθαι τῶν ἐχθρῶν, μηδὲ ἀπαγορεύειν ἐν τῷ μὴ λαμβάνειν αἰτοῦντας, καὶ πρὸς ἄνδρας περὶ τῆς πρὸς τὰς γυναῖκας εἰρήνης* (σ. 286).
12. *Πρὸς τοὺς καταλείψαντας τὴν ἐκκλησίαν καὶ αὐτομολήσαντας πρὸς τὰς ἱπποδρομίας καὶ τὰ θέατρα* (σ. 310).
13. *Περὶ τελείας ἀγάπης καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων ἀνταποδόσεως καὶ περὶ κατανύξεως* (σ. 332).
14. *Πρὸς τοὺς μεγάλα τὰ παρόντα νομίζοντας καὶ περὶ τὰ τοῦ βίου λαμπρὰ μάτην ἐπτοημένους* (σ. 376).
15. *Ὅτι πάντων ἡ κατὰ ψυχὴν ἀρετὴ προτιμοτέρα* (σ. 390).
16. *Περὶ ἐλεημοσύνης, ἐκφωνηθεὶς ἐν τῷ παριέναι αὐτὸν χειμῶνος ὥρᾳ καὶ ἰδεῖν τοὺς πένητας καὶ πτωχοὺς ἀνεπιμελήτους ἐρριμμένους κατὰ τὴν ἀγορὰν* (σ. 402).
17. *Περὶ τοῦ μὴ δεῖν ἀναθεματίζειν ζῶντας ἢ τεθνηκότας* (σ. 442).
18. *Λόγος ταῖς Καλάνδαις. Ἐλέχθη κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας καὶ κατὰ τὴν πόλιν χορείας τελούντων, καὶ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, «Τὰ πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε»* (σ. 464).
19. *Ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα, οὐδεὶς παραβλάψαι δύναται* (σ. 496).

**Β'. *Ὁμιλίες Περιστατικὲς Α'.***

1. *Εἰς τοὺς ἀνδριάντας, Ὁμιλία Α', εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, «Οἴνῳ ὀλίγῳ χρῶ, διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας»* (σ. 564).
2. *Εἰς τοὺς ἀνδριάντας, Ὁμιλία Β', περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει ἐπὶ τῇ ἀταξίᾳ τῆς καταστροφῆς τῶν ἀνδριάντων τοῦ Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως τοῦ μεγάλου, καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, «Τοῖς πλουσίοις παράγγελε ἐν τῷ νῦν αἰῶνι μὴ ὑψηλοφρονεῖν», καὶ κατὰ πλεονεξίας* (σ. 628).

32ος ***Ὁμιλίες Περιστατικὲς Β'.***

3. *Εἰς τὴν ἀποδημίαν τοῦ ἐπισκόπου Φλαβιανοῦ ὑπὲρ τῆς πόλεως πρὸς τὸν βασιλέα πρεσβευομένου, καὶ τίς ἐστιν ἡ ἀληθὴς νηστεία, καὶ ὅτι τοῦ φαγεῖν ἀνθρώπινον σῶμα τὸ κατηγορῆσαι χεῖρον, καὶ περὶ τῶν διὰ τὴν στάσιν σφαγέντων καὶ πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι πολλοὶ τῶν ἀναιτίων ἑάλωσαν* (σ. 8).
4. *Παράκλησις πρὸς τὸν λαὸν περὶ καρτερίας καὶ ὑπομονῆς ἐκ παραδειγμάτων τοῦ τε Ἰὼβ καὶ τῶν τριῶν παίδων, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς* (σ. 58).
5. *Ἔτι παράκλησις πρὸς τὸν λαὸν περὶ τοῦ φέρειν γενναίως τὴν ἐπικειμένην ἀπειλήν, ἔχοντα παραδείγματα ἐκ τῶν συμβάντων τῷ τε Ἰὼβ καὶ τοῖς Νινευΐταις, καὶ ὅτι οὐ χρὴ δεδιέναι τὸν θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν, καὶ τί τὸ κακῶς ἀποθανεῖν, καὶ περὶ τοῦ μετὰ πάσης σπουδῆς φεύγειν τοὺς ὅρκους, καὶ εἰς τὸν σεισμὸν* (σ. 96).
6. *Ὅτι χρήσιμος ὁ τῶν ἀρχόντων φόβος καὶ διήγησις τῶν κατὰ τὴν ὁδὸν συμβάντων τοῖς ἀγγελίαν τῆς στάσεως τῷ βασιλεῖ φέρουσι, καὶ ὅτι ὁ ἀδίκως τις πάσχων καὶ εὐχαριστῶν τῷ συγχωροῦντι Θεῷ, ἴσος ἐστὶ τοῦ*

*διά τὸν Θεὸν τά αὐτά πάσχοντος· καὶ τὰ παραδείγματα πάλιν ἐκ τῶν τριῶν παίδων καὶ τῆς βαβυλωνίας καμίνου, καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς* (σ. 148).

7. *Ὅτι τὸ τῆς λύπης πάθος εἰς ἁμαρτίας ἀναίρεσιν μόνον χρήσιμον, καὶ εἰς τό, «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», καὶ ὅτι μεγίστης παρακλήσεως ὑπόθεσις ἡ τῆς δημιουργίας κατασκευή, ἐν ᾧ καὶ περὶ τοῦ, «Ἀδάμ, ποῦ εἶ;», καὶ περὶ τοῦ μὴ ὀμνύειν* (σ. 192).
8. *Προτροπὴ εἰς ἀρετήν, καὶ εἰς τό, «Περιεπάτει ὁ Θεὸς τὸ δειλινὸν ἐν τῷ παραδείσῳ», καὶ περὶ τοῦ φεύγειν τοὺς ὅρκους* (σ. 216).
9. *Ἔπαινος τῶν κατορθωκότων τὸ μὴ ὀμνύειν καὶ ὅτι οὐκ ὀφείλει τις διακρίνεσθαι μετὰ ἑστίασιν ἀκροᾶσθαι θείων λογίων ἐν ἐκκλησίᾳ, καὶ διὰ τί μετά χρόνον πολὺν ἐδόθησαν αἱ ἅγιαι Γραφαί, καὶ εἰς τό, «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ», καὶ φυσιολογία κόσμου, καὶ πρὸς τῷ τέλει περὶ τοῦ μὴ ὀμνύειν* (σ. 236).
10. *Ἔπαινος τῶν μετὰ τὴν ἑστίασιν ἀπαντηκότων εἰς τὴν ἀκρόασιν, καὶ φυσιολογία κόσμου, καὶ κατὰ τῶν θεοποιούντων τὴν κτίσιν, καὶ περὶ τοῦ μὴ ὀμνύειν* (σ. 268).
11. *Εὐχαριστία πρὸς τὸν Θεὸν περὶς τῆς ἀπαλλαγῆς τῶν ἐκ τῆς στάσεως προσδοκηθέντων κακῶν, καὶ ἀνάμνησις τῶν τότε συμβάντων· ἔτι δὲ καὶ κατὰ τῶν τὸ σῶμα ἡμῶν διαβαλλόντων, καὶ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, καὶ πρὸς τῷ τέλει περὶ τοῦ κατορθῶσαι τὸ μὴ ὀμνύειν* (σ. 302).
12. *Εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς συγχωρήσεως τῶν ἡμαρτηκότων εἰς τὸν βασιλέα, καὶ φυσιολογία τῆς κτίσεως, καὶ ὅτι ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον νόμον φυσικὸν ἐγκατέθηκεν αὐτῷ, καὶ περὶ τοῦ πάσῃ σπουδῇ ἀπέχεσθαι τῶν ὅρκων* (σ. 334).
13. *Εὐχαριστία πρὸς τὸν Θεὸν περὶ τῆς μεταβολῆς τῶν σκυθρωπῶν καὶ ἀνάμνησις τῶν διὰ τὴν στάσιν διασυρέντων καὶ τιμωρηθέντων· ὁμοίως δὲ πάλιν περὶ τῆς τοῦ ἀνθρώπου δημιουργίας, καὶ ὅτι φυσικὸν νόμον ἐδέξατο, καὶ περὶ τοῦ τελείως κατορθῶσαι τὸ μὴ ὀμνύειν* (σ. 370).
14. *Τοῦ δήμου παντὸς ἀφεθέντος τῆς ἀγωνίας καὶ θαρσήσαντος, τινὲς πάλιν τὴν πόλιν ἐτάραξαν φοβερὰς πλάττοντας φήμας, καὶ ἠλέγχθησαν· εἰ τοῦτό τε οὖν ὁμιλία εἴρηται, καὶ εἰς τὴν περὶ τῶν ὅρκων παραίνεσιν, διὸ καὶ ἡ κατὰ τὸν Ἰωνάθαν καὶ τὸν Σαοὺλ ἱστορία καὶ τὸν Ἰεφθάε παρήχθη, καὶ ἐδείχθη πόσαι ἐξ ἑνὸς ὅρκου γίνονται ἐπιορκίαι* (σ. 398).
15. *Ἔτι εἰς τὴν συμφορὰν τῆς πόλεως Ἀντιοχείας, καὶ ὅτι χρήσιμον πανταχοῦ φόβος, καὶ ὅτι πένθος γέλωτος λυσιτελέστερον, καὶ εἰς τὴν ῥῆσιν τὴν λέγουσαν, «Ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις», καὶ ὅτι τοῦ φονεύειν τὸ ὁρκίζειν χεῖρον* (σ. 438).
16. *Φημισθείσης εἰς τὸν ἄρχοντα πραΐδας καὶ πάντων περὶ φυγῆς βουλευομένων, τοῦ ἄρχοντος εἰσελθόντος εἰς τὴν ἐκκλησίαν καὶ παρακαλέσαντος, ἐλέχθη ἡ παροῦσα ὁμιλία· καὶ περὶ τοῦ μὴ ὀμνύναι, καὶ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ»* (σ. 472).

17. *Εἰς τοὺς ἄρχοντας τοὺς παρὰ τοῦ βασιλέως Θεοδοσίου ἀποσταλέντας Ἐλέβιχον στρατηλάτην καὶ Καισάριον μάγιστρον εἰς τὴν τῶν πεπλημμεληκότων ἐξέτασιν διὰ τὴν τῶν ἀνδριάντων καταστροφὴν* (σ. 510).
18. *Εἰς τὴν προειρημένην ὑπόθεσιν τῆς στάσεως, περὶ νηστείας, καὶ εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου, «Χαίρετε ἐν Κυρίῳ πάντοτε»* (σ. 544).
19. *Πρὸς τοὺς ἀπὸ τῆς χώρας, καὶ περὶ τοῦ μὴ ὀμνύειν* (σ. 576).
20. *Ὅτι οὐκ ἀρκεῖ ἡ νηστεία τῆς Τεσσαρακοστῆς πρὸς τὸ δύνασθαι κοινωνεῖν, ἀλλὰ καὶ δεῖ τῆς κατὰ ψυχὴν ἀρετῆς πρώτης· καὶ πῶς δυνατὸν μὴ μνησικακεῖν, καὶ ὅτι πολὺς τῷ Θεῷ τοῦ νόμου τούτου λόγος, καὶ ὅτι πρὸ τῆς γεέννης τὸ μνησικακεῖν κολάζει τοὺς ἁλόντας· καὶ περὶ τῆς τῶν ὅρκων ἀποχῆς, καὶ περὶ τῶν μὴ κατωρθωκότων τὸ μὴ ὀμνύειν* (σ. 612).
21. *Εἰς τὴν ἐπάνοδον τοῦ ἐπισκόπου Φλαβιανοῦ, καὶ εἰς τὴν τοῦ βασιλέως διαλλαγὴν πρὸς τὴν πόλιν, καὶ πρὸς τοὺς πλημμελήσαντας εἰς τὴν τῶν ἀνδριάντων καταστροφὴν* (σ. 664).

33ος ***Ὁμιλίες Περιστατικὲς Γ'.***

1. *Περὶ Ἐλεαζάρου καὶ τῶν ἑπτὰ παίδων, λεχθεῖσα ἑτέρου προειρηκότους σφόδρα πρασβυτέρου* (σ. 20).
2. *Τῆς βασιλίδος μέσον νυκτῶν εἰς Μεγάλην Ἐκκλησίαν προσλθούσης κἀκεῖθεν τὰ λείψανα τῶν μαρτύρων ἀραμένης καὶ προπεψάσης διὰ πάσης τῆς ἀγορᾶς ἕως Δρυπίας, τοῦ μαρτυρίου ἀπέχοντος θ' σημεῖα τῆς πόλεως· ἐλέχθη ἐν τῷ μαρτυρίῳ ἡ προσομιλία, παρορούσης αὐτῆς καὶ τῆς πόλεως πάσης καὶ τῶν ἀρχόντων* (σ. 48).
3. *Τῇ ἐπιούσῃ ἡμέρᾳ παραγενομένου τοῦ βασιλέως ἐν τῷ μαρτυρίῳ τοῦ Ἀποστόλου καὶ μάρτυρος Θωμᾶ, τοῦ διακειμένου ἐν τῇ Δρυπίᾳ, καὶ ἀναχωρήσαντος πρὸ τῆς διαλέξεως. Ἐλέχθη, μετὰ τὴν ἀναχώρησιν τῆς ἐκείνου, πρὸς τὸ πλῆθος* (σ. 66).
4. *Εἰς Εὐτρόπιον, εὐνοῦχον, πατρίκιον καὶ ὕπατον, ὁμιλ. Α'* (σ. 86).
5. *Ὅτε τῆς ἔξω εὑρεθεὶς Εὐτρόπιος ἀπεσπάσθη, καὶ περὶ παραδείσου καὶ Γραφῶν, καὶ εἰς τό, «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου»* (σ. 106).
6. *Ὅτε Σατορνῖνος καὶ Αὐρηλιανὸς ἐξωρίσθησαν καὶ Γαϊνᾶς ἐξῆλθε τῆς πόλεως, καὶ περὶ φιλαργυρίας* (σ. 170).
7. *Ὁμιλία λεχθεῖσα ἐν τῷ μαρτυρίῳ τῷ ἐπὶ τῇ παλαιᾷ Πέτρᾳ ὀλίγων συλλεγέντων διὰ τὸν χειμῶνα, εἰς τὸ δεῖν συνεχῶς συνάγεσθαι καὶ μὴ ἀπαγορεύειν τὴν σωτηρίαν ἐν ἁμαρτήμασιν ὄντας, ἀλλὰ μετάνοιαν ἐπιδείκνυσθαι* (σ. 190).
8. *Ὁμιλία παραινετική, λεχθεῖσα ἐν τῷ ναῷ τῆς Ἁγίας Ἀναστασίας πρὸς τοὺς ἀπολειφθέντας, καὶ ἀπόδειξις περὶ τῶν ἀγώνων καὶ ἄθλων τοῦ μακαρίου καὶ δικαίου Ἰὼβ* (σ. 220).
9. *Ὁμιλία λεχθεῖσα ἐν τῷ ναῷ τῆς Ἁγίας Εἰρήνης ὑπέρ τε τῆς σπουδῆς τῶν παρόντων καὶ ῥαθυμίας τῶν ἀπολειφθέντων, περὶ τοῦ ψάλλειν καὶ περὶ τοῦ μηδὲν εἶναι κώλυμα γυναιξὶ τὴν φύσιν πρὸς τοὺς τῆς ἀρετῆς δρόμους* (σ. 252).
10. *Ὁμιλία ῥηθεῖσα ἐν τοῖς Ἀποστόλοις ἐν τῇ ἡμέρᾳ Θεοδοσίου βασιλέ-*

*ως, πρὸς τοὺς καλοῦντας ἑαυτοὺς Καθαρούς, ἑτέρων δύο ἐπισκόπων εἰρηκότων* (σ. 278).
11. *Ὁμιλία λεχθεῖσα ἐν τῇ Ἐκκλησίᾳ τῇ ἐπὶ Παύλου, Γότθων ἀναγνόντων καὶ πρεσβυτέρου Γότθου προομιλήσαντος*(σ. 288).
12. *Ὁμιλία περὶ τοῦ μὴ δεῖν εἰς ἱπποδρομίας μηδὲ εἰς θέατρα ἀναβαίνειν, καὶ λυπήσας αὐτούς, εἶτα τῇ συνάξει τῇ μετ' ἐκείνην τὴν Κυριακὴν παραχωρήσας εἰπεῖν ἐπισκόπῳ ἀπὸ Γαλατίας ἀφιγμένῳ, καὶ σιγήσας καὶ ἐν τούτῳ λυπήσας, ταύτην εἴρηκε τὴν ὁμιλίαν ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ εἰς τό, «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»* (σ. 332).
13. *Ὁμιλία εἰς τό, «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι», ῥηθεῖσα ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπὶ τοῦ Ἀποστόλου, ἐπισκόπου ὀλίγα προομιλήσαντος* (σ. 354).
14. *Ὁμιλία πρὸ τῆς ἐξορίας* (σ. 384).
15. *Ὁμιλία ὅτε ἀπῄει ἐν τῇ ἐξορίᾳ* (σ. 402).
16. *Ὁμιλία ὅτε ἦλθεν ἀπὸ τῆς ἐξορίας* (σ. 412).
17. *Ὁμιλία ἐπανελθόντος αὐτοῦ ἀπὸ τῆς προτέρας ἐξορίας* (σ. 420).
18. *Ὁμιλία εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας.* (σ. 438).
19. *Πρὸς τοὺς σκανδαλισθέντας ἐπὶ ταῖς δυσημερίαις ταῖς γενομέναις καὶ τῇ τοῦ λαοῦ καὶ πολλῶν ἱερέων διώξει καὶ διαστροφῇ καὶ περὶ ἀκαταλήπτου, καὶ κατὰ Ἰουδαίων* (σ. 478).

34ος ***Λόγοι Δογματικοὶ καὶ Πολεμικοί:***
1. *Πρὸς Ἰουδαίους καὶ Ἕλληνας. Ἀπόδειξις, ὅτι ἐστὶ Θεὸς ὁ Χριστὸς ἐκ τῶν παρὰ τοῖς προφήταις πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων* (σ. 12).
2. Κατὰ Ἰουδαίων, Λόγοι Α' - Η'.
   α. *Λόγος Α'* (σ. 98).
   β. *Λόγος Β', Πρὸς τοὺς νηστεύοντας τὴν τῶν Ἰουδαίων νηστείαν καὶ πρὸς αὐτοὺς τοὺς Ἰουδαίους.* (σ. 144).
   γ. *Λόγος Γ', Εἰς τοὺς τὰ πρῶτα Πάσχα νηστεύοντας* (σ. 160).
   δ. *Λόγος Δ', Εἰς τὰς Σάλπιγγας τοῦ Πάσχα αὐτῶν.* (σ. 192).
   ε. *Λόγος Ε'* (σ. 226).
   ς. *Λόγος Ϛ'.* (σ. 292).
   ζ. *Λόγος Ζ'* (σ. 330).
   η. Λόγος Η' (σ. 366).
3. Λόγος εἰς τὸν μακάριον Βαβύλαν, καὶ κατὰ Ἰουλιανοῦ καὶ πρὸς Ἕλληνας (σ. 416).
4. *Περὶ εἱμαρμένης καὶ προνοίας, Λόγοι Α'* (σ. 544).
5. *Περὶ προνοίας καὶ εἱμαρμένης, Λόγος Β'* (σ. 556).
6. *Περὶ προνοίας καὶ εἱμαρμένης, Λόγος Γ'* (σ. 572).
7. *Περὶ προνοίας καὶ εἱμαρμένης, Λόγος Δ'* (σ. 582).
8. *Περὶ προνοίας καὶ εἱμαρμένης, Λόγος Ε'* (σ. 600).
9. *Περὶ προνοίας καὶ εἱμαρμένης, Λόγος Ϛ'* (σ. 614).

35ος **Α. *Ὁμιλίες Δογματικές:***
1. *Περὶ ἀκαταλήπτου, Λόγος Α'* (σ. 10).

2. *Περὶ ἀκαταλήπτου, Λόγος Β'* (σ. 40).
3. *Περὶ ἀκαταλήπτου, καὶ ὅτι ἡ συγκατάβασις τοῦ Θεοῦ φορητὴ τοῖς Σεραφίμ, Λόγος Γ'* (σ. 78).
4. *Περὶ ἀκαταλήπτου, Λόγος Δ'* (σ. 112).
5. *Περὶ ἀκαταλήπτου, Λόγος Ε'* (σ. 146).
6. *Περὶ ἀκαταλήπτου, Λόγος Ϛ'. Εἰς τὸν μακάριον Φιλογόνιον* (σ. 190).
7. *Περὶ ὁμοουσίου, Λόγος Ζ'. Πρὸς τοὺς ἀπολειφθέντας τῆς συνάξεως καὶ τοῦ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ ἀπόδειξις* (σ. 220).
8. *Περὶ ὁμοουσίου, Λόγος Η'. Εἰς τὰ ὑπόλοιπα κατὰ αἱρετικῶν, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης, καὶ εἰς τὴν αἴτησιν τῆς μητρὸς τῶν υἱῶν Ζεβεδαίου* (σ. 266).
9. *Περὶ ὁμοουσίου, Λόγος Θ'. Εἰς τὸν τετραήμερον Λάζαρον* (σ. 300).
10. *Περὶ ὁμοουσίου, Λόγος Ι'* (σ. 316).
11. *Περὶ ὁμοουσίου, Λόγος ΙΑ'* (σ. 356).
12. *Περὶ ὁμοουσίου, Λόγος ΙΒ', Εἰς τὸν παραλυτικόν* (σ. 380).

**Β. Ὁμιλίες Ἑορταστικὲς:**

1. *Εἰς τὴν γενέθλιον ἡμέραν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὁμιλία Β'* (σ. 422).
2. *Εἰς τὴν γενέθλιον ἡμέραν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὁμιλία Β'* (σ. 462).
3. *Εἰς τὸ Ἅγιον Βάπτισμα* (σ. 490).
4. *Εἰς τὴν Μεγάλην Ἑβδομάδα* (σ. 520).
5. *Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, Ὁμιλία Α'* (σ. 554).
6. *Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, Ὁμιλία Β'* (σ. 588).
7. *Εἰς τὴν προδοσίαν τοῦ Ἰούδα, Ὁμιλία Γ'* (σ. 626).
8. *Εἰς τὸ ὄνομα τοῦ Κοιμητηρίου καὶ εἰς τὸν σταυρὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ* (σ. 636).

36ος **Α. *Ὁμιλίες Ἑορταστικές*:**

1. *Εἰς τὸν σταυρὸν καὶ τὸν λῃστὴν* (σ. 8).
2. *Εἰς τὸν σταυρόν* (σ. 36).
3. *Εἰς τὸ ἅγιον Πάσχα* (σ. 70).
4. *Περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως* (σ. 92).
5. *Κατὰ μεθυόντων καὶ εἰς τὴν ἀνάστασιν* (σ. 142).
6. *Εἰς τὴν Σαμαρείτιδα* (σ. 172).
7. *Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου, Ὁμιλία Α'* (σ. 200).
8. *Εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου, Ὁμιλία Β'* (σ. 232).
9. *Εἰς τὴν Πεντηκοστήν, Ὁμιλία Α'* (σ. 292).
10. *Εἰς τὴν Πεντηκοστήν, Ὁμιλία Β'* (σ. 330).

**Β. *Ὁμιλίες Ἐγκωμιαστικὲς Α'*:**

1. *Εἰς τοὺς ἁγίους Μακκαβαίους, Ὁμιλία Α'* (σ. 350).
2. *Εἰς τοὺς ἁγίους Μακκαβαίους, Ὁμιλία Β'* (σ. 368).
3. *Εἰς τοὺς ἁγίους Μακκαβαίους, Ὁμιλία Γ'* (σ. 382).
4. *Εἰς τὸν τετραήμερον Λάζαρον* (σ. 388).
5. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Α'* (σ. 400).

6. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Β'* (σ. 418).
7. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Γ'* (σ. 432).
8. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Δ'* (σ. 446).
9. Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Ε' (σ. 478).
10. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία ϛ'* (σ. 498).
11. *Εἰς τὸν ἅγιον Παῦλον, Ὁμιλία Ζ'* (σ. 518).
12. *Ἡ κλῆσις τοῦ Παύλου* (σ. 536).
13. *Εἰς μάρτυρας, Ὁμιλία Α'* (σ. 568).
14. *Εἰς μάρτυρας, Ὁμιλία Β'* (σ. 578).
15. *Ἐγκώμιον εἰς ἁγίους Πάντας* (σ. 604).

37ος **Α. *Ὁμιλίες Ἐγκωμιαστικὲς Β'*:**

1. *Εἰς τὸν Μελέτιον Ἀντιοχείας* (σ. 20).
2. *Εἰς τὸν μάρτυρα Λουκιανὸν* (σ. 36).
3. *Εἰς τὸν μάρτυρα Βαβύλαν* (σ. 52).
4. *Εἰς τὸν Ἰουβεντῖνον καὶ Μαξιμῖνον* (σ. 66.
5. *Εἰς τὴν μάρτυρα Πελαγίαν* (σ. 82.
6. *Εἰς τὸν ἅγιον Ἰγνάτιον* (σ. 100).
7. *Εἰς τὸν Εὐστάθιον Ἀντιοχείας* (σ. 128).
8. *Εἰς τὸν μάρτυρα Ρωμανόν, Ὁμιλία Α'* (σ. 150.
9. *Εἰς τὸν μάρτυρα Ρωμανόν, Ὁμιλία Β'* (σ. 168).
10. *Εἰς τάς μάρτυρας Βερνίκην καὶ Προσδόκην καὶ τὴν μητέρα Δομνίναν* (σ. 182.
11. Εἰς *τὸν μάρτυρα Ἰουλιανὸν* (σ. 218).
12. Εἰς τὸν μάρτυρα Βαρλαὰμ (σ. 244).
11. *Εἰς μάρτυρας Αἰγυπτίους* (σ. 264).
12. *Εἰς τὸν ἐπίσκοπον Διόδωρον* (σ. 276).
13. *Εἰς τὴν πρωτομάρτυρα Θέκλαν* (σ. 284).
14. *Εἰς τὸν μάρτυρα Φωκᾶν* (σ. 292.
15. *Εἰς τὴν μάρτυρα Δροσίδα* (σ. 312).

**Β. *Ἐπιστολές:***

1. *Ἐπιστολὲς πρὸς τὴν Ὀλυμπιάδα* Α'-ΙΖ' (σ. 348-557).
2. *Βίος τῆς ὁσίας Ὀλυμπιάδος* (σ. 558).

38ος ***Ἐπιστολές:***

1. *Ἐπιστολὲς Πρὸς Ἰννοκέντιον* (σ. 18-47).
2. *Ἐπιστολὲς πρὸς διαφόρους ἀποδέκτας ΙΗ' – ΠΜΒ'* (σ. 48-433).

## ΠΑΙΔΑΓΩΓΙΚΗ ΑΝΘΡΩΠΟΛΟΓΙΑ ΙΩ. ΧΡΥΣΟΣΤΟΜΟΥ
## (ΕΥΡΕΤΗΡΙΟ ΘΕΜΑΤΩΝ)

Α' **Θέματα :** *Ἀγαθότητα – Ἀχαριστία.*
Β' **Θέματα :** *Βασιλεία οὐρανῶν – Εὐαγγέλιο.*
Γ' **Θέματα :** *Εὐγνωμοσύνη – Πίστη.*
Δ' **Θέματα :** *Πλεονεξία - Ψυχολογία.*

## Ζ' ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος

1ος ***Δογματικὰ Α'***
1. *Πῶς τρία πρόσωπα λέγοντες.*
2. Κατὰ εἱμαρμένης.
*Διάλογος περὶ ψυχῆς καὶ ἀναστάσεως* (σ. 200).
4. *Λόγος Κατηχητικὸς Μέγας* (σ. 500).

2ος ***Δογματικὰ Β':*** (*Κατὰ Εὐνομίου Ἀντιρρητικοὶ Λόγοι Α' – Β'*).

3ος ***Δογματικὰ Γ':***
1. *Κατὰ Εὐνομίου Ἀντιρρητικὸς Λόγος Γ'.*
2. *Λόγος Ἀντιρρητικὸς πρὸς τὴν Εὐνομίου ἔκθεσιν.*

4ος **Α') *Λόγοι Δογματικοί* :**
1. *Πρὸς Εὐστάθιον, Περὶ τῆς ἁγ. Τριάδος.*
2. *Πρὸς Ἀβλάβιον, Περὶ τοῦ μὴ οἴεσθαι λέγειν τρεῖς θεούς.*
3. *Πρὸς Σιμπλίκιον, Περὶ πίστεως.*
4. *Κατὰ Μακεδονιανῶν τῶν Πνευματομάχων περὶ τοῦ ἁγίου Πνεύματος.*
5. *Πρὸς Θεόφιλον, Κατὰ Ἀπολιναριστῶν.*
6. *Ἀντιρρητικὸς πρὸς τὰ Ἀπολιναρίου.*
7. *Κατὰ Ἀρείου καὶ Σαβελλίου.*

**Β') *Ἐπιστολὲς*** (*Α' – ΛΑ'*).

5ος ***Ἑρμηνευτικὰ Α'*** :
1. *Περὶ κατασκευῆς τοῦ ἀνθρώπου.*
2. *Ἀπολογητικὸς περὶ τῆς Ἑξαημέρου.*
3. *Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως* (Ὁμιλίες Α' – Γ').

6ος ***Ἑρμηνευτικὰ Β'*** :
1. *Εἰς τὴν ἐπιγραφὴν τῶν Ψαλμῶν.*
2. *Εἰς τὸν 6ον Ψαλμόν.*
3. *Περὶς τῆς ὀγδόης.*
4. *Εἰς τὸν Ἐκκλησιαστήν.*

7ος ***Ἑρμηνευτικὰ Γ'*** :
1. *Ἐξήγησις εἰς τὰ Ἄσματα*, Λόγοι Α' – ΙΕ'.

8ος **Α') *Ἑρμηνευτικὰ Γ' – Δογματικὰ* :**
1. *Εἰς τὴν Προσευχήν*, Λόγοι Α'–Ε'
2. *Εἰς τοὺς Μακαρισμούς*, Λόγοι Α'–Η'.

**Β') *Ἀσκητικὰ Α'* :**
1. *Περὶ τοῦ κατὰ Θεὸν σκοποῦ καὶ τῆς κατ' ἀλήθειαν ἀσκήσεως.*
2. *Πρὸς Ἁρμόνιον, Περὶ τοῦ τί τὸ τοῦ Χριστιανοῦ ἐπάγγελμα.*
3. *Πρὸς Ὀλύμπιον, Περὶ τελειότητος.*
4. *Πρὸς τοὺς ἀχθομένους ταῖς ἐπιτιμήσεσι.*
5. *Περὶ τῶν νηπίων πρὸ ὥρας ἀφαρπαζομένων.*

9ος **Α') *Ἀσκητικὰ Β'*** : *Περὶ παρθενίας* (Κεφάλαια Α' – ΚΓ').

**Β') *Λόγοι Ἐγκωμιαστικοί*:**
1. *Περὶ ἀρετῆς, ἤτοι Εἰς τὸν Βίον Μωυσέως* (Λόγοι Α' –Β').

Τόμος 2. *Εἰς τὸν Βίον τῆς Ὁσίας Μακρίνης.*
3. *Εἰς τὸν Βίον Ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ.*
10ος **Ὁμιλίες** : *α) Δογματικές, β) Ἠθικές, γ) Ἑορταστικές.*
11ος **Ὁμιλίες** : *α) Ἑορταστικές, β) Ἐγκωμιαστικές, γ) Ἐπιτάφιες.*

## Η'. ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

**Βίος** *Γρηγορίου Παλαμᾶ* Ὑπὸ Φιλοθέου Κοκκίνου
1ος *α) Λόγοι ἀποδεικτικοὶ δύο Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος.*
*β) Ἐπιστολές Πρὸς Ἀκίνδυνον καὶ Πρὸς Βαρλαὰμ* Α', Β'.
2ος **Λόγοι:** *Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων* (Λόγοι Α' - Γ').
3ος **Α') Πραγματεῖες Δογματικές:**
1. *Περὶ θείας ἑνώσεως καὶ διακρίσεως.*
2. *Περὶ θείων ἐνεργειῶν καὶ τῆς κατ' αὐτὰς μεθέξεως.*
3. *Περὶ θείας καὶ θεοποιοῦ μεθέξεως.*
4. *Διάλεξις Ὀρθοδόξου καὶ Βαρλααμίτου.*
5. *Διάλεξις Θεοφάνους πρὸς Θεότιμον.*
6. *Ὅτι Βαρλαὰμ καὶ Ἀκίνδυνός εἰσιν οἱ διχοτομοῦντες.*

**Β') Πραγματεῖες Ὁμολογιακές**:
1. *Ἁγιορειτικὸς Τόμος.*
2. *Ἔκθεσις δυσσεβημάτων.*
3. *Ἀναίρεσις γράμματος Καλέκα.*
4. *Ἀναίρεσις γράμματος Ἰγνατίου Ἀντιοχείας.*
5. *Ἀναίρεσις ἐξηγήσεως τόμου Καλέκα.*

4ος **Ἐπιστολές:**
*Πρὸς τὸν Ἀρσένιον Στουδίτην.– Πρὸς Ἰωάννην Γαβρᾶν.– Πρὸς Παῦλον Ἀσάνην.– Πρὸς Δανιὴλ Αἴνου.– Πρὸς τὸν Νομοφύλακα Συμεών.– Πρὸς Ἀθανάσιον Κυζίκου.– Πρὸς Δαμιανόν.– Πρὸς Διονύσιον μετὰ τῆς ὁμολογίας.– Πρὸς Βησσαρίωνα.– Πρὸς Μακάριον Α'.– Πρὸς τοὺς ἐν Ἁγίῳ Ὄρει Γέροντας.– Πρὸς Φιλόθεον.– Πρὸς Μακάριον Β'.– Πρὸς Ἄνναν Παλαιολογίναν.*
5ος **Λόγοι:** *Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ* (Α' - Γ').
6ος **Λόγοι:** *Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ* (Δ' - Ζ').
7ος **Α') Κείμενα Αἰχμαλωσίας**:
1) *Λόγος διασαφῶν τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου δόξαν.*
2) *Εἰς τὴν ῥῆσιν ἐκ τῶν Θησαυρῶν τοῦ Κυρίλλου.*
3) *Ἐπιστολὴ πρὸς τὴν ἑαυτοῦ ἐκκλησίαν.*
4) *Ἐπιστολὴ ὅτε ἑάλω.* 5) *Διάλεξις πρὸς τοὺς Χιόνας.*
6) *Ἐπίτομος διήγησις διαλέξεως μετὰ Γρηγορᾶ.*

**Β') Λόγοι** :
1) *Περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας καὶ δυσσεβείας Λόγοι* Α' - Δ'.
2) *Περὶ τῆς ῥήσεως τοῦ Μ. Βασιλείου.*

8ος ***Α') Ἑκατὸν Πεντήκοντα Κεφάλαια.***

Τόμος Β') ***Ἀσκητική Γραμματεία***:
1) *Περὶ προσευχῆς καὶ καθαρότητος καρδίας.*
2) *Εἰς τὸν Βίον τοῦ ὁσίου Πέτρου τοῦ Ἀθωνίτου.*
3) *Πρὸς τὴν μοναχὴν Ξένην.*
4) *Πρὸς τοὺς Ἰωάννην καὶ Θεόδωρον τοὺς φιλοσόφους.*
5) *Πρὸς τὸν ἱερομόναχον Παῦλον Ἀσάνην.*
6) *Δεκάλογος τῆς κατὰ Χριστὸν νομοθεσίας.*

Γ') ***Εὐχὲς*** (*Α'-Δ'*).

9ος ***Ὁμιλίες Α'-Κ'***: Σελ. 640.
1. Ὁμιλία Α', *Περὶ τῆς πρὸς ἀλλήλους εἰρήνης.*
2. Ὁμιλία Β', *Εἰς τὴν κατὰ τὸν τελώνην καὶ τὸν Φαρισαῖον τοῦ Κυρίου παραβολήν.*
3. Ὁμιλία Γ', *Εἰς τὴν κατὰ τὸν σεσωσμένον ἄσωτον τοῦ Κυρίου παραβολήν.*
4. Ὁμιλία Δ', *Εἰς τὸ εὐαγγέλιον τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ καὶ περὶ εὐσπλαγχνίας καὶ εὐποιΐας.*
5. Ὁμιλία Ε', *Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου ταύτῃ κακίας.*
6. Ὁμιλία ς', *Προτρεπτικὴ πρὸς νηστείαν καὶ περὶ τῆς γενέσεως τοῦ κόσμου.*
7. Ὁμιλία Ζ', *Περὶ νηστείας.*
8. Ὁμιλία Η', *Περὶ πίστεως καὶ ἔκθεσις τῆς ὀρθοδόξου ὁμολογίας.*
9. Ὁμιλία Θ', *Ἐν τῷ καιρῷ τῆς νηστείας καὶ προσευχῆς.*
10. Ὁμιλία Ι', *Τῇ δευτέρᾳ Κυριακῇ τῆς ἁγίας Τεσσαρακοστῆς (Παραλυτικοῦ).*
11. Ὁμιλία ΙΑ', *Εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν.*
12. Ὁμιλία ΙΒ', *Εἰς τὴν τετάρτην Κυριακὴν τῶν Νηστειῶν.*
13. Ὁμιλία ΙΓ', *Εἰς τὴν πέμπτην Κυριακὴν τῶν Νηστειῶν.*
14. Ὁμιλία ΙΔ', *Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.*
15. Ὁμιλία ΙΕ', *Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.*
16. Ὁμιλία Ις', *Εἰς τὸ Μ. Σάββατον.*
17. Ὁμιλία ΙΖ', *Εἰς τὴν Κυριακὴν τοῦ Θωμᾶ.*
19. Ὁμιλία ΙΗ', *Εἰς τὴν Κυριακὴν τῶν Μυροφόρων.*
20. Ὁμιλία ΙΘ', *Εἰς τὴν Κυριακὴν τῆς Σαμαρείτιδος.*
21. Ὁμιλία Κ', *Εἰς τὴν Κυριακὴν τοῦ Τυφλοῦ.*

10ος ***Ὁμιλίες ΚΑ'-ΜΒ'***: Σελ. 640.
1. Ὁμιλία ΚΑ', *Εἰς τὴν Ἀνάληψιν.*
2. Ὁμιλία ΚΒ', *Εἰς τὴν Ἀνάληψιν.*
3. Ὁμιλία ΚΓ', *Εἰς τὴν Κυριακὴν τῶν Ἁγίων Πατέρων.*
4. Ὁμιλία ΚΔ', *Εἰς τὴν Κυριακὴν τῆς Πεντηκοστῆς.*
5. Ὁμιλία ΚΕ', *Εἰς τὴν Κυριακὴν τῶν Ἁγίων Πάντων.*
6. Ὁμιλία Κς', *Εἰς τὸν καιρὸν τοῦ θέρους.*
7. Ὁμιλία ΚΖ', *Εἰς τὸν καιρὸν τοῦ θέρους.*

Τόμος 8. Ὁμιλία ΚΗ', *Εἰς τὴν ἑορτὴν Πέτρου καὶ Παύλου.*
9. Ὁμιλία ΚΘ', *Εἰς τὴν Κυριακὴν ΣΤ' Ματθαίου.*
10. Ὁμιλία Λ', *Εἰς τὴν Κυριακὴν Ζ' Ματθαίου.*
11. Ὁμιλία ΛΑ', *Εἰς τὴν πρόοδον τοῦ σταυροῦ.*
12. Ὁμιλία ΛΒ', *Εἰς τὴν Κυριακὴν Θ' Ματθαίου.*
13. Ὁμιλία ΛΓ', *Εἰς τὴν λιτήν.*
14. Ὁμιλία ΛΔ', *Εἰς τὴν Μεταμόρφωσιν.*
15. Ὁμιλία ΛΕ', *Εἰς τὴν Μεταμόρφωσιν.*
16. Ὁμιλία Λϛ', *Εἰς τὴν Κυριακὴν* ΙΑ' Ματθαίου.
17. Ὁμιλία ΛΖ', *Εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.*
18. Ὁμιλία ΛΗ', *Εἰς τὴν Κυριακὴν ΙΒ' Ματθαίου.*
19. Ὁμιλία ΛΘ', *Εἰς ἐπιδημίαν.*
20. Ὁμιλία Μ', *Εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου.*
21. Ὁμιλία ΜΑ', *Εἰς τὴν Κυριακὴν ΙΔ' Ματθαίου.*
22. Ὁμιλία ΜΒ', Εἰς τὴν Γέννησιν τῆς Θεοτόκου.

11ος ***Ὁμιλίες ΜΓ'-ΞΓ'***: Σελ. 640.
1. Ὁμιλία ΜΓ', *Εἰς τὴν Κυριακὴν ΙΖ' Ματθαίου.*
2. Ὁμιλία ΜΔ', Εἰς τὸν Ἰωάννην Εὐαγγελιστήν.
3. Ὁμιλία ΜΕ', *Εἰς τὴν Κυριακὴν Β' Λουκᾶ.*
4. Ὁμιλία Μϛ', *Εἰς τὴν Κυριακὴν Γ' Λουκᾶ.*
5. Ὁμιλία ΜΖ', *Εἰς τὴν Κυριακὴν Δ' Λουκᾶ.*
6. Ὁμιλία ΜΗ', *Εἰς τὴν Κυριακὴν Ε' Λουκᾶ.*
7. Ὁμιλία ΜΘ', *Εἰς τὸν Ἅγιον Δημήτριον.*
8. Ὁμιλία Ν', *Εἰς τὴν Κυριακὴν ΣΤ' Λουκᾶ.*
9. Ὁμιλία ΝΑ', *Εἰς τὴν Κυριακὴν Ζ' Λουκᾶ.*
10. Ὁμιλία ΝΒ', *Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.*
11. Ὁμιλία ΝΓ', *Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.*
12. Ὁμιλία ΝΔ', *Εἰς τὴν Κυριακὴν Ι' Λουκᾶ.*
13. Ὁμιλία ΝΕ', *Εἰς τὴν Κυριακὴν τῶν Προπατόρων.*
14. Ὁμιλία Νϛ', *Εἰς τὰ προεόρτια τῶν Χριστουγέννων.*
15. Ὁμιλία ΝΖ', *Εἰς τὴν Κυριακὴν τῶν Πατέρων.*
16. Ὁμιλία ΝΗ', *Εἰς τὴν Χριστοῦ Γέννησιν.*
17. Ὁμιλία ΝΘ', Εἰς τὴν παραμονὴν τῶν Θεοφανίων.
18. Ὁμιλία Ξ', Εἰς τὰ Ἐπιφάνια.
19. Ὁμιλία ΞΑ', *Εἰς τὴν Κυριακὴν ΙΒ' Λουκᾶ.*
20. Ὁμιλία ΞΒ', *Εἰς τὴν Κυριακὴν ΙΓ' Λουκᾶ.*
21. Ὁμιλία ΞΓ', Πρὸς τοὺς δυσχεραίνοντας.

## Θ' ΦΙΛΟΚΑΛΙΑ

1ος ***Ἀποφθέγματα Γερόντων***: Ἀντωνίου, Ἀρσενίου, Ἀγά-θωνος, Ἀμμωνᾶ, Ἀχιλλᾶ, Ἀμμώη, Ἀμμούν, Ἀνούβ, Ἀβραάμ, Ἄρη, Ἀλωνίου, Ἀπφύ, Ἀπολλώ, Ἀνδρέου, Ἀϊώ, Ἀμμωναθᾶ, Μ. Βασιλείου, Βησσαρίω-

Τόμος νος, Βενιαμίν, Βιαρέ, Γρηγ. Θεολόγου, Γελασίου, Γεροντίου, Δανιήλ, Διοσκόρου, Δουλᾶ, Ἐπιφανίου Κύπρου, Ἐφραίμ, Εὐχαρίστου, Κοσμικοῦ, Εὐλογίου, Εὐπρεπίου, Ἑλλαδίου, Εὐαγρίου, Εὐδαίμονος, Ζήνωνος, Ζαχαρίου, Ἠσαΐου, Ἠλία, Ἡρακλείου, Θεοδώρου, τῆς Φέρμης, Θεοδώρου τοῦ Ἐνάτου, Θεοδώρου τοῦ εἰς Σκῆτιν, Θεοδώρου τοῦ Ἐλευθεροπολίτου, Θεοδότου, Θεωνᾶ, Θεοφίλου, ἀμμᾶς Θεοδώρας, Ἰωάννου τοῦ Κολοβοῦ, Ἰωάννου τοῦ ἐν Κοινοβίῳ, Ἰσιδώρου, Ἰσιδώρου τοῦ Πηλουσιώτου, Ἰσαὰκ τοῦ Πρεσβυτέρου, Ἰωσὴφ τοῦ ἐν Πενεφώ, Ἰακώβου, Ἱέρακος, Ἰωάννου τοῦ Εὐνούχου, Ἰωάννου τοῦ Κίλικος, Ἰωάννου τῶν Κελλίων, Ἰσιδώρου τοῦ πρεσβυτέρου, Ἰωάννου τοῦ Πέρσου, Ἰωάννου τοῦ Θηβαίου, Ἱλαρίωνος, Ἰσχυρίωνος, Κασσιανοῦ, Κρονίου, Καρίωνος, Κό-πρι, Κύρου, Λουκίου, Λώτ, Λογγίνου, Μακαρίου τοῦ Αἰγυπτίου, Μωυ-σέως, Ματώη, Μάρκου μαθητοῦ ἀββᾶ Σιλουανοῦ, Μιλησίου, Μωτίου, Μεγεθίου, Μιώς, Μάρκου τοῦ Αἰγυπτίου, Μακαρίου τοῦ Πολιτικοῦ, Νείλου, Νισθερώου, Νίκωνος, Νετρᾶ, Νικήτα, Ξοΐου, Ξανθία, Ὀλυμπίου, Ὀρσισίου, Ποιμένος, Παμβώ, Πιστοῦ, Πίωρ, Πιτυρίωνος, Πιστάμωνος, Πέτρου τοῦ Πιονίτου, Παφνουτίου, Παύλου τοῦ Κοσμίτου, Παύλου τοῦ Μεγάλου, Παύλου τοῦ Ἁπλοῦ, Πέτρου τοῦ τῶν Δίου, Ρωμαίου, Ρούφου, Ρωμανοῦ, Σισώη, Σίδωνος, Σαϊώ, Σάρρας, Συγκλητικῆς, Τιθώη, Τιμοθέου, Ὑπερεχίου, Φωκᾶ, Φήλικος, Φιλαγρίου, Φορτᾶ, Χομαί, Χαιρήμωνος, Ψενθαϊσίου, Ὤρ.

2ος *Τὸ Λειμωνάριον.*

3ος **Διονυσίου Ἀρεοπαγίτου:**
1) *Περὶ θείων ὀνομάτων.* 2) *Περὶ Οὐρανίου ἱεραρχίας.* 3) *Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας.* 4) *Περὶ μυστικῆς θεολογίας.* 5) *Ἐπιστολές.*

4ος **Θεοδωρήτου Κύρου**: *Φιλόθεος Ἱστορία ἢ Ἀσκητικὴ Πολιτεία.*

5ος **Κυρίλλου Σκυθοπολίτου,** *Βίοι Ἁγίων*: 1. *Ἐπιστολὴ πρὸς ἀββᾶν Γεώργιον.* 2. *Βίος τοῦ ἁγίου Εὐθυμίου.* 3. *Βίος τοῦ ὁσίου Σάβα.* 4. *Βίος τοῦ ἁγίου Ἰωάννου ἐπισκόπου καὶ ἡσυχαστοῦ.* 5. *Βίος τοῦ ἀββᾶ Κυριακοῦ.* 6. *Βίος τοῦ ἀββᾶ Θεοδοσίου.* 7. *Εἰς τὸν ὅσιον Θεόγνιον τὸν ἐπίσκοπον.* 8. *Βίος τοῦ ἁγίου Ἀβραμίου.*

6ος **Παλλαδίου Ἑλενοπόλεως**: *Λαυσαϊκὴ Ἱστορία.*

7ος **Μακαρίου τοῦ Αἰγυπτίου**: *50 Πνευματικὲς Ὁμιλίες.*

8Α **Ἰσαὰκ τοῦ Σύρου**: *Λόγοι Ἀσκητικοί* (Α'-ΚΣΤ').

8Β **Ἰσαὰκ τοῦ Σύρου**: *Λόγοι Ἀσκητικοί* (ΚΖ'-ΞΑ').

8Γ **Ἰσαὰκ τοῦ Σύρου**: α) *Λόγοι Ἀσκητικοί* (ΞΒ'-ΠΣΤ').
β) *Ἐπιστολὲς* (Α'-Δ').

9 **Α'. Διαδόχου Φωτικῆς**: 1) *Κεφάλαια Γνωστικά.* 2) *Λόγος εἰς τὴν Ἀνάληψιν.* 3) *Ὁράσεις.* 4) *Ἐρωταποκρίσεις.*
**Β'. Ἰωάννου Καρπαθίου**: *Κεφάλαια Παρακλητικὰ 100.*

10Α **Ἁγίων Βαρσανουφίου - Ἰωάννου**: *Ἐρωταποκρίσεις* (Α'-ΣΚΘ').

10Β **Ἁγίων Βαρσανουφίου - Ἰωάννου**: *Ἐρωταποκρίσεις* (ΣΛ'-ΦΚΒ').

10Γ **Ἁγίων Βαρσανουφίου - Ἰωάννου**: *Ἐρωταποκρίσεις* (ΦΚΓ'-ΩΜ').

11Α **Α'. Εὐαγρίου**: 1. Κεφάλαια πρακτικά, πρὸς Ἀνατόλιον. 2. Λόγος πρακτικός. 3. Τῶν κατὰ μοναχῶν πραγμάτων τὰ αἴτια. 4. Κεφάλαια ΛΓ κατ' ἀκολουθίαν. 5. Πνευματικαὶ γνῶμαι κατὰ ἀλφάβητον. 6. Ἕτεραι γνῶμαι. 7. Περὶ τῶν ὀκτὼ λογισμῶν, πρὸς Ἀνατόλιον. 8. Ἀποσπάσματα.

**Β'. Ἁγίου Νείλου:** 1) Διηγήματα Α'-Ζ', 2) Πρὸς Ἀλβιανὸν μοναχὸν ἐρημίτην, 3) Πρὸς Ἀγάθιον μονάζοντα, Περὶ Περιστερᾶς.

11Β **Ἁγίου Νείλου: 4).** *Πρὸς Μάγναν, Λόγος περὶ ἀκτημοσύνης,* 5) *Ὅτι διαφέρουσι τῶν ἐν πόλεσιν ᾠκισμένων οἱ ἐν ἐρήμοις ἡσυχάζοντες...* 6) *Λόγος πρός Εὐλόγιον μοναχόν.* 7) *Πρὸς Εὐλόγιον, Λόγος περὶ τὰς ἀντιζήλους τῶν ἀρετῶν κακίας.* 8) *Περὶ τῶν ὀκτὼ πνευμάτων τῆς πονηρίας.* 9) *Λόγος περὶ προσευχῆς.* 10) *Κεφάλαια ΚΖ' περὶ πονηρῶν λογισμῶν.* 11) *Παραινέσεις πρὸς μοναχούς.* 12) *Γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν καὶ κολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον.* 13) *Κεφάλαια ἢ παραίνεσις.* 14) *Περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν.*

11Γ **Ἁγίου Νείλου:** 15) *Λόγος Ἀσκητικός, Κεφ. Α'-ΟΕ'.* 16) *Λόγος εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου, «νῦν ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν...».* 17) *Λόγος Ἀσκητικὸς καὶ πολυμερής.* 18) *Ἐπικτήτου Ἐγχειρίδιον* (Κεφ. Α'-ΟΓ') 19) *Διήγησις περὶ Πάχονος, πορνικὸν πόλεμον πέσχοντος καὶ νικῶντος.* 20) *Ὑπερεχίου, Παραίνεσις ἀσκητῶν.* 21) *Ἀποσπάσματα ἐκ Λόγων καὶ Ὁμιλιῶν τοῦ Ἁγίου Νείλου (Εἰς τὸ Πάσχα, Λόγοι δύο, καὶ εἰς τὴν Ἀνάληψιν, Λόγοι τρεῖς).* 22) *Ἐπιστολαὶ (Βιβλ. Α'. 1-333).*

11Δ **Ἐπιστολαί:** 1. Βιβλίον Β' (1-333), 2. Βιβλίον Γ' (1-333). 3. Βιβλίον Δ' (1-62).

12ος **Α'. Ἀββᾶ Ἠσαΐα** : *Λόγοι Ἀσκητικοί.*

**Β'. Ἀββᾶ Ζωσιμᾶ:** *Κεφάλαια ὠφέλιμα.*

**Γ'. Ἀββᾶ Δωροθέου** : *Πραγματεῖες καὶ Ἐπιστολές.*

13ος **Α'. Μάρκου Ἐρημίτη:** *Δέκα δοκίμια (Περὶ νόμου πνευματικοῦ, Περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι, Περὶ μετανοίας, Περὶ τοῦ θείου βαπτίσματος, Πρὸς Νικόλαον νουθεσίαι ψυχωφελεῖς, Κεφάλαια νηπτικά ΚΗ', Συνδιάλεξις πρὸς σχολαστικόν, Συμβουλία νοός πρός τὴν ἑαυτοῦ ψυχήν, Περὶ νηστείας, Εἰς τὸν Μελχισεδέκ).*

**Β'. Ἡσυχίου Ἰεροσολύμων:** *Λόγος ψυχωφελὴς περὶ νήψεως καὶ ἀρετῆς εἰς ἑκατοντάδας δύο. Λόγοι Α'-Η' (Εἰς τὴν Χριστοῦ γέννησιν, Περὶς τῆς τρίτης ὥρας καὶ ἕκτης, Περὶ ἀναστάσεως τοῦ Κυρίου, Εἰς τὴν Θεοτόκον Μαρίαν, Εἰς τὴν αὐτὴν Θ. Μαρίαν, Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου, Ἐγκώμιον εἰς ἅγιον Θωμᾶν, Εἰς Ἰάκωβον τὸν ἀδελφόθεον).– Συναγωγὴ ἀποριῶν καὶ λύσεων.*– Μαρτύριον ἁγίου Λογγίνου.

13Α **Ἀναστασίου Σιναΐτου:** 1) *Ὁδηγός,* 2) *Περὶ τῆς ἁγίας συνάξεως καὶ περὶ τοῦ μὴ κρίνειν καὶ μνησικακεῖν* καὶ 3) *Εἰς τὴν πνευματικὴν ἀναγωγὴν τῆς ἑξαημέρου κτίσεως.*

13Β **Ἀναστασίου Σιναΐτου:** *Ἐρωτήσεις καὶ ἀποκρίσεις* Α'-ΞΔ'.

13Γ **Ἀναστασίου Σιναΐτου: Α)** Ἐρωταποκρίσεις ΞΕ-ΡΝΔ. **Β)** ΛΟΓΟΙ

13Δ **Ἀντιόχου Μοναχοῦ:** Ἐπιστολὴ Πρὸς Εὐστάθιον - Κεφάλαια Α'-ΡΓ'.

14ος **Μαξίμου τοῦ Ὁμολογητοῦ** : 1. *Μυσταγωγία.* 2. *400 Κεφάλαια Περὶ ἀγάπης.* 3. *Λόγος Ἀσκητικός.* 4. *200 Κεφάλαια Περὶ Θεολογίας.*

14Α **Μαξίμου τοῦ Ὁμολογητοῦ** : 1. *Ἐρωταποκρίσεις.* 2. *Πρὸς Θεόπεμπτον τὸν Σχολαστικόν.* 3. *Ἑρμηνεία εἰς τὸν ΝΘ' Ψαλμόν.*

14Β **Μαξίμου τοῦ Ὁμολογητοῦ:** *Πρὸς Θαλάσσιον περὶ διαφόρων ἀπόρων τῆς Ἁγίας Γραφῆς* (Ἐρωτήσεις Α' – ΝΓ').

14Γ **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Πρὸς Θαλάσσιον περὶ διαφόρων ἀπόρων τῆς Ἁγίας Γραφῆς* (Ἐρωτήσεις ΝΔ' – ΞΕ').

14Δ **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Περὶ ἀποριῶν τῶν ἁγίων Διονυσίου καὶ Γρηγορίου πρὸς Θωμᾶν ἡγιασμένον* (Ἀπορίες Α'-Ε', καὶ Α'-ΡΔ').

14Ε **Μαξίμου τοῦ Ὁμολογητοῦ** :
1. *Περὶ ἀποριῶν τῶν ἁγίων Διονυσίου καὶ Γρηγορίου πρὸς Θωμᾶν ἡγιασμένον* (Ἀπορίες ΡΕ'-ΡΟΘ').
2. *Σχόλια εἰς τὰ τοῦ ἁγίου Διονυσίου* (α. *Εἰς τὸ Περὶ οὐρανίου ἱεραρχίας* καὶ β. *Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας*).

14ς **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Σχόλια εἰς τὰ τοῦ ἁγίου Διονυσίου.* (1. *Εἰς τὸ Περὶ θείων ὀνομάτων*, καὶ 2. *Εἰς τὸ Περὶ μυστικῆς θεολογίας*).

15Α **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Δοκίμια δογματικά, θεολογικά καὶ πολεμικά: Πρὸς Μαρῖνον*, Δοκίμια Α'-Γ', *Πρὸς Γεώργιον τὸν πρεσβύτερον, Ἀπαντήσεις πρὸς ἐρωτήσεις διαφόρων, Περὶ τοῦ «Παρελθέτω τὸ ποτήριον», Τόμος δογματικὸς πρὸς Μαρῖνον, Ἐπιστολὴ Πρὸς τὸν Νίκανδρον, ἀπολογία πρὸς Σικελούς, Ἐπιστολὴ πρὸς Μαρῖνον, Περὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων, Ὅροι διάφοροι, Πνευματικὸς καὶ δογματικὸς τόμος, Περὶ τῶν δύο θελημάτων τοῦ Χριστοῦ, Περὶ ὅρων διαστολῶν, Ἐπίλυσις ἀποριῶν διακόνου Θεοδώρου, Τόμος δογματικὸς πρὸς Μαρῖνον, Κεφάλαια διάφορα περὶ οὐσίας, φύσεως, ὑποστάσεως, προσώπου καὶ θελήματος Χριστοῦ.*

15Β **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Ἐπιστολὲς κοινές, δογματικὲς καὶ πολεμικές: Πρὸς τὸν ἔπαρχον Γεώργιον.- Πρὸς Ἰωάννην κουβικουλάριον (τρεῖς).- Πρὸς Κωνσταντῖνον.- Πρὸς τὸν ἀρχιεπίσκοπον Ἰωάννην.- Πρὸς Ἰωάννην τὸν πρεσβύτερον (δύο.- Πρὸς Θαλάσσιον.- Πρὸς Ἰωάννην κουβικουλάριον.- Πρὸς μοναχήν.- Πρὸς Ἰωάννην κουβικουλάριον Περὶ τῶν ὀρθῶν ὅρων τῆς Ἐκκλησίας δογμάτων.- Πρὸς Πέτρον ἰλλούστριον (δύο).- Πρὸς Κοσμᾶν τὸν διάκονον, περὶ οὐσίας καὶ ὑποστάσεως (δύο).- Πρὸς Ἰουλιανὸν σχολαστικόν, περὶ τῆς σαρκώσεως τοῦ Κυρίου.- Πρὸς τὸν ἔπαρχον Γεώργιον.- Πρὸς Πύρρον.- Πρὸς Μαρῖνον.- Πρὸς ἐπίσκοπον Κυδωνίας.- Πρὸς Αὐξέντιον.- Πρὸς Στέφανον.- Πρὸς Κωνσταντῖνον.- Πρὸς Κόνωνα.- Πρὸς Θαλάσσιον.- Πρὸς Ἰωάννην κουβικουλάριον.- Πρὸς Κυρισίκιον - Πρὸς Ἰωάννην ἐπίσκοπον.- Πρὸς Πολυχρόνιον (ὀκτώ).- Πρὸς Θαλάσσιον (τρεῖς).- Πρὸς Ἰωάννην κουβικουλάριον (τρεῖς).- Πρὸς Ἀναστάσιον μονάζοντα.*

15Γ **Μαξίμου τοῦ Ὁμολογητοῦ** : 1. *Συζήτησις ἐν Βιζύῃ μετὰ τοῦ ἐπισκόπου Καισαρείας Θεοδοσίου.* 2. *Ἐξήγησις τῆς κινήσεως.* 3. *Διάλεξις πρὸς Πύρρον.* 4. *Περὶ ψυχῆς.* 5. *Ἑρμηνεία τῆς προσευχῆς «Πατερ ἡμῶν»*, 3. *Βίος Μαξίμου.*

15Δ **Μαξίμου τοῦ Ὁμολογητοῦ** : 1. *Κεφάλαια διάφορα.* 2. *Κεφάλαια ἕτερα, Σχόλια εἰς τὰς Ἐπιστολὰς Διονυσίου Ἀρεοπαγίτου.*

15Ε **Μαξίμου τοῦ Ὁμολογητοῦ** : *Κεφάλαια Θεολογικά.*

16ος **Ἰωάννου τῆς Κλίμακος**: *Κλῖμαξ εἰς Λόγους Λ', καὶ Λόγος εἰς τὸν Ποιμένα.*

17ος **Α. Πέτρου Δαμασκηνοῦ** : 1. *Ὑπόμνησις πρὸς τὴν ἑαυτοῦ ψυχήν.*
2. *Λόγοι συνοπτικοὶ ΚΔ'.*

**Β. Φιλοθέου Σιναΐτου** : *Νηπτικὰ Κεφάλαια Μ΄.*
**Γ. Θεοδώρου τοῦ Ἀσκητοῦ** : 1. *Κεφάλαια Ρ΄.* 2. *Θεωρητικόν.*

18ος **Θεοδώρου Στουδίτου:** Ὁμιλίες πρὸς τὸ κοινό: α) *Εἰς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ.* β) *Εἰς τὴν παραμονὴν τῶν Φώτων.* γ) *Λόγος Κατηχητικὸς εἰς τὴν ἁγ. Κυριακὴν τοῦ Πάσχα.* δ) *Ἐγκώμιον εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.* ε) *Εἰς τὴν σύναξιν τῶν οὐρανίων ταγμάτων.* ς) *Εἰς τὴν γέννησιν τοῦ Ἰωάννου Βαπτιστοῦ.* ζ) *Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τῆς ἱ. κεφαλῆς τοῦ Ἰωάννου Προδρόμου.* η) *Ἐγκώμιον εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην.* θ) *Ἐγκώμιον εἰς τὸν ἀπόστολον Βαρθολομαῖον.* ι) *Λόγος ἐπιτάφιος εἰς τὸν πνευματικὸν πατέρα του Πλάτωνα.* ια) *Ἐγκώμιον εἰς τὸν ἅγιον Ἀρσένιον τὸν ἀναχωρητήν.* ιβ) *Λόγος ἐπιτάφιος εἰς μητέρα του.* ιγ) Λόγοι Κατηχητικοὶ Α΄.-ΛΓ΄.

18Α **Θεοδώρου Στουδίτου:** *Λόγοι Κατηχητικοὶ ΛΔ΄. -ΡΚΔ΄.*

18Β **Θεοδώρου Στουδίτου:** *ΕΠΙΣΤΟΛΕΣ,* 1) Βιβλίο Α΄. ((Ἐπιστολὲς Α΄. - ΝΖ΄.) 2) Βιβλίο Β΄. ((Ἐπιστολὲς Α΄. - ΝΕ΄..

18Γ **Θεοδώρου Στουδίτου:** *ΕΠΙΣΤΟΛΕΣ,* Βιβλίο Β΄. (Ἐπιστολὲς ΝΣΤ΄. - ΣΚΑ΄.)

19Α **Συμεὼν τοῦ Νέου Θεολόγου:** *Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθάτου.- Κεφάλαια.- Εὐχαριστίες.- Διάλογος μετὰ σχολαστικοῦ.*

19Β **Συμεὼν τοῦ Νέου Θεολόγου :** *Βίβλος τῶν Θεολογικῶν Λόγων* (Λόγοι Α'–Γ').– *Βίβλος τῶν Ἠθικῶν Λόγων* (Λόγοι Α'–ς').

19Γ **Συμεὼν τοῦ Νέου Θεολόγου:**
Α') *Βίβλος τῶν Ἠθικῶν Λόγων* (Λόγοι Ζ'–ΙΕ').
Β') *Κατηχητικοὶ Λόγοι* (Λόγοι Α'–Ζ').

19Δ **Συμεὼν τοῦ Νέου Θεολόγου :** *Κατηχητικοὶ Λόγοι* (Λόγοι Η'-ΛΔ').

19Ε **Συμεὼν τοῦ Νέου Θεολόγου :** *Ὕμνοι* (Α'–ΚΖ').

19ς **Συμεὼν τοῦ Νέου Θεολόγου :** *Ὕμνοι* (ΚΗ'–ΝΗ').

20ος **Α. Νικήτα Στηθάτου :** Νηπτικὰ κεφάλαια, ἑκατοντάδες τρεῖς.
1. *Ἑκατοντὰς πρώτη, Κεφάλαια πρακτικά.* 2. *Ἑκατοντὰς δευτέρα, Κεφάλαια φυσικά.* 3. *Ἑκατοντὰς τρίτη, Κεφάλαια γνωστικά.*

**Β. Ἠλία Ἐκδίκου:** 1. *Ἀνθολόγιον γνωμικόν.* 2. *Κεφάλαια γνωστικὰ ΛΒ΄.* 3. *Κεφάλαια πρακτικὰ καὶ θεωρητικὰ ΡΙΖ΄.*

**Γ. Θεολήπτου Φιλαδελφείας:** 1. *Λόγος τὴν ἐν Χριστῷ κρυπτὴν ἐργασίαν διασαφῶν καὶ δεικνύων ἐν βραχεῖ τοῦ μοναδικοῦ ἐπαγγέλματος τὸν κόπον.* 2. *Κεφάλαια ἐννέα.*

**Δ. Νικηφόρου τοῦ Μονάζοντος:** *Λόγος περὶ νήψεως καὶ φυλακῆς καρδίας.*

**Ε. Γρηγορίου Σιναΐτου :** *Κεφάλαια 137 περὶ λογισμῶν καὶ παθῶν καὶ ἀρετῶν δι' ἀκροστιχίδος.* 2. *Κεφάλαια Γνωστικὰ ἑπτά.* 3. *Κεφάλαια δέκα Περὶ ἡσυχίας καὶ προσευχῆς.* 4. *Κεφάλαια δέκα πέντε Περὶ ἡσυχίας καὶ τῶν δύο τρόπων τῆς προσευχῆς.* 5. *Περὶ τοῦ πῶς δεῖ καθέζεσθαι τὸν ἡσυχάζοντα εἰς τὴν εὐχὴν καὶ μὴ ταχέως ἀνίστασθαι.*

**ς. Θεοφάνους Μοναχοῦ :** *Κλίμαξ Θείων Χαρίτων.*

21ος Α. **Καλλίστου Καταφυγιώτου :** Τὰ σωζόμενα, *Περὶ θείας ἑνώσεως καὶ βίου θεωρητικοῦ.*

21Α Β. **Καλλίστου καὶ Ἰγνατίου τῶν Ξανθοπούλων :** *Μέθοδος καὶ κανὼν ἀκριβὴς περὶ τῶν αἱρουμένων ἡσύχως βιῶναι καὶ μοναστικῶς, περί τε ἀγωγῆς καὶ πολιτείας καὶ διαίτης αὐτῶν.*

Α. **Καλλίστου Τηλικούδη τοῦ Πατριάρχου :** 1) *Κεφάλαια Περὶ προσευχῆς.* 2. *Περὶ ἡσυχαστικῆς τριβῆς.* 3. *Ἐκλογαὶ ἀπὸ τῶν ἁγίων Πατέρων.*

Β. **Συμεὼν τοῦ Μεταφραστοῦ,** *Παράφρασις εἰς ΠΝ' Κεφάλαια εἰς τοὺς πεντήκοντα Λόγους τοῦ ἁγίου Μακαρίου τοῦ Αἰγυπτίου.*

22ος **Νικολάου Καβάσιλα :** *Ἑρμηνεία εἰς τὴν θείαν Λειτουργίαν.– Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.*

## Ι' ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

## ΙΑ' ΑΠΟΛΟΓΗΤΑΙ

1ος **Ἰουστίνου τοῦ Φιλοσόφου :** 1. *Ἀπολογίες Α' καὶ Β'* – 2. *Λόγος Περὶ Ἀναστάσεως.*– 3. *Διάλογος πρὸς Τρύφωνα.*

2ος **Τατιανοῦ :** *Πρὸς Ἕλληνας.* – **Ἀθηναγόρου :** 1. *Πρεσβεία Χριστιανῶν.* 2. *Περὶ ἀναστάσεως τῶν νεκρῶν* – **Θεοφίλου Ἀντιοχείας :** *Πρὸς Αὐτόλυκον,* Βιβλία Α'-Γ'.– *Ἐπιστολὴ πρὸς Διόγνητον.*

## ΙΒ' ΑΠΑΝΤΑ ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

1ος Α) *Προτρεπτικός.*– Β) *Παιδαγωγός,* Λόγος Α'.

2ος *Παιδαγωγός,* Λόγοι Β' καὶ Γ'.

3ος *Στρωματεῖς* Λόγοι Α'. - Δ'.

4ος *Στρωματεῖς* Λόγοι Ε'. - Η'.- Λόγος, *Τίς ὁ σωζόμενος πλούσιος.*

## ΙΓ' ΑΠΑΝΤΑ ΑΠΟΣΤΟΛΙΚΩΝ ΠΑΤΕΡΩΝ

1ος *Διδαχὴ τῶν Ἀποστόλων.– Διαταγαὶ τῶν Ἁγίων Ἀποστόλων διὰ Κλήμεντος.– Ἀποστολικοὶ Κανόνες.*

2ος *Ἐπιτομὴ Η' Βιβλίου τῶν Διαταγῶν τῶν ἀποστόλων.– Αἱ διαταγαὶ αἱ διὰ Κλήμεντος*

3ος **Κλήμεντος:**
1. Τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων (Ὁμιλ. ΙΒ'–Κ').
2. *Πρὸς Κορινθίους Α' καὶ Β'.*
3. *Περὶ τῶν πράξεων, ἐπιδημιῶν τε καὶ κηρυγμάτων.*
4. *Μαρτύριον τοῦ ἁγίου Κλήμεντος.*

4ος 1. *Ἐπιστολὴ Βαρνάβα.*
2. Ἐπιστολὲς Ἰγνατίου:
**α) Γνήσιες** (σύντομος καὶ ἐκτενὴς μορφή): 1. *Πρὸς Ἐφεσίους,* 2. *Πρὸς Μαγνησίους,* 3. *Πρὸς Τραλλησίους,* 4. *Πρὸς Ρωμαίους,* 5. *Πρὸς Φιλαδελφεῖς,* 6. *Πρὸς Σμυρναίους,* 6. *Πρὸς Πολύκαρπον.*

*β) **Ἀμφιβαλλόμενες**: 1. Μαρίας πρὸς Ἰγνάτιον. 2. Ἰγνατίου Πρὸς Μαρίαν, 3. Πρὸς τοὺς ἐν Ταρσῷ, 4. Πρὸς Ἀντιοχεῖς, 5. Πρὸς Ἥρωνα, 6. Πρὸς Φιλιππησίους.– Μαρτύριον Ἰγνατίου.–*

3. *α) Πολυκάρπου ἐπιστολὴ πρὸς Φιλιππησίους, β) Μαρτύριον Πολυκάρπου.*
4. *Ὁ Ποιμὴν τοῦ Ἑρμᾶ.*
5. *Παπία Ἱεραπόλεως, ἀποσπάσματα.*

## ΙΔ'. ΑΠΑΝΤΑ ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

1ος *Κατηχήσεις Φωτιζομένων* (Α' – ΙΒ').
**Α'**. *Κατηχήσεις Φωτιζομένων* (ΙΓ' – ΙΗ').
**Β'**. *Κατηχήσεις Μυσταγωγικαὶ* (Α' – Ε').
2ος **Γ'**. Ὁ μ ι λ ί ε ς - Ἐ π ι σ τ ο λ ὲ ς:
1. *Εἰς τὸν Παραλυτικὸν τὸν ἐπὶ τὴν κολυμβήθραν.*
2. *Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὸν Συμεῶνα τὸν Θεοδόχον.*
3. *Ἐπιστολὴ πρὸς τὸν Μωνσταντῖνον τὸν εὐσεβέστατον βασιλέα.*
4. *Μαρτυρίαι παλαιῶν περὶ τοῦ σημείου τοῦ σταυροῦ τοῦ φανέντος εἰς Ἱεροσόλυμα.*
5. *Χρονολογία.*
6. *Συμπαράθεσις ἐπιστολῶν Κυρίλλου Ἱεροσολύμων καὶ πάπα Ἰουλίου.*

## ΙΕ' ΑΠΑΝΤΑ ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

1ος **Κυρίλλου Ἀλεξανδρείας** : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι Α' – ΣΤ'.*
2ος **Κυρίλλου Ἀλεξανδρείας** : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι Ζ' – ΙΑ'.*
3ος **Κυρίλλου Ἀλεξανδρείας** : *Περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως καὶ λατρείας Λόγοι ΙΒ' – ΙΖ'.*
4ος **Κυρίλλου Ἀλεξανδρείας** : Γλαφυρῶν εἰς τὴν Γένεσιν Λόγοι Α'–Ζ',.
5ος **Κυρίλλου Ἀλεξανδρείας** : Γλαφυρῶν εἰς τὴν Ἔξοδον Λόγοι Α'–Γ' εἰς Λευιτικόν, Ἀριθμούς, Δευτ/μιον, Βασιλειῶν.
6ος **Κυρίλλου Ἀλεξανδρείας** : *Βίβλος Θησαυρῶν, Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι Α' – ΙΘ'.*
7ος **Κυρίλλου Ἀλεξανδρείας** : *Βίβλος Θησαυρῶν. Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι Κ' – ΛΕ'.*
8ος **Κυρίλλου Ἀλεξανδρείας** : *Περὶ τῆς ἁγ. καὶ ὁμοουσίου Τριάδος, Λόγοι Α' – Ε'.*
9ος **Κυρίλλου Ἀλεξανδρείας** : 1. *Περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, Λόγοι ΣΤ'–Ζ', – 2. Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς, καὶ ὅτι ὁ Χριστὸς εἷς καὶ Κύριος. – 3.* Ὅτι εἷς ὁ Χριστός. – 4. Ὡς ἐν κεφαλαίοις: Τὰ ἐγκείμενα τῷ λόγῳ τῷ περὶ τοῦ ἁγίου Πνεύματος, μετὰ προσθήκης ἑτέρων ἐννοιῶν. 5. Περὶ τῆς ἁγίας καὶ Ζωοποιοῦ Τριάδος *(Κεφ. Α' – ΚΗ').*

10ος **Κυρίλλου Ἀλεξανδρείας** : *Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου, τοῦ Υἱοῦ τοῦ Πατρός, – Περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως κατὰ κεφάλαια, Κεφ. Α-ΛΕ. – Πεντάβιβλος ἀντίρρησις κατὰ τῶν Νεστορίου δυσφημιῶν.- Διάλεξις πρὸς Νεστόριον, Ὅτι Θεοτόκος ἡ ἁγία Παρθένος καὶ οὐ Χριστοτόκος.– Λόγος κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν Θεοτόκον τὴν ἁγίαν Παρθένον.*.

11ος **Κυρίλλου Ἀλεξανδρείας:** *Διάφοροι Λόγοι περὶ τῶν δώδεκα κεφαλαίων.- Λόγοι δέκα ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ* (Λό-γοι Α΄-Γ΄)..

12ος **Κυρίλλου Ἀλεξανδρείας:** *Λόγοι δέκα ὑπὲρ τῆς τῶν Χριστιανῶν εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ* (Λόγοι Δ΄-Ι΄ καὶ τεμάχια τῶν Λόγων ΙΑ΄-ΙΘ΄).

13ος **Κυρίλλου Ἀλεξανδρείας:** *Κατὰ ἀνθρωπομορφιτῶν εἰς κεφάλαια ΚΗ΄. Ἐπιστολὴ πρὸς Καλοσύριον, καὶ ἄλλοι λόγοι πρὸς τὸν βασιλέα Θεοδόσιον καὶ ταῖς βασιλίσσαις περὶ πίστεως*. **Ὑπὸ ἔκδοση**.

14ος **Νικήτα τοῦ πρώην Σερρῶν**, *Συναγωγὴ ἐγηγήσεων τῶν ἁγίων Πατέρων εἰς τὴν βίβλον τῶν Ψαλμῶν*. – **Κυρίλλου Ἀλεξανδρείας,** *Ἐξήγησις εἰς Ψαλμούς, Ψαλμοὶ Α΄ - Μ΄.* **Ὑπὸ ἔκδοση**.

15ος **Κυρίλλου Ἀλεξανδρείας:** 1. *Ἐξήγησις εἰς Ψαλμοὺς ΜΑ΄ - ΡΙΘ΄*. 2. *Τεμάχια εἰς ᾠδὴν Μωυσέως*. 3. *Τεμάχια εἰς ᾠδὴν Ἄννης, μητρὸς Σαμουήλ*. 4. *Τεμάχια εἰς Παροιμίας*. 5. *Ἀποσπάσματα εἰς Ἆσμα Ἀσμάτων*. **Ὑπὸ ἔκδοση**.

16ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ἡσαΐαν*, Βιβλίον Α΄, Λόγοι Α΄-ς΄, Βιβλίον Β΄, Λόγοι Α΄-Β΄. **Ὑπὸ ἔκδοση**.

17ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ἡσαΐαν*, Βιβλίον Β΄, Λόγοι Γ-Ε΄, Βιβλίον Γ, Λόγοι Α΄-Γ. **Ὑπὸ ἔκδοση**.

18ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ἡσαΐαν*, Βιβλίον Γ, Λόγοι Δ΄-Ε΄, Βιβλίον Δ΄, Λόγ. Α΄-Δ΄. **Ὑπὸ ἔκδοση**.

19ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ἡσαΐαν*, Βιβλίον Δ΄, Λόγοι Δ΄-Ε΄, Βιβλίον Ε΄, Λόγοι Α΄-ΣΤ΄, *καὶ εἰς Ἰερεμίαν, Βαρούχ, Ἰεζεκιήλ, καὶ Δανιήλ* **Ὑπὸ ἔκδοση**.

20ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ὠσηὲ* (Λόγοι Α΄-Ζ΄)- *Ἰωὴλ* (Λόγοι Α΄-Β΄). **Ὑπὸ ἔκδοση**.

21ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ἀμώς* (Λόγοι Α΄-Δ΄), *Ὀβδιού, Ἰωνᾶν* (Λόγ. Α΄-Δ΄), *Μιχαίαν* (Λόγ. Α΄-Ζ΄). **Ὑπὸ ἔκδοση**.

22ος **Κυρίλλου Ἀλεξανδρείας:** *Ὑπόμνημα εἰς Ναοὺμ* (Λόγοι Α΄-Γ), *Ἀββακοὺμ* (Α΄-Γ), *Σοφονίαν* (Α-Β), *Ἀγγαῖον* (Α-Β). **Ὑπὸ ἔκδοση**.

23ος **Κυρίλλου Ἀλεξανδρείας** : *Ὑπόμνημα εἰς Ζαχαρίαν* (Λό-γοι Α΄-ς΄)-. *Μαλαχίαν* (Λόγοι Α΄ - Β΄). **Ὑπὸ ἔκδοση**.

24ος **Κυρίλλου Ἀλεξανδρείας** : *Ὑπόμνημα εἰς Εὐαγγελιστὰς Ματθαῖον - Λουκᾶν.* **Ὑπὸ ἔκδοση**.

25ος **Κυρίλλου Ἀλεξανδρείας** : *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Λουκᾶν καὶ εἰς Εὐαγγελιστὴν Ἰωάννην* (Λόγος Α΄, κεφ. Α΄-Ι΄). **Ὑπὸ ἔκδοση**.

26ος **Κυρίλλου Ἀλεξανδρείας** : *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Ἰωάννην* (Λόγος Β΄, κεφ. Α΄-Θ΄, καὶ Λόγος Γ, κεφ. Α΄-ς). **Ὑπὸ ἔκδοση**.

27ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ὑπόμνημα εἰς Εὐαγγελιστὴν Ἰωάννην* (Λόγ. Δ', κεφ. Α'-Ζ', Λόγ. Ε', Α'-Ε'.). **Ὑπὸ ἔκδοση.**

28ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην* (Λόγος ΣΤ', κεφ. Ἕνα, Λόγος Ζ' καὶ Η' τεμάχια, Λόγος Θ'). **Ὑπὸ ἔκδοση.**

29ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην* (Λόγος Ι', κεφ. Α'-Β', Λόγ. ΙΑ'. κεφ. Α' - ΙΒ'). **Ὑπὸ ἔκδοση.**

30ος **Κυρίλλου Ἀλεξανδρείας**: α) *Ὑπόμνημα εἰς τὸ κατὰ Ἰω-άννην* (Λόγος ΙΒ'), *β) Εἰς τὰς Πράξεις, γ) Εἰς τὰς Ἐπιστολάς:* 1. *Ρωμαίους*, 2. *Κορινθίους Α'*, 3. *Κορινθίους Β'*, 4. *Γαλάτας*, 5. *Ἑβραίους*, 6. *Ἰακώβου*, 7. *Ἰωάννου Α'*, 8. *Ἰούδα.* **Ὑπὸ ἔκδοση.**

31ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ἐπιστολαὶ* (Α'-ΠΗ'). **Ὑπὸ ἔκδοση.**

32ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ὁμιλίες ἑορταστικὲς* (Α'-ΙΖ') **Ὑπὸ ἔκδοση.**

33ος **Κυρίλλου Ἀλεξανδρείας**: *Ὁμιλίες Ἑορταστικὲς* (ΙΗ'-Λ'). *Ὁμιλίες διάφορες* (Α'-ΚΒ').- *Λόγος εἰς τὴν τελευτὴν τῶν ἁγίων τριῶν παίδων καὶ τοῦ πανσόφου Δανιήλ.* **Ὑπὸ ἔκδοση.**

## ΙΣΤ' ΑΠΑΝΤΑ ΦΩΤΙΟΥ

1ος **Φωτίου Κων/πόλεως : Α'. Ἐξηγητικά:** *Τά Ἀμφιλόχια ἢ Λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογίαι, ἤτοι* Πρὸς Ἀμφιλόχιον Μητροπολίτην Κυζίκου, *ἐν τῷ καιρῷ τῶν πειρασμῶν*, ζητημάτων διαφόρων εἰς ἀριθμὸν τριακοσίων εἴκοσι δύο ἐρωτήσεων καὶ ἐπιλύσεων (Ἐρωταποκρίσεις Α'-ΞΓ').

2ος **Φωτίου Κων/πόλεως : Β'. Ἐξηγητικά:** *Τὰ Ἀμφιλόχια ἢ Λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογίαι κατ'* ἐρώτησιν καὶ ἀπόκρισιν (Ἐρωταποκρίσεις ΞΔ'-ΡΜΔ').

3ος **Φωτίου Κων/πόλεως : Γ'. Ἐξηγητικά:** *Τά Ἀμφιλόχια ἢ Λόγων ἱερῶν καὶ ζητημάτων ἱερολογίαι κατ'* ἐρώτησιν καὶ ἀπόκρισιν (Ἐρωταποκρίσεις ΡΜΔ' - ΤΚΘ').

4ος **Φωτίου Κων/πόλεως : Δογματικά:** *Διήγησις περὶ τῆς* Μανιχαίων ἀναβλαστήσεως εἰς Λόγους Δ'.- Περὶ τῆς τοῦ ἁγίου Πνεύματος Μυσταγωγίας.- Κατὰ τῶν τῆς Παλαιᾶς Ρώμης περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὅτι ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται.

5ος **Φωτίου Κων/πόλεως : Α'. Ἱστορικά:** *Μυριόβιβλον ἢ Βιβλιοθήκη. Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ὑπὸ Φωτίου βιβλίων, εἰς κεφάλαια ΣΠ'.* (Κεφάλαια Α'-ΡΝΘ').

6ος **Φωτίου Κων/πόλεως : Β'. Ἱστορικά:** *Μυριόβιβλον ἢ Βιβλιοθήκη. Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ὑπὸ Φωτίου βιβλίων, εἰς κεφάλαια ΣΠ'.* (Κεφάλαια ΡΞ-ΣΚΒ').

7ος **Φωτίου Κων/πόλεως : Γ'. Ἱστορικά:** *Μυριόβιβλον ἢ Βιβλιοθήκη. Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ὑπὸ Φωτίου βιβλίων, εἰς κεφάλαια ΣΠ'.* (Κεφάλαια ΣΚΓ-ΣΜΑ').

8ος **Φωτίου Κων/πόλεως : Δ'. Ἱστορικά:** *Μυριόβιβλον ἢ Βιβλιοθήκη. Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ὑπὸ Φωτίου βιβλίων, εἰς κεφάλαια ΣΠ'.* (Κεφάλαια ΣΜΒ'-ΣΝ').

9ος **Φωτίου Κων/πόλεως : Ε΄. Ἱστορικά:** *Μυριόβιβλον ἢ Βιβλιοθήκη. Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ὑπὸ Φωτίου βιβλίων, εἰς κεφάλαια ΣΠ΄.* (Κεφάλαια ΣΝΑ΄-ΣΠ΄.).

10ος **Φωτίου Κων/πόλεως : Α΄. Κανονικά:** *Σύνταγμα κανόνων διηρημένον εἰς τίτλους ΙΔ΄. ἐκ κεφαλαίων διαφόρων* (Τίτλοι Α΄- Γ΄ κεφάλαιον Η΄).

11ος **Φωτίου Κων/πόλεως : Β΄. Κανονικά:** 1. *Σύνταγμα κανόνων διηρημένον εἰς τίτλους ΙΔ΄ ἐκ κεφαλαίων διαφόρων* (Τίτλοι ΙΑ΄. ΙΔ΄). 2. *Νομοκάνων, ἤτοι Ἐξήγησις τῶν ἱερῶν καὶ θείων κανόνων εἰς τίτλους ΙΔ΄ ἐκ κεφαλαίων διαφόρων.- Ἐρωτήματα δέκα σὺν ἴσαις ταῖς ἀποκρίσεσιν.* **Ὑπὸ ἔκδοση.**

12ος **Φωτίου Κων/πόλεως : Α΄. Ὁμιλίαι:** α) *Εἰς τὸ γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου.*- β) *Ἔκφρασις τῆς ἐν τοῖς βασιλείοις νέας ἐκκλησίας τῆς Ὑπεραγίας Θεοτόκου, ὑπὸ Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθείσης.*
**Β΄. Ἐπιστολαί:** *Φωτίου Ἐπιστολαὶ ΡϞΓ΄ ἐν βίβλοις τρισίν.* ***Βιβλίον Α΄*** *Ἐπιστολαὶ Α΄ - ΚΔ΄,* ***Βιβλίον Β΄*** *Ἐπιστολαὶ Α΄ - ΡΒ΄,* ***Βιβλίον Γ΄*** *Ἐπιστολαὶ Α΄- ΞΖ΄.* **Ὑπὸ ἔκδοση.**

## ΙΖ΄ ΑΠΑΝΤΑ ΣΩΖΟΜΕΝΟΥ ΣΑΛΑΜΙΝΙΟΥ

1ος **Σαλαμινίου Ἑρμείου Σωζομενοῦ :** *Ἐκκλησιαστικὴ Ἱστορία, Τόμοι Α΄ - Δ΄.*

2ος **Σαλαμινίου Ἑρμείου Σωζομενοῦ :** *Ἐκκλησιαστικὴ Ἱστορία, Τόμοι Ε΄ - Θ΄.* **Ὑπὸ ἔκδοση.**

## ΙΗ΄ ΑΠΑΝΤΑ ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

1ος **Ἰσιδώρου Πηλουσιώτου:** Ἐπιστολαί, Βιβλίον Α΄. *Ἐπιστολὲς* Α΄.- Φ΄.

2ος **Ἰσιδώρου Πηλουσιώτου:** Ἐπιστολαί, Βιβλίον Β΄. *Ἐπιστολὲς* Α΄.- Τ΄.

3ος **Ἰσιδώρου Πηλουσιώτου:** Ἐπιστολαί, Βιβλίον Γ΄. *Ἐπιστολὲς* Α΄.- ΥΙΓ΄.

4ος **Ἰσιδώρου Πηλουσιώτου:** Ἐπιστολαί, Βιβλίον Δ΄. *Ἐπιστολὲς* Α΄.- ΣΛ΄.

5ος **Ἰσιδώρου Πηλουσιώτου:** Ἐπιστολαί, Βιβλίον Ε΄. *Ἐπιστολὲς* Α΄.- ΦΞΘ΄.

## ΙΘ΄ ΕΚΤΟΣ ΣΕΙΡΑΣ

**Οἱ Ψαλμοὶ τοῦ Δαβίδ:** Κείμενο, ποιητικὴ ἀπόδοση, Μετάφραση καὶ διδάγματα (Ψαλμοὶ Α΄. - ΟΕ΄.).
**Οἱ Ψαλμοὶ τοῦ Δαβίδ:** Κείμενο, ποιητικὴ ἀπόδοση, Μετάφραση καὶ διδάγματα (Ψαλμοὶ ΟϚ΄. - ΡΝ΄.). **Ὑπὸ ἔκδοση**

**Χρήστου Βούλγαρη:** *Ὑπόμνημα εἰς τὴν Α΄. Καθολικὴν Ἐπιστολὴν τοῦ Ἀποστόλου Πέτρου.*

**Χρήστου Βούλγαρη:** *Ὑπόμνημα εἰς τὴν Β΄. Καθολικὴν Ἐπιστολὴν τοῦ Ἀποστόλου Πέτρου.*

**Ἀθηναγόρου Κοκκινάκη:** *Τοῦ Θεοῦ τὰ πράγματα· Λόγοι καὶ διαλέξεις.*

*Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ*
*Γ. Μπακατσέλου 3 – Τηλ. 0310/283 880 – Θεσσαλονίκη*
*Ἐκτύπωση Ὄφσετ: ΧΡ. ΘΩΜΑΣ – Τηλ. 03940/72.394. Λητή Θεσσ/νίκης*
*Βιβλιοδεσία: Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ, Τηλ. 0310/710 140 – Θεσ/νίκη*
*Κεντρικὴ διάθεση: Βιβλιοπωλεῖο Ε. ΜΕΡΕΤΑΚΗ*
*Γ. Μπακατσέλου 3 – Θεσσαλονίκη – Τηλ. 0310/283 880 – (Οἰκίας 0310/696 653)*